A 470899

Digitized by Google

# RHETORES GRAECI

12296

EX

CODICIBUS FLORENTINIS MEDIOLANENSIBUS MONACENSIBUS NEAPOLITANIS PARISIENSIBUS ROMANIS VENETIS TAURINENSIBUS ET VINDOBONENSIBUS

EMENDATIORES ET AUCTIORES EDIDIT

SUIS ALIORUMQUE ANNOTATIONIBUS INSTRUXIT INDICES LOCUPLETISSIMOS ADIECIT

CHRISTIANUS WALZ

PROFESSOR TUBINGENSIS.

*VOL. III.*

STUTTGARTIAE ET TUBINGAE
sumtibus J. G. COTTAE.
LONDINI
apud BLACK, YOUNG et YOUNG. Tavistock Street.
LUTETIAE
apud FIRMIN DIDOT.
MDCCCXXXIV.

Digitized by Google

A 470899

035 857 500

TUBINGAE, typis Hopferi de l' Orme.

Digitized by Google

# ARGUMENTUM VOLUMINIS TERTII.


I. Ἑρμογένους τέχνη ῥητορικὴ - - 1—445.
II. Ρούφου τέχνη ῥητορικὴ - - - 446—460.
III. Ἀνωνύμων συνόψεις ῥητορικῆς - 461—464.
IV. Ἰωσὴφ τοῦ Ῥακενδύτου σύνοψις ῥητορικῆς - - - - - 465—569.
IV. Ἀνωνύμου περὶ τῶν τεσσάρων μερῶν τοῦ τελείου λόγου - - 570—587.
VII. Ἀνωνύμου περὶ τῶν ὀκτὼ μερῶν τοῦ ῥητορικοῦ λόγου - - - 588—609.
VIII. Ἀνωνύμου ἐπιτομὴ ῥητορικῆς - 610—614.
IX. Ἀνωνύμου ἐπιτομὴ ῥητορικῆς - 615—669.
X. Ἰωάννου τοῦ Τζέτζου ἐπιτομὴ ῥητορικῆς - - - - - - 670—686.
XI. Ψελλοῦ περὶ ῥητορικῆς - - - 687—703.
XII. Περὶ σχημάτων ὧν Ἑρμογένης ἐμνημόνευσεν ἐν τοῖς περὶ εὑρέσεων καὶ ἰδεῶν βιβλίοις σύνοψις - - 704—711.
XIII. Κάστορος Ῥοδίου ῥήτορος τοῦ καὶ φιλορωμαίου περὶ μέτρων ῥητορικῶν - - - - - - 712—723.
XIV. Ἀνωνύμου ἔκθεσις ῥητορικῆς - 725—748.


Digitized by Google

Digitized by Google

# ΕΡΜΟΓΕΝΟΥΣ
## ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

Ex numerosis, quos omnes bibliothecae obtulerunt, Hermogenis codicibus duos tantum contuli integros: Vindobonensem 18. et Monacensem 327., de quibus vide Prolegomena ad Aphthonium T. I. p. 58. Monacensis ad majorem partem manu vetusta seculi XIII. scriptus est: a pag. 289, (nostrae ed.) vero manus recentior incipit. E codice antiquissimo Par. 2977. seculo X. scripto librum de statibus integrum contuli, in quo labore quum viderem, insigniorem lectionis varietatem plerumque ad marginem codicis signo *γρ.* annotatum esse, ipsa autem Hermogenis verba in codice ab editis parum differre, inde a libris de inventione non nisi lectionem variam ad marginem adjectam enotavi: nonnunquam etiam Par. 2916. consului. Ex aliis codicibus specimina tantum sumsi, ut ex Farnesinis tribus. Farn. I. est Cod. Farn. II. A. 22. chartac. fol. max. scriptus litteris grandissimis sine compendio scribendi, ita ut fideliter ex codice seculi X. transscriptus esse videatur. In fine codicis legitur: *Μετεγράφη ἡ παροῦσα βίβλος ἔτει ἀπὸ τῆς Χριστοῦ γεννέσεως χιλιοστῷ τετρακοσιοστῷ, ἐνενηκοστῷ τετάρτῳ, μηνὸς Σεπτεβρίου, εἰκοστῇ τετάρτῃ ἐν Ῥώμῃ τῇ ἁγίᾳ, ἀναλώμασι μὲν τοῦ αἰδεσιμωτάτου καὶ ἡμετέρου κυρίου κυρίου Ἀλεξάνδρου Φαρνέζε διακόνου τῆς ἱεροαγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καρδηναλίου. Θεῷ χάρις· τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Χειρὶ Ἰωάννου πρεσβυτέρου*



Digitized by Google

*Ρώσου τοῦ Κρητός.* Duobus tomis continentur Aphthon. et Hermogenes. Farn. 2. est Cod. II. A. 23. Farn. 3. est Cod. II. A. 25. Dresdensis est sec. XIII. bombyc. fol., male affectus, sed quantum fieri potuit, bene restauratus. Continet Hermogenis Rhetoricam cum Jo. Ttetzae exegesi metrica. Ab initio et fine mutilus incipit a p. 2. v. 6. (nostrae ed.) desinit p. 365. v. 6. in vv. *καὶ πῶς μὲν τοῦτο, πῶς.* Tum sequitur folium unicum ex libro *περὶ μεθόδου δεινότητος* caput ultimum *περὶ ἀποφάσεως* una cum Jo. Tzetzae versibus politicis continens. Ex codice Rehdigerano Vratislaviensi specimen mecum communicavit C. E. C. Schneiderus, V. Cl. Cod. est chartac. fol. in fine mutilus. Ex codice Lips. 1245. chartac. sec. 15. fol. caput XI. et XII. ex secundo de Ideis libro in meam gratiam contulit A. Westermannus, V. Cl. In Anonymi Epitome rhetoricae metricae, quam p. 617. sqq. edidi, plures partes Hermogenis ad verbum exscriptae sunt: harum lectionem variam enotavi et brevitatis causa Ttetz. notavi. Multa subsidia obtulerunt commentarii in Hermogenem, quos hunc ipsum in finem, ut commodius consuli possent, ante Hermogenem ipsum edidi.

Ex editionibus non nisi editio princeps Aldi et Genevensis Francisci Porti 1669. respiciendae fuerunt. Portus de Hermogene partim ex ingenio, partim ex codicibus emendando optime meritus est, sed diligentia male intellecta in eo elaboravit, ut in locis veterum scriptorum, ab Hermogene plerumque ex memoria allatis, veram plenamque lectionem ex scriptoribus ipsis restitueret; qua quidem re multos, qui Fr. Porti vel Laurentii editione usi sunt, in errorem induxit. In his igitur ad Aldi lectionem codicum consensu confirmatam redeundum fuit. Quid praeterea ad Hermogenem emendandum a nobis praestitum sit, id lectores usu ipso quavis pagina facile invenient.

Digitized by Google

# ΠΙΝΑΞ

## ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΩΝ ΕΝ ΤΗι ΕΡΜΟΓΕΝΟΥΣ ΤΕΧΝΗι ΡΗΤΟΡΙΚΗι ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

### ΠΕΡΙ ΤΩΝ ΣΤΑΣΕΩΝ.


I. 1
II. Διαίρεσις τῶν στάσεων 10
III. περὶ στοχασμοῦ 17
IV. περὶ ὅρου 32
V. περὶ ἀντιλήψεως 38
VI. περὶ τῶν ἀντιθετικῶν, ἀντιστάσεως, ἀντεγκλήματος, μετάστασεως, συγγνώμης 44
VII. περὶ πραγματικῆς 48
VIII. περὶ μεταλήψεως 52
IX. περὶ ῥητοῦ καὶ διανοίας 54
X. περὶ ἀντινομίας 56
XI. περὶ συλλογισμοῦ 60
XII. περὶ ἀμφιβολίας 62


### ΤΩΝ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ Α'.


I. Περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων 65
II. περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων 73
III. περὶ τῶν ἐκ περιουσίας προοιμίων 76
IV. περὶ τῶν ἀπὸ καιροῦ προοιμίων 77
V. περὶ παντὸς προοιμίου, καὶ ἐκ πόσων μερῶν συνέστηκε 79


### ΤΩΝ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ Β'.


I. Περὶ προκαταστάσεως, τῆς καὶ προδιηγήσεως 81
II. περὶ μετοικιῶν, καὶ τῆς ἐν τούτοις εὑρέσεως 82
III. περὶ νόμων εἰσφορᾶς 84
IV. περὶ πολέμου καὶ εἰρήνης 86
V. περὶ ἀσεβείας ἢ φόνου 88
VI. περὶ δημοσίων ἀδικημάτων 90
VII. περὶ διηγήσεως 91


Digitized by Google

XXVIII. περὶ διηγήσεως 433
XXIX. πῶς κοινὰ διανοήματα ἰδιώσομεν 434
XXX. περὶ χρήσεως ἐπῶν ἐν πεζῷ λόγῳ 436
XXXI. περὶ τῶν κεκρατηκότων ἐν τοῖς ἀκροαταῖς παθῶν 437
XXXII. περὶ τῶν ὁμολογουμένων ἀδικημάτων 439
XXXIII. περὶ τοῦ τραγικῶς λέγειν 439
XXXIV. περὶ τοῦ κωμικῶς λέγειν 440
XXXV. περὶ ἀμφιβολίας 442
XXXVI. περὶ δημηγορίας, διαλόγου, κωμῳδίας, τραγῳδίας, καὶ συμποσίων Σωκρατικῶν 443
XXXVII. περὶ ἀποφάσεως 444

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

### ΠΕΡΙ ΤΩΝ ΣΤΑΣΕΩΝ.

#### Cap. I.

*Πολλῶν ὄντων καὶ μεγάλων, ἃ τὴν ῥητορικὴν συνί-* Ald
*στησι καὶ τέχνην ποιεῖ,* [1] *καταληφθέντα τε ἐξ ἀρχῆς δη-* 19
*λαδὴ καὶ συγγυμνασθέντα τῷ χρόνῳ, σαφῆ τε τὴν ὠφέ-*
*λειαν παρεχόμενα τῷ βίῳ κἀν ταῖς βουλαῖς κἀν τοῖς δι-*
*καστηρίοις καὶ πανταχοῦ, μέγιστον εἶναί μοι δοκεῖ τὸ*
*περὶ* [2] *διαιρέσεως αὐτῶν καὶ ἀποδείξεως, λέγω δὲ οὐ τῆς*
*ἀπὸ τῶν γενῶν εἰς εἴδη, καὶ ἀπὸ τῶν ὅλων εἰς μέρη, μι-*
*κρὸν μὲν γὰρ οὐδὲ τοῦτο μέρος ῥητορικῆς,* [3] *ἀλλ' οὐ*
*περὶ τούτων νυνὶ, περὶ δὲ τῆς τῶν πολιτικῶν ζητημάτων*
*διαιρέσεως εἰς τὰ λεγόμενα κεφάλαια ὁ λόγος γινέσθω·*

1 Subiicio solennem artis definitionem ex Luc. Paras. c. 4. [T. VII. p. 99. ed. Lehm.] *τέχνη ἐστὶν, ὡς ἐγὼ διαμνημονεύω, σοφοῦ τινος ἀκούσας, σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.* ubi cfr. intrprr. et Fabric. ad Sext. Empir. Pyrrh. Hyp. III. 25. p. 188. Comment. in Hermog. T. IV. p. 4. v. 10. 2 Farn. 1. Rehdig. *περὶ τῆς διαιρ.* — mox Schol. Ald. [T. IV. p. 39.] *διαιρέσεως αὐτῷ.* tum Ald. Mon. Farn. 2. Vind. *λέγω δή.* Par. Farn. 1. Port. *δέ.* tum Mon. *οὐκ ἀπὸ τῶν γ.* sed *οὐκ* loco eraso manu recentiore supra lin. scriptum. 3 Schol. Ald. [T. IV. p. 59.] *ῥητορικῆς μέρος.* mox Rehdig. *νῦν.*

ἔστι δὲ ὁ αὐτὸς σχεδὸν [4] τῷ περὶ εὑρέσεως, πλὴν ὅσον οὐ πάντα ἔχει τὰ περὶ εὑρέσεως· καὶ πρῶτόν γε, [5] ὅ τι ἔστι πολιτικὸν ζήτημα, ῥητέον· ἔστι τοίνυν ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους, ἐκ τῶν παρ' ἑκάστοις κειμένων νόμων ἢ ἐθῶν [6] περὶ τοῦ νομισθέντος δικαίου ἢ τοῦ καλοῦ ἢ τοῦ συμφέροντος ἢ καὶ πάντων ἅμα ἤ τινων· τὸ γὰρ ὡς ἀληθῶς τε καὶ καθόλου καλὸν ἢ συμφέρον [7] ἢ τὰ τοιαῦτα ζητεῖν οὐ ῥητορικῆς· τὴν δὲ [8] ἀμφισβήτησιν ταύτην ἀνάγκη περί τε πρόσωπα γίνεσθαι καὶ πράγματα, ὧν πλείστη δήπου διαφορά, ἣν τοῖς ἐπιγνοῦσι ῥᾴδιον [9] ἤδη τὰς διαιρέσεις συνιδεῖν τὰς εἰς τὰ κεφάλαια τῶν ζητημάτων, καὶ ὅσα ὅλως διαιρεῖσθαι δύναται. Τῶν οὖν προσώπων τὰ μέν ἐστιν οἷα καὶ δύνασθαι [10] ἐξετάζεσθαι, τὰ δὲ οὔ· τόπον δὲ ἄλλως ἐπέχει προσώπου. Τῶν δ' αὖ ἐξεταζομένων ἰσχυροτάτην [11] μὲν ἔχει δύναμιν τὰ ὡρισμένα καὶ κύρια, οἷον, ὁ Περικλῆς, ὁ [12] Δημοσθένης καὶ τὰ τοιαῦτα· δευτέραν δὲ τὰ πρός τι, οἷον πατὴρ, υἱὸς, δοῦ-

---

4 Farn. 1. Vind. Schol. Ald. [T. IV. p. 64.] σχεδὸν ὁ αὐτός. Sqq. πλὴν ὅσον — περὶ εὑρέσεως absunt a Vind. 5 γε Vind. om., in eodem post ὅ τι supra lineam inseritur ποτε. tum Ald. Port. Mon. Vind. ἐστὶ, Rehdig. ἔστι. Schol. Ald. ὅτι εἰς τὸ πολιτ. 6 Schol. Ald. [T. IV. p. 69.] ἐθνῶν. tum Farn. 1. τοῦ ante καλοῦ et ante συμφέρ. om. Syriani cod. Ven. τοῦ καλοῦ ἢ τοῦ om. Dresd. initio mutilus incipit: τοῦ συμφέροντος, ἢ τοῦ καλοῦ καὶ πάντων ἅμα. ἢ ante καὶ eraso. 7 ἢ συμφέρον Schol. Ald. om. — Mox Farn. 1. ζητεῖ. 8 Dresd. δέ γε. tum Schol. Ald. [T. IV, p. 81.] περί τε πρόσωπα καὶ πράγματα εἶναι. 9 Vind. ῥᾷον. mox Rehdig. καὶ εἰς ὅσα ὅλως. 10 Ald. Mon. Farn. 1. 2. Dresd. Rehdig. Schol. Ald. [T. IV. p. 86.] δύναται. Port. Par. Syriani cod. Ven. δύνασθαι. Vind. om. Tum Rehdig. τὰ δ' οὔ. 11 Ald. Port. ἰσχυρωτάτην. Farn. 1. 2. Vind. ἰσχυροτάτην. de Dresd. Par. et Mon. non notavi. 12 Farn. 1. καὶ Δημ. tum Sch. Ald. [T. IV. p. 97. 100.] τρίτην δὲ, τετάρτην δέ.

λος,[13] δεσπότης· τρίτην τὰ διαβεβλημένα, οἷον ἄσωτοι, μοιχοὶ, κόλακες· τετάρτην τὰ ἠθικὰ, οἷον γεωργοὶ, λίχνοι, καὶ τὰ ὅμοια· πέμπτην τὰ κατὰ συμπλοκὴν δύο προσηγοριῶν, οἷον νέος πλούσιος· τούτων γὰρ ἑκάτερον ἰδίᾳ μὲν σμικρὸν[14] ἢ οὐδὲν ἰσχύει· συμπλακέντα δὲ εἰς ἓν ἄμφω δύναται κρίσιν ἀναδέξασθαι· ἕκτην τὰ κατὰ συμπλοκὴν προσώπου καὶ πράγματος, οἷον, μειράκιον καλλωπιζόμενον φεύγει πορνείας· ἑβδόμην τὰ ἁπλᾶ προσηγορικὰ,[15] οἷον στρατηγὸς ῥήτωρ. ταυτὶ δὲ δῆλον μὲν ὡς καὶ καθ' ἓν ἐμπίπτει τοῖς ζητήμασι, καὶ κατὰ[16] πλείονα. αὐτίκα ὁ Δημοσθένης καὶ πατὴρ ἦν· δήπου καὶ ῥήτωρ καὶ πρεσβευτὴς,[17] ἤδη δὲ καὶ στρατιώτης. ὅθεν καὶ μείζονα[18] ἔχει δύναμιν τὰ ὡρισμένα καὶ κύρια· ἀλλὰ δεῖ περὶ ἑκάστου τῆς δυνάμεως[19] ἰδίᾳ γνόντα χρῆσθαι, ὡς ἂν ὁ καιρὸς διδῷ· τὰ μὲν οὖν ἐξεταζόμενα τῶν προσώπων ταῦτα· καὶ δεῖ τοῖς ἐγκωμιαστικοῖς ἀκολουθοῦντα τόποις χρῆσθαι τοῖς ἐμπίπτουσιν·[20] οὐκ ἐπιδέχεται[21] δὲ ἐξέτασιν τά τε ἀόριστα, οἷον τὸ, τίς· καὶ τὰ ἰσάζοντα δι' ὅλου· οἷον, δύο νέοι πλούσιοι, εἰ ἐπί τῳ κρίνοιεν ἀλλήλους· ὃ[22] γὰρ ἄν τις εἴπῃ[23] κατὰ τοῦ ἑτέρου, ἔσται τοῦτο[24] καὶ κατὰ τοῦ ἑτέρου. Ὥσπερ δὲ τῶν προσ-

---

13 Vind. δοῦλος, υἱός. 14 Dresd. μικρόν. Vind. ἰδίᾳ μικρόν τι. 15 Ald. προσιγορικά. mox Vind. μὲν om. 16 Farn. 2. καὶ τὰ πλ. manus ser. τὰ in κατὰ mutavit. Tum Dresd. αὐτίκα γὰρ ὁ Δ. 17 Farn. 1. πρεσβύτης. 18 Vind. μείζω. 19 δυνάμεως ἰδίᾳ γν. — p. 5. v. 18. καὶ πρῶτόν γε ἀσυστ. εἶδος τὸ μονομερὲς in Dresd. folii iactura desunt. — Mox Schol. Ald. [T. IV. p. 110.] χρῆσθαι αὐτοῖς. 20 Sequitur in Farn. 1. titulus: περὶ τῶν μὴ ἐνδεχομένων ἐξέτασιν. 21 Par. ἐπιδέχονται. 22 Ald. ὅς. Port. Par. Farn. 1. 2. ὅ. 23 Ald. Port. Farn. 1. 2. Vind. Mon. Sch. Ald. [T. IV. p. 117.] εἴποι. Par. εἴπηι. 24 Par. τοῦτο ἔσται. Mon. Sch. Ald. τοῦτο καὶ κατὰ τοῦ ἑ. ἔσται. — In Farn. 1. sequitur titulus: περὶ πραγμάτων.

ὠπων, οὕτω [25] καὶ τῶν πραγμάτων ἔστι διαφορά· καὶ ἰσχυροτάτην μὲν ἐξέτασιν ἐπιδέχεται ταῦτα, ἐφ' οἷς τις αὐτὸς ὡς ποιήσας κρίνεται, ὡς ὁ θάπτων τὸ νεοσφαγὲς σῶμα ἐπ' ἐρημίας, καὶ φωραθεὶς, καὶ φόνου φεύγων, δευτέραν δὲ, ὅταν ἑτέρου πράξαντος, ἄντικρυς εἰς αὐτὸν [26] ἀναφέρηται τὸ κρινόμενον, οἷον, τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας κρίνεται. [27] τρίτην, ἃ μεταξὺ τούτων ἐστίν· οἷον, ἔγραψεν ὁ Περικλῆς εἰς δέον ἀνηλωκέναι [28] πεντήκοντα τάλαντα· καὶ Ἀρχίδαμος [29] δώρων φεύγει· [30] τὸ γὰρ τῶν πεντήκοντα ταλάντων ἀναφέρεται μὲν ἄντικρυς εἰς αὐτὸν οὐδαμῶς, διὰ δὲ τὰ ἄλλα καὶ τοῦτο ἐνδέχεται ἐξετασθῆναι, ὡς ἀναφερόμενον· ἀπέοικε δὲ οὐδὲν τοῦ ζητήματος τούτου καὶ ὁ ἄσωτος ὁ [31] ἐπὶ τῷ πατρὶ ἀφανεῖ γενομένῳ φόνου φεύγων· καὶ οὐκ ἀγνοῶ γε, ὡς ᾠήθησάν τινες μὴ εἶναι τὸ πρᾶγμα ἐνταῦθα [32] κρινόμενον· θαυμάζω δὲ εἰ μὴ κρινο-

---

25 Syriani cod. Ven. *οὕτω δὲ καί*. Mox Ald. Port. *ἰσχυρωτ.* Vind. Farn. 1. *ἰσχυροτ.* Corrigit etiam Boisson. Anecd. T. IV. p. 392. ex cod. Mazarineo A. 86. Tum Vind. *μὲν ἔχει τὴν ἐξέτ.* supra lin. *ἢ ἐπιδέχεται.* 26 In Syriani cod. Ven. supra lin. scriptum est *ἡμᾶς*. tum Farn. 1. *ἀναφέρεται.* 27 Farn. 2. Vind. Par. 2916. *κρίνηται προδοσίας.* Sch. min. *γρ. καὶ φεύγει.* Mon. Sch. Ald. [T. IV. p. 124.] *καὶ φεύγει προδοσίας.* In Mon. manu recent. superscriptum: *γρ. κρίνεται προδ.* 28 Par. *ἀναλωκέναι.* Par. 2916. *ἀναλωκ.* De re ipsa cf. Plut. Per. c. 23. Arist. Nub., 858. 29 Port. *Ἀρχ. παρὰ Λακεδαιμονίοις δώρ. φ.* Ald. et codd. *παρὰ Λακ.* om. Par. ad marg. *γρ. καὶ Ἀρχ. παρὰ Λακεδαιμονίων φ.* In ex. impresso Par. ad marg. scriptum est: *παρὰ Λακεδαιμονίοις.* 30 Vind. *φεύγει δώρων.* — v. 12. Sch. Ald. [T. IV. p. 126.] *τἄλλα* omisso *καὶ τοῦτο.* 31 *ὁ* Sch. Ald. [T. IV. p. 129.] om. Mox super *φόνου* in Farn. 1. liquore rubro scribitur *φόνον.* 32 Par. Farn. 1. Vind, Mon. *τὸ πρᾶγμα ἐνταῦθα κρ.* Ald. Port. *ἐντ. τὸ πρᾶγμα κρ.* Sch. Ald. *μὴ εἶναι πρᾶ-*

μένου πράγματος αἰτίαν τις ἀποδώσει καὶ τὸ λεγόμενον χρῶμα· ἀπολογήσεται δὲ, [33] οἶμαι, ὁ ἄσωτος, καὶ ἐρεῖ τι· πρᾶγμα δὲ οὐ κρίνεται, κατά γε ἐμὲ, τὸ ἐξισάζον [34] μόνον, οἷον πένης καὶ πλούσιος, ἑκάτεροι ὡραίας ἔχοντες γυναῖκας, κατὰ ταὐτὸν [35] ἄμφω πεφωράκασιν ἀλλήλους ἐξιόντας ἐκ τῶν ἀλλήλων οἰκιῶν, καὶ μοιχείας ἀλλήλοις ἐντεγκαλοῦσιν. ἐνταῦθα γὰρ αὖ πάλιν [36] τὰ μὲν πρόσωπα διαλλάττοντα ἐπιδέχεται ἐξέτασιν· τὰ πράγματα δὲ [37] οὔ, διὰ τὸ ἰσάζειν· μετὰ ταῦτα τοίνυν ἔστιν ἐξ αὐτῶν ἐπιγνῶναι τά τε συνεστῶτα [38] καὶ διαιρεῖσθαι δυνάμενα τῶν ζητημάτων, καὶ ὅσα μὴ συνέστηκε. τὰ μὲν γὰρ ἤτοι ἄμφω, καὶ πρόσωπον ἔχοντα καὶ πρᾶγμα κρινόμενον, ἢ τὸ ἕτερόν γε πάντως, καὶ τοὺς ἐξ ἑκατέρου μέρους λόγους σὺν τῷ πιθανῷ διαφόρους τε καὶ ταῖς πίστεσιν ἰσχυρούς· ἔτι τε ὅπερ [39] ἐστὶ παρὰ τοῖς δικασταῖς τὸ τῆς κρίσεως ἀφανὲς καὶ μὴ προειλημμένον τῇ [40] κρίσει, δυνάμενόν τε πέρας λαβεῖν, συνέστηκε· τὰ δ' οὐτινοσοῦν τούτων ἐνδεᾶ [41] ἀσύστατά εἰσιν· εἰρήσεται δὲ καὶ [42] κατ' εἶδος. Καὶ πρῶ-

---

γμα ἐνταυθοῖ τὸ κρινόμενον. θαυμ. δὲ, εἰ μὴ κριν. τοῦ πράγμ. 33 Par. Farn. 2. Vind. δέ. Ald. Port. Mon. δ'. — Post ἐρεῖ τι Farn. 1. titulum habet: περὶ πραγμάτων μὴ κρινομένων. 34 Par. ἐξισαζόμενον μόνον. 35 Mon. ταὐτὸ ἄμφω h. l. et infra. Sch. Ald. [T. IV. p. 136.] κατὰ ταὐτὸν ἄμφω om. Eadem habent ἐξιόντας ἀπὸ τῶν. 36 αὖ πάλιν Ald. Port. Mon. om., recepi ex Par. Vind. Farn. 1. 2. Sch. Ald. 37 Vind. τὰ δὲ πράγμ. tum Mon. Vind. ἐξισάζειν. Sequitur in Farn. 1. titulus: περὶ συνεστώτων. 38 Sch. Ald. [T. IV. p. 138.] καὶ τὰ διαιρ. 39 Ex. Par. ad marg. οὗπερ. 40 τῇ Vind. Par. om., Par. ad marg. γρ. καὶ μὴ προειλ. τῇ κρίσει. 41 Vind. Farn. 1. ταῦτα ἀσ. ἐστιν. etiam Farn. 2. ἐστίν. Ald. Port. Par. εἰσι. scr. εἰσιν. Sch. Ald. [T. IV. p. 146.] τὰ δ' οὖν τινος τούτων ἐνδεᾶ ταῦτα ἀσύστατά ἐστιν. 42 καὶ Farn. 1. om. Idem post εἶδος titulum ponit: περὶ ἀσυστάτων. tum Sch, Ald. [T. IV. p. 148.] καὶ πρῶτον μέν.

τόν γε ἀσυστάτων εἶδος τὸ μονομερὲς, ᾧ τὰ [43] τῶν λόγων μὴ ἑκατέρωθεν ἰσχυρά· οἷον, πορνοβοσκὸς δέκα νέους κωμάζοντας ἐπὶ τὴν οἰκίαν αὐτοῦ, ὄρυγμα ποιήσας, ὑποδεξάμενος ἀπέκτεινε, καὶ φεύγει φόνου. [44] Δεύτερον τὸ ἰσάζον διόλου. οἷον, δύο νέοι πλούσιοι ὡραίας ἔχοντες γυναῖκας κατὰ ταὐτὸν ἄμφω [45] πεφωράκασιν ἀλλήλους ἐξιόντας ἐκ [46] τῶν ἀλλήλων οἰκιῶν καὶ μοιχείας ἀλλήλοις [47] ἀντεγκαλοῦσι. Τρίτον τὸ [48] κατὰ τὸ ἀντιστρέφον. οἷον, ἀπήτει τις δάνειον καὶ τόκους, ὁ δὲ παρακαταθήκην φάσκων ἔχειν οὐκ ὀφείλειν ἔλεγε τόκους· μεταξὺ πεποίηται χρεῶν ἀποκοπὰς ὁ δῆμος, καὶ ὁ μὲν ὡς παρακαταθήκην ἀπήτει, ὁ δὲ ὡς χρέος [49] οὐκ ὀφείλειν ἔτι φησίν· ἐνταῦθα γὰρ οὔτε διάφορα οὔτε ἰσχυρὰ τὰ τῶν πίστεων αὐτοῖς· περιπετεῖς γὰρ τοῖς ἑαυτῶν ἄμφω [50] γίνονται λόγοις. Τέταρτον κατὰ τὸ ἄπορον, οὗ μὴ ἔστι λύσιν λαβεῖν [51] μηδὲ πέρας· οἷον, Ἀλέξανδρος [52] ὄναρ εἶδεν ὀνείροις μὴ πιστεύειν, καὶ βουλεύεται· [53] ὅ τι γὰρ ἂν

---

43 Farn. 1. Sch. Ald. *καὶ τά.* 44 Dresd. Sch. Ald. *φόνου φεύγει* 45 Par. ad marg. *γρ. ἑκάτεροι.* Sch. Ald. [T. IV. p. 150.] *ἄμφω* om. et paullo ante legunt: *ἑκάτεροι ὡραίας ἔχ. γυν.* 46 Ald. Port. Par. Mon. Farn. 2. Vind. *ἀπό.* Dresd. Farn. 1. *ἐκ.* 47 Vind. *ἀλλήλους.* 48 Ald. *τὸ κατὰ τὸ ἀντίστροφον.* Port. *τὸ κατὰ τὸ ἀντιστρέφον,* ad marg. *γρ. κατὰ τὸ ἀντίστροφον.* Par. Mon. Dresd. Farn. 1. 2. Sch. Ald. [T. IV. p. 152.] *τρίτον κατὰ τὸ ἀντιστρέφον.* Vind. *τρ. τὸ κατὰ ἀντιστρέφον.* 49 Sch. Ald. *χρέως.* Tum Mon. *οὐκέτι ὀφ. ἔλεγεν.* supra lin. *οὐκ ὀφείλειν ἔτι φησί.* Dresd. *οὐκ ὀφείλειν ἔλεγεν.* 50 Par. Vind. Dresd. Mon. *ἄμφω τοῖς ἑαυτῶν.* [Dresd. *αὐτῶν.*] tum Sch. Ald. *γεγόνασι.* 51 Dresd. Vind. Sch. Ald. [T. IV. p. 153.] *εὑρεῖν.* In Vind. supra lin. *ἢ λαβεῖν.* 52 Port. Mon. Sch. Ald. addunt: *ὁ βασιλεύς.* 53 Sch. Ald. *βούλεται.* Tum Ald. Port. *συμβουλεύοι,* Par. Vind. Farn. 1. 2. *συμβουλεύῃ.* Dresd. *συμβουλεύσῃ.* Mon. *ὅ τι κἂν συμβουλεύῃ,* Par. supra lin. *καὶ συμβουλεύῃ τις ἐνταῦθα.*

συμβουλεύῃ τις ἐνταῦθα, τὸ ἐναντίον αὐτῷ [54] περανεῖ. Πέμπτον κατὰ τὸ ἀπίθανον. οἷον, εἰ Σωκράτην τις πλάττοι [55] πορνοβοσκοῦντα ἢ Ἀριστείδην ἀδικοῦντα. [56] Ἕκτον κατὰ τὸ ἀδύνατον. οἷον, εἰ Σιφνίους [57] ἢ Μαρωνείτας λέγοι [58] τις περὶ ἀρχῆς τῶν Ἑλλήνων βουλεύεσθαι, ἢ τὸν Πύθιον ψεύδεσθαι. Ἕβδομον κατὰ τὸ [59] ἄδοξον. οἷον, ἐκμισθώσας τις τὴν ἑαυτοῦ γυναῖκα, τὸν [60] μισθὸν οὐκ ἀπολαμβάνων δικάζεται τῷ μισθωσαμένῳ. Ὄγδοον κατὰ τὸ ἀπερίστατον. οἷον, ἀποκηρύσσει [61] τις τὸν υἱὸν ἐπ᾽ οὐδεμιᾷ αἰτίᾳ. Ταῦτα γὰρ οὐκ ἂν εἴη ζητήματα. Παρὰ δὲ ταῦτα εἴδη [62] ἐστὶν ἕτερα, ἐγγὺς μὲν ἀσυστάτων, μελετώμενα δὲ ὅμως. πρῶτον μὲν τὸ ἑτερορρεπές. [63] οἷον, καταφυγόντος Κριτίου ἐπὶ τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας, βουλεύονται Ἀθηναῖοι, εἰ χρὴ αὐτὸν [64] ἀποσπᾶν· τουτὶ γὰρ μοναμερὲς μὲν οὐκ ἔστιν, ἑτερορρεπὲς δέ. δεύτερον [65] τὸ κακόπλαστον. οἷον,

54 Port. ad marg. γρ. αὐτοῦ ut Farn. 1. 2. — Mon. om. tum Ald. περανοῖ. reliqui περανεῖ. 55 Ald. πλάτοι. Port. πλάττοι. Par. Mon. Dresd. Farn. 1. 2. πλάττει. Vind. λέγει. Sch. Ald. [T. IV. p. 156.] Σωκράτης τις πλάττειν. 56 ἢ Ἀρ. ἀδικοῦντα Dresd. ad marg. habet. 57 Mon. Dresd. Σιφνίους τις ἢ. Sch. Ald. [T. IV. p. 159.] οἷον εἰς Σιφνίους τις ἢ Μαρωνείτας περὶ ἀ. τῶν Ἑλλ. εἴποι βουλεύεσθαι. 58 Par. Farn. 2. λέγει. Farn. 1. Vind. Μαρ. περὶ ἀ. τ. Ἑ. βουλεύεσθαί τις λέγοι. [Vind. λέγει.]. 59 Syriani cod. Ven. ἕβδ. τὸ ἄδιοξον et ὄγδοον τὸ ἀπερίστατον. 60 Vind. καὶ τὸν μ. mox Vind. Par. Farn. 2. ἀπολαβών. Par. Farn. 2. ad marg. γρ. οὐκ ἀπολαμβάνων. tum Farn. 1. μισθοσαμένῳ. 61 Par. Dresd. ἀποκηρύσσει. Ald. Port. Mon. Vind. —τει. tum Sch. Ald. [T. IV. p. 164.] τὸν ἑαυτοῦ υἱόν. 62 Sch. Ald. [T. IV. p. 170.] εἴδη ἀσυστάτων εἰσίν. 63 Dresd. ἑτερόρορεπές. 64 Ald. Port. Par. Farn. 1. 2. Vind. εἰ δεῖ ἀποσπᾶν. Mon. Dresd. Sch. Ald. [T. IV. p. 171.] εἰ χρὴ αὐτὸν ἀ. tum Farn. 1. τοῦτο γὰρ. 65 Mon. Farn. 1. Sch. Ald. [T. IV. p. 173.] εἶτα.

μετὰ τὴν Νικίου ἐπιστολὴν [66] γράφει τις Κλέωνα στρατηγεῖν· ἢ πάλιν, πρόκειται Μαρδονίῳ ἀναχωρήσαντι μετὰ τὴν ἧτταν ἀπολογία παρὰ βασιλεῖ· ἡ πλάσις γὰρ [67] ἡμάρτηται παραπλησίως ἐπ' ἀμφοῖν, ἐπεὶ τεθνᾶσί γε δήπου Κλέων [68] τε πρὸ τῶν Σικελικῶν, καὶ Μαρδόνιος πρὶν ἢ [69] ἐπανελθεῖν τοὺς διαφεύγοντας [70] τῶν Περσῶν. ἔστιν [71] ἐν τούτοις καὶ τὸ προειλημμένον [72] τῇ κρίσει. οἷον, μηδενὸς ἐπιγνῶναι δυναμένου τὴν ἄνοδον [73] τὴν ἐπὶ τὸν τύραννον, ἔδειξε γυνή τις τῷ ἑαυτῆς ἀνδρί· ὁ δὲ ἀνελθὼν ἀπέκτεινεν ἐκεῖνον, καὶ μοιχείας αὐτῇ ἐγκαλεῖ· θαυμάζω γὰρ εἴ τις αὐτῆς [74] καταψηφιεῖται, κἂν ἐλεγχθῇ μεμοιχευμένη, δι' ἣν ὁ τύραννος ἀνῄρηται· τάχα δ' ἂν καὶ παρὰ ταῦτα εἴδη τινὰ εὑρεθείη ἄλλα τοιαῦτα. καὶ περὶ μὲν τῶν ἀσυστάτων τοσαῦτα· [75] ἀλλὰ περί γε τῆς τῶν συνεστώτων διαιρέσεως ἤδη λεκτέον· εἴδους γὰρ ἕνεκα προβλημάτων [76] καὶ τρόπου περίεργον ἂν εἴη λέγειν ἐν τῷ παρόντι· τὰ μὲν γὰρ εἴδη καὶ τοὺς τρόπους διὰ τοῦτο μανθάνομεν δήπου, [77] ἵνα ταῖς οἰκείαις ἰδέαις

---

66 Thuc. VII. 10, sqq. Tum Ald. *Κλέρνα στραγεῖν*. Port. *Κλέονα φυγεῖν*, Codd. *στρατηγεῖν*. Sch. Ald, *πέμπειν Κλέωνα* [Ald. *Κλέων*] *στρατηγεῖν*. 67 Vind. *γὰρ αὕτη*. 68 Mon. Sch. Ald. *Κλέων καὶ Μαρδόνιος* [Sch. Ald. *τεθνᾶσι γὰρ δήπου Κλέων τε καὶ Μαρδ.*]· *ὁ μὲν πρὸ τῶν Σικ. καὶ Μαρδ.* 69 Farn. 1. supra lin. *γρ. πρινή*. 70 Sch. Ald. *φυγόντας*. Dresd. addit: *ἐν Πλαταιαῖς*. 71 Dresd. *ἔστιν οὖν ἐν τούτ.* supra lin. *τοῖς ἐγγὺς ἀσυστάτοις*. Sch. Ald. [T. IV. p. 175.] *κατὰ τὸ προειλ.* 72 Ald. *προειλεμμένον*. Dresd. supra lin. *τὸ προεγνωσμένον τοῖς δικασταῖς ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ*. 73 Par. *ὁδόν*. — v. 10. *καὶ* abest a Sch. Ald. 74 Sch. Ald. [T. IV. p. 178.] *καταψηφιεῖται ταύτης*. mox Farn. 1. ad marg. *γρ. ἐλεγχθείη*. tum Ald. *μεμοιχευομένη*· 75 *καὶ περὶ — τοσαῦτα*. Par. Vind. Dresd. Sch. Ald. [T. IV. p. 179] om. 76 Ald. Port. Mon. Vind. *καὶ προβλημ.* Par. Farn. 1, 2. Dresd. *καὶ* om. tum Port. Sch. Ald. [T. IV. p. 181.] *τρόπων*. 77 *δήπου* Dresd. om.

τῶν λόγων χρώμενοι τὰ προβλήματα μελετῶμεν. [78] οἷον, δικανικῶς τὸ δικανικόν, καὶ συμβουλευτικῶς τὸ συμβουλευτικόν, καὶ πανηγυρικῶς [79] τὸ ἐπιδεικτικόν· καὶ ἕκαστον, ὡς προσήκει, προσφόρως [80] τοῖς ὑποκειμένοις· τοὶς δὲ μήπω περὶ ψιλῆς [81] διαιρέσεως τῆς εἰς τὰ λεγόμενα κεφάλαια τῶν ζητημάτων ἐπεσκεμμένους, μηδ' αὐτὸ τοῦτο δὴ, [82] τὰς λεγομένας στάσεις τῶν προβλημάτων εἰδότας, ἀμήχανον δήπου τῶν προειρημένων τι καλῶς γινώσκειν· διδάσκειν [83] οὖν πρό γε ἐκείνων τὸν περὶ ἰδεῶν λόγον πάντη ἀνόητον· ἄλλως τε κἂν [84] ἐπιχειρήσωμέν τι λέγειν νυνὶ περὶ αὐτῶν, πλείων ἂν ἡμῖν ὁ τοῦ παρέργου λόγος, ἢ ὁ τοῦ ἔργου γένοιτ' ἄν· [86] πραγματείας γὰρ ἰδίας, καὶ οὐ σμικρᾶς, [87] εἰ μὴ καὶ [88] τῆς μεγίστης καὶ τελεωτάτης ἐστὶν ὁ περί τε τῶν ἰδεῶν τοῦ λόγου καὶ τῆς χρήσεως αὐτῶν ἑκάστης λόγος· νῦν οὖν περὶ ἐκείνης τῆς διαιρέσεως λεκτέον τῆς εἰς τὰ κεφάλαια· διαιρέσει [89] τοίνυν ὀρθῶς ὁ τήν τε διαφορὰν καὶ τὴν δύναμιν τῶν τε [90]

---

78 τὰ προβλ. μελετῶμεν in Par. omissa, manu rec. adiecta sunt. 79 Vind. ἐπιδεικτικῶς. Farn. 1. πανηγυρικῶς τὸ πανηγυρικὸν, καὶ ἐπιδεκτικῶς τὸ ἐπιδεκτικόν [sic]. Dresd. καὶ ἐπιδεικτικῶς τὰ ἐπιδεικτικὰ, supra lin. πανηγυρικῶς. Sch. Ald. [T. IV. p. 190.] ἐπιδεικτικῶς τὸ ἐπιδεικτικόν. 80 Farn. 1. προσφώρως. 81 Farn. 1, Mon. Dresd, Sch. Ald. [T. IV. p. 194.] ψιλῆς τῆς εἰς τὰ λεγ, κεφ. διαιρέσεως. In Par. Mon. λεγόμενα supra lin. scriptum. 82 Dresd. Mon. δὴ τοῦτο. Vind. Sch. Ald. δὴ om. 83 Sch. Ald. διδάσκει οὖν πρός γε. tum Farn. 1. Vind. Sch. Ald. καὶ πάντη. 84 Par. κἄν τι λέγειν ἐπιχ. περὶ αὐτῶν νυνί. Dresd. ἐπιχειρήσομέν τι λέγειν περὶ αὐτῶν νυνί. Farn. 1. 2. Vind. ἐπιχ. τι περὶ α. λέγειν νυνί. Sch. Ald. περὶ αὐτῶν νῦν. 85 ἄν in Dresd. erasum. 86 Farn. 1. Vind. γένοιτο sine ἄν. 87 Par. μικρᾶς. 88 καὶ ex Par. Farn. 1. 2. Vind. Sch. Ald. [T. IV. p. 195.] recepi, abest ab Ald. Port. Mon. Dresd. 89 Ald. Par. Mon. Dresd. διαιρέσει. Port. Vind. Farn. 1. 2. διαιρήσει. 90 Farn. 1. τῶν τε τῶν προσ.

προσώπων καὶ τῶν πραγμάτων καὶ ἔτι τὴν λεγομένην στάσιν ἐπιγνοὺς [91] τοῦ ζητήματος· ὅθεν μὲν γὰρ εἴρηται στάσις, εἴτε ἀπὸ τοῦ στασιάζειν τοὺς ἀγωνιζομένους, εἴτε ὀθενοῦν, ἑτέροις [92] ἐξετάζειν παριὴμι, ὄνομα δὲ [93] ἀφεὶς εἶναι τοῦτο κοινὸν ἢ καὶ συμβεβηκὸς τῶν ζητημάτων ἁπάντων, ὅπως τοῦτο [94] ἐπιγνωσόμεθα, τὴν μέθοδον ἐνταυθοῖ προθεὶς, [95] ποιήσομαι τὴν ἀρχὴν τῆς διαιρέσεως τῶν κεφαλαίων ἀπὸ τοῦ [96] στοχασμοῦ ἀναγκαίως, ὡς αὐτὸ [97] δηλώσει· ἐφεξῆς δὲ καὶ περὶ τῶν ἄλλων λελέξεται· [98] ἡ δ' οὖν μέθοδός ἐστιν ἥδε.

## Cap. II.

### ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΣΤΑΣΕΩΝ. [1]

Παντὸς οὐτινοσοῦν προτεθέντος [2] ζητήματος, εἰ συνεστήκοι [3] ἐπισκοπεῖν δεῖ τὸ κρινόμενον, εἰ ἀφανές ἐστιν, ἢ φανερόν· κἂν μὲν ἀφανὲς [4] ᾖ, στοχασμὸς ἔσται.

---

91 Syriani cod. Ven. εἰδώς. 92 Par. ἑτέρους. 93 Vind. ὄνομα δὲ τοῦτο ἀφεὶς εἶναι. 94 Farn. 1. Sch. Ald. [T. IV. p. 199.] τούτων. 95 Par. προσθείς. Sch. Ald. προτάξας. Cod. Par. προθεὶς, supra lin. προτάξας. 96 τοῦ Par. Vind. Dresd. Farn. 1. 2. om. [Farn. 1. ἀποστοχασμοῦ]. 97 Ald. Port. Codd. αὐτός. Sch. Ald. αὐτό. 98 Par. Farn. 2. λέξεται. Farn. 1. περὶ τῶν ἄλλων (β) λελέξεται ἁπάντων (α). Sch. Ald. καὶ περὶ τῶν ἄλλων ἁπάνταν λελέξεται. Sqq. ἡ δ' οὖν μέθ. ἐ. ἥδε Farn. 1. om.

1 Par. διαίρεσις τῆς μεθόδου τῶν στάσεων. Dresd. μέθοδος διαιρέσεως τ. στ. Farn. 1. μέθοδος τῶν στάσεων. Mon. titulum om. 2 Ald. Par. Mon. Dresd. προτιθέντος. Farn. 1. Vind. Sch. Ald. [T. IV. p. 203.] Port. προτεθέντος. 3 Ald. Mon. Dresd. συνεστήκει. Par. Vind. Farn. 1. Sch. Ald. συνεστήκοι. tum Syriani cod. Ven. ἐπισκοπεῖν δή. 4 Farn. 1. ἀφανίς. Idem

ἔστι γὰρ [5] στοχασμὸς ἀδήλου πράγματος ἔλεγχος οὐσιώδης, ἀπό τινος φανεροῦ σημείου, ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον [6] ὑποψίας. οἷον, πεφώραταί τις θάπτων νεοσφαγὲς σῶμα ἐπ᾽ ἐρημίας, [7] καὶ φόνου φεύγει· [8] ἀπὸ γὰρ τοῦ θάπτειν φανεροῦ ὄντος, ἀφανές τι πρᾶγμα ζητοῦμεν οὐσιωδῶς τὸ τίς ὁ φονεύσας. ἂν δὲ [9] ᾖ φανερὸν τὸ κρινόμενον, πάλιν ἐπισκεπτέον, εἰ τέλειόν ἐστιν, ἢ ἀτελές· λέγω δὲ ἀτελὲς, ᾧ προστεθέντος τινὸς, ὡς λείποντος, ὄνομά τε εὐθὺς γίνεται, καὶ [10] οὐκ ἔτι ἔχει ζήτησιν οὐδεμίαν τὸ πρᾶγμα· ἂν γὰρ ᾖ τοιοῦτον, ὁρικὴν ποιεῖται τὴν στάσιν· ἔστι γὰρ στάσις ὁρικὴ ὀνόματος ζήτησις περὶ πράγματος, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος. οἷον, ἐξ ἱεροῦ ἰδιωτικά τις ὑφείλετο χρήματα, νόμου κελεύοντος τὸν μὲν ἱερόσυλον τεθνάναι, τὸν δὲ κλέπτην διπλᾶ διδόναι, ὡς ἱερόσυλος ὑπάγεται· ὁ δὲ κλέπτης εἶναι [11] λέγει. ἐὰν γὰρ προστεθῇ [12] τὸ καὶ ἱερὰ, εἶτα τὰ χρήματα, σαφὴς γε οὗτος ἱερόσυλος, καὶ οὐκέτι ἔχει τὸ πρᾶγμα ζήτησιν. ἂν μέν τοι φανερὸν ᾖ καὶ τέλειον τὸ κρινόμενον, ἡ ζήτησις περὶ τὴν ποιότητα τοῦ πράγματος ἵσταται. οἷον, εἰ δίκαιον, εἰ συμφέρον, εἰ ἔννομον, [13] ἢ τι τῶν τούτοις ἐναντίων· καὶ ὄνομα μὲν γενικὸν τούτῳ ποιότης· ἤτοι καὶ περί τι [14] πρᾶγμα ἔχει τὴν ζήτησιν, ἢ περὶ ῥητόν· κἂν μὲν περὶ

---

post ἔσται titulum ponit ὅρος περὶ στοχασμοῦ. 5 Vind. δέ. supra lin. ἢ γάρ. 6 Vind. πρᾶγμα. supra lin. πρόσωπον. 7 ἐπ᾽ ἐρημίας Dresd. ponit post πεφωρ. τις. 8 Vind. φεύγει φόνου. 9 Dresd. δ᾽ ᾖ. Sch. Ald. [T. IV. p. 215.] ἐάν δέ. 10 Sch. Ald. καὶ μετὰ ταῦτα οὐκέτι. — v. sq. Dresd. ποιήσει. 11 Vind. Mon. εἶναι κλέπτης. 12 Vind. Mon. Dresd. προσθῇς. Par. ad marg. γρ. προσθῇς. Sch. Ald. [T. IV. p. 217.] προσθῇ. tum Vind. σαφής τε. Mox post ζήτησιν Mon. addit: οὐδεμίαν. 13 Par. εἰ νόμιμον, εἰ συμφέρον. Vind. εἰ νόμιμον, ἢ συμφ. 14 τι Port. om. — p. 12, v. 1. Sch. Ald. [T. IV. p. 220.] ποιεῖται.

ῥητέον, νομικὴν ποιεῖ τὴν στάσιν, περὶ ὧν ὕστερον ἐροῦμεν· ἂν [15] δὲ περὶ πρᾶγμα, λογικήν· διαιρήσεις δὲ καὶ τοῦτο δίχα· ἢ γὰρ περὶ μέλλοντος πράγματος ἔχει τὴν ζήτησιν, ἢ περί τινος ἤδη γεγονότος· κἂν μὲν περὶ μέλλοντος, ἔσται πραγματική. Πραγματικὴ γάρ ἐστιν ἀμ-
22 φισβήτησις περὶ πράγματος μέλλοντος, [16] εἰ δεῖ γενέσθαι τόδε τι, ἢ μὴ γενέσθαι, δοῦναι [17] ἢ μὴ δοῦναι, οἷον, βουλεύονται Ἀθηναῖοι, εἰ χρὴ [18] θάπτειν τοὺς ἐν Μαραθῶνι πεσόντας τῶν βαρβάρων· ἂν μέν τοι πεπραγμένον ᾖ, περὶ οὗ ἡ κρίσις ἤδη, κοινὸν μὲν ὄνομα τούτῳ δικαιολογία, ὥσπερ ἐκείνῳ ποιότης· πάλιν δ' αὖ καὶ τοῦτο διαιρήσεις δίχα· ἢ γὰρ ἐρεῖ τι πεποιηκέναι ὡς ἀδίκημα ὁ φεύγων, καὶ κατά τι κεκωλυμένον, ἢ οὔ· [19] κἂν μὲν μηδαμῶς φάσκῃ κεκωλύσθαι τὸ πεπραγμένον, ἀντίληψιν ποιεῖ. Ἔστι γὰρ ἀντίληψις ἀνευθύνου [20] πράγματος εἶναι δοκοῦντος ὡς ὑπευθύνου κατηγορία. οἷον, γεωργὸς φιλοσοφοῦντα τὸν υἱὸν ἀποκηρύσσει· [21] ἐὰν δὲ ὁμολογῇ τι πεποιηκέναι, ὡς ἀδίκημα, ὄνομα μὲν πάλιν γενικὸν τούτῳ ἀντίθεσις· διαιρήσομεν δὲ οὕτω καὶ τοῦτο· ἤτοι [22] γὰρ εἰς ἑαυτὸν ἀναδέχεται πᾶν ὁ φεύγων τὸ γεγονὸς, ἢ εἴς τι τῶν ἔξωθεν αὐτὸ μεθίστησι· κἂν μὲν εἰς ἑαυτὸν ἀναδέχηται, [23] ποιεῖ ἀντίστασιν. Γίνεται γὰρ ἀντίστασις, ὅταν ὁμολογῶν ὁ φεύγων πεποιηκέναι τι ὡς ἀδίκημα ἀνθιστᾷ [24] ἕτερόν τι εὐεργέτημα μεῖζον [25] δι'

---

15 Sch. Ald. ἐὰν et διαιρέσεις. — sq. καὶ Dresd. om. 16 Mon. μέλλοντος πράγμ. In Dresd. πράγματος supra lin. insertum est. 17 Vind. Dresd. ἢ δοῦναι τόδε τι, ἢ.. Port. ad marg. γρ. ἢ δοῦναί τι. 18 Vind. Sch. Ald. [T. IV. p. 226.] δεῖ. 19 Dresd. οὐχί. 20 Port. πράγμ. ἀνευθύνου. 21 Mon. Dresd. Sch. Ald. [T. IV. p. 233] ἀποκηρύττει. tum Vind. ἂν δὲ ὁμ. 22 Dresd. ἤ. 23 Ald. Mon. Vind. ἀναδέχεται. Par. Dresd. ἀναδέχηται. 24 Dresd. Vind. ἀνθίστησιν. Mon. supra lin. στησιν. 25 μεῖζον Par. om., ad marg. εὐεργ. μεῖζον

αὐτοῦ τοῦ ἀδικήματος πεπραγμένον· ἂν δέ εἴς τι τῶν ἔξωθεν, ἤ τοι εἰς αὐτὸν τὸν παθόντα, ἢ [26] εἰς ἄλλο τι· κἂν μὲν εἰς τὸν παθόντα, ποιεῖ ἀντέγκλημα. Γίνεται γὰρ ἀντέγκλημα, ὅταν ὁμολογῶν [27] ὁ φεύγων πεποιηκέναι τι ὡς ἀδίκημα ἀντεγκαλῇ [28] τῷ πεπονθότι, ὡς ἀξίῳ παθεῖν ἃ πέπονθεν· ἂν [29] δὲ εἰς ἕτερόν τι μεθιστᾷ, πάλιν διαιρετέον· ἢ γὰρ εἰς ὑπεύθυνόν τι δυνάμενον γενέσθαι πρᾶγμα ἢ πρόσωπον μεθίστησι τὸ ἔγκλημα, ὁμολογῶν τι [30] πεποιηκέναι ὡς ἀδίκημα, καὶ ποιεῖ μετάστασιν, ἢ εἰς [31] οὐ δυνάμενον ὑπεύθυνον γενέσθαι, ἀνεύθυνον δὲ πάντη, καὶ πεποίηκε συγγνώμην· μεταστάσεως μὲν [32] παράδειγμα ὁ πρεσβευτὴς, ὃν εἴσω τριάκοντα ἡμερῶν δέον ἐξιέναι λαβόντα παρὰ τοῦ [33] ταμίου χιλίας δραχμὰς εἰς ἐφόδιον, μὴ λαβὼν, καὶ διὰ τοῦτο μὴ ἐξελθὼν, εἶτα κρινόμενος· συγγνώμης δὲ παράδειγμα οἱ δέκα στρατηγοὶ, οἱ διὰ τὸν χειμῶνα μὴ ἀνελόμενοι τὰ σώματα, καὶ κρινόμενοι· εἰ δέ τις ἡμῖν περὶ τούτων ἀμφισβητεῖ, συγγνώμης λέγω καὶ μεταστάσεως, [34] ἀκριβέστερον ἐν τῷ περὶ ἀντιθέσεως λελέξεται· τὰς μὲν οἷν λογικὰς τῶν στάσεων ἐκ τούτων ἐπιγνωσόμεθα· τὰς δ' αὖ νομικὰς οὕτω· πρῶτον μὲν περὶ ῥητὰ ἀνάγκη τὴν ζήτησιν ἐνταῦθα [35] γίνεσθαι· ῥητὰ δὲ λέγω, οἷον νό-

---

26 ἢ εἰς ἄλλο τι· κἂν μὲν εἰς τὸν παθόντα Par. Dresd. om. 27 Dresd. ὁ φεύγων ὁμολογῶν. 28 Ald. Mon. ἀντεγκαλῇ. Par. Vind. Dresd. Schol. Ald. [T. IV. p. 241.] Port. ἀντεγκαλῇ. 29 Sch. Ald. [T. V. p. 245.] ἐάν. mox Mon. μεθίστησι. Idem fuit in Dresd., sed erasum, et manu rec. στᾷ adscriptum. Vind. μεθιστῇ. 30 Par. τό. 31 Ald. Dresd. Mon. Sch. Ald. ὡς. Par. Vind. Port. εἰς. Port. ad marg. γρ. ὡς. 32 Vind. Mon. δέ. Dresd. καὶ μεταστ. 33 Dresd. παρὰ ταμ ου. ι eraso. supra lin. scriptum videtur ει. — v. sq. Sch. Ald. μὴ λαβὼν δέ. 34 In Mon. supra lin. ἕνεκα. 35 Dresd. et Scholiorum Ald. Cod. Par. ἐνταυθοῖ. tum Port. γίγνεσθαι.

μους, διαθήκας, ψηφίσματα, ἐπιστολάς, κηρύγματα ὡρισμένα, πάντα ἁπλῶς τὰ ἐν ῥητοῖς· ταύτην δὲ τὴν ζήτησιν ἤτοι περὶ ἓν, ἢ καὶ πλείονα γίνεσθαι συμβαίνει [36] ῥητά· λέγω δὲ πλείονα, κἂν ἕν τι ῥητὸν εἰς δύο μέρη διαιρῆται, [37] καὶ μέρει μὲν ὁ ἕτερος, μέρει δὲ ὁ ἕτερος τῶν δικαζομένων χρώμενοι φαίνωνται· [38] ἂν μὲν οὖν ᾖ περὶ ἓν ῥητὸν ἡ ζήτησις, ἤτοι περὶ τὰς τούτου διανοίας, καὶ [39] μόνας, ἢ καθ' αὐτὸ θάτερον τῶν μερῶν, ῥητὸν καὶ διάνοια γίνεται· γίνεται γὰρ ῥητὸν καὶ διάνοια, ὅταν τοῦ ἑτέρου [40] τὸ ῥητὸν προβαλλομένου, καὶ ὡς ἐπὶ τὸ πλεῖστόν γε τοῦ διώκοντος, θάτερον μέρος χρῆται ταῖς διανοίαις. οἷον, ξένος ἐπὶ [41] τὸ τεῖχος εἰ ἀνέλθοι, τεθνάτω· πολιορκίας οὔσης, ἀνελθών τις ἠρίστευσε, καὶ ὑπάγεται τῷ νόμῳ· ἢ τοῦτο μὲν οὐχὶ, τῷ ῥητῷ δὲ παρατίθησί τι [42] πρᾶγμα, εἰς ταὐτὸν ἄγων τὸ ἄγραφον τῷ ἐγγράφῳ, καὶ ποιεῖ συλλογισμόν· ἔστι γὰρ συλλογισμὸς ἀγράφου πράγματος πρὸς ἔγγραφον παράθεσις, εἰς ταὐτὸν συνάγοντός [43] τινος τὸ ἄγραφον τῷ ἐγγράφῳ. οἷον, τὸν ἐξ ἑταίρας μὴ λέγειν, [44] ἐκ πόρνου τινὰ γεγο-

---

36 Mon. Sch. Ald. [T. IV. p. 255.] *σύμβ. γίνεσθαι.* 37 Ald. *διερεῖται.* Port. Par. Mon. Dresd. *διαιρῆται.* Vind. *διήρηται.* Sch. Ald. *διαιρεῖται.* 38 Mon. Dresd. *φαίνονται* [sic] *χρώμενοι.* 39 *καὶ* Vind. Sch. Ald. [T. IV. p. 256.] om. 40 Dresd. *τὸ ῥητὸν τοῦ ἑτ.* 41 Vind. Dresd. *εἰ ἑ. τ. τ. ἀνέλθοι.* 42 *τε* Dresd. om. — Mox Mon. *ἄγον.* Dresd. *συνάγων.* Vind. *ἄγων τὸ ἔγγραφον τῷ ἀγράφῳ.* Sch. Ald. [T. IV. p. 259.] *συνάγον.* 43 Dresd. *συνάγ. εἰς ταὐτόν τινος.* 44 Locus hic adfertur ab Anonymo in Boisson. Anecd. I. p. 414. *ὅτι τὸ τοῦ πόρνου ὄνομα ἐπὶ τοῦ πάσχοντος κυριολεκτεῖται παρὰ τοῖς σοφοῖς, οὐκ ἐπὶ τοῦ δρῶντος. — — Συλλογισμὸς γάρ ἐστι καὶ παρὰ τοῖς ῥήτορσι στάσις οὕτω καλουμένη, καὶ ἓν τῶν παραδειγμάτων τῆς τοιαύτης στάσεως τυγχάνει καὶ τοῦτο· „νόμος τὸν ἐξ ἑταίρας μὴ λέγειν ἐκ πόρνου τις γεγονὼς κωλύεται λέγειν.“ Ἰδοὺ κἀνταῦθα σα-*

νότα λέγειν κωλύει τις· εἰ μέντοι [45] περὶ δύο ῥητὰ, ἢ καὶ πλείονα, ἢ καὶ ἓν εἰς δύο διαιρούμενον ἡ ζήτησις εἴη, ἀντινομία γίνεται· ἔστι γὰρ ἀντινομία δύο ἢ καὶ πλειόνων ῥητῶν ἢ καὶ ἑνὸς διαιρουμένου μὴ φύσει ἐναντίων, κατὰ περίστασιν δὲ, μάχη· καὶ ὅλως διπλῆ τίς ἐστι ζήτησις ῥητοῦ καὶ διανοίας. οἷον, ὁ [45] ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπότης ἔστω τῆς νεώς. ἀποκήρυκτος ἐπέμεινε χειμαζομένῃ νηΐ, καὶ εἴργεται αὐτῆς ὡς [47] πατρῴας· τοῦ δὲ κατὰ διαίρεσιν ῥητοῦ ποιοῦντος ἀντινομίαν παράδειγμα τόδε· ἡ βιασθεῖσα ἢ γάμον ἢ θάνατον αἱρείσθω τοῦ βιασαμένου· δύο τις κατὰ ταὐτὸν ἐβιάσατο κόρας, [48] καὶ ἡ μὲν θάνατον αἰτοῦ, ἡ δὲ γάμον αἱρεῖται· ἡ μέν τοι ἀμφιβολία καὶ ἀπ᾽ αὐτοῦ τοῦ ὀνόματός ἐστι φανερά, ἔστι γὰρ ἀμφιβολία ἀμφισβήτησις περὶ ῥητὸν ἐκ προσῳδίας ἢ διαστάσεως συλλαβῶν γινομένη· [49] ἐκ μὲν προσῳδίας, οἷον, ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔστω. ποφώραταί τις φοροῦσα, καὶ ἡ μὲν τὰ χρυσία φησὶν [50] εἶναι δημόσια, προπαροξυτόνως ἀναγινώσκουσα τὸν νόμον· [51] οἱ δὲ, οὐ τὰ χρυσία, ἀλλ᾽ αὐτὴν δημοσίαν εἶναι, παροξυτόνως ἀναγινώσκοντες· [52] περὶ δὲ διάστασιν συλλαβῶν, οἷον, δύο ἦσάν τῳ παῖδες, Λέων καὶ Πανταλέων. τελευτῶν [53] διέθετο οὕτως, ἐχέτω τὰ ἐμὰ πάντα Λέων,

---

φῶς ὁ Ἑρμογένης τὴν τοῦ πόρνου λέξιν ἐπὶ τοῦ πασχητιῶντος ἐξελάβετο. 45 Vind. μέν τι. 46 ὁ Sch. Ald. [T. IV. p. 263. om. — v. 8. Par. ἔμεινε. tum Dresd. χειμ. νηΐ πατρῴᾳ. Vind. χειμ. πατρῴᾳ νηΐ. 47 pro ὡς Port. habet οὔσης. 48 Vind. παῖδας. tum Vind. Dresd. Sch. Ald. p. 263. καὶ ἡ μὲν γάμον αὐτοῦ, ἡ δὲ θάνατον. 49 Sch. Ald. [T. IV. p. 271.] γενομένη. tum. Mon. οἷον εἰ ἑτ. Vind. ἑτ. εἰ χρυσ. [Ald. χρησία]. Sq. τις Vind. om. 50 Vind. φησὶ δεῖν εἶναι. mox Sch. Ald. ἀναγιγνώσκουσα. 51 Mon. τόνον. 52 Par. ad marg. γρ. ἀνταγινώσκοντες. tum Dresd. ἐκ δὲ διαστάσεως συλλ. 53 τελευτῶν Par. om. Sch. Ald. καὶ τε-

καὶ [54] ἑκάτερος ἀντιποιεῖται πάντων. ὁ μὲν, ὑφ' ἓν ἀναγινώσκων Πανταλέων, ὁ δὲ διϊστὰς πάντα, εἶτα Λέων. ταύτας [55] μὲν οὖν οὕτως ἐπιγνωσόμεθα· τὴν δὲ [56] μετάληψιν οὐκέθ' ὁμοίως, ἀλλ' ὅταν ἡ ζήτησις ᾖ περὶ τοῦ εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν· ἐν γὰρ τῇ [57] μεταλήψει, οὔτε εἰ ἔστι [58] τι προηγουμένως ζητήσεις, καθάπερ ἐν στοχασμῷ, οὔτε τί ἐστι, καθάπερ ἐν ὅρῳ, οὔτε ὁποῖόν τί ἐστιν, ὡς [59] ἐν τοῖς λοιποῖς· ἀλλ' αὐτὸ τοῦτο, εἰ δεῖ ζητῆσαί [60] τι τούτων· παραγραφὴ [61] γάρ ἐστι· δύο δὲ αὐτῆς εἴδη. ἡ μὲν γάρ ἐστιν ἔγγραφος, ἀπὸ ῥητοῦ τινος λαμβάνουσα τὴν ζήτησιν, ἡ δὲ ἄγραφος· καὶ ἡ μὲν ἔγγραφός ἐστιν ἀπαγωγὴ τῆς εὐθυδικίας κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ τινος, περὶ οὗ ἡ ζήτησις· οἷον, δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι· φόνου κρινόμενός τις ἀπέφυγεν· ὕστερον [62] αὐτῷ χρωμένῳ ἀνεῖλεν ὁ θεὸς, ἀνδροφόνοις [63] οὐ χρῶ, καὶ πάλιν φεύγει· κατὰ ῥητὸν καὶ διάνοιαν ἡ πρώτη ἐξέτασις· εἶθ' [64] ἕπεται τὸ στοχαστικὸν, εἰ ἐφόνευσέ που· ἡ δὲ ἄγραφος ἔστι [65] μὲν ἀπαγωγὴ τῆς εὐθυδικίας καὶ αὐτὴ κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ· [66] τὴν ζήτησιν δὲ οὐ

---

λετῶν [sic Ald.] ὁ πατὴρ διέθετο. — Vict. marg. laudat Quint. de ambiguo, VII. 9. Sic apud Graecos contendit λέων et πανταλέων, cum scriptura dubia est, bona omnia λέοντι, an bona πανταλέοντι relicta sint. 54 καὶ Vind. om. 55 Par. 2916. ad marg. γρ. ταύτην. 56 Dresd. δέ γε. 57 τῇ Par. Vind. om. 58 Ald. Par. Mon. Sch. Ald. [T. IV. p. 275.] ἔσται. Port. Vind. Dresd. ἔστι. In Dresd. εἰ supra lin. scriptum. 59 ὡς Ald. om., Port. posuit καθάπερ. Par. Vind. Dresd. ὥς. tum Dresd. ταῖς λοιπαῖς. 60 Port. Dresd. εἰ δεῖ τὸν ἀγῶνα εἰσελθεῖν. 61 Dresd. ad marg. γραφὴ ἡ κατηγορία, παραγραφὴ δὲ ἡ τῆς δίκης παραίτησις. 62 Mon. Vind. ὕστ. δέ. 63 Vind. ἀνδροφόνης. 64 Dresd. εἶτα. — εἰ ἐφόνευσέ τινά που. 65 Dresd. ἔστιν ἀπαγ. μὲν καὶ αὐτὴ τῆς ἐ. Mon. Scholiorum Ald. Cod. Par. ἔστιν ἀπ. μὲν εὐθ. καὶ αὕτη. 66 Dresd. add. τινος.

οὐ περὶ ῥητὸν [67] ἔχει, ἀλλὰ περί τι τῶν περὶ τὸ πρᾶγμα, τόπον, ἢ χρόνον, ἢ πρόσωπον, ἢ αἰτίαν, ἢ τρόπον· [68] ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶμεν, ἔν δέ τι τούτων αἰτιώμεθα μεταλαμβάνοντες. [69] οἷον, ἐξῆν ἀποκτιννύναι καὶ τὸν μοιχὸν καὶ τὴν μεμοιχευμένην· [70] τὸν μοιχὸν ἀποκτείνας τις μόνον, χρόνῳ ὕστερον ἐπὶ τῷ τάφῳ τοῦ μοιχοῦ δακρύουσαν εὑρὼν, ἀπέκτεινε τὴν γυναῖκα, καὶ φόνου [71] φεύγει· τὸν γὰρ τόπον ἐνταῦθα καὶ τὸν χρόνον αἰτιώμεθα δήπουθεν· τὰς μὲν οὖν λεγομένας στάσεις οὕτως ἐπιγνωσόμεθα· περὶ δὲ τῆς [72] καθ' ἑκάστην διαιρέσεως ἤδη λεκτέον· εἰδέναι μέν τοι χρὴ, ὡς τὰ περὶ στοχασμοῦ λεχθησόμενα, περὶ οὗ δὴ πρῶτον ἀναγκαίως λελέξεται, σχεδὸν εἰς ἅπαντα συντελεῖ τὰ μετὰ ταῦτα· διὸ καὶ εἰκότως [73] μακρότερα ἔσται.

---

## Cap. III.

### ΠΕΡΙ ΣΤΟΧΑΣΜΟΥ. [1]

Ὁ στοχασμὸς τοίνυν διαιρεῖται, ὅτε καὶ πρόσωπα ἔχει [2] καὶ πράγματα κρινόμενα, παραγραφικῷ, ἔστιν ὅτε,

---

tum Dresd. Mon. τὴν δὲ ζήτησιν. 67 Par. Dresd. τὸ ῥητόν. Sch. Ald. τὴν δὲ ζήτησιν οὐ περὶ τὸ ῥητόν. 68 Sequitur in Par. Mon. τόπον ἢ χρόνον. 69 Ald. Mon. δήπου λαμβάνοντες. Port. Par. Vind. Dresd. μεταλαμβάκοντες. Sch. Ald. δήπου μεταλαμβάνοντες. 70 Ald. Port. Vind. Dresd. Mon. Sch. Ald. μοιχευομένην. Par. μεμοιχευμ. 71 Port. Vind. φεύγει φόνου. 72 Mon. περὶ δὲ ἑκάστης διαιρέσεως. Par. ad marg. γρ. περὶ δὲ ἑκάστης δ. Par. 2916. γρ. περὶ ἑκάστης δ. 73 Vind. καὶ εἰκότως καὶ μακρ.

1 In Mon. manu seriore adscriptum: περὶ διαιρέσεως στοχασμοῦ. 2 Ald. Mon. Par. ἔχοι. Port. Dresd. Vind. ἔχει.

ἐλέγχων ἀπαιτήσει, βουλήσει, δυνάμει, τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀντιλήψει, μεταλήψει, μεταθέσει αἰτίας, πιθανῇ ἀπολογίᾳ, ποιότητι κοινῇ· τὸ παραγραφικὸν γίνεται κατὰ τρόπους τέσσαρας, ἤτοι ἀπὸ τοῦ λείποντος, οἷον, ἀσώτου πατὴρ ἀφανὴς γέγονε, καὶ φόνου φεύγει· [3] ἀξιώσει γὰρ δεικνύναι πρῶτον, εἰ ἀνήρηται· ἢ ἀπὸ τοῦ ὑπερβάλλοντος, οἷον, δέκα νέοι συνώμοσαν [4] μὴ γῆμαι, καὶ φεύγουσι κακοῦ βίου· ἕκαστος γὰρ αὐτῶν ἀξιώσει κρίνεσθαι ἰδίᾳ· ἢ ὅτι [5] ἀφ' ὧν ἕτεροι πεποιήκασιν οὐ δεῖ κρίνεσθαι· ὡς ὁ τρισαριστεὺς, [6] οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ [7] προδοσίας φεύγων· ἢ κατὰ χρόνον, οἷον δειλοῦ παῖς ἠρίστευσε, καὶ μοιχείας κρίνει τὴν γυναῖκα· τοσούτοις γάρ φησιν ὕστερον χρόνοις μὴ δεῖν κρίνεσθαι· τοῦτο δὲ ἀπὸ μὲν ῥητοῦ τινος εἰ γίνοιτο, [8] ἰσχυρόν ἐστι, καὶ τελεία γίνεται παραγραφή· ἄλλως δὲ ἀσθενὲς μέν ἐστι, συλλαμβάνει δ' οὖν τι [9] σμικρὸν τῷ χρωμένῳ· τοῦ δὲ [10] ἀπὸ ῥητοῦ παράδειγμα, ὃ δή φαμεν τελείαν εἶναι μετάληψιν καὶ παραγραφήν· κριθείς [11] τις φόνου ἀπέφυγεν· ὕστερον χρωμένῳ αὐτῷ ὁ θεὸς ἀνεῖλεν, ἀνδροφόνοις οὐ χρῶ, καὶ πάλιν φεύγει· δὶς γὰρ περὶ τῶν [12] αὐτῶν κωλύουσιν οἱ νόμοι κρίνεσθαι. παραγράφεται οὖν, καὶ γίνεται τὸ πρῶτον ζήτημα νομικὸν ἐκ παραγραφῆς· ἡ τῶν ἐλέγχων ἀπαίτησις διπλῆ [13] ἐστιν· ἢ γὰρ εἰσὶν οἱ

---

3 Vind. φεύγει φόνου. 4 Ald. συνώμωσαν. 5 ὅτι Dresd. om. 6 Par. ἀριστεύς. 7 καὶ Vind. om. 8 Par. Mon. Sch. Ald. [T. IV. p. 315.] γίγνοιτο. — tum Sch. Ald. ἰσχυρότερον. 9 τι Ald. Mon. om., est in Par. Dresd. Vind. Port. [Port. μικρὸν] — Sch. Ald. συλλαμβάνει δὲ οὖν σμικρὸν τῷ χρωμ. 10 Par. τοῦ δ' ἀπὸ τοῦ ῥητοῦ. 11 Mon. Sch. Ald. οἷον κριθεὶς τ. φ. ἀ. [Ald. ἀπίφηγεν. Sch. Ald. ἀπέφηκεν· ὕστερον δὲ χρωμ.] 12 τῶν Sch. Ald. om. — tum Port. Sch. Ald. οἱ νόμοι κωλύσουσι, mox ante πρῶτον Sch. Ald. om. τό. 13 Scholiorum Ald. Cod. Par. διττή. — tum Vind. εἰσι μάρτυρες.

μάρτυρες ἢ οὔ. οἷον, μνωμένῳ τινὶ κόρην ἡ μήτηρ ἔφη τῆς κόρης θᾶττον τεθνήξεσθαι αὐτὴν, ἢ ἐκείνῳ δοθήσεσθαι· ἀπέθανεν ἐπὶ σημείοις φαρμάκων ἡ παῖς. εἶτα βασανίζων ὁ πατὴρ τὰς θεραπαινίδας περὶ μὲν [14] τῆς φαρμακείας ἀκήκοε πλέον οὐδέν· μοιχείαν δὲ τῆς γυναικὸς πρὸς τὸν μνηστῆρα· καὶ φαρμακείας κρίνει τὴν γυναῖκα. ἐνταῦθα γάρ εἰσιν οἱ μάρτυρες, αἱ θεραπαινίδες δηλονότι· οὔκουν ἀπαιτήσει [15] τοὺς μάρτυρας, ἀλλὰ διαβαλεῖ, ὅτι μὴ δεῖ πιστεύειν· φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις, [16] καὶ ὅτι οὐδὲ τοὺς ἐλευθέρους πάντας ἀξιοπίστους ὑπολαμβάνοντες [17] σχολῇ γ' ἂν τοῖς δούλοις πιστεύσαιμεν· καὶ πλείονα [18] δ' ἂν εὕροις· δεῖ δὲ καὶ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς [19] μάρτυρας, πότεροι μᾶλλον [20] ἀξιοπιστότεροι, καὶ ἀντεξετάζειν, ὡς ἐν τῷ κατὰ Κόνωνος ὁ Δημοσθένης· τουτὶ γάρ σοι καθόλου περὶ μαρτύρων ἔστω τεχνικὸν [21] θεώρημα· ἢ διαβάλλειν αὐτοὺς, ὅτι πρὸς χάριν, ἢ δι' ἔχθραν, ἢ διά τινα οἰκειότητα αὐτοῖς [22] μαρτυροῦσιν, ἢ διὰ κέρδος τι οἰκεῖον ἢ διὰ τὸ μὴ εἶναι δι' ἡλικίαν ἀξιοπίστους· εἰ δὲ μὴ εἶεν μάρτυρες, ὁ μὲν φεύγων χρήσεται, ἀπαιτῶν [23] αὐτοὺς, τοῖσδε· προσώπῳ, οἷον, τίς ὁ δούς· πράγματι, [24] οἷον, τί δούς· τόπῳ, οἷον,

---

14 μὲν in Dresd. manu secunda supra lin. scriptum. 15 Par. ἀπαιτήσεις et διαβαλεῖς. Sch. Ald. διαβαλεῖν. 16 Locum hunc recepit Arsen. in Viol. p. 464. cfr. Lindenbr. ad Terent. Andr. I. 1. 135. 17 Vind. ὑπολαμβάνοντας. 18 Ald. Mon. Sch. Ald. πλεῖον. Port. Par. Dresd. Vind. Scholiorum Ald. Cod. Par. πλείονα. tum Dresd. εὗρῃς. 19 τοὺς Vind. om. 20 μᾶλλον Vind. Dresd. Schol. Ald. om. 21 Dresd. Sch. Ald. τεχνικόν τι θεωρ. Post θεώρημα Mon. inserit: τουτέστιν. 22 Sch. Ald. αὐτοῦ. mox pro οἰκεῖον Vind. ἴδιον. 23 Ald. ἀπαιτᾶν, Port. Codd. ἀπαιτῶν. 24 πρᾶγμά τι, οἷον τί δούς; Mon. ponit post: τρόπῳ, οἷον πῶς.

ποῦ· τρόπῳ, οἷον, πῶς· χρόνῳ, οἷον, πότε· αἰτίᾳ, οἷον, διὰ τί· καὶ τούτοις χρήσεται ἢ [25] πᾶσιν, ἢ τοῖς ἐμπίπτουσιν· ὁ δὲ κατηγορῶν ἀποφανεῖ τὸν [26] διὰ τῶν πραγμάτων ἔλεγχον ἀξιοπιστότερον τοῦ διὰ τῶν μαρτύρων· οὔτε γὰρ πεπεισμένα τὰ πράγματα, οὔτε χαριζόμενά τῳ [27] λέξει, ὥσπερ οἱ μάρτυρες πολλάκις, ἀλλ᾽ οἷά ἐστι φύσει, τοιαῦτα [28] καὶ ἐξεταζόμενα φαίνεται· ἡ βούλησις καὶ ἡ δύναμις ἀπὸ τῶν παρακολουθούντων τῷ προσώπῳ γίνεται, δηλονότι τῶν ἐγκωμιαστικῶν· καὶ ὅτε μὲν εἴη τὸ [29] πρόσωπον ὡρισμένον, πάντα σχεδὸν ἐμπεσεῖται· εἰ δέ τι τῶν ἄλλων, [30] κατὰ τὰ εὑρισκόμενα χρησόμεθα· οἷον, νέος πλούσιος· ἔχει γὰρ ἐνταῦθα ἡλικίαν καὶ τύχην ἐξετάσαι καὶ τὰ παρακολουθοῦντα τούτοις· τὰ δὲ ἐγκωμιαστικὰ δηλονότι [31] ἐστὶ τάδε· γένος, ἀγωγὴ, παίδευσις, ἡλικία, φύσις ψυχῆς καὶ σώματος, ἐπιτηδεύματα, πράξεις, ὃ καὶ ἰσχυρότατον [32] κεφάλαιον· τύχη, οἷον πλούσιος [33] ἢ πένης, καὶ τὰ τοιαῦτα· ταῦτα δὲ ἐπ᾽ ἀμφοῖν μὲν ἰσχύει ἀφ᾽ [34] ἑκατέρου μέρους ἐξεταζόμενα, καὶ ἐπὶ τῆς βουλήσεως καὶ ἐπὶ [35] τῆς δυνάμεως, μᾶλλον [36] δέ τινα ἐν τῷ ἑτέρῳ· [37] ὥσπερ γὰρ [38] τὰ τῆς τύχης οἰκειότερά [39] ἐστι τῆς δυνάμεως, οὕτω καὶ τὰ τῆς ἡλικίας τῆς

---

25 ἢ Ald. Port. Par. Vind. Sch. Ald. om., recepi ex Dresd. Vind. τοῖς πᾶσιν. 26 τὸν Ald. Port. Mon. om., recepi ex Par. Dresd. Vind. Sch. Ald. 27 τῳ Vind. om. 28 Vind. ταῦτα. 29 Vind. Sch. Ald. [T. IV. p. 337.] τὸ om. 30 Dresd. ἄλλων εἴη, ὧν προειρήκαμεν. 31 Vind. Sch. Ald. δηλονότι ἐστὶ τάδε· γένος. Ald. Port. Par. δηλονότι. ἔστι δέ. In sqq. differunt. Ald. τὰ δὲ γένος Port. ταῦτα, γένος. Par. τάδε, γέν. 32 Ald. Port. ἰσχυρώτατον. Dresd. ἰσχυρότ. de aliis non notavi. 33 Dresd. Sch. Ald. πένης ἢ πλούσιος. 34 Vind. ὑφ᾽. 35 ἐπὶ Dresd. om. 36 Dresd. μάλιστα. 37 In Vind. supra lin. ἢ τῷ διώκοντι. 38 γὰρ Sch. Ald. om. 39 Vind. εἰκοιότερα.

βουλήσεως· ὁρῶντα οὖν ταῦτα δεῖ πλειονάζειν, ἔνθα ἂν μᾶλλον οἰκειούμενόν [40] τι αὐτῶν φαίνηται· [41] βούλησιν δὲ καὶ δύναμιν ἐξετάζειν οὐχὶ τῶν κρινομένων μόνων [42] προσώπων δεῖ, ἀλλ᾽ ὅσαπερ ἂν ἔχῃ [43] τὸ πρόβλημα· αὐτίκα τὸν τοὺς ἀποκηρύκτους τρέφοντα νέον πλούσιον, καὶ φεύγοντα τυραννίδος ἐπιθέσεως, ὁ κρίνων μάλιστα ἰσχύει τῆς ποιότητος [44] τῶν ἀποκηρύκτων ἐξεταζομένης· διὸ δεῖ σκοπεῖν ἐν ἅπασι τοῖς στοχασμοῖς περὶ πάντων τῶν προσώπων, ἃ ἐπιδέχεται κρίσιν· τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἔστι μὲν ὡς ἐπὶ τὸ πλεῖστον τοῦ κατηγόρου· γίνεται δὲ καὶ αὐξάνεται [45] ἀφ᾽ ὧνπερ καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις· ἔστι δὲ τάδε, τίς, τί, ποῦ, πῶς, πότε, διατί· κἂν [46] μὲν ᾖ τοῦ κατηγόρου μόνου [47] ταῦτα, τὰ ἑξῆς ἔσται κεφάλαια πάντα πλὴν τῆς μεταλήψεως τοῦ φεύγοντος, εἰ ἐγχωροίη πᾶσι χρῆσθαι· [48] ἐὰν δὲ κοινὰ ᾖ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, εὑρίσκεται γάρ ποτε καὶ οὕτως ἔχων στοχασμὸς, ἔσται καὶ τὰ λοιπὰ κεφάλαια κοινὰ ἀμφοῖν. παράδειγμα τοῦ κοινὰ ἔχοντος τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους· ἀπέκειτο κατά τινος γραφὴ τυραννίδος ἐπιθέσεως· μετεώρου τῆς δίκης οὔσης, ὁ ἀδελφὸς [49] αὐτοῦ ἀριστεύσας ᾔτησεν εἰς τὸ γέρας τὴν ἀναίρεσιν [50] τῆς γραφῆς, καὶ ἔλαβεν· ἐτυράννησεν ἐκεῖνος, καὶ καθελὼν αὐτὸν οὗτος συνειδότος φεύγει· τῇ μὲν γὰρ ἀναιρέσει τῆς γρα-

40 Ald. εἰκειούμενον. tum Sch. Ald. αὐτῷ. 41 Par. φαίνεται, omisso praec. ἄν. Vind. φαίνοιτο. 42 Par. Dresd. μόνον. 43 Ald. Sch. Ald. Port. ἔχοι. Par. Vind. Dresd. Mon. ἔχῃ. 44 Par. τῆς τῶν ἀποκηρ. ποιότητος. 45 Vind. Sch. Ald. [T. IV. p. 354.] αὔξεται. 46 Mon. καὶ ἐάν. 47 μόνου in Dresd. supra lin. scriptum est. Sch. Ald. μόνον. 48 Dresd. Sch. Ald. χρήσασθαι. — v. 16. Sch. Ald. ὁ στοχασμός. 49 Vind. ἀριστεύς, supra lin. ἀδελφός. Praecc. μετεώρου τῆς δ. οὔσης. Par. om. 50 Par. τὴν ἀναίρεσιν. Ald. Port. Vind. Dresd. Mon. τὴν om.

φῆς καὶ τοῖς περὶ ταῦτα [51] ὁ κατήγορος χρήσεται, τῷ [52] δὲ ἀπεκτονέναι καὶ τοῖς περὶ τοῦτο ὁ φεύγων, καὶ δεῖ ἀμφοτέρους [53] λῦσαι τὰ ἀλλήλων· μόνου δὲ τοῦ φεύγοντος γενέσθαι τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀδύνατον. ἡ ἀντίληψις οὐκ ἀεὶ ἐμπίπτει· ἀλλ' ἐὰν μὲν ἀφ' ὧν αὐτὸς πεποίηκε, κρίνηταί τις, πάντως ἐμπεσεῖται καὶ ἡ ἀντίληψις. ἐὰν δὲ ἀφ' ὧν ἄλλοι, οὐκέτι· ἔστι δὲ τοιοῦτον οἷον, ὅτι [54] ἔξεστι καὶ οὐ κεκώλυται· παράδειγμα αὐτοῦ, νέος πλούσιος πάντας τοὺς ἀποκηρύκτους [55] τρέφει, καὶ τυραννίδος ἐπιθέσεως φεύγει· ἐρεῖ γὰρ, ὅτι ἔξεστι τρέφειν οὓς βούλεταί τις· ἡ μετάληψις ἀεὶ ἐναντία ἐστὶ τῇ ἀντιλήψει, οὐκ ἐν στοχασμῷ μόνον, ἀλλ' ὅλως ἔνθα ἂν εὑρίσκηται· καὶ ἐὰν τὸ ἕτερον μέρος τῶν ἀντιδίκων ὁποτερωοῦν [56] τούτων χρήσηται, τῇ ἀντιλήψει λέγω ἢ τῇ μεταλήψει, τῷ ἑτέρῳ πάντως τὸ ἕτερον χρήσεται· γίνεται δὲ ἡ μετάληψις κατά τε ἔνστασιν καὶ ἀντιπαράστασιν· καὶ ἡ μὲν ἔνστασις βιαιόν τί ἐστι· φήσει γὰρ μηδὲ [57] ἐξεῖναι· ἡ δὲ ἀντιπαράστασις κατασκευάζει, ὅτι εἰ καὶ ἔξεστιν, ἀλλ' οὐχ [58] οὕτως, οὐδὲ ἐπὶ τούτοις. οἷον, μειράκιον καλλωπιζόμενον φεύγει πορνείας. βιάσεται [59] ὁ διώκων μὴ ἐξεῖναι καλλωπίζεσθαι ἀνδράσιν· εἶτα [60] ὅτι εἰ καὶ ἔξεστιν, οὐχ [61] οὕτως, οὐδὲ ἐπὶ τοιούτοις· [62]

---

51 Port. ταύτην. ad marg. γρ. ταῦτα. Dresd. (cuius collatio h. l. finitur) Vind. αὐτά. 52 Vind. Schol. Ald. τό. 53 Vind. inserit: δήπου. 54 ὅτι Vind. om. 55 Vind. τοὺς ἀποκηρ. πάντας τρ. καὶ κρίνεται τυρ. ἐπιθ. 56 Ald, Port. ὁπωτερωοῦν. Par. Mon. ὁποτερ. Sch. Ald. [T. IV. p. 377.] ὁποτέρῳ οὖν. tum Ald. Port, Vind. Mon. Par. χρήσεται. Sch. Ald. χρήσηται. — Sq. ἢ Port. om. 57 Par. Port. Mon. μή. Par. Vind. μηδέ. 58 Vind. ἀλλ' οὐκ ἐπὶ τοιούτοις. 59 Port. καὶ βιάζεται. Ald. Sch. Ald. καὶ βιάσεται. Par. Mon. Vind. καὶ om., Vind. βιάσεται γὰρ ὁ δικάζων, ὡς μὴ ἐξ. etiam Cod. Par. Scholiorum Ald. ὡς μή. 60 Vind. εἶθ' ὅτι. 61 Vind. ἀλλ' οὐχ. 62 Mon. τούτοις. Sch. Ald. οὐδ' ἐπὶ τοιούτ.

ποτέρῳ δὲ πρότερον [63] χρηστέον, τῇ ἐνστάσει ἢ τῇ ἀντιπαραστάσει, οὐ ῥᾴδιον εἰπεῖν· ἄλλοτε γὰρ ἄλλην διὰ τὰς φύσεις τῶν πραγμάτων λαμβάνει τάξιν· δεῖ δὲ ὁρᾶν, μὴ σφόδρα ἀναιδὲς ἔν τισιν ᾖ [65] τὸ ἐξ ἀρχῆς φάσκειν μὴ ἐξεῖναι· δεύτερον δὲ τιθέμενον μᾶλλον ἰσχύειν δύναται, καὶ ὡς ἂν [65] ἡ χρεία μᾶλλον ἀπαιτῇ [66] μεθοδεύειν· ἡ μετάθεσις τῆς αἰτίας πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους γίνεται. ἐκεῖνα δὲ ἤτοι ἐν λόγοις ἐστὶν, [67] ἢ ἐν ἔργοις, ἢ ἐν πάθεσι· κἂν μὲν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν ἡ μετάθεσις τῆς αἰτίας εἰσάγεται· οἷον, νέος πλούσιος νύκτωρ [68] κωμάσας ἐπὶ [69] τὸ δεσμωτήριον ἐβόησε· θαῤῥεῖτε, [70] ὦ δεσμῶται, οὐκ εἰς μακρὰν λυθήσεσθε, καὶ φεύγει τυραννίδος ἐπιθέσεως· ἐνταῦθα γὰρ ὁμολογῶν εἰρηκέναι, τίνι διανοίᾳ εἶπε σκοπεῖν ἀξιοῖ· ἐὰν δὲ ἐν ἔργοις ᾖ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἡ μετάθεσις τῆς αἰτίας θετικῶς ἐξετάζεται. οἷον, πεφώραταί τις ἐπ' ἐρημίας θάπτων νεοσφαγὲς σῶμα καὶ φεύγει φόνου· [71] θέσιν γὰρ περανεῖ· ἐρεῖ γὰρ, ὅτι καλὸν τὸ τοὺς ἀτάφους θάπτειν· ἐὰν [72] δὲ ἐν πάθεσι, συγγνωμονικῶς ἡ μετάθεσις [73] τῆς αἰτίας γίνεται. οἷον, συνεχῶς εἰς τὴν ἀκρόπολιν νέος πλούσιος ἀφορῶν δακρύει καὶ φεύγει τυραννίδος ἐπιθέσεως· ἐλεήσας γὰρ, φησὶ, τοὺς [74] τυραννουμένους οὕτω

---

63 Mon. in loco eraso πότερον. Cod. Par. Scholiorum Ald. πρότερον δὲ ποτέρῳ. tum Par. χρήσεται, supra lin. στέον manu rec. 64 Vind. ὥσάν. 65 Ald. ᾖ. corr. marg. Vict. 66 Ald. Port. Mon. Vind. ἀπαιτεῖ. Par. ἀπαιτῇ. tum Cod. Par. Scholiorum Ald. μεθοδεύοιμεν. 67 Mon. λόγοις ᾖ ἐν ἔργ. ἐστίν. 68 νύκτωρ Mon. ponit post δεσμωτήρ. 69 Par. Mon. Sch. Ald. [T. IV. p. 382.] εἰς. 70 Vind. Sch. Ald. θαρσεῖτε. 71 Par. φόνου φεύγ. tum super περανεῖ in Mon. man. rec. ἐρεῖ superscr. est. Vind. sqq. ἐρεῖ γὰρ om. 72 Vind. ἄν. 73 Vind. ἡ μετάθεσις εἰσάγεται. 74 τοὺς Sch. Ald. om. — v. sq. μὲν post ταῦτα Sch. Ald. om.

διετέθην· εἰδέναι δὲ δεῖ ὅτι ταῦτα μὲν πάντα ἐν πᾶσι στοχασμοῖς εὑρίσκεται· πλεονάζει δὲ ἕκαστον ἐν τῷ οἰκείῳ. ἔτι ἡ μετάθεσις τῆς αἰτίας, ἂν μὲν ἀφ' ὧν ἕτεροι [75] ποιήσωσιν ἡ κρίσις γίνηται, [76] ἔσται καὶ πεπλανημένη καὶ ἐναντία πως ἑαυτῇ. οἷον, τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ φεύγει προδοσίας· ἐρεῖ γὰρ θαυμάζοντας αὐτὸν ἐκείνους στῆσαι, ἢ προτρέποντας τοὺς παρ' αὐτοῖς, ἢ ἐξιλεουμένους αὐτὸν, ἢ ἄλλως φθόνον κινῆσαι βουλομένους· ταῦτα γὰρ πάντα εἶναι ἀληθῆ [77] οὐ δύναται· διό φαμεν, καὶ πεπλανημένα δεῖν [78] χρώματα ἐν τῷ τοιούτῳ στοχασμῷ εὑρίσκεσθαι· ἐὰν δὲ ἀφ' ὧν αὐτὸς [79] πεποίηκε κρίνηταί τις, ἢ ἔν τι ἐρεῖ, ἢ καὶ πλείονα, ἀλλ' ἀκόλουθά γε ἀλλήλοις. οἷον, νύκτωρ τις μεταιτῶν λῃστείας φεύγει· ἐρεῖ γὰρ διὰ τοῦτο νύκτωρ, ὅτι αἰσχύνεται, καὶ ὅτι οὐ βούλεται δυσωνίστος εἶναι, μεθ' ἡμέραν προσαιτῶν τοῖς ἐντυγχάνουσι· καὶ ὅτι μᾶλλον τηνικαῦτα διδόασιν οἱ ἄνθρωποι, ἀνειμένοι [80] ἤδη τῇ γνώμῃ, καὶ εἴ τι τοιοῦτον· ταῦτα γὰρ πολλὰ ὄντα οὐκ ἐναντιοῦνται [81] ἀλλήλοις.

Ἡ πιθανὴ ἀπολογία ἀναστρέφουσά [82] ἐστι πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους· οἷς γὰρ ὁ ἕτερος χρήσεται [83] ὡς σημείοις τοῦ εἶναί τι, τούτοις ὁ ἕτερος ὡς σημείοις χρήσεται [84] τοῦ μὴ εἶναί τι. οἷον, ὅπου ἀφορᾷς καὶ δακρίεις, τυραννήσεις· καὶ μὴν εἰ ἔμελλον τυραννεῖν, οὐκ ἂν ἀφεώρων, ὥστε εἶναι καταφανής· τὸ δὲ κεφάλαιον τοῦτο

---

75 Mon. ἄλλοι. supra lin. γρ. ἕτεροι. 76 Ald. Par. Mon. γίνεται. Port. Vind. γίνηται. Sch. Ald. γενήσεται. 77 Vind. ἀληθεῖ. 78 δεῖν Vind. om. Sch. Ald. χρώματα δεῖν. 79 Vind. αὐτός τις ποιῶν κρίνηται, ἤ. 80 Ald. Port. Mon. ἀνειμένη. Sch. Ald. ἀνειμένη. Par. Vind. ἀνειμένοι. 81 Port. Vind. ἐναντιοῦται. 82 Vind. ἀντιστρέφουσα. Sch. Ald. [T. IV. p. 399.] ἀποστρέφουσα. 83 Ald. Port. Vind. χρήσηται. Par. Mon. Sch. Ald. χρήσεται. 84 Ald. χρήσηται. Par. om., Port

ἔστιν ὅτε ἐκλείπει. καὶ ἐκλείπει γε, ὅταν τὰ σημεῖα, ἀφ' ὧν ἡ κρίσις, ἀναγκαίως ἑπόμενα ἢ τῷ πράγματι, ἐφ' ᾧ ἡ κρίσις, [85] οἷον, τῷ ἐπιτιθεμένῳ τυραννίδι ἀναγκαῖον ὅπλα παρασκευάσασθαι. [86] σκέψαι τοίνυν. σκηπτοῦ κατενεχθέντος εἰς τὴν Περικλέους οἰκίαν, εὑρηνται χίλιαι πανοπλίαι, καὶ φεύγει τυραννίδος ἐπιθέσεως. οὐ δύναται γὰρ [87] εἰπεῖν ἐνταῦθα τὸ εἰ ἔμελλον τυραννεῖν, οὐκ ἂν ὅπλα παρεσκευασάμην. ἐν τοῖς τοιούτοις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁ κατήγορος καὶ ὁριστικῶς [88] ἐξετάσει ἔστιν ὅτε· ὡς ἐπὶ τοῦ καλλωπιζομένου μειρακίου καὶ πορνείας φεύγοντος· αὐτὸ γὰρ τὸ καλλωπίζεσθαι καθ' ἑαυτὸ πορνείαν ἐρεῖ ὁ κατήγορος βιαίως. ἡ μέντοι πιθανὴ ἀπολογία κἀνταῦθα ἐκλέλοιπεν. ἀντεισακτέον [89] δὲ εἰς τὸ καθ' ἑαυτὴν κεφάλαιον τὸ μὴ ἀντιστρέφειν τὸ πρᾶγμα. τοῦτο γάρ ἐστι καὶ μόνῳ ἰσχυρίζεσθαι ἐνταῦθα. οἷον, οἱ μὲν μέλλοντες τυραννεῖν ὅπλα [90] παρασκευάζονται, οὐ μὴν οἵ γε παρασκευαζόμενοι καὶ τυραννίδι ἐπιτίθενται. ἔστι γὰρ καὶ ἄλλου τινὸς ἕνεκα παρασκευάζεσθαι [91] ὅπλα. καὶ πάλιν, οἱ μὲν πορνεύοντες καλλωπίζονται, οὐ μὴν οἵ γε [92] καλλωπιζόμενοι πάντως καὶ πορνεύουσιν. ἔστι γὰρ καὶ δι' ἄλλο τι καλλωπίζεσθαι· καὶ ἐρεῖ δηλαδὴ ὅσα κἂν τῇ μεταθέσει τῆς αἰτίας. ἡ κοινὴ ποιότης οἱ ἐπίλογοί εἰσι καὶ αἱ δευτερο-

---

Mon. χρήσεται. Vind. Sch. Ald. ὁ ἕτερος χρήσεται ὡς σ. 85 ἐφ' ᾧ ἡ κρίσις Vind. om. 86 Vind. παρασκευάζεσθαι. 87 γὰρ Ald. Port. Par. Mon. Sch. Ald. om., recepi ex Vind. 88 Ald. Port. Mon. ὁρικῶς. Par. Vind. Sch. Ald. ὁριστικῶς. tum Sch. Ald. ἐξετάζειν. Cod. Par. ἐξετάζει. 89 Ald. Mon. ἀντεισεκτέον. Par. ἀντεισενεκτέον. Vind. Port. ἀντεισακτέον. — tum Vind. καθ' αὑτήν. supra lin. ἢ κατ'. Par. ad marg. γρ. εἰς τὸ κατ' αὐτήν. Sch. Ald. εἰς αὐτὸ καθ' ἑαυτὴν κεφ. τὸ μὴ ἀναστρέφον πρᾶγμα. 90 Sch. Ald. ἀναγκαίως ὅπλα. 91 Mon. Vind. παρασκευάσασθαι. 92 γε Vind. om.

λογίαι. γίνονται δὲ ἐν παντὶ ζητήματι, οὐκ ἐν στοχασμῷ μόνον,[93] ὑπὸ μὲν τῶν κατηγόρων τοπικῶς μετὰ τὰς ἀποδείξεις κατατρεχόντων τοῦ ἐγκλήματος, οἷον, κατὰ τυράννου, ἢ πόρνου, ἢ ὅ τι ἂν ᾖ[94] τὸ ἔγκλημα, καὶ ἐπανακεφαλαιουμένων γε ἕκαστα τῶν ἐπικαίρων. ὡς ὁ Δημοσθένης.[95] οἷον, συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα,[96] ἀπέδειξα μηδὲν ἀληθὲς[97] ἀπηγγελκότα, καὶ τὰ ἑξῆς. ὑπὸ δὲ τῶν φευγόντων, ἀνακεφαλαιουμένων καὶ αὐτῶν μὲν ὁμοίως τοῖς ἄλλοις, οὐχ ὁμοίως δὲ χρωμένων, ἀλλ' ἐλεεινολογουμένων[98] τε καὶ πάθη κινούντων. ἐνταῦθα καὶ παραγωγαὶ χρήσιμοι τῶν παίδων καὶ γυναικῶν καὶ φίλων, καὶ ὅσα τοιαῦτα· ἃ ὁ κατήγορος ἀναιρήσει δηλαδὴ τῷ συμφέροντι. κοινὰ δὲ ἀμφοῖν τὰ τελικὰ λεγόμενα κεφάλαια ἐνταῦθα, τὸ νόμιμον, τὸ δίκαιον, τὸ συμφέρον, τὸ δυνατὸν, τὸ[99] ἔνδοξον· ὅλως τε οἱ ἐπίλογοι λαμβάνονται μὲν ἀφ' ὧνπερ καὶ τὰ προοίμια, καὶ ἰσχύουσί γε τὰ αὐτά.[1] πάθους γὰρ ψυχῆς ἕνεκα εἰσάγεται ἄμφω, οἷον φόβου ἢ ὀργῆς ἢ ἐλέου ἢ φθόνου ἤ τινος τοιούτου· διαφέρει δὲ ἀλλήλων τῷ τὰ μὲν προοίμια παρασκευάζειν πρὸς τὸ δέξασθαι[2] ἢ ἀποθέσθαι τόδε τι πάθος τῆς ψυχῆς· τοὺς δὲ ἐπιλόγους, ἢ[3] αὔξειν ἢ μειοῦν διὰ τῶν κεφαλαίων, τό[4] τε ἤδη τέλεον ἐξαίρειν. καὶ ὅλως[5] ἐν τούτοις δια-

---

93 Par. ad marg. γρ. οὐκ ἐν στοχασμῷ μόνον, ἀλλ' ἔνθα καὶ εὑρίσκεται. 94 Vind. εἴη. 95 De fals. leg. p. 396. 96 Vind. κατηγορούμενα. Port. κατηγ. ἀπ' ἀρχῆς, καὶ τὰ ἑξῆς, ἀπέδειξα — ἑξῆς. 97 Vind. ἀλ. αὐτὸν ἀπ. Sch. Ald. ἀπαγγελκότα. — v. sq. καὶ αὐτῶν Sch. Ald. om. 98 Par. ἐλεινολογ. omisso sq. τε. 99 Par. Vind. καὶ ἔνδοξ.

1 Vind. ταὐτά. 2 Ald. Sch. Ald. Vind. δείξασθαι. Port. Par. δέξασθαι. 3 ἢ Par. om. 4 Port. τῷ. Vind. τό τε ἤδη ἐξαιρεῖν τελέως, καὶ ἔτι τῷ τοὺς ἐπιλόγους λελύσθαι. Sch. Ald. τό

φέρουσιν οἱ ἐπίλογοι καὶ τὰ προοίμια, τῷ τοὺς ἐπιλόγους λέλύσθαι τε ἤδη κατὰ [6] τὸν ῥυθμὸν, καὶ ἐπὶ πλεῖον ἕκαστον προάγεσθαι τῶν εὑρισκομένων, ἀλλὰ μὴ διὰ βραχέων, ὥσπερ ἐν τοῖς προοιμίοις. ἀκριβέστερον δὲ ἐν τῷ περὶ προοιμίου λελέξεται ταῦτα· ἡ μὲν δὴ τοῦ τελείου τε καὶ ἁπλοῦ στοχασμοῦ διαίρεσις αὕτη. [7] εἰσὶ δέ τινες καὶ ἀτελεῖς τῶν στοχασμῶν, καὶ αὖ διπλοῖ, τέλειοί τε καὶ ἀτελεῖς, ἐν οἷς διπλῇ καὶ τῇ διαιρέσει χρώμεθα, περὶ ὧν λεκτέον· Ἀτελὴς ἐκ μόνων πραγμάτων συνεστώς ἐστιν, ὅταν τὸ πρόσωπον μὴ ᾖ κρινόμενον, ἑνὸς ὄντος τοῦ πράγματος. οἷον, θάπτων τις νεοσφαγὲς σῶμα ἐπ' ἐρημίας πεφώραται, καὶ φόνου [8] φεύγει. οὗτος βούλησιν μὲν καὶ δύναμιν οὐκ ἔχει, τοῖς δὲ ἄλλοις διαιρεῖται πᾶσιν [9] ὁμοίως τῷ τελείῳ. ἀτελὴς δὲ ἐκ μόνων προσώπων ἁπλοῦς οὐ γίνεται κατά γε ἐμὲ στοχασμὸς, καὶ τοῖς γε ἐπεσκεμμένοις τὰ εἰρημένα ὀλίγῳ πρότερον περὶ τῶν κρινομένων πραγμάτων σαφέστατον [10] εἶναι τοῦτο νομίζω· τεθείκασι δ' οὖν τινες ὡς ἀτελοῦς ἁπλοῦ παράδειγμα, λέγοντες [11] μόνον τὸ πρόσωπον κρίνεσθαι ἐνταῦθα· οἷον [12] ἀσώτου πατὴρ ἀφανὴς γέγονε, καὶ φόνου φεύγει. [13] πρῶτον οὖν ἐρήσομαι αὐτοὺς, εἰ οὐκ ἔστιν ἐν-

---

τε ἤδη τελέως ἐξαίρειν. 5 Par. ad marg. γρ. καὶ ἔτι καὶ ἐν τούτοις διαφ. οἱ ἐ. τῶν προοιμίων. Sch. Ald. καὶ ἔτι ἐν τούτῳ. 6 Sch. Ald. καὶ κατά. tum Port. ἐπιπλεῖστον. ad marg. γρ. ἐπιπλεῖον ut Ald. 7 Sch. Ald. [T. IV. p. 429.] αὕτη ἐστί, tum Ald. Sch. Ald. Mon. εἰσὶ δέ τινες καὶ ἀτελεῖς. [Mon. καὶ ἀτελεῖς τινες] αὐτῶν στοχασμοί. Vind. εἰσὶ δὲ καί τινες τῶν στοχασμῶν καὶ αἳ διπ. omisso ἀτελεῖς. Port. εἰσὶ δέ τινες καὶ ἀτελεῖς τῶν στοχασμῶν. 8 Vind. φεύγει φόνου. 9 Par. τοῖς πᾶσιν. tum Sch. Ald. [T. IV. p. 431.] τοῖς τελείοις. 10 Port. σαφέστερον. ad marg. γρ. σαφέστατον. tum Ald. νομόζω. 11 Mon. man. rec. λέγοντος. 12 οἷον Ald. Par. Mon. Vind. om., est in Port. Sch. Ald. [T. IV. p. 433.] 13 Par. Mon. Sch. Ald.

ταῦθα τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. καὶ μήν ἐστι τὸ ἐκποδὼν εἶναι τὸν πατέρα. τοῦτο δὲ οὐ τοῦ προσώπου, ἀλλὰ τοῦ πράγματός ἐστιν. ἀλλὰ μετάθεσιν τῆς αἰτίας [14] αὐτὸν οὐκ ἀπαιτήσομεν; ἀλλὰ καὶ τοῦτο. εἰ καὶ μή, τίς ἔσται [15] ἡ ἀπολογία; πῶς οὖν ἀγωνιεῖται μὴ ἔχων πρᾶγμα; τί δαὶ [16] τῇ πιθανῇ ἀπολογίᾳ οὐ χρήσεται; οἶμαι καὶ τοῦτο. πῶς οὖν ἀτελὴς ὁ τοιοῦτος; ἀλλ᾽ ἧττον ἰσχύει τὰ πράγματα ἐνταῦθα, ἢ ἐν τῷ θάπτοντι τὸ νοσφαγὲς σῶμα· καὶ γὰρ ἐν πᾶσι στοχασμοῖς ἧττον ἰσχύει τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ὅταν ἀφ᾽ ὧν ἄλλοι [17] πεποιήκασι, κρίνηταί τις· ἄλλως τε καὶ ὅταν μὴ εἰς αὐτὸν ἄντικρυς ἀναφέρηται, [18] ὡς ἐπὶ τοῦ Ἀρχιδάμου τοῦ κρινομένου δώρων, ἐπειδὴ ἔγραψεν ὁ Περικλῆς ἐν τοῖς λογισμοῖς [19] εἰς δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα.

Ἁπλοῦς μὲν οὖν στοχασμὸς ἐκ μόνων προσώπων [20] οὐκ ἔστι, κατά γε ἐμέ· διπλοῦς δέ ἐστι. πρῶτον δὲ περὶ τοῦ τελείου διπλοῦ λεκτέον. Διπλοῦς τέλειος γίνεται, ὅταν δύο πρόσωπα καὶ δύο πράγματα κρινόμενα ἔχῃ. οἷον, Αἰσχίνης καὶ Δημοσθένης ἀπὸ τῆς παρὰ Φιλίππου ἥκοντες πρεσβείας ἀντεγκαλοῦσι δώρων [21] ἀλλήλοις· ἐπειδὴ ὁ μὲν χρυσίον [22] εὕρηται κατορύττων, ὁ Δημοσθένης, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφὼς, ὁ [23]

---

φεύγει φόνου. tum Sch. Ald. πρῶτον μὲν οὖν, ἐρ. αὐτοὺς, ἢ οὐκ καὶ μέν ἐστι. 14 Ald. Par. Mon. Sch. Ald. αὐτὸν τῆς αἰτίας. Vind. Port. τῆς αἰτ. αὐτόν. 15 Port. εἰ δὲ μὴ, ἔστιν ἡ ἀπολογία. Sch. Ald. τίς ἐστιν ἡ ἀπολ. Articulum ἡ Ald. Par. Mon. om., est in Vind. Sch. Ald. 16 Ald. Port. Sch. Ald. δέ. Par. Mon. Vind. δαί. 17 Mon. ἕτεροι. 18 Vind. addit: τὸ κρινόμενον. 19 ἐν τοῖς λογ. Vind. om. 20 Par. ἐκ προσώπων μόνων. Sqq. οὐκ ἔστι Vind. om. 21 Ald. Port. ἀντεγκαλοῦσιν ἀλλ. δώρων. Par. Mon. Vind. Sch. Ald. [T. IV. p. 441.] ἀντεγκαλοισι δώρων ἀλλ. 22 Vind. χρυσόν. 23 ὁ Sch. Ald. om., — v. sq. Vind. Sch. Ald. ἐκλέλοιπεν.

Αἰσχίνης· ἐνταῦθα ἡ μὲν τῶν ἐλέγχων ἀπαίτησις, ἐπειδὴ ἰσάζει, ἐκλέλοιπε. τοῖς δὲ λοιποῖς κεφαλαίοις ἐπ᾽ [24] ἀμφοτέρων χρηστέον διττῶς· οἷον, ἐγὼ μὲν οὐκ ἂν ἠβουλήθην [25] παραπρεσβεῦσαι διὰ τόδε, σὺ μέντοι [26] ἠβουλήθης ἂν διὰ τόδε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἓν πρὸς ἓν ἀντιτιθέντες, ἐξετάσομεν· τὸ γὰρ διελεῖν, καὶ χωρὶς μὲν ἀπολογήσασθαι δι᾽ ὅλων τῶν κεφαλαίων, χωρὶς δὲ κατηγορῆσαι πάλιν τοῖς αὐτοῖς κεφαλαίοις, οὐκ ἀγωνιστικόν, ἀλλὰ σφόδρα ὕπτιον· συμπλέκειν οὖν δεῖ.

Διπλοῦς δὲ ἀτελὴς ἐκ μὲν τῶν πραγμάτων, ὅταν μόνα τὰ πράγματα κρίνηται. οἷον, δύο ῥήτορες πρεσβεύσαντες παρὰ τύραννον, καὶ ἐπανήκοντες ἀλλήλοις ἀντεγκαλοῦσι δώρων· ἐπειδὴ ὁ μὲν χρυσίον [27] εὕρηται κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας συγγεγραφώς· [28] ἐνταῦθα γὰρ τὰ μὲν πρόσωπα ἰσάζοντα οὐκ ἐπιδέχεται ἐξέτασιν, τὰ δὲ πράγματα διαφέροντα ἐξετασθήσεται. πάλιν οὖν ἡ μὲν βούλησις καὶ ἡ [29] δύναμις ἐκλέλοιπε· τοῖς δὲ ἄλλοις ὁμοίως διαιρεθήσεται κεφαλαίοις, οἷσπερ καὶ ὁ τέλειος διπλοῦς κατὰ ἀντεξέτασιν. [30]

Ἐκ δ᾽ αὖ μόνων προσώπων διπλοῦς γίνεται στοχασμὸς, ὅταν μόνα τὰ πρόσωπα κρίνηται. οἷον, ἐπὶ σημείοις φαρμάκων ἀριστεὺς [31] ἐτελεύτα, μητρυιὰν ἔχων, καὶ αἰχμάλωτον παλλακίδα, καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις· ἐνταῦθα μόνη ἡ βούλησις καὶ ἡ δύναμις ἐξετάζεται, ἃ

---

24 Vind. ἐπὶ ἀμφ. 25 Vind. Sch. Ald. ἐβουλήθην et ἐβουλήθης. 26 σὺ μέντοι ἠβ. ἂν διὰ τόδε Mon. om. — v. sq. Sch. Ald. ἀντιθέντες. — v. 9. Sch. Ald. ἀλλὰ καὶ σφόδρα. 27 Vind. χρυσόν. 28 Vind. γεγραφώς. 29 Ald. Port. Mon. ἡ om., recepi ex Par. Vind.; tum Vind. ἐξέλιπε. 30 Par. ἐξέτασιν. supra lin. man. rec. scriptum ἀντ-. 31 Sch. Ald. [T. IV. p. 447.] ὁ ἀριστ. — v. sq. Vind. παλακίδα. mox pro ἐξετάζεται Sch. Ald. ἐξεργάζεται.

δὴ καὶ φύσει τοῦ προσώπου εἰσὶν [32] ἴδια· τὰ δὲ ἄλλα πάντα ἰσάζει.

Ἔστι παρὰ ταῦτα ἕτερα εἴδη στοχασμῶν διπλῶν τρία, οὓς καλοῦμεν συνεζευγμένους· ὅ τε ἐμπίπτων καὶ ὁ προκατασκευάζόμενος καὶ ὁ συγκατασκευαζόμενος· καὶ ὁ μὲν ἐμπίπτων γίνεται, ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ὁλόκληρόν τι ζήτημα ἐμπέσῃ, καὶ ἀναγκαῖον γένηται καὶ αὐτὸ διελεῖν τελείως. [33] οἷον, ἔδει τὸν ἁλόντα προδοσίας δεδέσθαι παρὰ τῷ στρατηγῷ, μέχρις ἂν εἴπῃ [34] τοὺς συνειδότας. ἁλούς τις προδοσίας στρατηγὸς ἐδέδετο [35] παρὰ τῷ συστρατήγῳ· ὁ δὲ ἀπέκτεινεν αὐτὸν ὡς ἐπὶ τῇ γυναικὶ εὑρὼν, καὶ συνειδότος φεύγει· ἐνταῦθα γὰρ μετὰ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους χρωμένου τῇ [36] μεταθέσει τῆς αἰτίας τῇ λεγούσῃ, [37] ὅτι μοιχὸν ἀπέκτεινα τοῦ φεύγοντος, εὕρηται ζήτημα ἕτερον, τὸ εἰ ἐκεῖνον εἰκὸς δεσμώτην ὄντα μοιχεῦσαι, καὶ εἰ τὴν γυναῖκα εἰκὸς τῷ τοιούτῳ ἑαυτὴν ἐπιδοῦναι· καὶ μετὰ τὴν τούτου διαίρεσιν πάλιν ἐπὶ τὴν τοῦ προτέρου στοχασμοῦ [38] πιθανὴν ἀπολογίαν ὁ φεύγων ἥξει· προκατασκευαζόμενος δὲ γίνεται, ὅταν πρὸ τοῦ ζητήματος ἕτερον ἀναγκαῖον ᾖ ζητῆσαι [39] στοχαστικῶς, ὡς ὂν ἢ οὐκ ὄν. οἷον, πλούσιος στρατηγὸς πένητος ἐχθροῦ παῖδας [40] τρεῖς ὡς προδιδόντας συνέλαβε, καὶ τοὺς μὲν δύο μηδὲν [41] ὁμολογή-

---

32 Par. Vind. ἐστίν. tum Vind. τὰ δ᾽ ἄλλα. 33 Vind. ὁμοίως. supra lin. τελείως. 34 Ald. Port. Vind. εἴποι. Par. Mon. Sch. Ald. [T. IV. p. 453.] εἴπῃ, 35 Vind. ἐδέθη. — v. sq. ὡς ἐπὶ γυναικί. 36 τῇ abest a Mon. Vind. Sch. Ald., quae legunt μεταθέσεις. 37 λεγούσῃ Par. Vind. om. — v. sq. Mon. Vind. ζήτημα ἄλλο. 38 στοχασμοῦ Sch. Ald. om. 39 Par. 2916. ad marg. γρ. ἀναγκαῖον ᾖ προκατασκευασθῆναί τι πρᾶγμα στοχαστικῶς. ita Vind. et ex. Par. 40 Vind. τρεῖς παῖδας ἐχθροῦ πένητος. Par. τρεῖς om. 41 μηδὲν Ald. Port. om., est in Par. Vind. Mon. in Sch. Ald. [T. IV. p. 456.] μή.

σαντας ἐν ταῖς βασάνοις [42] ἀπέκτεινε, τὸν δὲ τρίτον πρὸ τῶν βασάνων ὁμολογήσαντα προδιδόναι, [43] καὶ μὴ ἐπεξιόντα τὸν πατέρα κρίνει συνειδότος. ἐφ' ἑκατέρου γὰρ δεῖ πρότερον συσταθῆναι, τοῦ μὲν πλουσίου, τὸ εἶναι ἐκείνους προδότας, τοῦ δὲ πένητος, τὸ μὴ εἶναι. μεθ' ὃ κατὰ συγχώρησιν δοὺς τὸ καὶ προδεδωκέναι ἐκείνους, ὁ πένης τὸ καθ' αὑτὸν [44] ἀπολογήσεται· συγκατασκευαζόμενος δὲ γίνεται, [45] ὅταν τὰ σημεῖα τοῦ πράγματος δι' ἀλλήλων κατασκευάζηται. [46] οἷον, ἔδει τοὺς δεσμώτας λελύσθαι τοῖς θεσμοφορίοις. μοιχείαν ὑπονοήσας τις πρὸς τὸν οἰκέτην τῆς γυναικὸς, [47] δήσας ἐκεῖνον ἀπεδήμησε· λυθεὶς τοῖς θεσμοφορίοις [48] ὑπὸ τῆς γυναικὸς ἀπέδρα ὁ οἰκέτης. [49] μετὰ ταῦτα εὑρηται ὁ ἀνὴρ πεφονευμένος καὶ συνειδότος ἡ γυνὴ φεύγει· τό τε γὰρ ὑπὸ τοῦ οἰκέτου αὐτὸν πεφονεῦσθαι, [50] διὰ τῆς μοιχείας κατασκευάζεται· τό τε εἶναι [51] τὴν μοιχείαν, διὰ τὸ ὑπ' ἐκείνου αὐτὸν ἀνῃρῆσθαι, καὶ ὅλως [52] δι' ἀλλήλων. δῆλον δὲ ὅτι καὶ μετὰ τῶν ἄλλων, τῆς τε ὑπονοίας τοῦ ἀνδρὸς καὶ τοῦ λῦσαι αὐτὸν τὴν γυναῖκα, καὶ εἴ τι εἴη ἕτερον. διαφέρει δὲ τοῦ προκατασκευαζομένου, ὅτι ἐκεῖ μὲν κεχώρισται ἀλλήλων τὰ ζητήματα, ἐν- 28

---

42 Mon. addit: αὐταῖς. Par. 2916. ad marg. γρ. ἑ. τ. βασ. αὐταῖς. 43 Mon. [man. rec.] Vind. addit: ἀπέκτεινε. — v. sq. Port. ὑφ' ἑκατέρου Ald. ἐφ'. (sic) 44 Port. καθ' ἑαυτόν. tum Sch. Ald. ἀπολογήσηται. 45 Mon. γίγνεται. 46 Ald. Port. Codd. κατασκευάζεται. scr. -ηται. 47 τῆς γυναικὸς Vind. om. — tum Sch. Ald. [T. IV. p. 460.] ἀπεδήμησεν. 48 Par. ad marg. γρ. καὶ οὕτως· ἔλυσε τοῖς θεσμοφορίοις ἀποδημοῦντος τοῦ ἀνδρὸς ἡ γυνή· ἀπέδρα ὁ οἰκέτης· ἐπανιὼν ὁ ἀνὴρ εὕρηται πεφονευμένος, καὶ μετὰ ταῦτα ἡ γυνὴ συνειδότος φεύγει. Consentit Mon. a vv. ἐπανιὼν ὁ ἀνὴρ — φεύγει. 49 Vind. ὁ οἰκέτης om. 50 Vind. ἀνῃρῆσθαι. 51 Vind. καὶ τὸ εἶναι. tum Sch. Ald. διὰ τοῦ ὑπ' ἐκείνου. 52 Ald. ὅλον. Port. Codd. Sch. Ald. ὅλως.

ταῦθα δὲ δι' ἀλλήλων κατασκευάζεται πάντα· ὁ ἀπὸ γνώμης παρὰ τούτους ἔστι στοχασμὸς, ὃς ψιλῇ τῇ γνώμῃ ἐξετάζεται, φανεροῦ ὄντος καὶ τοῦ πράγματος καὶ τοῦ πράξαντος. οἷον, ἐν δόξῃ μανίας μητρυιὰ τὸν μὲν υἱὸν ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε, καὶ ἀνενεγκοῦσα φεύγει φόνου· [54] διαφέρει δὲ συγγνώμης ὁ τοιοῦτος [55] στοχασμὸς, ὅτι ἐκεῖ μὲν ἐφ' ᾧ μεθίστησιν, ὡμολόγηται. [56] οἷον ἔλεος, ἢ βάσανοι, [57] καὶ τὰ τοιαῦτα. ἐνταῦθα δὲ εἰ μέμηνε ζητεῖται δήπου, ἢ οὔ· [58] τάχα δ' ἂν παρὰ ταῦτα καὶ ἄλλα εἴδη στοχασμῶν εὑρεθείη· περιττὸν δὲ εἰς ἄπειρον περιεργάζεσθαι. νομίζω γὰρ ὅτι [59] ὁποῖον ἂν γένηται ἄλλο, διὰ τούτων πως συμπλεκόμενον [60] εὑρίσκεται. καὶ δῆλον ὡς τοῖς [61] τὰ τοιαῦτα ἐπεσκεμμένοις οὐ χαλεπὴ γενήσεται καὶ [62] ἡ ἐν ἐκείνοις διαίρεσις.

## Cap. IV.

### ΠΕΡΙ ΟΡΟΥ.

Ὁ ὅρος διαιρεῖται προβολῇ, ὅρῳ, ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι, πρός τι, μιᾷ τῶν

53 μὲν Vind. om. 54 Mon. φόνου φεύγει. 55 Mon. οὗτος ὁ στοχασμός. tum Vind. οἷον ἐκεῖ μὲν, ἐφ' ᾧ μεθίστησιν, ὡμολόγηται τὸ ἀκούσιον. omissis sqq. οἷον ἔλεος — τοιαῦτα. 56 Ald. ὁμολόγηται. 57 Port. βάσανος. 58 ἢ οὔ Vind. om. Par. ad marg. τὸ ἢ οὔ ἐν ἄλλοις οὐκ ἔστιν. 59 ὅτι Sch. Ald. [T. IV. p. 468.] om. 60 Port. συμπλεκομένων. tum Ald. Mon. Sch. Ald. εὑρίσκεται. Port. Vind. εὑρίσκεσθαι. Par. εὑρίσκευθαι. 61 Sch. Ald. τοῖς ταῦτα. 62 καὶ Vind. om.

τῶν ἀντιθετικῶν ἔστιν ὅτε, ἤ τις εἰ ἐμπέσοι, εὑρεθήσεται καὶ μετάληψις καὶ ἀντίληψις εὐθὺς ἑπόμεναι· εἶτα ποιότητι καὶ γνώμῃ· ἡ προβολὴ ἐστιν αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. [1] ὁ ὅρος χωρίζει τὸ πρᾶγμα, καὶ γίνεται ἐκ τῶν παρειμένων τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους. οἷον, τύραννον ἔπεισε φιλόσοφος ἀποθέσθαι τὴν τυραννίδα, καὶ αἰτεῖ τὸ γέρας. ἡ προβολή, ἔπαυσα τὴν τυραννίδα, καὶ δεῖ λαμβάνειν [2] με τὴν δωρεάν. τοῦτο δὲ δῆλον, ὅτι αὔξων ἀπὸ τῶν παρακολουθούντων τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους θήσει· ὁ ὅρος ἐκ τῶν παρειμένων, οὐκ ἔστι τοῦτο τυραννοκτονῆσαι, ἀλλ' ὁριεῖται τοῦτο εἶναι ὃ παρεῖται, τὸ ἀποκτεῖναι αὐτόν. Ὁ ἀνθορισμὸς πάλιν ἐκ τῶν πεπραγμένων. οἷον, οὐχί. ἀλλὰ τὸ παῦσαι τὴν τυραννίδα. Ὁ συλλογισμὸς συνάγει ἄμφω· μηδὲν γὰρ ἀλλήλων διαφέρειν ταῦτα ἀγωνιεῖται ὁ τὴν δωρεὰν δηλαδὴ αἰτῶν. καὶ καθόλου ὃν τρόπον ἔφαμεν τὴν ἀντίληψιν τῇ μεταλήψει ἕπεσθαι, [3] τὸν αὐτὸν [4] καὶ ὁ συλλογισμὸς τῷ ὅρῳ πανταχοῦ. καὶ ἔνθα ἄν [5] ὁποτερουοῦν αὐτῶν ὁπότερον μέρος χρήσηται, τῷ λοιπῷ τὸ ἕτερον χρήσεται [6] πάντως. Ἡ γνώμη τοῦ νομοθέτου ὑπ' ἀμφοῖν πρὸς τὸ οἰκεῖον συμφέρον ἐξετασθήσεται. ἡ πηλικότης, ὅτι μέγα τὸ γεγονὸς ἀποδείξει. τὸ δ' αὖ πρός τι, ὅτι καὶ μεῖζον τὸ ἄνευ σφαγῶν καὶ θορύβου καὶ ταραχῆς παῦσαι τὴν τυραννίδα τοῦ μετὰ [8] ὅπλων. ἡ δὲ ἀν-

---

1 Thom. M. προβολὴ καὶ αὐτὰ τὰ ἀπαρχῆς [sic] ἄχρι τέλους, ὡς Ἑρμογένης φησί. — Sqq. ὁ ὅρος χωρίζει — τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους Vind. om. et inferius ponit post: ἄχρι τέλους θήσει. Eadem verba in Mon. expuncta sunt. 2 Vind. λαβεῖν. 3 Ald. Port. Par. Mon. Sch. Ald. [T. IV. p. 502.] μάχεσθαι. Vind. ἕπεσθαι. 4 Ald. Port. Vind. Mon. Sch. Ald. repetunt τρόπου. Par. om. 5 Vind. γε. tum Sch. Ald. μέρος χρήσεται. 6 Par. χρῆται. ad marg. γρ. χρήσεται. 7 Vind. δίχα. 8 Port. μεθ' ὅπλων Vind. μετὰ τούτων. Par. ad marg.

τίθεσις ἐνταῦθα μὲν οὐκ ἐμπέπτωκεν, ἐπὶ δὲ τῶν [10] ἄλλων εὑρίσκεται ζητημάτων πολλάκις. οἷον, εὐνοῦχόν τις εὑρὼν ἐπὶ τῇ γυναικὶ, ὡς μοιχὸν ἀπέκτεινε, καὶ φόνου
29 φεύγει. μετὰ γὰρ τὸ τίς ὁ μοιχὸς ζήτημα, διὰ τῶν προειρημένων περανθὲν, [11] ἀντεγκαλέσει ὡς ἀξίῳ παθεῖν ἃ πέπονθε. τούτῳ δὲ ἕπεται ἀναγκαίως ἡ μετάληψις, ἥ τίς [12] ἐστιν, ὅτι κρίνειν ἔδει καὶ κατηγορεῖν· μεταλήψεως δὲ εὑρεθείσης πάντως τις ἔσται καὶ ἡ [13] ἀντίληψις, ὅτι ἐξῆν· ἡ ποιότης δὲ ἀπὸ τῶν παρακολουθούντων τῷ προσώπῳ λαμβάνεται. [14] κἂν μὲν ᾖ ὡρισμένον [15] τὸ πρόσωπον, ἀπὸ πάντων δηλαδὴ τῶν ἐγκωμιαστικῶν. εἰ δὲ ἀλλως ἀόριστον, εἰ μὲν τῶν κρινομένων εἴη, οἷον, πατὴρ, ἤ τι τῶν προειρημένων ἐν τοῖς περὶ προσώπων, τὰ παρακολουθοῦντα σκεψάμενοι λέξομεν. εἰ δὲ ἀόριστον πάντη, ἀπὸ τοῦ νῦν πεπραγμένου στοχαστικῶς ἐξετάσομεν, τίς ἦν τὸν παρελθόντα χρόνον, καὶ τίς ἔσται μετὰ ταῦτα, εἰ [16] ἀφεθείη, εἴθ' ἁλοίη. [17] ἐπ' ἀμφοῖν γὰρ τὴν ποιότητα ἐξετάζει. ἡ γνώμη ὡσαύτως ὑπ' ἀμφοῖν [18] ἐξετασθήσεται· ποίᾳ γνώμῃ τόδε τι ἔπραξε, καὶ ποίᾳ γνώμῃ
20 κατηγορεῖ, ἢ ἀντιλέγει, καὶ τὰ ὅμοια. ἡ μέντοι κοινὴ ποιότης συμπεπλεγμένως ἐνταῦθα τῇ ποιότητι τοῦ προσώπου καὶ τῇ γνώμῃ ἐξετασθήσεται. [19]

---

καὶ γρ. τοῦ μετὰ τούτων, καὶ ἐν ἄλλοις· μετὰ τοιούτων. 9 Vind. δὲ om. 10 τῶν Ald. Port. Par. Mon. Sch. Ald. [T. IV. p. 531.] om., recepi ex Vind. 11 Par. ad marg. bis: γρ. περατωθέν. tum Sch. Ald. ἀντεγκαλεῖ. 12 Vind. ἥ τίς ἐστιν, ὅτι Vind. om. Par. ad marg. ἐν ἄλλοις, ὅτι κρίνειν δει. 13 ἡ Par. Vind. Sch. Ald. om. Vind. ἔσται δὲ καὶ ἀντ. 14 Par. παραλαμβάνεται. 15 Par. ὁρισμένον. Vind. τὸ πρόσωπον ὡρισμ. 16 Vind. ἤ omissis praeced. μετὰ ταῦτα. 17 In Mon. man. rec. correxit: ᾖ. Sqq. ἐπ' ἀμφοῖν — ἐξετάζει Vind. om. 18 Par. ad marg. ὑπ' ἀμφοτέρων. Sch. Ald. [T. IV. p. 540.] ἐπ' ἀμφοῖν. et v. sq. ἔπραξεν. 19 Ald. ἐξετεισθήσ.

Ὥσπερ δὲ στοχασμῶν εἴδη πλείονά ἐστιν, [20] οὕτω καὶ ὅρων. καὶ ἁπλοῦς μὲν ὁ προειρημένος, οἱ δὲ ἄλλοι διπλοῖ εἰσι. καὶ πρῶτός γέ ἐστιν ὁ ἀντονομάζων [21] καλούμενος, ὅταν ὄνομα ὀνόματι ὁ φεύγων ἀντιτιθῇ· οἷον, ὑφείλετό τις ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα, [22] καὶ ὡς ἱερόσυλος ὑπάγεται· ὁ δὲ κλέπτης εἶναι φάσκων διπλᾶ καταθέσθαι [23] ἀξιοῖ· τοῦτον ὁμοίως τοῖς διπλοῖς στοχασμοῖς διαιρήσεις διπλοῖς τοῖς κεφαλαίοις, ἀντιτιθεὶς κεφάλαιον κεφαλαίῳ. οἷον, ἱερόσυλος εἶ, ἀλλ' οὐ κλέπτης. κλέπτης μὲν γὰρ τόδε τί ἐστιν, [24] ἱερόσυλος δὲ τόδε. καὶ τοῖς ἑξῆς [25] ὁμοίως· καὶ ὁ φεύγων δὲ παραπλησίως ἀναστρέψας χρήσεται τῷ λόγῳ. δεύτερος ὁ κατὰ σύλληψιν ὀνομαζόμενος, [26] ὅταν τοῦ φεύγοντος ἀντονομάζοντος ὁ διώκων καὶ τούτῳ κἀκείνῳ ὑπεύθυνον αὐτὸν εἶναι λέγῃ τῷ ὀνόματι. πάνυ δὲ οὗτος [27] ἔοικε τῷ ἀντονομάζοντι. ὅπη δὲ διαφέρει, θέντες τὸ παράδειγμα ὡς δεῖ λέξομεν· πρεσβεύων τις παρέθετο τῷ στρατηγῷ τὴν θυγατέρα· ἐβιάσατο αὐτὴν ἐκεῖνος, καὶ δημοσίων μὲν [28] ἀδικημάτων ὁ πατὴρ αὐτὸν ἐπανελθὼν κρίνει· ὁ δὲ τὰς μυρίας κατατίθεσθαι [29] ἀξιοῖ· τοῦτο γὰρ ὥρισ-το [30] τῷ βιαίῳ· ἐνταῦθα λέγοντος τοῦ φεύγοντος, ὅτι

---

20 Vind. Par. om., Mon. εἰσίν. 21 Ald. Port. h. l. et in sqq. ἀντωνομάζων. 22 Vind., Sch. Ald. [T. IV. p. 548.] addunt: νόμου ὄντος, τὸν μὲν ἱερόσυλον ἀποθνήσκειν [Sch. Ald. τεθνάναι] τὸν δὲ κλέπτην διπλᾶ διδόναι, ὡς ἱερόσυλος ὑπάγ. 23 Vind. κατατίθεσθαι. 24 Ald. ἐστι. 25 Vind. καὶ καθεξῆς ὁμοίως. 26 Ald. Port. Mon. Sch. Ald. [T. IV. p. 555.] add.: ὃ γίνεται. Par. Vind. Cod. Par. Scholiorum Ald. om. 27 Sch. Ald. οὕτως. — v. sq. ὡς δεῖ. Vind. om. 28 μὲν Sch. Ald. om. Mox αὐτὸν Par. om. tum Vind. legit: ἐπελθών. 29 Par. Vind. Sch. Ald. κατατίθεσθαι. Ald. Port. Mon. καταθέσθαι. 30 Port. ὥρισται. Mon. Sch. Ald. ὥρισto κατὰ τοῦ βιασαμένου. — v. sq. Ald. Port. Vind. Par. Mon. οὐ δημόσια.

βίαιός εἰμι, ἀλλ᾽ οὐ δημοσίᾳ ἠδικηκὼς, ἀμφοτέροις ὑπεύθυνον αὐτὸν εἶναί φησιν ὁ διώκων, καὶ τῇ βίᾳ καὶ τῷ δημοσίῳ ἀδικήματι. ἂν γὰρ μὴ [31] φάσκῃ αὐτὸν βεβιάσθαι, δηλαδὴ ἀφίησι καὶ τοῦ δημοσίου ἀδικήματος, εἰ γὰρ μὴ εἴη βία, δηλαδὴ οὐδὲ δημόσιον ἀδίκημα· διὰ τοῦτο οὖν συμπλέκεται ἑκάτερον· [32] ἄλλως γὰρ οὐ δύναται δημοσίων ἀδικημάτων κατηγορεῖν, ἢν τῆς βίας αὐτὸν ἀνίῃ· τοῦτο καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου πεποίηκε· φάσκοντος γὰρ τοῦ Μειδίου ὕβριν εἶναι καὶ ἰδιωτικὸν, ἀλλ᾽ οὐ δημόσιον ἀδίκημα τὸ περὶ τὴν ἑορτὴν, συνάγει ἑκάτερα, καὶ τὸ τῆς ὕβρεως καὶ τὸ [33] περὶ τὴν ἑορτὴν ἀδικεῖν, ἵνα μὴ τὸ τῆς ὕβρεως ἀφεὶς ἀπολύσῃ καὶ τοῦ [34] περὶ τὴν ἑορτὴν ἀδικεῖν. μὴ γὰρ προϋφεστώσης τῆς ὕβρεως, οὐδὲ τὸ περὶ τὴν ἑορτὴν ἀδικεῖν συνίσταται· ἐν δὲ τῷ ἀντονομάζοντι ἀναιρεῖ τὸ ἕτερον. οἷον, οὐκ εἶ κλέπτης, ἀλλ᾽ ἱερόσυλος. καὶ ἡ διαφορὰ, ὅτι ἐκεῖ μὲν ἀκολουθεῖ φύσει τὸ πρᾶγμα τῷ ἐγκλήματι. οἷον, τῷ ἱεροσύλῳ τὸ [35] κλέπτην εἶναι ἀναγκαῖον. ὁ γὰρ ἱερόσυλος καὶ κλέπτης ἱερῶν ἐστι δήπου χρημάτων. τῷ μέντοι δημοσίᾳ ἠδικηκότι οὐχ ἕπεται τὸ βίαιον εἶναι. ἔστι γὰρ καὶ ἄλλως ἀδικῆσαι δημοσίᾳ. [37] διόπερ ἐνταῦθα μὲν ὁ διώκων ἀμφότερα συλλαμβάνων ἐρεῖ· ἐκεῖ δὲ τὸ ἕτερον χωρίζει. τοῦτο οὖν πλέον ἔχει κεφάλαιον οὗτος ἐν τῇ διαιρέσει τοῦ ἀντονομάζοντος. καὶ

---

Sch. Ald. οὐ δημοσίᾳ, ut infra legitur. — Sq. αὐτὸν Sch. Ald. om. 31 Vind. Sch. Ald. φάσκῃ αὐτὸν μὴ βεβ. 32 Sch. Ald. ἑκάτερα. — v. sq. εἰ pro ἢν. 33 τὸ Vind. om. — Sqq. ἵνα μὴ — — ἑορτὴν ἀδικεῖν Par. 2977. et 2916. om. Ad marg. ἐν ἄλλοις καὶ τοῦτο πρόσκειται· ἵνα μὴ κ. τ. λ. 34 Sch. Ald. τό. 35 Vind. τὸ om. Par. ad marg. γρ. τὸ κλέπτῃ εἶναι ἀν. sq. καὶ Sch. Ald. Vind. om. tum Vind. legit: ἱερῶν δήπουθέν ἐστι. 36 Par. βιαίῳ. 37 Ald. Vind. δημόσια. Port. Mon. Sch. Ald. δημοσίᾳ.

διαφέρουσα δηλαδὴ καὶ ἡ διαίρεσις γίνεται [38] διὰ τοῦτο πρὸς τὸν ἀντονομάζοντα.

Τρίτος ὁ κατὰ πρόσωπα διπλοῦς· γίνεται [39] δὲ ὅταν πρᾶγμα ὁλόκληρον ὑπὸ δυοῖν ᾖ πεπραγμένον, ἢ ἄλλως [40] δύο προσώποις τισὶν ὑπάρχον. οἷον, νόμος [41] τὰς ἱερωσύνας τοὺς παῖδας διαδέχεσθαι. παῖδα ἔχων ἱρίστευσέ τις, καὶ ᾔτησεν ἱερωσύνην τινὸς ἀφελέσθαι καὶ αὐτοῦ παῖδα ἔχοντος, ἔλαβε· τεθνᾶσιν ἀμφότεροι· καὶ ἀμφισβητοῦσιν οἱ [42] παῖδες ὑπὲρ τῆς ἱερωσύνης. τίς γὰρ ὁ τοῦ ἱερέως παῖς οὔσης τῆς ζητήσεως, τῷ μὲν ἡ ἀρχὴ ὑπάρχει τὸ [43] γεγενῆσθαι ἐν τῇ ἱερωσύνῃ· τῷ δὲ τὸ τέλος, τὸ ἱερέα ἔτι ὄντα [44] τεθνάναι αὐτῷ τὸν πατέρα. καὶ τοῦτον [45] δὲ παραπλησίως διαιρήσεις, κεφάλαιον ἀντιτιθεὶς κεφαλαίῳ.

Τέταρτος ὁ ἐμπίπτων, ὅταν, ὥσπερ ἐν στοχασμῷ, μεταξὺ τῶν κεφαλαίων ἄλλο ἐμπέσῃ ζήτημα ὁλόκληρον. οἷον, ἀμύητος ὄναρ ἰδὼν τὰ μυστήρια ἤρετό τινα μυηθέντα, [46] εἰπὼν ἃ εἶδεν, εἰ οὕτως ἔχοι. [47] συγκατέθετο ὁ ἐρωτηθείς, καὶ ὡς ἐξειπὼν ὑπάγεται. τί γὰρ τὸ ἐξειπεῖν [48] οὔσης τῆς ζητήσεως, καὶ ταύτης μέχρι τοῦ πρός τι προϊούσης, [49] ἐμπεσεῖται καὶ, τίς ὁ ἀμύητος, ἄλλο ζήτημα. καὶ διαιρήσεις γε καὶ τοῦτο πᾶσι τοῖς ἑξῆς, [50] μέχρι τοῦ πρός τι. εἶτα κοινὰ ποιήσεις [51] τὰ λοιπὰ κεφάλαια.

Πέμπτον εἶδος οἱ δύο καλούμενοι ὅροι. ὃ γίνεται, ὅταν περὶ δύο ὀνομάτων ἐφ' ἑνὸς προσώπου ἡ ζήτησις

---

38 *γίνεται* Vind. om. 39 Par. Vind. *διπλοῦς γίνεται, ὅταν πρᾶγμα.* 40 Mon. *ὅλως.* 41 *νόμος* Par. Vind, Mon. Sch. Ald. [T. IV. p. 560.] om. 42 Sch. Ald. *ἀμφότεροι οἱ παῖδες.* tum Par. Vind. *ὑπὲρ* om. 43 Ald. *τά.* Port. Mon. *τό.* Par. *τῷ.* Sch. Ald. *τοῦ.* 44 *ἔτι ὄντα* Vind. om. 45 Par. *τοῦτο.* 46 *μυηθέντα.* Par. om., tum legit: *ἃ οἶδεν.* 47 Vind. *ἔχει.* 48 Par. *εἰπεῖν.* 49 Ald. Port. *περιϊούσης.* Par. Mon. Vind. *προϊούσης.* 50 Par. *ἐφεξῆς.* 51 Vind. *ποιήσεις κοι-*

ξῃ, οὐκ ἀντονομαζομένων. οἷον, τὸν καθαρὸν καὶ ἐκ καθαροῦ ἱερᾶσθαι. πατέρα τις [52] μοιχὸν ἀποκτείνας εἴργεται ἱερᾶσθαι. ἡ γὰρ ζήτησις, τίς ὁ καθαρὸς, καὶ τίς ὁ ἐκ καθαροῦ. καὶ χρὴ τὸ ἕτερον πρότερον τελείως ἐπελθόντα τοῖς κεφαλαίοις, αὖθις ἐπὶ τὸ ἕτερον ἐξ ἀρχῆς ἰέναι. Ταῦτα [53] περὶ ὅρου.

## Cap. V.

### ΠΕΡΙ ΑΝΤΙΛΗΨΕΩΣ.

Ἡ δὲ ἀντίληψις διαιρεῖται προβολῇ, μορίοις δικαίου, προσώπῳ, ὅρῳ, καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ, μέχρι τοῦ πρός τι, [1] αὐτῇ τῇ ἀντιλήψει, μεταλήψει, ἀντιθέσει, ἑτέρᾳ μεταλήψει, θέσει, ποιότητι καὶ γνώμῃ. ἡ προβολὴ γίνεται, ὡς καὶ ἐν τῷ ὅρῳ. τὸ δὲ μόριον τοῦ δικαίου ταὐτὸν μέν ἐστι τῇ ἀντιλήψει· διαφέρει δὲ, ὅτι ἐνταῦθα μὲν ἄνευ τε κατασκευῆς ἁπλῶς κατ' ἀρχὰς τίθεται, καὶ ἐν παραγραφικοῦ μοίρᾳ, ἐκεῖ δὲ ὡς ἕτερος. οἷον, ζωγράφος ναυάγια γράψας πρὸ τῶν λιμένων ἀνέθηκε, καὶ μηδενὸς καταίροντος δημοσίων ἀδικημάτων φεύγει· ἡ μὲν προβολὴ φανερὰ, τὸ δὲ μόριόν τοῦ δικαίου, εἰ μὴ δεῖ ἐπὶ τούτοις κρίνεσθαι, ἃ [2] μηδεὶς κεκώλυκε νόμος. τὸ πρόσωπον, εἰ καὶ δεῖ, ἀλλὰ δημοσίων γε οὐ τοὺς ἰδιώτας, τοὺς [3] δὲ ῥήτορας, ἢ τοὺς πρεσβευ-

---

νά. Sch. Ald. [T. IV. p. 570.] κοινὰ om. 52 Vind. μοιχὸν ἀποκτ. τις. 53 Par. τοσαῦτα.

1 Sch. Ald. [T. IV. p. 591.] addunt: οἷον ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι, πρός τι. — v. sq. Ald. ῳ ιότητι. sq. καὶ Par. om. — v. 14. Cod. Par. Scholiorum Ald. τε ante κατασκευῆς om. 2 Sch. Ald. ὅ. 3 Vind. ἀλλὰ ῥήτορας ἢ πρεσβ. — v. sq. Ald. δύναιτ' ἄν. Sch. Ald. [T. IV.

τὰς, ἢ τοὺς στρατηγοὺς, ἢ τὰ ὅμοια· οὗτοι γὰρ καὶ δύναιντ' ἂν ἀδικεῖν δημοσίᾳ, [4] ὅτι καὶ τὰ δημόσια πράττουσιν, οἱ δὲ ἰδιῶται οὐδέν. ὁ ὅρος, ὅτι ἐπ' ἄλλοις αἱ τῶν δημοσίων ἀδικημάτων γραφαί. οἷον, ναῦς προδοῦναι, τείχη, συμμάχους, καὶ τὰ ὅμοια, ἕπεται οὖν ἀναγ- 5
καίως ὁ συλλογισμὸς, καὶ [5] ταῦτα κἀκεῖνα δημόσιον ἀδίκημα, καὶ οὐδὲν διαφέρει. πλειόνων γὰρ ὄντων τῶν τρόπων, καθ' οὓς ἄν τις ἀδικήσειεν, οὐκ εἰ μὴ κατὰ πάντας τις ἀδικεῖ, διὰ τοῦτο ἀθῷος ἔσται, ἀλλ' εἰ καὶ [6] καθ' ἕνα, δώσει δίκην, [7] καὶ ἐπιχειρήσει δηλαδή· γνώ- 10
μη νομοθέτου, εἰ ἐμπίπτοι, [8] χρήσεται ἑκάτερος πρὸς τὸ λυσιτελοῦν. ἡ πηλικότης, ὅτι μέγα τὸ γεγονός. τὰ πρός τι, ὅτι μεῖζον ἢ ἃ προβάλλεται· οἷον, τοῦ τὰς ναῦς ἢ τὰ τείχη προδοῦναι τὸ ἐν σπάνει πάντων [9] καταστῆσαι τῶν ἀναγκαίων, μηδενὸς καταίροντος τῶν ἐμπόρων. 15
ἐν δὲ τούτοις, [10] λέγω δὴ τῇ πηλικότητι καὶ τῷ πρός τι, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐμπίπτει ἀναγκαίως, πρὸς ἃ ἡ ἀντίληψις, ὡς ἐμάθομεν ἐν στοχασμῷ, [11] ὅτι ἔξεστι, καὶ οὐδεὶς κεκώλυκε νόμος. εἶθ' ἡ μετάληψις ἐνστάσει

---

p. 598.] δύνανται sine ἄν. 4 Par. Mon. Sch. Ald. δημόσια. pro ὅτι Mon. οἱ καὶ δημόσια πράττοντες. — v. 5. post συμμάχους Sch. Ald. addunt: τὰ ἄῤῥητα ἐξειπεῖν. 5 Sch. Ald. εἰ καί. — v. sq. post ὄντων Sch. Ald. Par. τῶν om. 6 καὶ Vind. om. 7 Vind. τὴν δίκην. 8 Par. Vind. Sch. Ald. ἐμπίπτοι. Ald. Port. Mon. ἐμπίπτει. Cod. Par. Scholiorum Ald. γνώμη, εἰ ἐμπίπτοι, νομ. 9 Ald. Sch. Ald. Port. πάντ. [Ald. πάτων] καταστῆναι τῶν ἀν. Mon. πάντ. τῶν ἀν. καταστῆναι. Par. Vind. Cod. Par. Scholiorum Ald. καταστῆσαι. 10 Par. ad marg. γρ. ἐπὶ δὲ τούτοις, λέγω τῇ πηλ. Vind. ἐπὶ δὲ τούτ. τῇ πηλικότητι λέγω. etiam Par. δὴ om. 11 Mon. Vind. Sch. Ald. ὡς ἐν στοχασμῷ ἐμάθ. Port. ἐν τῷ στοχ. tum Sch. Ald. καὶ κεκώλυκε νόμος οὐδείς. — v. 20. Cod. Par. Scholiorum Ald. ἐγχωρεῖ, Sch. Ald. οὐδὲν ἔξεστιν.

μὲν, εἰ ἐγχωροίη, ὅτι οὐδὲ ἔξεστιν. ἀντιπαραστάσει δὲ, ὅτι εἰ καὶ ἔξεστιν, ἀλλ' οὐκ ἐπὶ τούτοις, [12] οὐδὲ τοιαῦτα. ἡ δὲ [13] ἀντίθεσις ἐπὶ τούτου ἀντιστατικὴ γίνεται· οἷον, ὑπὲρ τῶν πλεόντων πεποίηκα, ἵνα εἰδότες οἵοις εἰκὸς αὐτοὺς [14] περιπίπτειν κακοῖς, εἰ παρὰ καιρὸν πλέοιεν, φυλάττοιντο· ἑτέρα μετάληψις, ἄλλως ἔδει συμβουλεύειν. καὶ τοίνυν εἰ ὁ διώκων χρήσεται [15] μεταλήψει, χρήσεται καὶ ὁ φεύγων πάλιν ἀντιλήψει. οἷον, ἕκαστος ὡς δύναται, συμβουλεύει, [16] καὶ οὐ κεκώλυται· ὁ ῥήτωρ τοῖς λόγοις, τῇ τέχνῃ ὁ ζωγράφος· καὶ γίνεται ἡ θέσις ἀκόλουθος. ἡ γὰρ θέσις ἔστι νῦν, ὅτι ἕκαστον δεῖ, ὡς δύναται, χρήσιμον γίνεσθαι τῇ πόλει· καὶ ὁ κατήγορος δὲ αὐτῇ χρήσεται, ἔστιν ὅτε ἀναστρέψας. οἷον, εἰ μὴ δεῖ ταῖς τέχναις ἁπλῶς καταχρῆσθαι ἐπὶ λύμῃ τῶν κοινῶν· ἡ ποιότης καὶ ἡ γνώμη ὡς ἐξετάζεται, ἐν ὅρῳ μεμαθήκαμεν. [17] ταυτὶ δὲ οὐχ ὡς διαιροῦντες εἴπομεν, πολλὰ γὰρ παρεῖται, ἀλλ' ὅσον ἐνδείξασθαι τὴν φύσιν τῶν κεφαλαίων.

Ἔστι καὶ [18] ἀντιλήψεων εἴδη πλείονα, καὶ ἁπλαῖ μὲν αὐτῶν δύο. διπλαῖ [19] δ' αὖ προηγουμένως μὲν δύο. γίνονται δ' [20] αὖ καὶ ἐπιπλοκαί τινες, ὡς καὶ πλείους εὑρίσκεσθαι. ἀλλὰ τὰ προειρημένα γε εἴδη μόνα μαθοῦσιν ὑπάρχει μὴ σφάλλεσθαι τῆς ὀρθῆς διαιρέσεως, μὴ δὲ

---

12 Mon. man. rec. τοιούτοις. tum Cod. Par. Scholiorum Ald. οὐδὲ ἐπὶ ταῦτα. 13 δὲ Mon. Vind. Sch. Ald. [T. IV. p. 616] om. — tum ad ἐπὶ τούτου Par. ad marg. γρ. ἐπὶ τούτοις. ita Vind. 14 Sch. Ald. αὐτοὺς εἰκός. — v. sq. Sch. Ald. p. 618. ἑτέρα μεταλήψει. 15 Vind. κέχρηται. 16 Cod. Par. Scholiorum Ald. συμβουλεύειν οὐ κεκώλυται. — v. sq. Vind. ὁ ζωγρ. τῇ τέχνῃ. v. 12. Sch. Ald. χρήσιμον γενέσθαι τῇ πόλει καὶ οὐ κεκώλυται. 17 Vind. μεμαθ. ἐν τῷ ὅρῳ. In Mon. τῷ manu rec. Sch. Ald. πῶς ἐξετάζεται, μεμ. ἐν ὅρῳ. 18 Mon. δὲ καί. 19 διπλαῖ δ' αὖ πρ. μὲν δύο Vind. om.

ἐν ἐκείνοις. διὸ καὶ περὶ τούτων λέξομεν. τῶν [20] οὖν ἁπλῶν ἡ μὲν ἀπ' αὐτοῦ τοῦ πεπραγμένου τὴν κρίσιν ἔχει. οἷον, Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον κατελθών, εἶτα ἔχων ἐν ἐκπώμασι τὰ περὶ Σικελίαν, φεύγει δημοσίων ἀδικημάτων. αὕτη τοῖς προειρημένοις κεφαλαίοις [21] τέμνεται κατὰ τὰ ἐμπίπτοντα, ἡ δὲ ἀπ' αὐτοῦ τοῦ πεπραγμένου καί τινος ἐπισυμβεβηκότος ἑτέρου τὴν κρίσιν ἔχει, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ τὰ ναυάγια γράψαντος, καὶ ἐπεὶ [22] μὴ κατῃρούσι τινες, κρινομένου· καὶ αὖ ἐπὶ τοῦδε, μετὰ Χαιρώνειαν [23] ἔπεμψε Φίλιππος διδοὺς αἱρεσιν, ἢ τοὺς δισχιλίους αἰχμαλώτους λαμβάνειν, ἢ τοὺς χιλίους νεκρούς· ἔπεισε Δημοσθένης τοὺς χιλίους ἑλέσθαι νεκρούς, [24] καὶ ἀποκτείναντος Φιλίππου τοὺς αἰχμαλώτους, δημοσίων ἀδικημάτων φεύγει. ἐν τοίνυν [25] ταῖς τοιαύταις ἀντιλήψεσιν ἴδιον κεφάλαιον παρὰ τὰ προειρημένα ἐστὶ τὸ παραγραφικόν, δυνάμενον καὶ πρὸ τῶν ἄλλων κεφαλαίων τίθεσθαι, καὶ μεταξὺ [26] αὐτῶν, καὶ ὅλως ὃν ἂν τρόπον λυσιτελῇ. ἔστι δὲ τόδε. ἐπὶ τίσι μὲ κρίνεις; εἰ μὲν ἐπὶ τοῖς ὕστερον πραχθεῖσιν, [27] οὐ δεῖ ἐφ' οἷς ἄλλοι ποιοῦσιν ἕτερον εὐθύνεσθαι, οὐδ' εἰ προσήκοντες εἶεν γένει, μήτι γε δὴ πολέμιοι, καὶ μηδὲν προσήκοντες. εἰ δὲ ἐφ' οἷς ἐξ ἀρχῆς συνεβούλευσα, ἢ ἔπραξα, τότε [28] ἔδει ἀντιλέγειν, ἢ εἴργειν. καὶ εἰ μὲν ἀντειπὼν ἠτ-

---

20 Ald. Port. Mon. τῶν μὲν οὖν. Par. Vind. μὲν om. — v. sq. Cod. Par. Scholiorum Ald. μετὰ Κύζικον. 21 Vind. addit: μόνοις. — v. sq. Sch. Ald. p. 628. ἑτέρου om. 22 Vind. Sch. Ald. ἐπειδή. 23 Ald. Port. Mon. μετὰ τὰ κατὰ Χαιρών. [Ald. Χερών.] Par. Vind. Cod. Par. Scholiorum Ald. μετὰ Χαιρώνειαν. Vide de hac βραχυλογίᾳ ep. crit. p. 26. 24 νεκροὺς Vind. om. 25 Vind. οὖν. — v. sq. Sch. Ald. κεφάλαιόν ἐστι παρὰ (ed. Ald. περὶ) τὰ προειρ. τὸ [Cod. Par. τὸ om.] παραγρ. 26 Vind. Par. Sch. Ald. καὶ μεταξὺ δέ. 27 Ald. Mon. Sch. Ald. προαχθεῖσιν. Port. Par. Vind. πραχθεῖσιν. 28 Vind. τό

τήθης, τί [29] βιάζῃ νῦν, καὶ οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν [30] ψηφισαμένων, ἢ καὶ μὴ κωλυσάντων κατηγορεῖς· εἰ δὲ οὐκ ἀντεῖπες, ἢ οὐκ [31] ἐκώλυσας, ἤτοι ἔχων τι βέλτιον εἰπεῖν ἢ πρᾶξαι, παρῆκας τοῦτο τότε, καὶ δύσνους ὢν ἐξελέγχῃ τοῖς κοινοῖς, ἢ οὐδὲν εἶχες ἀντιλέγειν, καὶ τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ ὁμοίως ἐμοὶ τῶν ὕστερον ἀποβεβηκότων, καὶ οὐ μηδενὸς προσδοκήσαντος γέγονε· καὶ [32] ἄξιος εἶ δίκην ὑπέχειν, εἰ δὴ κἀμὲ ἀξιοῖς· ἔτι ἐν ταῖς τοιαύταις ἀντιλήψεσι πρὸ τοῦ ἀντιθετικοῦ τοῦ ἐμπίπτοντος συγγνωμονικῷ πάντως χρηστέον κεφαλαίῳ· οἷον, οὐδεὶς οἶδε τὸ μέλλον. οὐκοῦν οὐδὲ ἐγὼ ἀγνοήσας ὑπεύθυνός εἰμι· μεταχειριεῖται δὲ αὐτό, [33] ὡς προσήκει, ὁ καὶ [34] τῆς ὅλης τέχνης τῆς ῥητορικῆς ἐπιστήμων. οὐ γὰρ ἱκανὸν τὸ διελεῖν μόνον εἰδέναι, ὅπερ καὶ μόνον τουτὶ τὸ βιβλίον ἐπαγγέλλεται, ἀλλὰ [35] καὶ τὸ εἰδέναι μεταχειρίζεσθαι. καὶ περὶ μὲν τῶν ἁπλῶν ἀντιλήψεων ταῦτα.

Τῶν δ' αὖ διπλῶν ἡ μέν ἐστι κατὰ συμπλοκήν, ἡ δὲ κατὰ διαίρεσιν. καὶ κατὰ συμπλοκὴν μέν, ὅταν δυοῖν ὄντοιν τοῖν ἐγκλημάτοιν, μὴ δύνηται χωρὶς ἑκάτερον [36] αὐτῶν εἶναι ἔγκλημα, μετὰ δὲ τῆς τοῦ ἑτέρου συμπλοκῆς· οἷον, ταῖς πάντων γνώμαις ἀντιλέγων τις αὐτὸς οὐδὲν ἀποφαίνεται, καὶ δημοσίων φεύγει. ἐνταῦθα ὅτι μὲν δύο ἀντιλήψεις, δῆλον. καὶ γὰρ λέγειν, καὶ μὴ λέγειν ἔξεστι·

---

τ' ἔδει. Sch. Ald. ἔδεν σέ. 29 τί Port. Par. om. 30 τῶν Ald. Mon. om., est in Vind. Par. Port. — mox Port. καὶ τῶν μή. 31 Sch. Ald. οὐδέ. v. 5. ὢν eadem om. 32 καὶ Cod. Par. Scholiorum Ald. om. tum Ald. καὶ ἐμέ. Port. Vind. Par. Mon. Sch. Ald. κἀμέ. 33 αὐτὸ Vind. om. 34 Ald. Mon. Vind. Par. Sch. Ald. καὶ ὁ. Port. Cod. Par. Scholiorum Ald. ὁ καί. 35 ἀλλὰ καὶ — μεταχειρίζ. Vind. om. — v. sq. τῶν Ald. Port. Mon. Sch. Ald. om., recepi ex Par. Ven. — μέν Par. om. 36 Sch. Ald. ἕτερον. — v. 22. cod. eorum Par. καὶ αὖ ὅτι καὶ δύο.

καὶ αὖ ὅτι δύο ἀντιθέσεις, ὁμοίως· οἷον, ἀντιλέγω· δεῖ γὰρ ἐφ' οἷς ἁμαρτάνουσιν οἱ λέγοντες, ἀντιλέγειν. πάλιν, οὐ λέγω· οὐδὲν [37] γὰρ δεῖ περὶ τῶν μὴ κατεπειχόντων λέγειν. ἀλλ' ἴδιον τοῦ εἴδους τούτου, τὸ δεῖν ἀπολογουμένους μὲν διαιρεῖν, καὶ χωρὶς περὶ ἑκατέρου [38] ποιεῖσθαι τὸν λόγον, κατηγοροῦντας δὲ συμπλέκειν. κατὰ διαίρεσιν δὲ διπλῆ ἀντίληψις γίνεται, ὅταν δύο ἐγκλήματα ᾖ δυνάμενα καὶ χωρὶς ἀλλήλων κρίσιν ἐπιδέχεσθαι· 32 οἷον, πολλάς τις ἀμείβων γυναῖκας, καὶ πολλοὺς τιθέμενος παῖδας κακοῦ βίου φεύγει. ἐνταῦθα ὁμοίως μὲν ὁ κατήγορος συμπλέξει, ὁ δὲ φεύγων διαιρήσει. δῆλον μέντοι, ὡς καὶ καθ' ἑαυτὸ ἑκάτερον ἐπιδεχόμενον κρίσιν αὐξήσεως μὲν ἕνεκα συμπλέκεται ὑπὸ τοῦ κατηγόρου, μειώσεως δ' αὖ χάριν διαιρεῖται ὑπὸ τοῦ φεύγοντος. ἐν δὲ τῷ προτέρῳ οὐκ αὐτὸ τοῦτο τῆς αὐξήσεως, ἢ τῆς μειώσεως ἕνεκα οὕτω γίνεται· ἀλλ' ὅτι μηδ' [39] ἄλλως κρίσιν δύναται ἐπιδέξασθαι τὸ πρᾶγμα, ἢ τοῦτον εἰσαγόμενον τὸν τρόπον, ἔφην δύνασθαι [40] καὶ πλείονα εἴδη εἶναι ἀντιλήψεων· αὐτίκα τόδε τῶν προειρημένων διαφέρει· οἷον, γράψάμενοί τινες [41] ἀλλήλους μοιχείας, καθυφέντες τὰς γραφὰς, ἤμειψαν τὰς γυναῖκας, καὶ φεύγουσι κακοῦ βίου. πρῶτον μὲν γὰρ δύο πρόσωπά ἐστι τὰ κρινόμενα, ἔπειτα τέσσαρες [42] ἀντιλήψεις, καὶ αὗται [43] παρ' ἀμφοῖν, καὶ τοσαῦται παραγραφαί· οἷον, γράφεσθαί τινα ἔξεστι, καὶ [44] πάλιν ἀναιρεῖσθαι τὰς γραφάς. ἔξεστι [45] γαμεῖν, ὅθεν βούλεταί τις, καὶ [46] ἀποβάλλεσθαι

37 Cod. Par. Scholiorum Ald. οὐδέ. tum Vind. τῶν οὐ κατεπειχ. — mox Ald. τοῦ ἴδους τούτου. 38 Vind. ἑκάστου. 39 Mon. μηδέ. 40 Vind. Par. δύνασθαι εἶναι καί. Sch, Ald. p. 644. ἔφην δύνασθαι εἶναι sine καί. 41 Mon. μοιχείας τινὲς ἀλλ. Sch. Ald. τινὲς μοιχ. ἀλλήλοις. 42 Mon. Vind. τρεῖς. 43 Vind. καὶ αὗται παρ' ἀμφ. om. Par. ad marg. γρ. καὶ ταῦτα παρ' ἀ. 44 καὶ Vind. om. 45 Vind. γῆμαι. omisso ἔξεστι. 46

τὴν οὖσαν γυναῖκα. ταῦτα πάντα οὐ κεκώλυται· καὶ τούτων γε ἑκάστην [47] ἀνάγκη λύειν τῷ κατηγόρῳ. φανερὰ δὲ ἡ μέθοδος ἐπ' ἀμφοῖν, ἐπί τε τοῦ κατηγόρου, καὶ ἐπὶ τοῦ φεύγοντος ἀπὸ τῶν προειρημένων.

Ἔστι δὲ καὶ ἄλλα εἴδη [48] ἀντιλήψεων, ἃ περιττὸν ἂν εἴη λέγειν νῦν. [49] πᾶσαν γὰρ ἀντίληψιν τοῖς προειρημένοις [50] ἄν τις ὀρθῶς ἑπόμενος διαιροίη.

---

## Cap. VI.

### ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΘΕΤΙΚΩΝ, [1] ΑΝΤΙΣΤΑΣΕΩΣ, ΑΝΤΕΓΚΛΗΜΑΤΟΣ, ΜΕΤΑΣΤΑΣΕΩΣ, ΣΤΙΓΝΩΜΗΣ.

Αἱ ἀντιθετικαὶ πᾶσαι [2] διαιροῦνται προβολῇ, ὅρῳ, ἔστιν ὅτε καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ, μέχρι τοῦ πρός τι, διανοίᾳ, αὐτῇ τῇ ἀντιθέσει, ἥ ἐστιν ὁμώνυμος τῇ στάσει αὐτῇ [3] τοῦ ζητήματος, ἀντιστατικῇ, ἢ ἀντεγκληματικῇ, ἢ μεταστατικῇ, ἢ συγγνωμονικῇ, ἑτέρᾳ [4] διανοίᾳ, μεταλήψει, πρός τι, ὅρῳ βιαίῳ, θέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, ποιότητι καὶ γνώμῃ. ἡ προβολὴ φανερὰ ἀπὸ τῶν συμβεβηκότων. τῷ δὲ ὁρικῷ [5] ὅτε ἐμπίπτει ὁμοίως χρησόμεθα, καθάπερ καὶ ἐν τῇ ἀντιλήψει προείρηται,

---

Sch. Ald. καὶ πάλιν. ἀποβάλλ. 47 Cod. Par. Scholiorum Ald. ἑκάστην γε. 48 Vind. εἴδη ἄλλα. 49 Vind. νυνί. 50 Par. ad marg. γρ. τοῖς προειρ. ἑπόμενος ὀρθῶς ἄν τις διαιροίη. ita Mon.

1 Vind. περὶ τῶν ἀντ. αἳ εἰσι τέσσαρες, ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη. Mon. ἀντιστάσεως — συγγνώμης om. 2 πᾶσαι Sch. Ald. p. 650. om. 3 Sch. Ald. αὐτοῦ. mox ἢ ante ἀντεγκλ. Par. om. 4 Mon. Vind. πάλιν, διανοίᾳ. 5 Par. 1. 2. ὁριστικῷ. ad marg. γρ. τῷ δὲ ὁρικῷ· ὁμοίως δὲ γράφεται καὶ ἐν τοῖς ἑφεξῆς δυσίν. — tum Mon. ἐμπίπτοι.

καὶ μετὰ τὴν αὔξησιν δηλαδὴ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐστὶ, πρὸς ἃ τῇ διανοίᾳ ὁ φεύγων χρήσεται· [6] παράδειγμα δὲ [7] ἔστω τόδε. Ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε, καὶ φεύγει φόνου, [8] τὸ μὲν οὖν ὁρικὸν [9] οὐκ ἐμπέπτωκε· μετὰ δὲ τὴν προβολὴν θήσει ὁ κατήγορος τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους; ἐπειδὴ μὴ ἐμπέπτωκε τὸ ὁρικὸν, πρὸς ἃ ὁ φεύγων τῇ διανοίᾳ χρήσεται, ἀξιῶν μὴ τὸ γεγονὸς μόνον ἐξετάζειν, ἀλλὰ καὶ μεθ᾽ ἧς γνώμης· πρῶτον μὲν ὅτι οὐ δύσνους ὢν, οὐδὲ ἐπιβουλεύων τῷ παιδὶ, ἔπειτα ὅτι ἄκων μὲν, ἀναγκαίως δέ· εἶτα ἡ ἀντίθεσις ἐνταῦθα ἀντεγκληματικὴ [10] ἐμπέπτωκεν, ὅτι ἀξιος ἦν· καὶ τόπον ἐρεῖ κατὰ πόρνου. ἐν πάσῃ γαρ ἀντιθέσει [11] ἀντεγκληματικῇ ἀντίθεσις τοπικὴ γίνεται. ἐρεῖ δέ τι [12] καὶ ἀντιστατικὸν, ὡς ὅτι τοὺς τοιούτους οὐ δεῖ ἐλεεῖν, ἀλλὰ μᾶλλον ἀναιρεῖν. καὶ ὑπὲρ αὐτοῦ πεποίηκε τοῦτο τοῦ παθόντος· [13] ὅλως τε πᾶσαι αἱ ἀντιθετικαὶ ἀλλήλαις ὡς ἐπὶ τὸ πλεῖστον συμπλέκονται, καὶ οὐ μόνον ἀλλήλαις, ἀλλὰ καὶ ταῖς [14] ἄλλαις στάσεσιν.

Ἡ ἑτέρα διάνοια τοῦ διώκοντός ἐστιν, ὅτι οὐ διὰ τοῦτο, ἀλλὰ δι᾽ ἄλλο τι. χρὴ δὲ γινώσκειν, ὅτι εἰ καὶ μὴ [15] ἐνταῦθα πάνυ οἰκεῖον τὸ κεφάλαιον, ἀλλ᾽ ἐν ἑτέ-

---

6 Vind. addit: ἀξιῶν μὴ τὸ γεγονὸς μόνον ἐξετάζειν, ἀλλὰ καὶ μεθ᾽ ἧς γνώμης. 7 Vind. δ᾽ ἔστω. 8 Par. Sch. Ald. φόνου φεύγ. 9 Sch. Ald. Vind. et paullo post: ὁριστικόν. 10 Vind. ἡ ἀντεγκ. 11 ἀντιθέσει Vind. om. Par. ἀντεγκληματική. ad marg. ἐν ἄλλοις οὕτως εὑρήσεις· ἐν πάσῃ γὰρ ἀντεγκληματικῇ ἡ ἀντίθεσις τοπικὴ γίνεται. Mon. ἐν πάσῃ γὰρ ἀντεγκλ. ἀντιθέσει τοπικὴ γίνεται καταδρομή. 12 τι Par. Sch. Ald. p. 673. om., ad marg. ἐρεῖ δέ τι καὶ ἀντιστατικὸν, ὡς ὑπὲρ αὐτοῦ πεποίηκε. Vind. Mon., qui vv. ὅτι τοὺς τοιούτ. — ἀναιρεῖν et ipsi omittunt, legunt: ὡς καὶ ὑπέρ. 13 Par. πεπονθότος. 14 Cod. Par. Scholiorum Ald. ἀλλὰ καὶ στάσεσιν ἄλλαις. — v. sq. ὅτι in Mon. man. rec. supra lin. scriptum est. 15 Ald. Par. Mon. μέν, Port. Vind. μή. Sch. Ald. p. 677. καὶ om.

ροις οἰκειότατόν τε ὁμοῦ καὶ χρησιμώτατον [16] εὑρίσκεται· ἡ μετάληψις, ὅτι ἄλλως, οὐχ [17] οὕτως ἐχρῆν. τὸ πρός τι ἀμφοῖν ἐστιν· πότερον μεῖζον ἀνταποδεικνύντων τὸ εὐεργέτημα, ἢ τὸ ἀδίκημα. ὁ βίαιος ὅρος ὁμοίως ἀμφοτέρων ἐστίν· γνωριμώτερον δὲ ἔσται τὸ κεφάλαιον ἐπὶ τούτου [18] τοῦ ζητήματος. ἐν λιμῷ καὶ πολιορκίᾳ συμβουλεύων ὁ στρατηγὸς ἐξιέναι καὶ μάχεσθαι οὐκ ἔπεισε. διέ-
33 κοψε λαθὼν τοῦ τείχους μέρος τι, [19] καὶ νενικήκασι μὲν [20] ἐξελθόντες, δημοσίων δὲ ὕστερον [21] φεύγει. ὁ οὖν βίαιος ὅρος, εἰ μηδὲ [22] νίκη τοῦτο, ἀλλ' ἅλωσις πόλεως καὶ κατασκαφή. καὶ πάλιν ὑπὸ τοῦ φεύγοντος ὡς ἑτέρως· εἰ μηδὲ διακόψαι τεῖχος τοῦτό ἐστιν, ἀλλὰ στῆσαι πεπτωκός· ἡ θέσις οὖν ἕπεται ἀκολούθως, ὅτι δεῖ τὸν στρατηγὸν καθ' [23] ὃν ἂν ἐγχωρῇ τρόπον εὖ ποιεῖν τὴν πόλιν, καὶ ἀκόντων ἐνίοτε τῶν πολιτῶν δι' ἄγνοιαν τοῦ βελτίστου, καὶ βλάπτειν μικρὰ ἀντὶ μεγάλων. κοινὸν γὰρ τοῦτο ἐν πάσῃ ἀντιθέσει· [24] ἡ ἑτέρα μετάληψις πάλιν τοῦ διώκοντός ἐστιν. ἐχρῆν αὐτὸ τοῦτο ἀνακοινοῦν τῷ δήμῳ, τοῖς ταξιάρχαις, τοῖς λοχαγοῖς. ἡ ἀντίληψις, στρα-
20 τηγος ἦν· καὶ ἐξῆν δήπου, ὅτι [25] πατρί γε ὄντι ἐξὸν ἦν μοι [26] βουλεύσασθαι περὶ τοῦ παιδός· καὶ ὅλως τοῖς ἐμπίπτουσι χρήσομεθα, ὡς ἂν ὁ καιρὸς διδῷ· ἡ ποιότης καὶ ἡ γνώμη ὡς γίνεται, ἐν ὅρῳ μεμαθήκαμεν. ἐπειράθησαν δέ τινες τῶν ἐπιγραψαμένων [27] τέχνην ῥητορικὴν

---

16 Par. χρησιμώτερον. 17 Par. ad marg. γρ. ὅτι ἄλλως καὶ οὐχ οὕτως. — v. sq. Sch. Ald. p. 679. μεῖζόν ἐστιν. 18 Mon. Sch. Ald. τοῦδε. 19 Mon. Vind. μέρος τοῦ τείχους. Par. Sch. Ald. μέρος τι τοῦ τ. 20 μὲν Par. om. 21 Port. add. ἀδικημάτων. 22 Mon. εἰ δὲ μὴ δὲ νίκη. v. 12. Sch. Ald. εἰ μὴ διακόψαι. 23 Vind. Sch. Ald. στρατ. πάντα ὃν ἄν. [Sch. Ald. ἄν om.] 24 Vind. ἐν πάσῃ τῇ θέσει. 25 Ald. Mon. ἢ [Mon. ἢ om.] ὅτι γε πατρί γε. Port. Par. Vind. ὅτι πατρί γε. Sch. Ald. ἢ ὅτι πατρί γε. 26 Ald. Port. Par. Mon. μή. Vind. μοι. Sch. Ald. om. 27 Vind. ἐπιγραψάντων.

τὸ περὶ διαιρέσεως μέρος αὐτῆς εἴδη τινὰ εἰπεῖν ἀντιστάσεων, καὶ νὴ Λία γε τῶν ἄλλων ἀντιθετικῶν στάσεων· οὐχ ἵνα διάφορόν τινα οὖσαν τὴν [28] διαίρεσιν ἐν αὐταῖς διδάξωσιν ἡμᾶς, καθάπερ καὶ [29] ἡμεῖς ἔν τε ἀντιλήψει καὶ ἐν [30] ἄλλοις πεποιήκαμεν· ἦ γὰρ ἂν ἴσως τινὸς ἦν ἄξιον· ἀλλ᾽ ὅτι, φασὶν, ἡ μὲν ἰδιωτικὴ, ἡ δὲ δημοσία, ἡ δὲ μικτή ἐστι, καὶ τοιαῦτά τινα· τὸ δὲ αὐτὸ ἁμάρτημα κἀνταῦθα τῷ ἐν τοῖς [31] περὶ τῶν ἰδεῶν καὶ τρόπων. τουτὶ γὰρ πάλιν τοῖς μὲν περὶ ἰδιωτικοῦ, καὶ δημοσίου λόγου ἐπεσκεμμένοις χρήσιμον.

Θαυμάζω δὲ [32] εἰ ἐγχωρεῖ τὸν περὶ διαιρέσεως ἔτι τοιαύτης ἀγνοοῦντα ἐκεῖνα εἰδέναι. μὴ γινώσκοντι δὲ τί ἂν ὄφελος γένοιτο τῆς διαφορᾶς τῶν ζητημάτων, ὅτι ἰδιωτικὸν ἢ ὅτι δημόσιόν ἐστιν· ἔτι τὴν συγγνώμην ἀπὸ τῆς μεταστάσεως, οὐ τῷ ἀνευθύνῳ καὶ ὑπευθύνῳ [33] ἐχώρισάν τινες, ἀλλ᾽ ἁπλῶς τὰ μὲν εἴς τι τῶν ἔξωθεν μεθιστάντα τὸ ἀδίκημα πάντα μεταστατικὰ εἰρήκασιν εἶναι, ἐάν τε χειμὼν, ἐάν τε βάσανοι, ἐάν τε ἄλλο τι [34] τοιουτότροπον ᾖ. τὰ δὲ εἰς ἴδιόν τι πάθος ψυχῆς [35] μόνα συγγνώμης εἶναι ὡρίσαντο, οἷον, ἔλεον, ἢ οἶκτον, [36] ἤ τι τοιοῦτον, καὶ ἴσως ταῦτα οὐ κακῶς· διαφέρει δὲ οὐδὲν πλὴν τοῦ ὀνόματος τῆς συγγνώμης, ᾧ κἂν ταῖς μεταστάσεσι πολλάκις ἄν τις [37] χρήσαιτο καλῶς, κἂν ταῖς ὁμολογουμέναις

28 Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τὸ τὴν ἄρθρον. 29 καὶ Ald. Port. Par. Sch. Ald. p. 683. om., recepi ex Vind. Mon. tum Vind. ἐν τῇ ἀντιλ. 30 ἐν Par. om. 31 Sch. Ald. p. 683. κἀνταῦθα τοῖς περὶ ἰδεῶν. etiam Vind. τῶν om. 32 Mon. δ᾽ εἰ. Cod. Par. Scholiorum Ald. ad marg. εἰ ἐγχωροίη. — v. 11. Sch. Ald. μὴ γιγνώσκοντι. 33 Vind. Sch. Ald. p. 687. ὕπευθύνῳ. Ald. Port. Mon. ἐπευθ. tum Ald. ἐχώρησαν. Port. Mon. Vind. Sch. Ald. ἐχώρισαν. 34 τι Ald. om., est in Port. Par. Vind. Mon. 35 Vind. ψυχῆς πάθος μόνα συγγνώμην. 36 Vind. Mon. ὕπνον, ἤ εἴ τι τοιοῦτον. Cod. Par. Scholiorum Ald. ἔλεον, ὕπνον. 37 Vind. τις ἄν.

συγγνώμαις. πάλιν αὖ τῇ μεταστάσει [38] τοὐναντίον χρήσεται. τουτὶ δὲ οὐ τοῦ διαιρετικοῦ εἴδους οἶμαι, τοῦ δὲ τοῖς καιροῖς εἰδέναι χρῆσθαι, καὶ μεθοδεύειν ὀρθῶς τὰ νοήματα.

---

## Cap. VII.

### ΠΕΡΙ ΠΡΑΓΜΑΤΙΚΗΣ.

Ἡ πραγματικὴ διαιρεῖται νομίμῳ, [1] δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ, τῷ [2] ἐκβησομένῳ. ἔστι δὲ ἡ μὲν ἔγγραφος, ἡ δὲ ἄγραφος. ἔγγραφος μὲν ἡ ἀπὸ ῥητοῦ τὸ ζήτημα ἔχουσα. οἷον, [3] ἐν τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι νόμος ἐκέλευεν. [4] Ἐλάτειαν ἔχοντος Φιλίππου, γράφει Δημοσθένης αὐθημερὸν ἐξιέναι. ἄγραφος δὲ ἡ μὴ ἀπὸ ῥητοῦ. οἷον, ἀξιοῖ μετὰ τὰ κατὰ Πύλον [5] Κλέων Πύθιος καλεῖσθαι. τὸ τοίνυν νόμιμον ἐν μὲν τῇ ἐγγράφῳ μιᾷ τῶν νομικῶν ὑποπίπτει στάσεων, καὶ κατ' αὐτήν γε διαιρεθήσεται· αὐτίκα δὲ περὶ τῶν νομικῶν στάσεων λέξομεν. ἐν δὲ τῇ ἀγράφῳ τὸ ἔθος ὡς νόμιμον ἐξεταστέον. οἷον, ὅτι καινὰ ἀξιοῖς, καὶ οἷα καὶ ὅσα [6] οὐδείς πω πρότερον· ταῦτα δὲ πάλιν ἐνστάσει καὶ ἀντιπαραστάσει μεθοδεύσομεν. ἀντιπαραστάσει μέν, οἷον, Κλέων ἀξιοῖ μετὰ τὰ ἐν Πύλῳ Πύθιος καλεῖσθαι· καινὰ ἀξι-

---

38 Ald. Par. Sch. Ald. τοὐναντ. τῇ μετασ. Par. Vind. Mon. τῇ μετασ. τοὐναντίον. Ad marg. Par. πάλιν αὐτῇ.

1 Sch. Ald. νόμῳ. 2 τῷ Cod. Par. Scholiorum Ald. om. — tum Par. ad marg. γρ. ἡ μὲν ἔγγρ. πραγματική, ἡ δὲ ἄγρ. ita Ald. Port. Vind. Mon. Sch. Ald., omisi πραγμ. cum Par. 3 Sch. Ald. p. 717. οἷον νόμου κελεύοντος ἐν ἡμ. τρισὶ περὶ πολ. βουλεύεσθαι, Ἑλ. 4 Ald. ἐκέλευε. tum Mon. Vind. αὐθημερὸν γράφει Δημ. 5 Ald. Πύλων. 6 Vind. καὶ οἷα ὅσα.

ἀξιοῖς· καινὰ ἀξιῶ. καινὰ γὰρ καὶ τὰ πεπραγμένα· ἐνστάσει δὲ, εἶτα μέν τοι οὐδὲ καινά. καὶ γὰρ καὶ [7] Περικλῆς Ὀλύμπιος ἐκλήθη. ποτέρῳ δὲ πρότερον χρηστέον, τῇ ἐνστάσει, ἢ τῇ ἀντιπαραστάσει, οἱ καιροὶ διδάσκουσιν, ὡς καὶ ἐν [8] στοχασμῷ διωρισάμεθα. 5

Τὸ δίκαιον μιᾷ τῶν δικαιολογικῶν ὑποπίπτει· [9] καὶ κατ' ἐκείνην γε διαιρεθήσεται, ὡς ἂν ἐγχωρῇ, τοῖς κεφαλαίοις.

Τὸ συμφέρον διττόν [10] ἐστιν, ὅτι χρήσιμον, καὶ ὅτι ἀναγκαῖον. οἷον, [11] χρήσιμον προσλαβεῖν Ὀλυνθίους, μᾶλλον δ' ἀναγκαῖον, ἵνα μὴ μέγας ὁ Φίλιππος ἐλὼν ἐκείνους γένηται καθ' ἡμῶν. τοῦτο δὲ διχῶς ἐξετάσεις· τί ποιοῦσιν ἡμῖν τόδε τι πρᾶγμα, περὶ οὗ ἡ βουλὴ, συμβήσεται, καὶ τί μὴ ποιοῦσιν. ἑκάτερον δὲ αὐτῶν πάλιν τετραχῶς. οἷον, εἰ μὲν ἑλοίμεθα αὐτὸ, [12] τὰ μὲν ὑπάρχοντα ἡμῖν ἀγαθὰ παραμενεῖ, καὶ τὰ οὐκ ὄντα προσέσται. τὰ δ' αὖ ὑπάρχοντα φαῦλα ἀποτριψόμεθα, [13] καὶ τὰ οὐκ ὄντα οὐ προσληψόμεθα. εἰ δὲ μὴ ἑλοίμεθα, τὰ μὲν ὑπάρχοντα ἀγαθὰ ἀπολεῖται. τὰ δ' οὐκ ὄντα μὲν, [14] προσγενησόμενα δ' ἄν, οὐ προσέσται. καὶ πάλιν, τὰ μὲν ὑπάρχοντα

34 10 15 20

---

7 καὶ Vind. om. — tum Vind. πότερον δὲ ποτέρῳ. 8 Vind. ἐν τῷ στοχ. 9 Ald. ὑποπίπτειν. καὶ κατ' ἐκκείνην. [sic] sq. γε. Sch. Ald. p. 731. om. 10 Sch. Ald. p. 737. διπλοῦν. — ante ἀναγκαῖον eadem om. ὅτι. 11 Par. ad marg. γρ. οἷον ὅτι χρήσ. — tum Ald. Port. Sch. Ald. προλαβεῖν. Par. Vind. Mon. Cod. Par. Scholiorum Ald. προσλαβεῖν. tum Vind. Ὄλυνθον. 12 Ald. αὐτῷ. Port. Par. Sch. Ald. αὐτό. Scholiorum Cod. Par. εἰ μὴ ἕλοίμεθα αὐτὸ, omisso οἷον. — mox Sch. Ald. παραμενεῖ, τὰ δὲ οὐκ ὄντα. 13 Ald. Port. Mon. Sch. Ald. ἀποτρεψόμεθα. Par. Vind. ἀποτριψ. 14 Sch. Ald. τὰ δὲ οὐκ ὄντα μὲν [Cod. Par. μὲν om.] tum Ald. Port. Sch. Ald. δέ. Par. Mon. Vind. Scholiorum Cod. Par. δ' ἄν. In Mon. manu prima προσγενησόμενον. manu secunda —να.

φαῦλα παραμενεῖ, τὰ δὲ [15] οὐκ ὄντα προσέσται· τὸ δ' αὖ δυνατὸν ὑποδιαιρήσεις· πρῶτον μὲν ὅτι οὐ χαλεπὸν δεικνὺς, ἐνστάσει χρώμενος, εἶτα ἀντιπαραστάσει, ὅτι εἰ καὶ χαλεπὸν, ἀλλ' ἀναγκαῖον. καὶ ὅτι δεῖ ὑπὲρ τῶν χρηστῶν καὶ πόνους καὶ κινδύνους ὑφίστασθαι· καὶ ὅτι ὑπὲρ τοῦ μὴ χαλεπωτέροις περιπεσεῖν. εἶθ' ὅτι καὶ ῥᾴδιον. ἐὰν δὲ περὶ πολέμου, ἤ τινος τοιούτου [16] ᾖ, τὸ δυνατὸν ἀπὸ τῶν παρακολουθούντων τοῖς προσώποις σκόπει, ὡς ἐν Ὀλυνθιακῶν δευτέρῳ [17] ὁ Δημοσθένης, „πῶς ἔχει Φίλιππος, ὅτι ἀθυμεῖ, ἢ ὡς τὰ ἔξωθεν, οἷον Θετταλοὶ, Ἰλλυριοὶ, τὰ χρήματα, οἱ περὶ αὐτὸν ξένοι καὶ πεζέταιροι," καὶ τὰ ἑξῆς. τούτῳ δὲ ἀντέκειτο μὲν ἡ περὶ τῆς Ἀθηναίων δυνάμεως ἐξέτασις. διότι δὲ παρῆκεν αὐτὴν ὁ ῥήτωρ, ὁ τὸν λόγον ἐξετάζων κατὰ θεωρίαν δείξει δηλαδή· ἀλλ' ἥ γε διαίρεσις ἀπαιτεῖ· θαυμαστὸν δὲ οὐδὲν εἰ παρεῖται, ἐπεὶ καὶ τῶν ἄλλων κεφαλαίων τινὰ ἔγκειται, καὶ παραλέλειπται κατὰ φύσιν· καὶ ἡμεῖς πολλάκις παρελίπομεν, [18] οὐκ ἐν πραγματικῇ μόνον, ἀλλὰ καὶ πανταχοῦ. τὴν μὲν γὰρ ὁδὸν ἡ τέχνη δείκνυσι τῆς διαιρέσεως· τῇ δὲ φύσει τοῦ πράγματος τὴν τέχνην προσακτέον κατὰ τὸ ἐγχωροῦν· τὸ μὲν γὰρ τῆς [19] εὑρέσεώς ἐστι, τὸ δὲ τῆς κρίσεως. ἄλλως τε οὐχ ὅσα ἂν [20] εὕρωμεν, ἐροῦμεν, ἀλλ' ὅσα ἂν κρίνωμεν εἶναι

---

15 Vind. δ' οὐκ. — v. 3. Sch. Ald. τῇ ἐνστάσει χρ. — ὡς εἰ καὶ χαλ. 16 Vind. τοιούτου τινός. tum Ald. τὸν δυνατόν. 17 Cod. Par. Scholiorum Ald. ἐν τῷ Ὀλυνθιακῷ δευτ. — Post Φίλιππος Vind. add. ψυχῆς. respicere videtur ad Ol. I. p. 15. — Mox Ald. Port. Mon. πεζαίτεροι. Par. πεζαίτειροι. Vind. πεζέταιροι. Ol. II. p. 23. 18 Sch. Ald. p. 746. παραλείπομεν. — v. 20. Vind. τῇ φύσει δέ. 19 Vind. τῆς h. l. et ante κρίσ. om. 20 Ald. Par. Vind. Mon. Sch. Ald. ὅσα δ' ἄν εὕρ. — ὅσα δ' ἂν κρίν. Port. δ' om. Scholiorum Cod. Par. ὅσα δ' ἂν εὕρ. — ἀλλ' σα κρίνομεν. tum. Sch. Ald. εἶναι ῥητά.

ῥητέα. τὸ ἔνδοξον ὁμοίως τῷ συμφέροντι. οἷον, τίς δόξα ὑπάρχουσα ἡμῖν παραμενεῖ, καὶ τίς οὐκ οὖσα περιέσται, εἰ ποιοῖμεν ταῦτα περὶ ὧν ἡ βουλή· καὶ τίνα ἀπωσόμεθα ἀδοξίαν οὖσαν, καὶ τίνα οὐ προσληψόμεθα μὴ οὖσαν, [21] προσδοκωμένην δέ· καὶ πάλιν εἰ μὴ ποιοῖμεν, τίνα αἰσχύνην οὖσαν οὐκ ἀπωσόμεθα, καὶ τίς οὐκ οὖσα καταλήψεται ἡμᾶς, καὶ τίς ὑπάρχουσα, [22] ἡμῖν δόξα διαφεύξεται, καὶ μὴ ὑπάρχουσα, [23] προσγενομένη δ' ἂν οὐ προσέσται. τὸ δὲ ἐκβησόμενον καθ' ὑπόθεσιν λαμβάνεται ἐφ' ἑκάτερα τῶν ἀποβαινόντων· οἷον, ὅτι [24] ἐάν τε κρατήσωμεν, ἐάν τε μή, λυσιτελεῖ τὸ βοηθῆσαι. ἤδη δὲ καὶ τὸ ψηφίσασθαι μόνον, ὡς ἐν Φιλιππικοῖς. οἷον· Οὗτοι [25] παντελῶς, οὐδ' εἰ μὴ ποιήσετε, [26] νὴ Δία, ὡς ἔγωγε κρίνω, εὐκαταφρόνητον ἔσται, ἵν' ἢ διὰ τὸν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς [27] ἀπόσχηται, ἢ παριδὼν ταῦτα ἀφύλακτος ληφθῇ. καὶ πάλιν, ὅτι χωρὶς ἡμῶν ἐάν τε ἡττηθῶσιν οἱ δεόμενοι ἡμῶν σύμμαχοι, ἐάν τε κρατήσωσι, βλαβερὸν [28] ἐφ' ἑκάτερα, ὡς ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν. [29]

21 Vind. οὖσαν μέν. 22 Mon. Par. 2923. ὑπάρχουσά τε. 23 Vind. προϋπάρχουσα, προσγ. δὲ οὐ πρ. etiam Sch. Ald. δὲ οὐ. — v. sq. eadem κατὰ ὑπόθεσιν. 24 ὅτι Sch. Ald. om. — tum Ald. κρατήσομεν — λησιτελεῖ. 25 Ald. οὗτι. — Phil. I. p. 44. infr. 26 Port. ex Dem. restituit: ποιήσαιτ' ἂν τοῦτο ὡς ἔγωγέ φημι δεῖν, — εὐκαταφρόνητόν ἐστιν. Par. ποιήσαι ἐτε. Sch. Ald. ποιήσεται Cod. Par. ποιήσετε, ut reliqui. — tum Vind. νὴ Δία om. Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τὸ νὴ Δία. 27 Ald. Mon. Sch. Ald. εὐπρεπεῖς ἡμᾶς. Vind. εὐπρ. ὑμᾶς. Par. εὐπρ. εἰδὼς ὑμᾶς. Port. εὐτρεπεῖς [ut Dem. vide de hac confusione epist. crit. p. 8.] ὑμᾶς, (καὶ τὰ ἑξῆς,) ἡσυχίαν ἔχῃ. 28 Par. βλαβερόι. 29 Respicit ad locum p. 210.

## Cap. VIII.

### ΠΕΡΙ ΜΕΤΑΛΗΨΕΩΣ.

Ἡ μετάληψις πάλιν, ἡ μὲν ἔγγραφός ἐστιν, ἡ δὲ ἄγραφος. καὶ ἡ μὲν ἔγγραφος τελεία τέ ἐστι παραγραφὴ, καὶ τὸ πρότερον ζήτημα περὶ μίαν εὑρίσκεται στάσιν [1] τῶν νομικῶν, περὶ ὧν αὐτίκα λέξομεν, ὡς εἴρηται. ἔστι δὲ ὅτε ὁρικῶς τέμνεται τὸ πρότερον ζήτημα, τὸ δὲ μετὰ τὴν παραγραφὴν καθ' ἑτέραν τινὰ διαιρεθήσεται τῶν λογικῶν στάσεων. [2] οἷον, τὸν ἀντιλέγοντα νόμῳ εἴσω τῶν [3] τριάκοντα ἡμερῶν δέον ἀντιλέγειν πρὶν [4] τοῦ κυρωθῆναι. μετὰ ταῦτα δὲ [5] μὴ ἐξέστω. πρεσβεύοντος τοῦ πένητος, ὁ πλούσιος, ἐχθρὸς [6] ὤν, εἰσήνεγκε νόμον τὸν εἴσω πέντε ταλάντων οὐσίαν κεκτημένον μὴ πολιτεύεσθαι, μηδὲ λέγειν· ἐπανῆκε [7] μετὰ τὰς τριάκοντα ὁ πένης, καὶ ἀντιλέγειν βούλεται τῷ νόμῳ. ἡ προτέρα ζήτησις κατὰ ῥητὸν καὶ διάνοιαν γίνεται, πότε καὶ τίσιν εἴσω τῶν [8] τριάκοντα ἡμερῶν προστάττει ἀντιλέγειν ὁ νόμος· καὶ ὅτι οὐ [9] τοῖς πρεσβεύουσιν, οὐδὲ τοῖς ἀποῦσι, καὶ ὅσα ἄλλα τοιαῦτα. ἡ δευτέρα δὲ κατὰ τὴν πραγματικὴν, εἰ νόμιμον

---

1 Sch. Ald. p. 776. εὗρ. τῶν νομικῶν στάσεων. — v. sq. Vind. καὶ ὁρικῶς. Par. ὁριστικῶς. ad marg. γρ. ὁρικῶς. 2 Par. ad marg. γρ. στάσιν. ita Vind. 3 τῶν Port. om. Par. 2923. ἔσω. Mon. Vind. τριάκοντα τοῦ κυρωθῆναι ἡμερῶν ἀντιλέγειν. In Mon. man. rec. scriptum πρὶν super τοῦ κυρ. et δέον super ἀντιλέγ. 4 Port. πρό. Pind. Pyth. IV. 76. πρὶν ὥρας. — Sch. Ald. πρὶν οὐ κυρωθῆναι. 5 Vind. μετὰ δὲ ταῦτα. Par. μετὰ ταῦτα μὴ δὲ ἐξέστω. 6 Ald. ἐχθός. 7 Vind. ἐπανῆκεν ὁ πένης μετὰ τ. τρ. — Sch. Ald. μετὰ τὰς τριάκ. ἡμέρας. 8 τῶν Par. om. Vind. ἡμερῶν om. 9 Ald. Port. οὐδέ. Par. οὐ. Mon. Vind. ὅτι οὐ τοῖς ἀποῦσιν, οὐδὲ τοῖς πρεσβ. Sch. Ald. οὐ τοῖς πρεσβ. οὐ τοῖς ἀποῦσι. — v. sq. τοιαῦτα Sch. Ald. om.

τὸ εἰσενεχθὲν πρᾶγμα,[10] εἰ δίκαιον, καὶ τὰ ἑξῆς· ἐμπέπτωκε δὲ ἐνταῦθα καὶ δεύτερόν τι, ὡς παραγραφικόν. οἷον, οὐκ ἔχων τὰ πέντε τάλαντα οὐ δύνασαι λέγειν. δῆλον δὲ, ὡς καὶ πρὸς τοῦτο ἀπαντήσεται τῇ φύσει τοῦ πράγματος. ἔτι γὰρ τῆς ζητήσεως οὔσης περὶ τοῦ εἰ χρὴ[11] δοκιμασθῆναι αὐτὸν, οὐχ οἷόν τε ἤδη ὡς κυρίῳ χρῆσθαι.

Ἡ δὲ[12] ἄγραφος διαιρεῖται προβολῇ, παραγραφικῷ, τῷ ἀπὸ τοῦ ῥητοῦ, μεταλήψει, συλλογισμῷ, ὅρῳ, ἀντιθέσει, ἑτέρᾳ μεταλήψει,[13] ἀντιλήψει, θέσει, ποιότητι καὶ γνώμῃ. οἷον, ἀριστεύσας[14] τις ᾔτησε πολίτου φόνον, καὶ ἔλαβεν· εὕρηται προαπεκτονὼς αὐτὸν, καὶ φεύγει φόνου.[15] ἡ προβολὴ, ἀνδροφόνος εἶ. τὸ παραγραφικὸν, οὐ δώσω λόγον ὑπὲρ τοῦ παραδοθέντος μοι πρὸς ἀναίρεσιν ὑπὸ τοῦ δήμου. ἡ μετάληψις, οὐκ ἦν ὅτε ἀνῃρεῖτο[16] οὔπω παραδεδομένος. τὸ γὰρ κατὰ τὸν χρόνον μεταλαμβάνει[17] δηλαδή. καὶ τὸ μὲν πρᾶγμα συγχωρεῖ, τὸ δὲ περὶ τὸ πρᾶγμα κρίνει· ἐν ᾧ ὅτι οὐδ' ἂν ἔδωκεν ὁ δῆμος, εἰ παρῆν καὶ ἀντέλεγεν. ὁ συλλογισμὸς, ὅτι οὐδὲν διαφέρει ἢ[18] νῦν, ἢ τότε, λέγομεν δὲ οὐχ ὡς διαιροῦντες, ἀλλ' ὡς πρὸς ἔνδειξιν τῆς φύσεως τῶν κεφαλαίων· ἐπεὶ πολλά ἐστι τοῖς διαιροῦσιν ἐνταῦθα εἰπεῖν. ὁ ὅρος, ὅτι πάμπολυ[19] διαφέρει. ἡ ἀντίθεσις, εἶπον καὶ[20] ὁ δῆμος αὐτοῦ κατεψηφίσατο, ἄξιος

---

10 Sch. Ald. γράμμα. — v. 3. Ald. Par. Vind. οὐ δύνασθαι. Port. Mon. Sch. Ald. δύνασαι. 11 Vind. δεῖ. 12 Sch. Ald. p. 783. δ' αὖ. tum Vind. προβολῇ διαιρεῖται. 13 ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, θέσει Par. om. 14 Par. ad marg. γρ. ἀριστεὺς ᾔτησε. sic Vind. 15 Par. Vind. φόνου φεύγει. 16 Par. ad marg. γρ. ἀνῄρητο παραδεδομένος. etiam Mon. in loco raso, et Vind. ἀνῄρητο. tum Vind. οὔπω τῳ. Par. 2923. ἀνῄρητο τοὔπω. 17 Par. λαμβάνει. Vind. Mon. δηλαδὴ μεταλαμβ. 18 Par. per corr. εἰ νῦν. 19 Mon. πάμπολλα in loco raso. 20

ἦν· ἑτέρα μετάληψις, ὅτι ἐχρῆν αὐτὸ τοῦτο εἰπόντα σε, ὡς ἀπέκτεινας, καὶ ὅτι ἄξιος ἦν ἀποσφαγῆναι, καὶ αἰτεῖν ἄφεσιν. οἷς [21] ἀκόλουθος ἡ ἀντίληψις, ὅτι ἐξῆν ὅπερ ἐβουλόμην αἰτεῖν, καὶ οὐχ ὑμᾶς ὁριστὰς ἔδει μοι εἶναι τοῦ τρόπου, καθ' ὃν ἐχρῆν αἰτεῖν. [22] ἡ θέσις, εἰ δεῖ ταῦτα ἐπιτρέπειν, ἢ οὐ δεῖ τοὺς ἀριστέας [23] ἐπὶ τοῖς συκοφάνταις ποιεῖν. [24] ἡ ποιότης καὶ ἡ γνώμη, ὡς ἐν τοῖς ἔμπροσθεν.

## Cap. IX.

### ΠΕΡΙ ΡΗΤΟΥ ΚΑΙ ΔΙΑΝΟΙΑΣ.

Ἡ κατὰ ῥητὸν [1] καὶ διάνοιαν ζήτησις διαιρεῖται προβολῇ ῥητοῦ, τῇ [2] διανοίᾳ, τῷ μὴ προδιωρίσθαι· πάλιν διανοίᾳ τοῦ νομοθέτου, συλλογισμῷ, ὅρῳ, ἀντιθέσει, μεταλήψει, πρός τι, ὅρῳ βιαίῳ, θέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, [3] ποιότητι, γνώμῃ. ἡ προβολὴ ἐστιν αὐτὸ τὸ παρὰ τὸ ἔγγραφον γεγονός. οἷον, ξένος εἰ ἀνέλθοι [4] ἐπὶ τὸ τεῖχος, τεθνάτω· πολέμου ὄντος, ἀνελθών τις ἠρίστευσε, καὶ ὑπάγεται τῷ νόμῳ. ἡ τοίνυν προβολή, ὅτι ἀνῆλθες. ἡ διάνοια διττῶς ἐξετάζεται, τοῦ τε [5] νομοθέτου καὶ τοῦ ὑπευθύνου. τοῦ μὲν νομοθέτου, οἷον,

---

Ald. Mon. Par. Sch. Ald. εἰ ὅπου καί. Port. εἰ καὶ ὅπου. Vind. εἴπου καί, 21 Ald. Sch. Ald. ἧς. Port. Par. Vind. Mon. οἷς. 22 Ald. Par. Sch. Ald. αἰτεῖν ἐχρῆν. Par. Vind. Mon. Par. 2923. ἐπὶ ἐχρῆν αἰτεῖν. 23 Vind. Par. 2923. ἀρίστους. tum Par. ὑπὸ τοῖς. 24 Vind. οὕτω ποιεῖν.

1 Ald. ῥητοῦ. Port. Vind. ῥητόν. 2 τῇ Vind. om. 3 ἀντιλήψει Sch. Ald. p. 801. om. — tum Vind. ποιότητι καὶ γνώμῃ. 4 Mon. ἐπὶ τὸ τ. ἀνέλθοι. Vind. εἰς — tum Sch. Ald. πολιορκίας οὔσης ἀνελθών. 5 τε Vind. om.

πότε λέγει τοὺς ἀνελθόντας, ἐπὶ τίνι, [6] καὶ διὰ τί· τοῦ δὲ ὑποκειμένου προσώπου τῷ ῥητῷ, οἷον, οὐκ εἰ ἀνῆλθον [7] δεῖ σκοπεῖν μόνον, ἀλλὰ καὶ μεθ' ἧς γνώμης, καὶ ὅτι μὴ δυσνοίᾳ. τὸ μὴ προσδιωρίσθαι τοῦ χρωμένου τῷ ῥητῷ [8] ἐστιν· οἷον, οὐδὲν τούτων προσδιώρισεν ὁ νομοθέτης, ἀλλ' ἁπλῶς εἶπε τὸν ξένον μὴ ἀνιέναι· ἡ δὲ ἑτέρα διάνοια κοινή ἐστιν ἀμφοῖν. ὁ μὲν γὰρ φεύγων πρὸς τὸ μὴ προσδιωρίσθαι [9] ἁπάντων χρήσεται αὐτῇ. οἷον, οὐδὲν ᾤετο δεῖν περὶ τῶν φανερῶν ὁ νομοθέτης διορίζειν, κελεύων τοὺς ἐπ' εὐνοίᾳ μὴ κεκωλύσθαι. [10] ὁ δ' αὖ διώκων ἐρεῖ, [11] ὅτι ἄτοπον ἡγήσατο ἁπλῶς ἐπιτρέπειν ἀνιέναι τοὺς ξένους. [12] ὁ συλλογισμὸς, εἰ μηδὲν διαφέρει τὸ [13] προσδιωρίσθαι, εἰ [14] μὴ τῷ ἐγγράφῳ, ὃ καὶ ἄνευ ἐκείνου ἐστὶ [15] φανερόν. ὁ ὅρος, ὅτι πλεῖστον διαφέρει· καὶ πάντη ἡ ἀντίθεσις αὐτό ἐστι τὸ γεγονὸς, καὶ πλέον ἔξει [16] γε ὁ φεύγων ἐν αὐτῇ. ἡ μετάληψις, ἑτέρως ἔδει, [17] καὶ ὡς ἐξῆν σοι ποιεῖν εὖ τὴν πόλιν, εἰ προῃροῦ, καὶ μὴ παρανομεῖν. τὸ πρός τι, ὡς ἐν ταῖς ἀντιθετικαῖς, πότερον μεῖζον τὸ εὐεργέτημα, ἢ τὸ ἀδίκημα, καὶ

---

6 Ald. Port. ἐπὶ τίσι. Mon. Sch. Ald. p. 803. καὶ ἐπὶ τίσι. Vind. καὶ ἐπὶ τίνι. Par. ἐπὶ τίνι. 7 Ald. Sch. Ald. ἂν ἦλθον. Port. Par. 2923. ἀνῆλθον. Par. ἀνῆλθον. tum Sch. Ald. δεῖ σκοπεῖν τὸν νόμον. 8 Ald. τῷ ῥητῷ τοῦ χρωμένου. Ordinem receptum dant Port. Sch. Ald. et Codd. — Mox v. 6. Sch. Ald. ἡ δευτέρα διάνοια. 9 Vind. διωρίσθαι. tum Ald. χρήσαιται. 10 Sch. Ald. κωλύεσθαι. 11 ἐρεῖ Vind. om. 12 Par. 2923. τοῖς ξένοις. 13 Mon. τῷ in loco raso. 14 Sch. Ald. ἤ. 15 Sch. Ald. ἐστίν. 16 Par. πλέον γε ὁ φεύγων ἕξει. Sch. Ald. ἕξει γε φεύγων ὁ ἐν αὐτῇ. 17 Ald. Par. οἷον ὅτι [Ald. ἤτι ἑτέρως δικαίως ἐξῆν. Port. οἷον ἕτερον ἔδει, καὶ δικαίως ἐξῆν. Mon Sch. Ald. οἷον ὅτι [Sch. ὅτι om.] ἑτέρως ἔδει, καὶ ὡς ἐξῆν. Vind. ἑτέρως ἔδει, καὶ ὡς ἐξῆν.

ἔστι κοινὸν ἀμφοῖν. καὶ τὰ λοιπὰ δὲ κεφάλαια οὕτως ὡς [18] ἐν ταῖς ἀντιθετικαῖς ἐξετασθήσεται.

---

## Cap. X.

### ΠΕΡΙ ΑΝΤΙΝΟΜΙΑΣ.

36 Ἡ ἀντινομία ἔστι μὲν οἷόν τι [1] διπλοῦν ῥητὸν καὶ διάνοια, ὡς κἂν τῇ μεθόδῳ, καθ' ἣν ἐπέγνωμεν τὰς στάσεις, ὡρισάμεθα· [2] καὶ τοῖς γε πλείστοις κεφαλαίοις κοινωνεῖ τῇ στάσει ταύτῃ διπλοῖς δηλαδὴ γινομένοις· ἔχει δέ τι καὶ ἴδιον, ὡς φανεῖται. οὑτωσὶ δὲ διαιρήσεις, προβολῇ ῥητοῦ, διανοίᾳ, ἑτέρᾳ προβολῇ ῥητοῦ, καὶ πάλιν ἑτέρᾳ διανοίᾳ. τῶν δὲ ἐφεξῆς κεφαλαίων τινὰ ὡς ἐπὶ τὸ πλεῖστον ἐκλείπει, διὰ τὸ ἰσάζον. [3] οἷον, ἕπεται μὲν τούτοις, ὥσπερ ἐν τῷ ῥητῷ καὶ τῇ διανοίᾳ, τὸ μὴ προσδιωρίσθαι, καὶ ἡ ἑτέρα διάνοια τοῦ νομοθέτου, καὶ ὁ συλλογισμὸς, καὶ ὁ πρὸς αὐτὸν ὅρος. ἰσάζειν δέ πως δοκεῖ ταῦτα [4] ἐπ' ἀμφοῖν τοῖν μεροῖν, παραπλησίως λέγεσθαι δυνάμενα. καὶ χαλεπὸν αὐτοῖς χρῆσθαι δυνηθῆναι. [5] τὰ μέντοι μετὰ ταῦτα κεφάλαια δῆλά ἐστιν. οἷον, [6] ἀντίθεσις, μετάληψις, πρός τι, ὁ βίαιος ὅρος, ἡ θέσις, ἑτέρα μετάληψις, ἀντίληψις, εἶτα ποιότης καὶ

---

18 ὡς Par. om. 1 Mon. Vind. διπλοῦν τι. 2 Par. Port. Mon. Sch. Ald. ὡρισάμην. Vind. διωρισάμην. Par. ὡρισάμεθα. tum Sch. Ald. καὶ τοῖς πλείστοις γε. 3 Ald. Sch. Ald. Port. Mon. ἰσάζον. Par. Vind. ἰσάζειν. tum Sch. Ald. ὥσπερ ἐν ῥητῷ καὶ διανοίᾳ. 4 Vind. ταῦτα δοκεῖ. 5 καὶ χαλεπὸν ἀ. χ. δυνηθῆναι Par. om. — Sch. Ald. χρήσασθαι. 6 οἷον Sch. Ald. om. — tum Mon. πρός τι, ὅρος βίαιος, θέσις. Vind. Sch. Ald. πρός τι, ὅρος β. omissis ἡ θέσις et ἀντίληψις. Par. 2923.

γνώμη. ἴδιον δὲ ἀντινομίας κεφάλαιον παρὰ τὴν ἐν τῷ [7] ῥητῷ καὶ τῇ διανοίᾳ διαίρεσιν ἡ περὶ τοῦ πότερον περιέχει, καὶ πότερον περιέχεται, ἡ τῶν ῥητῶν [8] ζήτησις· οἷον, ποτέρου γενομένου μηδέτερον ἀναιρεθήσεται τῶν ῥητῶν, ὅπερ κεφάλαιον μετὰ τὸ πρός τι τεθήσεται· ἀπὸ δὲ τοῦ παραδείγματος ἔσται [9] φανερὰ πάντα. οἷον, ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηὶ δεσπότης ἔστω τῆς νεώς. ἀποκήρυκτος [10] ἐπιμείνας πατρῴᾳ νηὶ χειμαζομένῃ κωλύεται δεσποτεῖν [11] αὐτῆς. ἡ προβολὴ τοῦ ῥητοῦ, ἀποκηρύκτῳ ὄντι σοι οὐ μέτεστι τῶν πατρῴων. ἡ διάνοια τότε [12] λέγει δήπουθεν, ὅταν ὡς κληρονομήσων, ὅταν ὡς διαδεξόμενός τι τῶν τοῦ πατρὸς κατὰ τοὺς περὶ τῶν παίδων νόμους ἀντιποιῆταί τις, οὐχ ὅταν [13] ὡς ἀλλότριος καὶ μηδὲν προσήκων. εἶτα ἕπεται ἡ ἑτέρα προβολὴ τοῦ νόμου. οἷον, ἄλλως τε καὶ ὅταν νόμος τοῦτο σαφῶς διδῷ, [14] τὸ κύριον εἶναι τὸν ἐπιμείναντα [15] τῆς νεώς· πρὸς ἣν ἡ ἑτέρα διάνοια, ἀλλὰ τηνικαῦτα δίδωσιν, ὅταν μὴ πατρῷον ᾖ τὸ κτῆμα, ὅταν [16] ἀλλότριον, ὅταν μὴ ἀποκήρυκτός τις ᾖ, ὅταν μὴ νόμῳ εἰργόμενος. εἶτά ἐστι τὸ μὴ προσδιωρίσθαι καὶ οἷς ὁ ἕτερος [17] ἂν χρήσηται, καὶ τῷ ἑτέρῳ ἐστὶ χρήσασθαι καὶ ἰσάζει.

---

ἡ θέσις om. 7 τῷ Par. om., Sch. Ald. sq. τῇ om. 8 Vind. τῶν ῥητῶν ἡ ζήτ. Par. ἡ om. 9 Vind. ἔστι. 10 Mon. Vind. ὁ ἀποκ. — tum Sch. Ald. ἐπέμεινε. 11 Ald. Par. δεσποτεῖν. Sch. Ald. δεσπότειν. Port. Mon. Vind. Par. 2923. δεσπόζειν. 12 Ald. Port. Par. Mon. Sch. Ald. τοῦτο. Par. 2923 τότε. Vind. ἡ διάνοια, τότε δήπουθεν ὁ νόμος λέγει, ὅταν. tum Par. 2923. ὡς κληρονόμος ὤν. 13 Vind. ὅταν τις ὡς. mox Par. 2923. ἡ ante ἑτέρα om. 14 Par. σαφῶς τοῦτο διδῷ. Vind. δίδωσι. 15 Mon. ἐπιμένοντα. 16 Vind. ἀλλ' ὅταν. 17 καὶ οἷς ὁ ἕτερος — χρήσασθαι Ald. om. Par. ad marg. καὶ οἷς ὁ ἕτερος χρήσεται, καὶ τῷ ἑτέρῳ ἐστὶ χρήσασθαι. Par. 2. καὶ οἷς ἂν ὁ

Τάχα δ' ἄν τις αὐτὸ καὶ μεθοδεύσειε διαιρῶν. νῦν δὲ ἡμεῖς οὐ διαιροῦμεν, ἀλλὰ τὰ κεφάλαια δείκνυμεν, καὶ ἔστι φανερά. ἀκολούθως δὲ τούτῳ τῷ κεφαλαίῳ καὶ ὁ ὅρος καὶ ὁ συλλογισμὸς ἰσάζει. ἡ μέντοι ἑτέρα διάνοια, ἥ ἐστι γνώμη τοῦ νομοθέτου, διαφόρως ὑφ' ἑκατέρου μέρους ἐξετάζεται ἐπ' ἀμφοῖν τοῖν νόμοιν· οἷον, διὰ τί τὸν ἀποκήρυκτον εἴργει ὁ νομοθέτης[18] τῶν πατρῴων; ὁ μὲν διώκων ἐρεῖ, ὅτι νομίσας οὐκ ἄξιον εἶναι τὸν ἀπηχθημένον τῷ πατρὶ τῶν ἐκείνου τινὸς μετέχειν. ὁ δὲ φεύγων, οὐχί, ἀλλ' ἵνα καὶ[19] καθ' ἑαυτοὺς πονοῦντες καὶ παραβαλλόμενοι τοῖς κινδύνοις κτᾶσθαι ἀναγκάζωνται, καὶ τὴν βλακείαν,[20] δι' ἣν ἀπεκηρύχθησαν, καὶ τὴν τρυφὴν ἀπόθωνται. ὃ νῦν ἐγὼ πεποίηκα ἐπιμείνας[21] τῇ νηΐ. πάλιν δὲ,[22] διὰ τί δίδωσι τῷ ἐπιμείναντι τὴν ναῦν; ἵνα δὴ καρτεροῖεν τοῖς κινδύνοις οἱ ἐμπλέοντες· ἢ ὅ τι ἂν εὑρίσκωσιν ἀμφότεροι.[23] πολλάκις δὲ διεμαρτυράμην, ὡς οὐ διαιρῶν λέγω νῦν, ἀλλ' ὅσον[24] πρὸς ἔνδειξιν τῶν κεφαλαίων ταῦτα ἐκτίθεμαι· ἡ δὲ ἀντίθεσις διπλῆ παρ' ἀμφοῖν. οἷον, ἀλλὰ[25] ἀποκήρυκτος εἶ. καὶ καταδρομὴ ἐνταῦθα τοπική. ὁ δὲ, ἀλλ' ἐπέμεινα τῇ νηΐ, καὶ ἔστιν οἷον[26] ἀντιστατικόν τι ἐνταῦθα, καὶ ἔκφρασις τῶν περὶ τὸν χειμῶνα. ἡ μετάληψις πάλιν διπλῆ. ὁ μὲν γὰρ ἀποκήρυκτος ἐρεῖ,

---

ἕτερος. Port. Mon. Vind. καὶ [Mon. καὶ om.] οἷς ὁ ἕτερος ἂν χρήσεται, [Port. χρήσηται] καὶ τῷ ἑτ. ἐ. χρήσασθαι. [Mon. χρῆσθαι.] Sch. Ald. ὡς ὁ ἕτερος ἂν χρήσηται. 18 Par. ὁ νόμος. 19 καὶ Vind. om. tum Sch. Ald. καθ' αὑτούς. 20 Ald. βλαβείαν. Port. Sch. Ald. Codd. βλακείαν. tum Sch. Ald. ἀποθῶνται. 21 Ald. ἐπεμείνας. 22 δὲ Vind. Sch. Ald. om. — tum eadem τὸν ἐπιμείναντα. 23 Sch. Ald. ἀμφότεροι om. 24 Ald. Port. Par. Mon. Sch. Ald. ὅσον δέ. Vind. ἀλλ' ὅσον. 25 ἀλλ' ἀποκήρ. 26 Sch. Ald. οἱονεὶ ἀντιστατικὴ· ἐνταῦθα δὲ καὶ

ὅτι οὐ [27] δικαίως ἂν εἰργοίμην τῆς νεώς, [28] εἰ καὶ τοιοῦτος εἴην. [29] οὐ γὰρ νῦν καιρὸς ταῦτα κατηγορεῖν. ὁ δὲ, ἐφ' ἑτέροις [30] ἔδει ἀνδρίζεσθαι, καὶ μὴ ἐπὶ τούτοις. τὸ πρός τι, πότερον βέλτιον φυλάξαι [31] τῶν νόμων, εἰ ἐγχωροίη [32] λέγειν, ὅτι ὁ μὲν παλαιὸς, ὁ δὲ νέος· καὶ ὁ μὲν [33] ὑπὸ Σόλωνος τεθεὶς, ἂν οὕτω τύχῃ, [34] ὁ δὲ ὑπὸ τοῦδε· καὶ ὁ μὲν κοινὸς, ὁ δὲ ἴδιος· καὶ ὁ μὲν περὶ τὰ μέγιστα ἔχων, ὁ δὲ περὶ τὰ μικρά· καὶ ὅτι τούτου μὲν 37 λυθέντος μεγάλα ἡ πόλις βλαβήσεται, ἄτερος [35] δ' εἰ λυθείη, βραχέα [36] ἢ οὐδέν. ἐπὶ τούτοις ἐστὶ καὶ τὸ ἴδιον μᾶλλον ἀντινομίας κεφάλαιον. οἷον, πότερον [37] τὸ περιέχον, καὶ πότερον τὸ περιεχόμενον, οἷον, ποτέρου γενομένου οὐδέτερος ἀναιρεθήσεται τῶν νόμων. [38]

Κἀνταῦθα [39] μὲν χαλεπῶς φανεῖται ἡ φύσις τοῦ κεφαλαίου· ἐπὶ δὲ τοῦ ζητήματος τοῦδε [40] σαφέστερον ἔσται. δύο τις κατὰ ταὐτὸν ἐβιάσατο κόρας, καὶ ἡ μὲν γάμον, ἡ δὲ θάνατον αἱρεῖται τοῦ βιασαμένου. [41] ἡ γὰρ

---

ἔκφρασις τοῦ χειμῶνος. 27 Par. ad marg. γρ. ὅτι καὶ οὐδὲν μᾶλλον δικαίως ἂν εἰργ. Vind. ὅτι οὐδὲν μᾶλλον δικ. Port. ὅτι κατ' οὐδὲν δικαίως. Sch. Ald. p. 827. ὅτι δικαίως. 28 Sch. Ald. νηός. 29 Par. 2923. ἦν. Sch. Ald. τοιοῦτος· εἰ μὲν οὐ γάρ. vv. εἰ μὲν orta suut ex εἴην. 30 Port. ἑτέρ. σε ἔδ. Mon. Vind. ἐπὶ ἑτέρ. σε ἔ. 31 Ald. Par. Mon. φυλάξασθαι βέλτ. Sch. Ald. βέλτ. φυλάξασθαι. Port. Vind. βέλτ. φυλάξαι. 32 εἰ ἐγχωροίη — — νέος Par. om. 33 καὶ ὁ μὲν ὑπὸ Σ. — τοῦδε Vind. om. 34 Par. 2923. τύχοι tum Sch. Ald. ὁ δ' ὑπὸ et ὁ δ' ἴδιος. 35 Ald. Port. Par. Mon. Vind. θάτερος. Sch. Ald. Par. 2923. ἄτερος δὲ εἰ λ. quod praeferendum, vide Bast. ad Greg. Cor. p. 302. ed. Schaef. 36 Par. 2923. βραχύ. 37 Vind. ποῖον τὸ π. καὶ ποῖον τὸ π. 38 Port. τῶν νόμων ἀναιρεθήσεται. 39 Vind. Sch. Ald. p. 829. καὶ ἐνταῦθα μ. χ. φαίνεται. 40 Sch. Ald. τούτου. 41 Par. Vind. Mon. Sch. Ald. ἡ δὲ θάνατον αἱρεῖται [Sch. Ald. αἰτεῖ] τοῦ βιασαμένου. Ald.

ἀξιοῦσα αὐτὸν τεθνάναι ἐρεῖ, ὅτι ἀμφοτέραις δώσει δίκην εἰ τεθναίη. εἰ δὲ δὴ γήμῃ τὴν ἑτέραν, θάτερον μέρος ἄκυρον ἔσται τοῦ νόμου. [43] ὁ βίαιος ὅρος εἰ μηδὲ [44] τοῦ πατρός ἐστιν ἡ ναῦς, ἀλλὰ [45] τοῦ κλύδωνος. ὁ δὲ ὅτι [46] τοῦ πατρὸς, οὐχ ἑτέρου τινός. ἡ θέσις δὲ καὶ τὰ ἑξῆς, εἰ ἐμπίπτοι, [47] ἐξετασθήσεται, ὡς ἐν ταῖς ἀντιθετικαῖς.

## Cap. XI.

### ΠΕΡΙ ΣΥΛΛΟΓΙΣΜΟΥ.

Ὁ συλλογισμὸς διαιρεῖται προβολῇ πράγματος, τῷ ῥητῷ, τῷ συλλογισμῷ, ὅρῳ, γνώμῃ νομοθέτου, πηλικότητι· εἶτα ὅρῳ βιαίῳ, τῷ πρός τι, ἀντιθέσει ἔστιν ὅτε, ἥτις εἰ ἐμπέσοι, εὑρεθήσεται καὶ μετάληψις, ἣ ἕπεται πάντως καὶ [1] ἀντίληψις. εἶτα ποιότητι καὶ γνώμῃ, καὶ ὅλως πλὴν τῆς ἐναλλαγῆς τῶν πρώτων κεφαλαίων ὁ συλλογισμὸς κατὰ τὸν ὅρον διαιρεῖται. ἐπὶ δὲ τοῦ παραδείγματος ἔσται [2] φανερώτερον. υἱὸν, ὀνομαστὶ κωμῳδεῖν ὁ νόμος ἐκώλυσεν. αὐτοπροσώπως εἰσάγων τις τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ, ὡς ὀνομαστὶ κωμῳδῶν. ἡ προβολὴ τοῦ πράγματος, παρὰ τὸν νόμον κωμῳδεῖς τοὺς πολίτας. τὸ ῥητὸν, καὶ μὴν οὐκ ὠνό-

---

Port. γάμ. τοῦ βιασ. ἡ δὲ θάν. αἱρεῖται. 42 Par. τοῦτον. Vind. Sch. Ald. τεθνάναι αὐτόν. 43 Mon. Vind. τοῦ νόμου ἔσται ἄκυρον. Sch. Ald. ἔσται ἄκ. τοῦ νόμου. 44 Vind. εἰ δὲ μή. 45 Mon. Vind. τοῦ κλύδωνος δέ. sed in Mon. manu rec. correctum: κλύδωνος, ὁ δὲ εἰ μὴ τοῦ πατρὸς ἔστιν, ἀλλ' οὐχ ἑτ. τ. 46 ὁ δὲ ὅτι — ἑτέρου τινὸς Par. om. Vind. legit: ὅτι, εἰ μηδὲ τοῦ πατρός ἐστιν, ἀλλ' οὐχ ἑτέρου τινός· ἡ δὲ θέσις. Par. 2923. κλύδωνος δέ· εἰ τοῦ πατρός ἐστιν. 47 Mon. ἐμπίπτει.

1 Par. ἡ ἀντ. Sch. Ald. καὶ om. 2 Vind. ἔστι. Sch. Ald.

μασα οὐδένα. τοῦτο γάρ ἐστι τὸ κωλυόμενον. ὁ συλλογισμὸς, εἰ μηδὲν διαφέρει τοῦτο ἐκείνου. ὁ ὅρος, ὅτι [3] πλεῖστον διαφέρει. ἡ γνώμη τοῦ νομοθέτου κοινή. τί βουλόμενος ἐκώλυσε τοῦτο [4] ὁ νομοθέτης. ὁ μὲν διώκων ἐρεῖ, ὅτι ἀνελεῖν βουλόμενος τὸ ἁπλῶς καὶ ἀνευθύνως διαβάλλειν ὀντιναοῦν τῶν πολιτῶν, ἐφ' ὅτῳ ἂν ᾖτοι [5] ἐθέλωσιν ἐγκλήματι. ὁ δ' αὖ φεύγων οὐ διὰ τοῦτο ἐρεῖ, ἀλλ' ἐπιστρέφεσθαι μὲν αὐτοὺς διὰ τῆς κωμῳδίας ἐβούλετο. οὔκουν [6] ἀνεῖλε παντάπασι τὴν κωμῳδίαν. ὑπομνήματα δὲ τοῖς μετὰ ταῦτα γενησομένοις, ἢ τοῖς τότε οὖσιν ἀνθρώποις λοιδορίαν ἔχοντα [7] τῶν πολιτῶν τινος, οὐκ ἐβούλετο εἶναι. μὴ ὄντων δὲ τῶν ὀνομάτων, ἡ μὲν ἐπιστροφὴ γίνεται διὰ τῶν προσώπων, ἡ δὲ εἰς τὸν [8] μετὰ ταῦτα χρόνον μνήμη περιῄρηται, καὶ ἡ πρὸς τοὺς ἄλλους ἀνθρώπους διαβολή. ἡ πηλικότης, ὡς ἐν τῷ ὅρῳ, ὅτι μέγα τὸ γινόμενον. ὁ βίαιος ὅρος, εἰ καὶ ὀνομαστὶ κωμῳδεῖν τοῦτό ἐστι. τὸ πρός τι καὶ τὰ ἐξῆς πάντα, καθάπερ καὶ [10] ἐν τῷ ὅρῳ ἐξετασθήσεται.

Πλείονα δὲ εἴδη ἐστὶ συλλογισμῶν, ἃ δὴ πάντα ὁμοίως διαιρήσεις. ὅμως μέν τοι ἐκκείσθω αὐτῶν παραδείγματα, γίνονται γὰρ ἤτοι ἀπὸ τοῦ [11] ἴσου, ὡς ὁ προειρημένος, ἢ ἀπὸ τοῦ μείζονος, οἷον, ἐξῆν ἀποκτιννύναι τοὺς κατιόντας φυγάδας. μαστίξας τινὰ κατιόντα τις φεύγει παρανόμου [12] τιμωρίας. ὁ γὰρ τὸ μεῖζον, φησὶ, δοὺς, καὶ τὸ ἔλαττον ἔδωκεν. ἢ ἀπὸ τοῦ ἐναντίου· οἷον, τῷ ἀριστεῖ γέρας εἶναι· λιπόντα τινὰ [13] τὴν τά-

τινι. 3 Ald. Port. Mon. εἰ. Sch. Ald. Par. Vind. ὅτι. 4 Sch. Ald. Vind. Mon. τοῦτο ἐκώλυσεν ὁ νομ. 5 Sch. Ald. Mon. Vind. αὐτοί. in Mon. supra lin. οὗτοι. 6 Vind. Sch. Ald. οὐκ ἀνεῖλε δέ. 7 Vind. Sch. Ald. περιέχοντα. 8 Ald. τὸ, μεταταῦτα. 9 Vind. γιγνόμενον. ὁ δὲ β. etiam Mon. δέ. 10 καὶ Vind. Sch. Ald. om. 11 τοῦ Vind. om. 12 Vind. παρανόμων. 13 Mon. Vind. τινὰ λιπόντα.

ξιν ἀπέκτεινεν ὁ ἀριστεὺς [14] καὶ φεύγει φόνου. οὐ γὰρ ἁπλῶς τῷ ἀντεγκλήματι, ἀλλὰ μετὰ τῶν προειρημένων [15] χρήσεται. ἢ ἀπὸ τοῦ ἐλάττονος, κατὰ [16] τὸ ἐξ αὐτοῦ ἀποβαῖνον· οἷον, ἔξεστι [17] στίζειν τοὺς μοιχούς. στίζων τις [18] ἀπέκτεινε, καὶ φόνου φεύγει. [19] ὁ γὰρ τὸ πρότερον, φησὶ, δοὺς, καὶ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον ἔδωκε. [20]

## Cap. XII.

### ΠΕΡΙ ΑΜΦΙΒΟΛΙΑΣ.

Ἡ ἀμφιβολία διαιρεῖται προβολῇ ῥητοῦ, ἑτέρᾳ τοῦ αὐτοῦ ῥητοῦ προβολῇ κατὰ τὸ ἀμφίβολον, διανοίᾳ τοῦ
38 νομοθέτου, τῷ περιέχοντι καὶ τῷ [1] περιεχομένῳ, ἀντι-
10 θέσει, μεταλήψει, θέσει, ποιότητι καὶ γνώμῃ. εἰδέναι δὲ χρὴ, ὅτι εἰ μὲν περὶ αὐτοτελὲς [2] ζήτημα ἡ ἀμφιβολία εἴη, [3] γλίσχρον αὐτὸ ἀνάγκη εἶναι καὶ κατὰ τὴν διαίρεσιν ὡσαύτως ὑπόψυχρον. μέρος δὲ εἰ γένοιτο ζητήματος, 15 χρήσιμον τὸ περὶ τὴν διαίρεσιν αὐτῆς γίνεται, ἐν δὲ τοῖς ἀπὸ χρησμῶν καὶ λογίων πλαττομένοις ζητήμασι πᾶσιν [4] τοῦθ' ὅπερ ἐστὶν εὑρίσκεται. [5] πρὸς οὖν ἐπίσκεψιν τῶν

---

14 Ald. Port. Par. Vind. Mon. ὁ στρατηγός. Sch. Ald. ὁ ἀριστεὺς ἀπέκτεινε. 15 ἀλλὰ μετὰ τῶν προειρ, Par. om. Man. serior ad marg. adiecit. 16 Sch. Ald. p. 842. καί. 17 Vind. ἐξῆν. Sch. Ald. οἷον ὅτι ἔξεστι. 18 Sch. Ald. τις μοιχούς. 19 Sch. Ald. Vind. φεύγει φόνου. 20 Vind. Sch. Ald. ἔδωκεν.

1 τῷ Vind. om. 2 Vind. εἰ μὲν αὐτελὲς ζήτημα εἴη ἡ ἀμφ. 3 Mon. γίνεται. man. rec. supra lin. γρ. εἴη. Par. ad marg. γρ. καὶ οὕτως· ἡ ἀμφιβ. γίνηται, ἀχρεῖον καὶ γλ. αὐτὸ ἀνάγκη εἶναι. etiam Mon. Vind. ἀχρεῖον καὶ γλίσχ. 4 Vind. πᾶσι. 5 Planuda T. IV. p. 846. v. 8. τοῦθ' ὅπερ εὑρίσκεται. οἶμαι πταῖσμα

κεφαλαίων ἔστω ζήτημα τόδε. ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔστω. πεφώραται φορουσά [6] τις ἑταίρα χρυσία, καὶ δημοσίαν τις [7] φησιν αὐτὴν εἶναι. ἡ δὲ, οὐκ αὐτὴν δημοσίαν εἶναί [8] φησι, τὰ χρυσία δὲ δημόσια. [9] γέγονε γὰρ παρὰ τὸν τόνον ἡ ἀμφιβολία. ἡ προβολὴ τοῦ ῥητοῦ, δημοσίαν σε εἶναι κελεύει ὁ νόμος. ἡ ἑτέρα προβολὴ κατὰ τὸ ἀμφίβολον, οὐκ ἐμὲ, ἀλλὰ τὰ χρυσία. ἡ γνώμη τοῦ νομοθέτου ὑπ' ἀμφοῖν πρὸς τὸ λυσιτελοῦν ἐξετάζεται· οἷον, τιμωρίας ἄξιον τοῦτο [10] ὑπέλαβεν ὁ νομοθέτης. καὶ ὁ μὲν ἐρεῖ, ὅτι τῆς [11] μεγίστης· ἡ δὲ, ὅτι τιμωρίας μὲν, ἀλλὰ μετρίας. ὥσπερ [12] καὶ κατὰ λόγον τῶν ἄλλων ἀδικημάτων τὰς τιμωρίας ἔταξε. τὸ περιέχον καὶ [13] περιεχόμενον, ὅτι τῆς μὲν ἑταίρας δημοσίας γενομένης καὶ τὰ χρυσία ἔσται δημόσια. [14] τῶν δὲ χρυσίων μόνων [15] γενομένων δημοσίων ἡ ἑταίρα ἀφεῖται. ἡ ἀντίθεσις ἀντεγκληματικὴ [16] εὐθὺς ἕπεται κατὰ ἑταίρας λόγον περαίνοντος τοπικῶς τοῦ κατηγόρου, ᾗ πάλιν ἕπεται ἡ μετάληψις, οἷον, εἰ καὶ ἑταίρα, ἀλλ'

---

τῶν ἀντιγράφων εἶναι. χρῆναι γὰρ, τοῦτο παρευρίσκεται, γράφεσθαι, ὡς μὴ καθ' αὑτὸ ζήτημα ὂν, ἀλλ' ἐν ἑτέρῳ παρευρισκόμενον. 6 Ald. Port. φωροῦσα. Par. φοροῦσα. Mon. τις φορ. 7 τις Par. om. 8 Par. εἶναι δημοσίαν. Vind. Mon. φησὶν [Mon. φησὶ] εἶναι δημοσίαν. 9 δημόσια Mon. Vind. om. In Mon. man. rec. supra lin. scriptum: δημοσίᾳ. Par. ad marg. ἐν ἄλλοις οὕτως. τὰ χρυσία δέ. προβολὴ τοῦ ῥητοῦ. cfr. T. VII. p. 687. v. 15. 10 Vind. τοῦτο εἶναι. 11 τῆς Vind. om. 12 Par. ad marg. γρ. ὡς καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων κατὰ λόγον τὰς τιμωρίας ἔταξεν. cfr. T. VII. p. 687. v. 26. Ita Mon. qui habet: ὥσπερ. et Vind. qui legit: ὡς καὶ — λόγου καὶ τὰς τιμ. ἔταξε, τῷ περιέχοντι καὶ περιεχομένῳ. 13 Port. καὶ τὸ περ. 14 Mon. Vind. δημόσια ἔσται. 15 Ald. Port. Vind. μόνον. Par. Mon. μόνων. 16 Ald. Par. ἀντεγκλ. εὐθὺς ἕπεται. Port. Mon. Vind. εὐθὺς ἕπ. ἀντ. Sequitur in Port. καὶ τόπος κοινὸς κατὰ τῆς ἑταίρας. ἐν πά-

ἰδίαν ἔχουσά γε τῆς προαιρέσεως ταύτης ἐπιτιμίαν, μὴ ὁμοίαν εἶναι ταῖς ἐλευθέραις, μηδὲ τῶν αὐτῶν ἀξιοῦσθαι· καὶ ἅμα [18] ἐλεεινολογήσεται δηλαδὴ πενίαν προβαλλόμενος, ἤ τι τοιοῦτον ὁ λέγων ὑπὲρ αὐτῆς. ἡ ποιότης δὲ [19] καὶ ἡ γνώμη ὡς ἐν τοῖς ἔμπροσθεν. συμβέβηκε καὶ ἐν τούτῳ τῷ ζητήματι καὶ πλειονά γε τὴν ἐξέτασιν τῆς γνώμης εἶναι, [20] εἰ καταφρονήσασα, ἢ ἄλλως ἀγνοήσασα τὸν νόμον ἐφόρησε [21] τὰ χρυσία. [22]

---

σῃ γὰρ ἀντεγκληματικῇ ἀντιθέσει καταδρομὴ γίνεται τοπική. 17 εἶναι in Mon. Vind. manu rec. supra lin. scriptum est. 18 Vind. καὶ ἄλλα δέ. 19 δὲ Vind. om. 20 εἶναι Mon. om. 21 Port. ἐφόρησε. 22 Sequitur in Vind. τέλος τῶν στάσεων Ἑρμογένους ῥήτορος. tum in folio sequente: Διαίρεσις τῶν ιγ΄ στάσεων in schema genealogicum disposita.

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

### Cap. I.

#### ΠΕΡΙ ΤΩΝ ΕΞ ΥΠΟΛΗΨΕΩΣ ΠΡΟΟΙΜΙΩΝ.

Ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις καλλίστης καὶ πραγματικωτάτης εὑρέσεως τετύχηκε, τῆς ἐκ τῶν ὑπολήψεων καλουμένης, τῶν τε προσώπων καὶ τῶν πραγμάτων. ὅπως δὲ ταῦτα ἔχει, διελὼν ἐκθήσομαι καθ' ἕκαστον ἐν μέρει. τεθείσης γάρ τοι πάσης ὑποθέσεως, ἀνασκοπεῖν ἄξιον πρῶτον τὸ πρᾶγμα τὸ γεγενημένον ὁποῖόν ἐστι, καὶ περὶ οὗ ἡ κρίσις ἢ τὸ βουλευτήριον συνέστηκεν. ἐν προβλήμασι γὰρ ἢ κρίνομεν, ἢ βουλευόμεθα. δεῖ τοίνυν σκοπεῖν τὸ πρᾶγμα εἴτε καλόν ἐστιν, εἴτε φαῦλον. εἶτα [3] ἑξῆς τὰς περὶ τὸ πρόσωπον ὑπολήψεις ἑκάστου τῶν δικαζόντων, τῶν κατηγορούντων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα καὶ τὰ ἐγκλήματα, τῶν ἔξωθεν ἐμφαινομένων. ἐμφαίνεται δὲ πολλάκις μὲν ἓν, πολλάκις δὲ πλεί-

1 Vind. Ἑρμογένους τέχνη ῥητορική. Περὶ εὑρέσεως προοιμίων. Mon. Ἑρμογένους περὶ εὑρέσεως, περὶ προοιμίων. Ald. Ἑρμ. περὶ εὑρέσεων τόμ. πρῶτος. In titulis sequentium librorum Ald. Hermogenis nomine omisso scribit περὶ εὑρέσεως. Secutus sum Portum. 2 Mon. τό. Vind. προοιμίων om. 3 Vind. εἶθ' ἑξῆς.

ονα. τούτων ἕκαστον ὁποίας ὑπολήψεις ἔχει, καὶ ὅπως εἰς τὰ προοίμια παραληφθήσεται, τρανῶς διηγήσομαι.

Πρῶτον μὲν οὖν σκοπητέον τὸ πρᾶγμα ποταπόν ἐστι καὶ ποταπὸν ὑπείληπται, χρηστὸν ἢ φαῦλον, καὶ τίνα γνώμην ἔχουσιν οἱ δικασταὶ περὶ αὐτοῦ, καὶ ὅπως διετέθησαν ἐπὶ τῷ πεπραγμένῳ. εἰ μὲν οὖν χρηστὸν εἴη, χαίρειν αὐτοὺς εἰκὸς καὶ γεγηθέναι, καὶ τὸ προοίμιον οὖν [4] ἔσται τὸν τρόπον τοῦτον· [5] ὁρῶν μὲν ἡμᾶς, ὦ ἄνδρες δικασταὶ, χαίροντας ἐπὶ τοῖς πεπραγμένοις, καὶ χάριν γι- 39
νώσκοντας τῷ θεῷ· ὡς ἐπ' ἐκείνου τοῦ προβλήματος. ἐβοήθησάν ποτε φυγάδες πολεμουμένῃ τῇ πατρίδι, καὶ νίκην εἰργάσαντο, καὶ γράφει τις [6] αὐτοὺς κατάγειν· τῷ μὲν θεῷ, ὦ ἄνδρες πολῖται, χάρις πολλὴ, τῷ τὴν νίκην ἡμῖν κατὰ τῶν πολεμίων παρεσκευακότι, καὶ τῆς παρούσης ἡδονῆς τὰς ἀφορμὰς ἐνδόντι. ἐπεὶ δὲ καὶ οἱ πολῖται μετά γε θεὸν γεγόνασιν ἡμῖν τῆς παρούσης θυμηδίας [7] αἴτιοι, συμβουλεύσων παρελήλυθα κατάγειν αὐτοὺς, καὶ ἀποδιδόναι τῇ πόλει, [8] ἣν ἔσωσαν αὐτοί. τῆς δὲ κατὰ τὴν ἑρμηνείαν ἁπλότητος μὴ φροντίσῃς. διδασκαλικώτερον γὰρ ἐσπούδασα τὰς τέχνας ἀφηγήσασθαι, περιελὼν τὴν ἰσχὺν τοῦ λόγου, καὶ γυμνὰ τιθεὶς τὰ νοήματα, ὡς εἶναι κατάδηλα μᾶλλον. εἰ δὲ φαῦλον εἴη τὸ γεγενημένον [9] πρᾶγμα, ἀνάγκη τοὺς δικάζοντας ἢ χαλεπαίνειν ἢ οἰκτείρειν ἢ ἑκάτερα πάσχειν ἐπὶ τοῖς αὐτοῖς, καὶ ὀργὴν καὶ λύπην. λέξομεν οὖν τὸ προοίμιον οὕτω λαμβάνοντες. ἐπειδὴ καὶ ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, τῶν τετολμημένων ἕνεκεν ὁρῶ καὶ ἀχθομένους καὶ λελυπημένους, [10] διὰ τοῦτο τὴν γραφὴν ἐνεστησάμην. οἷον, ἐνώ-

---

4 Vind. μὲν οὖν. 5 Vind. Mon. τοῦτον τὸν τρόπον. tum Vind. ὁρῶ. 6 τις Par. om. supra lin. scriptum est liquore diverso. 7 Ald. θυμιδίας. 8 Mon. Vind. Par. τὴν πόλιν. in Par. supra lin. τῇ πόλει. 9 Vind. τὸ πρᾶγμ. γεγενημ. Par. τὸ πρ. τὸ γεγενημ. 10 Vind. λυπουμένους.

πιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν υἱὸν κατὰ τὸν τῶν ἀκριτων νόμον.[11] ἐξέθανεν ἡ μήτηρ, καὶ κρίνεται αἰτίας θανάτου.[12] ἄχθεσθαι μὲν ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, καὶ δυσχεραίνειν[13] ἐπὶ τοῖς γεγενημένοις, οὐδὲν ἀπεικός ἐστι, καὶ τούτῳ χαλεπαίνοντας ὑπὲρ ὧν ἐτόλμησε, καὶ ἐκείνους οἰκτείροντας ὑπὲρ ὧν ἔπαθον. αἱ δὲ ἀποδόσεις παντὸς προοιμίου αἱ ἀξιώσεις εἰσίν.[14] ἀπὸ δὲ τῶν εὑρέσεων αἱ προτάσεις γίνονται. καὶ προοιμίου δριμύτης πρότασις.[15]

Ἑξῆς τρεπτέον ἐπὶ τοὺς κατηγόρους, καὶ τίνα τρόπον ἀπὸ τούτων εὑρίσκεται τὰ προοίμια. οἱ γὰρ[16] κατηγοροῦντές τινος ὑπολήψεις ἔχουσι πολλάκις ἢ ἔχθρας[17] ἢ φθόνου. τὸν μὲν οὖν φθόνον εἴ τις ἐμφαίνοιτο τῷ προβλήματι, διακρουσόμεθα. δεινὸν γὰρ βάσκανίαν[18] ὁμολογεῖν καὶ ἐπίφθονον ἀεί. ἐμφαίνεται δὲ πολλάκις, ὅταν ἢ δόξῃ βασκαίνωμεν ἢ πλούτῳ.[19] οἷον, πρεσβεύων Αἰσχίνης παρὰ[20] τὸν Φίλιππον ἐτραγῴδησε, νενίκηκεν,[21] ἐστεφάνωται, καὶ κρίνεται παραπρεσβείας ὑπὸ Δημοσθένους. ὀρθῶς ἐρεῖ τὸ προοίμιον, μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ βασκαίνοντά με τοῦ στεφάνου καὶ τῆς νίκης Αἰσχίνῃ τὴν κατηγορίαν ἐνστήσασθαι κατ' αὐτοῦ. ἢ πλούτῳ·[22] οἷον, ἀποκήρυκτος ἤτησε τὸν πα-

---

11 κατὰ τὸν τῶν ἀκρίτων νόμον Par. Vind. Par. 2918. om. Par. et Farn. II. E. 5. ad marg. γρ. ἀπέκτεινε τὸν ἑαυτοῦ υἱὸν κατὰ τὸν τῶν ἀκρ. νόμον καὶ κρίνεται. Planud. T. V. p. 373. v. 14. τοῦτο ἕτεροί τινες οὕτω γράφουσιν. ἀπέκτεινε τὸν ἑ. υ. κατὰ τ. τ. ἀκρ. ν. 12 Vind. φόνου. supra lin. ἢ θανάτου. 13 Mon. δυσχαιραίνειν, Praecc. ὦ ἄνδρες δικ. Par. om. 14 Mon. εἰσὶν αἱ ἀξιώσεις. 15 Mon. titulum ponit: ἐκ τοῦ κατηγόρου. 16 γὰρ Vind. om. 17 Ald. ἔχθας. 18 Ald. Port. βασκαίνειν. Par. Vind. Mon. βασκανίαν. 19 In Mon. man. rec. supra lin. δόξης μὲν, οἷον πρεσβ. 20 Mon. ἐπί. 21 Vind. νενίκηκε. 22 Mon. Vind. πλούτου.

τέρα τροφὰς, ὁ δὲ αὐτῷ ξίφος ἔδωκεν. ἐμισθοφόρησεν, ἐπανῆκε πλούσιος. ὁ πατὴρ δεόμενος τροφῶν προσῆλθε τῷ παιδὶ, ὁ δὲ αὐτῷ τὸ αὐτὸ [23] ξίφος ἔδωκεν. ἀπέκτεινεν ἑαυτὸν ὁ πατὴρ, καὶ κρίνεται ὁ παῖς αἰτίας θανάτου. ὕπεστι πλούτου τις πρόφασις. καλὸν οὖν διακρούσασθαι καὶ λέγειν, ὅτι οὐ τῆς περιουσίας αὐτῷ βασκαίνων τὸν ἀγῶνα ἐνεστησάμην. τὰς δὲ ἔχθρας ποτὲ μὲν ὁμολογήσομεν, ποτὲ δὲ ἀρνησόμεθα· τοῦτο ποιοῦντες, οὐχ ὅταν βουλώμεθα, [24] ἀλλ' ὅτε δεῖ ὁμόσε χωρεῖν ταῖς ἀρνήσεσι καὶ ταῖς ὁμολογίαις. ἔσται δὲ οὕτως, ἂν ἔχωμεν πρὸς [25] ἔνδοξον πρόσωπον καὶ ὑπερέχον καὶ [26] ἐπαινούμενον, οἷον, στρατηγὸν, ἢ *Περικλέα*, [27] ἢ νομοθέτην, τότε ἀρνησόμεθα. ἢ πρὸς κοινὸν εὐεργέτην, ἢ πρός τινα δι' ἐξουσίαν ὠμὸν καὶ ἀπάνθρωπον. πρὸς [28] νομοθέτην μὲν λέξομεν, [29] ὅτι αἰσχρὸν ἀπεχθάνεσθαι κοινῷ εὐεργέτῃ ὡς ὁ *Δημοσθένης*· [30] „μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ μήτε ἰδίας ἔχθρας ἐμὲ μηδεμιᾶς [31] ἕνεκα ἄλλης ἥκειν Ἀριστοκράτους κατηγορήσοντα τουτουΐ." πρὸς δὲ ὑπερέχον πρόσωπον, ὅτι δέος τοῖς εὐδοκιμοῦσι προσκρούειν· οἷον, ἠνέχθη σκηπτὸς [32] ἐπὶ τὴν *Περικλέους* εἰκόνα, καὶ συμβουλεύει τις μηκέτι αὐτὸν [33] Ὀλύμπιον καλεῖν. οἷον. οὐκ

---

23 Mon. αὐτὸ τὸ ξίφ. Vind. ὁ δὲ αὐτῷ τὸ ξίφ. 24 Vind. ὅτε βουλόμεθα. 25 πρὸς Port. om. 26 Port. τό. 27 Ald. περιελέα. 28 Vind. ὡς. supra lin. ἢ πρός. 29 Vind. λέξομεν οὕτως. tum Ald. ἀπαιχθάνεσθαι. 30 Contra Aristocr. init. 31 Ald. Par. Vind. Mon. μήτε μιᾶς. Vind. Mon. ἄλλης ἕνεκα. Port. μηδεμιᾶς ἕνεχ' ἥκειν. 32 Vind. σκηπός. 33 Vind. Mon. αὐτὸν μηκέτι. — Theon. Prog. c. VIII. *Περικλῆς Ὀλύμπιος ἀπὸ τῆς ἐν τοῖς κατορθώμασι μεγαλειότητος ἐπικεκλημένος.* Max. Planud. p. 374. *μεγάλα κατωρθωκὼς ἐπεκλήθη παρὰ τοῦ δήμου τῶν Ἀθηναίων Ὀλύμπιος.* Ad admirabilem dicendi vim cognomen hoc referunt Plut. Per. c. 8. Diod. Sic, XIII. 98.

ἔχθρας ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς πρὸς Περικλέα τὴν συμβουλὴν ταύτην ἐνεστησάμην, ἀλλ' εὐνοίας πλέον, δεδοικὼς, μή τι παρὰ τῶν [34] θεῶν ἄνθρωπος ὢν πάθῃ. [35] ἐξ ἀπονοίας δὲ ὠμὸν δι' ἐξουσίαν. οἷον, πένης καὶ πλούσιος ἐχθροί· ὑπέσχετο ὁ πλούσιος θρέψειν τοὺς πολίτας, [36] εἰ λάβοι τὸν πένητα πρὸς ἀναίρεσιν. ἔδωκεν ὁ δῆμος· οὐκ ἔθρεψεν ὁ πλούσιος τοὺς τοῦ πένητος υἱεῖς· ἀπέθανον λιμῷ, καὶ κρίνεται φόνου· οὐκ ἀπεχθανόμενος ἰδίᾳ τῷ πλουσίῳ τὴν ὑπὲρ τῶν πολιτῶν ἐνεστησάμην γραφὴν, ἀλλὰ ἀγανακτῶν ἐπὶ τοῖς νόμοις καὶ τῇ πόλει. [37] καὶ μυρίους τις ἂν εὕροι ἀριστεῖς ἢ πλουσίους ἢ στρατηγοὺς ἢ δημαγωγούς, οἷς ἀντιλέγοντας ἢ κατηγοροῦντας ἀναγκαῖόν ἐστι τὰς ἔχθρας τὰς ἰδίας παραιτεῖσθαι, καταφεύγειν δὲ ἐπὶ τὴν πόλιν καὶ τοὺς νόμους, καὶ τοῦ κοινῇ τῇ πόλει συμφέροντος ἕνεκεν λέγειν ἐνίστασθαι τὸν ἀγῶνα. ὁμολογεῖν δὲ δεῖ τὰς ἔχθρας, ἐὰν προαδικηθέντες ἀμυνώμεθα. ἀνεπίφθονον [38] γὰρ τιμωρίαν κατὰ τῶν ἠδικηκότων λαμβάνειν· ὡς καὶ ὁ Δημοσθένης [39] ἐν τῷ κατ' Ἀνδροτίωνος ἐποίησε λόγῳ. ὅπερ Εὐκτήμων, ὦ ἄνδρες δικασταὶ, παθὼν ὑπ' Ἀνδροτίωνος κακῶς ἅμα τῇ τε πόλει βοηθεῖν ᾤετο δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν, ἐὰν ἄρα οἷός τε ὦ·" καὶ ἐν τῷ κατὰ Νεαίρας πάλιν ὁμοίως. [40] καὶ περὶ τοὺς ἀπολογουμένους ὑπέρ τινος ὑπόληψις εὑρίσκεται πολλάκις, εὐνοίας ἢ κέρδους. τοῦ μὲν οὖν κέρδους ἀεὶ παραιτητέον ἐνστήσασθαι

---

34 τῶν Mon. om., sed in loco raso. 35 Vind. πάθοι, ὁ ἡ. 36 Port. παῖδας· ad marg. γρ. πολίτας. 37 Vind. τὴν πόλιν. 38 Eustath. ad Od. I. p. 1422, καὶ Ἑρμογένης δὲ ἀνεπίφθονόν πού φησι τὸ ἄμεμπτον. 39 Vind. Δησθένης. v. sq. Ald. εὐετήμων. c. Androt. init. 40 Mon. habet titulum: περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων τῶν ἀπολογουμένων. 41 Ald. Par. τὸν

τέρα τροφ[illegible]
ἐπανῆκε πλ[illegible]
τῷ παιδὶ, [illegible]
νεν ἑαυτὸν [illegible]
5 του. ὕπεστι [illegible]
σασθαι κα[illegible]
νων τὸν [illegible]
ὁμολογήσ[illegible] ὁμολο-
οὐχ ὅταν [illegible] λέ-
10 ἀρνήσεσι [illegible] πα-
μεν πρὸς [illegible] τῶν
νούμενον [illegible] πάν-
την, τότ[illegible] ἐ εὔνοιαν
τινα δι' [illegible] ὑπὲρ τῶν
15 θέτην μ[illegible] οἷον,
εὐεργέτη[illegible] τὸν νόμον τὸν
δρες [illegible] ἐξέλιπεν ὁ ἥλιος,
μηδεμ[illegible] οἷον, φιλεῖν μὲν
κατη[illegible] ἔγωγε. κοινοὺς σω-
20 ωπον, [illegible] ἂν ὑπὲρ συγγενῶν
χθη [illegible] γὰρ ὁ ὑπὲρ τῶν
λεύει [illegible] ἐν τῷ

---

[illegible] μάλιστα
ὅτε β[illegible] λελύσθαι
Ald.
λέξο[illegible] Par. ad marg.
init. [illegible] ita Vind.
ἕνεκ[illegible] In Mon. man.
Vi[illegible] — Ad rem cfr.
Ὀλ[illegible] Mon. om. In Par. man. rec.
νο[illegible] idem: ὁμο-
το[illegible] Par. om. 49
[illegible] : περὶ
[illegible] Vind.

τῇ πόλει [52] τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς ἕνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις ὡς ἂν οἷός τε ὦ συνερεῖν." [53] οὕτω περὶ τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων. [54]

Περὶ δὲ τοὺς τὰ ἐγκλήματα ἔχοντας ἢ χρηστὰι ὑπολήψεις συνίστανται, ἢ πονηραί. [55] ἐὰν μὲν οὖν κατηγορῶμεν, τὰς φύσει προσούσας φαύλας βεβαιώσομεν. οἷον, [56] τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταὶ, καὶ τὴν ὕβριν, ἣ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὔθ' ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἶομαι. τὰς δὲ χρηστὰς προσούσας ὑπολήψεις διαλύσομεν. οἷον, [57] οὐκ ἀγνοῶ μέν, ὦ ἄνδρες δικασταὶ, [58] ὅτι τὸν Χαρίδημόν τινες εὐεργέτην οἴονται. ἐγὼ δὲ ἐάν περ ἃ βούλομαί τε καὶ οἶδα τούτῳ [59] πεπραγμένα δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν, οἶομαι [60] δείξειν οὐ μόνον οὐκ εὐεργέτην, ἀλλὰ καὶ κακονούστατον [61] καὶ πολὺ τἀναντία ἢ προσῆκεν ὑπειλημμένον. ἐὰν δὲ ἀπολογώμεθα, τοὐναντίον ποιήσομεν, τὰς μὲν χρηστὰς βεβαιοῦντες ὑπολήψεις, τὰς δὲ φαύλας διαλύοντες. οἷον, δέκα νέοι τὴν τάξιν λιπόντες ἔφυγον. τῷ [62] ἑνὶ ἀπαντήσασα ἡ μήτηρ ἀπέκτεινεν αὐτόν. οἱ ἐννέα στραφέντες ἠρίστευσαν, καὶ κρίνεται ἡ γυνὴ φόνου. ἐνταῦθα γὰρ μία μὲν ὑπόλη-

---

Mon. 52 τῇ πόλει Par. Mon. om. Par. ad marg. γρ. λελύσθαι τῇ πόλει τὸν νόμον. 53 Ald. συνεργεῖν. Vind. ad marg. Mon. Par. Port. συνερεῖν. 54 Mon. habet titulum: περὶ πταισμάτων ἤτοι ἐγκλημάτων. 55 Ald. πονηραί. 56 In Mid. init. 57 In Aristocr. p. 622. infr. et 623. 58 Mon. ἄνδρ. Ἀθηναῖοι. Port. Demosthenem secutus: οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι τὸν Χαρ. εὐεργέτην εἶναί τινες τῆς πόλεως οἴονται. ἐγὼ δὲ ἂν περ. 59 Port. πεπραγμ. ἐκείνῳ. 60 Port. οἶμαι. 61 Port. add.: ἀνθρώπων ἁπάντων. 62 Vind. καὶ τῷ ἑνί.

ψις περὶ τὴν γυναῖκα χρηστὴ, ὅτι τῆς νίκης αἰτία. ἦν χρὴ βεβαιῶσαι κατὰ τὰ προοίμια λέγοντα οὕτως. ὅτι μὲν οὐκ ἄλλος τις ἡμῖν [63] τῆς νίκης αἴτιος μᾶλλον τῆς [64] γυναικὸς ἐγένετο, [65] πάντας ὑμᾶς [66] ἐλπίζομεν ἐγνωκέ-
41 ναι. μία δὲ φαύλη, ἡ τοῦ δοκεῖν παιδοκτόνον αὐτὴν εἶναι, ἣν χρὴ θεραπεῦσαι λέγοντας [67] οὕτως· εἰ μὲν οὖν τοῖς κατηγόροις πειθόμενοι τὴν γυναῖκα ταύτην παιδοκτόνον ὑπολήψεσθε, [68] οὐκ ὀρθῶς ποιήσετε. εἰ δὲ τὰ πεπραγμένα σκοπήσετε, καὶ τὰ τοῦ τετελευτηκότος δίκαια ἐγκλήματα, φανεῖται ἡ γυνὴ οὐκ ἀγαθὸν [64] υἱὸν, ἀλλὰ προδότην πονηρὸν ἀποκτείνασα. [70]

Ἐμφαίνεται δὲ καὶ ἔξωθεν πρόσωπα, [71] ὡς ἔφαμεν, πολεμίων μάλιστα πολλάκις· [72] ἀφ' ὧν οὕτω ληψόμεθα τὰ προοίμια ζητοῦντες ἐπὶ τῇ παρούσῃ κρίσει, τί ἂν βούλοιντο τέλος οἱ πολέμιοι γενέσθαι, λέγοντες οὕτως ὡς ἐν ἐκείνῳ τῷ προβλήματι. φυγάδες πολεμουμένῃ τῇ πατρίδι ἐβοήθησαν, καὶ νίκην εἰργάσαντο, καὶ γράφει τις αὐτοὺς κατάγειν. [73] τοῖς μὲν οὖν πολεμίοις δι' εὐχῆς [74] ἐστι μὴ καταδέξασθαι τοὺς πολίτας ἡμᾶς ἐνθάδε, ἵνα ὦμεν αὐτοῖς ληφθῆναι ῥᾴδιοι. ἡμᾶς δὲ οὐκ ἄξιον ποιεῖν ἃ δοκεῖ τοῖς πολεμίοις. [75] Ταῦτά σοι περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων πεπλήρωται, τοῦτον εὑρισκόμενα τὸν τρόπον ἁπανταχῇ.

---

63 Mon. ὑμῖν τῆς νίκης. Vind. τῆς νίκης ἡμῖν. 64 Ald. ἢ τῆς. Port. Codd. ἢ om. 65 Vind. ἐγίνετο. 66 Ald. Mon. ἡμᾶς. Port. Par. Vind. ὑμᾶς. 67 Vind. Mon. λέγοντα. 68 Ald. παιδοκτόννον ὑποληψαισθε. Vind. Mon. ὑπολήψεσθε. Par. ὑπολήψεσθε et paullo post: σκοπήσετε. Ald. ἀκαθόν. 70 Sequitur titulus in Mon.: περὶ τῶν ἔξωθεν ἐμφαινομένων. 71 Vind. πρόσωπον. 72 Par. ad marg.: γρ. πολλάκις δὲ καὶ συμμάχων. 73 Vind. καλεῖν. 74 Vind. ἐν εὐχαῖς. 75 Vind. ἃ τοῖς πολεμίοις δοκεῖ. tum Mon. ταὐτά σοι.

## Cap. II.

### ΠΕΡΙ ΤΩΝ ΕΞ ΥΠΟΔΙΑΙΡΕΣΕΩΣ ΠΡΟΟΙΜΙΩΝ.

Ἑξῆς [1] λεκτέον περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων, πάνυ παγκάλην καὶ ποικίλην ἐχόντων τὴν τέχνην· εὑρίσκεται δὲ καὶ ταῦτα ἀπὸ τῶν ἑξῆς μαθημάτων, οὐκ ἐν πᾶσι δὲ προβλήμασιν, οὐδὲ πάντα ἐν πᾶσιν· εὔθικτα [2] μὲν γάρ ἐστιν εὑρεθέντα καὶ δριμέα, πλεονάκις [3] δὲ φαίνεται τῶν ἐξ ὑπολήψεως ἡ ἀρετή, διότι πανταχῆ φαίνεται· ἔστι δὲ τῶν ἐξ ὑποδιαιρέσεως εἴδη τρία, ὧν καὶ τὰ [4] παραδείγματα θήσομεν· [5] καὶ πρῶτόν ἐστιν, ὅτε δύο πεπραγμένων ἀδικημάτων, ὧν καὶ [6] τὸ ἕτερον ἀναδέξασθαι δύναται κρίσιν, ὑποδιαιροῦντες ποιήσομεν προοίμιον οὕτως· [7] οἷον, κατέσκαψάν τινες πόλιν ἐν πολέμῳ· καὶ ἐγεώργησαν αὐτήν· οὐκ ἀνῆκεν ἡ γῆ καρπούς, καὶ κρίνονται ἀσεβείας. ἐνταῦθα δύο ὄντων ἀδικημάτων ἰσοστασίων, τοῦ τε κατασκάψαι τὴν πόλιν, καὶ τοῦ γεωργῆσαι, ποιήσομεν ἐξ ὑποδιαιρέσεως προοίμιον οὕτως· [8] εἰ μὲν οὖν καὶ διὰ τὸ κατασκάψαι τὴν πόλιν ἔδοσαν αὐτοὶ δίκην, [9] ὀρθῶς ἂν ἐγένετο· νῦν δὲ πολλῷ πλέον, ὅτε καὶ γεωργῆσαι διέγνωσαν ἣν κατέσκαψαν πόλιν· οὐ μέντοι ἡ ἑνὸς [10] πράγματος εἰς λεπτὸν τομὴ προοιμίου ἐστὶν ἐξ ὑποδιαιρέσεως, ἀλλὰ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξ ὑποδιαιρέσεως κατασκευή. οἷον, ἔπεισεν ἐν λιμῷ καὶ

---

1 Vind. ἑξῆς δέ. 2 Planud. p. 376. v. 18. τὸ δὲ εὔθηκτα διὰ μὲν τοῦ η γραφόμενον τὰ τμητικὰ δηλοῖ καὶ ἐνεργῆ καὶ δραστήρια, ἀπὸ μεταφορᾶς τοῖ τεθηγμένου ξίφους. διὰ δὲ τοῦ ι τὰ οἱονεὶ εὐαφῆ καὶ εὐμεταχείριστα κ. τ. λ. 3 Mon. Vind. πολλάκις. 4 τὰ Vind. om. 5 Mon. θήσομεν. ἤτοι γὰρ δύο. Par. ad marg. γρ. ἤτοι γὰρ δύο πεπρ. 6 καὶ Vind. om. 7 Vind. οὕτω προοίμιον. — v. 14. Port. ὄντων ἐγκλημάτων. 8 Vind. οὕτω. 9 Vind. Mon. δίκας. 10 Mon. οὐ μέντοι ἑνὸς πρ. ἡ εἰς λεπτόν. Vind. εἰς πλεῖον. supra lin. λεπτόν.

πολιορκίᾳ ῥήτωρ τὴν ἄχρηστον ἡλικίαν ἀποκτεῖναι. γέρων λαθὼν ἠρίστευσε, καὶ [11] αἰτεῖ εἰς τὸ γέρας τὸν ῥήτορα. ἐνταῦθα τὸ ἀδίκημα ἓν, τὸ τὰ γένη διαφθαρῆναι. ἐξ ὑποδιαιρέσεως δὲ, [12] εἰ λέγοι, εἰ γὰρ μόνους τοὺς πατέρας ἔπεισεν ἀποκτεῖναι, ἢ μόνας τὰς γυναῖκας, ἄξιος ἦν θανάτου· οὐ προοίμιον [13] λέγει, ἀλλὰ κατασκευάζει τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους.

Δεύτερον δὲ [14] ἐξ ὑποδιαιρέσεως μάθημα οὕτως εὑρίσκεται, ἐν ᾧ [15] ποιοῦμεν προοίμιον· ἐνίοτε [16] τοῖς προσώποις καὶ πρὸ τῶν πραγμάτων ἴδιαι παρακολουθοῦσιν ὑπολήψεις, οἷον, Αἰσχίνῃ, Δημοσθένει· δεύτεραι [17] δὲ αἱ ἐπισυμβαίνουσαι ἀπὸ τῶν πραγμάτων· ὅταν οὖν εὕρωμεν ἐν προβλήματι τὰς ὑπολήψεις ἑκατέρας περὶ τὸ ἓν πρόσωπον, τήν τε φύσει προσοῦσαν καὶ τὴν ἐπιγενομένην, ὑποδιαιροῦντες λέγομεν, ὡς ἐν ἐκείνῳ τῷ προβλήματι· Δημάδης πρεσβεύσας παρὰ [18] Φίλιππον, καὶ ἐρομένου ποταπαί εἰσιν αἱ Ἀθῆναι τοῦ Μακεδόνος, ἐπὶ τῆς τραπέζης αὐτὰς κατέγραψε· [19] καὶ ἐπανελθὼν ὕβρεως κρίνεται. οἷον, καὶ διὰ τὸν ἄλλον μὲν βίον, ὦ Ἀθηναῖοι, [20] τὸν προσόντα Δημάδει καὶ τὴν προδοσίαν, ἄξιον ἦν κολάσαι τοῦτον, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰ νῦν αὐτῷ γεγενημένα, ἐξ ὧν αἰσχύνην ὁμοῦ καὶ ζημίαν περιῆψε τῇ πόλει. γίνεται δὲ καὶ ἐπὶ τῶν ἰδιωτικῶν τοῦτο πολλάκις, ἂν ἔχωμεν ἢ μάγον, ἢ τελώνην, [21] ἢ πορνοβοσκούς. [22] οἷον, πορνοβοσκὸς τὰ τῶν Μουσῶν ὀνόματα ταῖς ἑταί-

---

11 καὶ Vind. Mon. om. 12 Vind. ἐξ ὑπ. δὲ λέγει. 13 Mon. οὐ πρ. οὖν λέγει. 14 Vind. δὲ om. 15 Mon. ἐν om. 16 Vind. ἐνίοτε δέ. 17 Ald. Mon. δεύτερον. Par. δεύτεραι αἱ δὲ ἐπισυμβαίνουσαι. Vind. δεύτεραι ἐπισυμβαίνουσιν. 18 Mon. παρὰ τὸν Φίλ. 19 Vind. κατέγραψεν· ἐπανελθὼν οὖν. 20 Port. ὦ ἄνδρες Ἀθ. τὸν πρ. Δημάδη. 21 de τελώναις contemtis diximus ad Arsen. Viol. p. 294. cfr. Casaub. et Ast. ad Theophr. Char. VI. 22 Vind. πορνοβοσκόν.

ραις τίθεται καὶ κρίνεται ἀσεβείας· λέγομεν γὰρ οὕτως. ἄξιον μὲν ἦν τὸν πορνοβοσκὸν καὶ διὰ τὸν ἄλλον βίον 42
μισεῖσθαι, [23] πονηρὸν ὄντα, καὶ δὴ καὶ τιμωρίας ἄξιον, οὐχ ἥκιστα δὲ νῦν, ὅτε καὶ ἠσέβησεν εἰς τὰς θεάς.

Τρίτον ἐξ ὑποδιαιρέσεως μάθημα εἰς προοιμίων εὕρεσιν, ὃ καλεῖται τοῦ [24] ἀθρόου πρὸς τὸ μέλλον ὑποδιαίρεσις. γίνεται δὲ, ὅταν κακοῦ τινος τολμηθέντος λέγῃς δεῖν [25] τὸν εἰργασμένον δοῦναι τὴν τιμωρίαν, καὶ διὰ τὸ τετολμημένον, καὶ ἵνα μὴ πάλιν τολμηθῇ· [26] δεῖ δὲ τὸ τοῦ ἀθρόου πρὸς τὸ μέλλον ποιεῖν τότε, ὅταν ἢ τὸ μηδεπώποτε γεγονὸς τοῦτο συμβὰν μὴ [27] παθεῖν πάλιν φυλαττώμεθα, ἢ ὅταν τὸ αὐτὸ πράττηται πολλάκις. τὰ δὲ παραδείγματα σαφεστέραν ποιεῖται τὴν τέχνην. πολλοὶ τυραννοῦσιν ἐκ τοῦ αὐτοῦ γένους, καὶ γράφει τις [28] ἐλαύνειν τὸ γένος· ἐνταῦθα καλλίστην χώραν ἔχει τὸ προοίμιον, ἐὰν λέγωμεν οὕτω. καὶ τῶν γεγενημένων [29] ἕνεκα τυραννίδων καλῶς ἂν ἔχοι [30] μισοῦντας τὸ γένος τῆς πόλεως ἐκβάλλειν, τιμωροῦντας αὐτοὺς [31] ὑπὲρ ὧν ἐπάθομεν, οὐχ ἥκιστα δὲ καὶ τοῦ μέλλοντος πρόνοιαν ποιουμένους, ἵνα μὴ τοῖς ὁμοίοις περιπίπτωμεν ἀεί. καὶ πάλιν ἐμίχθη τις τεταριχευμένῳ [32] σώματι, καὶ γράφει τις λελύσθαι [33] τὸν τῆς ταριχείας νόμον· καὶ γὰρ ἐκεῖ δυνάμεθα λέγειν, ἵνα μὴ πάλιν γένηται.

---

23 Mon. μισεῖσθαι βίον. 24 Mon. τὸ τοῦ. In Vind. super ἀθρόου scriptum: ἢ καὶ ὅλου. 25 Mon. δεῖ. 26 Vind. Mon. τολμηθῇ πάλιν. 27 μὴ Mon. Vind. om. tum Vind. πάλιν παθεῖν φυλαττόμεθα. 28 καὶ γράφει τις Par. om. Man. rec. supra lin. posuit. 29 Vind. γεγ. μὲν ἕνεκα. Mon. εἵνεκα. 30 Vind. ἔχει. 31 Port. αὐτούς. Ald. Codd. αὐτοῖς. 32 Vind. ταριχευομένῳ. 33 Mon. λελῦσθαι. etiam Vind. constanter.

## Cap. III.

### ΠΕΡΙ ΤΩΝ ΕΚ ΠΕΡΙΟΥΣΙΑΣ ΠΡΟΟΙΜΙΩΝ.

Τὰ ἐκ περιουσίας καλούμενα [1] προοίμια ἰδίαν εὕρεσιν ἔχει ἐν ταῖς κατηγορίαις, καὶ ἐν ταῖς ἀπολογίαις. σαφῆ δὲ αὐτὰ ἐν ἑκατέροις ποιήσω· ἐὰν γὰρ κατηγοροῦντές τινος [2] φόνου δυνώμεθα λέγειν, ὅτι ἠδυνάμην αὐτὸν καὶ δημοσίων ἀδικημάτων κρίνειν, ἐκ περιουσίας ποιοῦμεν τὸ προοίμιον, κἂν δημοσίων ἀδικημάτων κατηγοροῦντες [4] δυνώμεθα λέγειν, ὅτι ἠδυνάμην αὐτὸν καὶ ἀσεβείας κρίνειν, ἐκ περιουσίας προοιμιαζόμεθα. [5] οἷον, ἀριστεὺς ἄχειρ προσῆλθε στρατηγῷ δεόμενος τροφῶν· ὁ δὲ εἶπεν, ἀχρήστους ἡ πόλις οὐ [6] τρέφει. κατὰ κρημνοῦ ὦσεν ἑαυτὸν ὁ ἀριστεύς· καὶ κρίνεται ὁ στρατηγὸς αἰτίας θανάτου· λέγομεν γὰρ ἐκ περιουσίας, ὅτι ἠδυνάμην αὐτὸν καὶ δημοσίων ἀδικημάτων εἰσαγαγεῖν, γραψάμενος, ὅτι κοινὸν εὐεργέτην τῆς πόλεως ἀπώλεσεν· ἢ ὡς [7] ἐκεῖνο τὸ πρόβλημα· ἡ Φύη [8] μετὰ τὴν κατάλυσιν τοῦ Πεισιστράτου κρίνεται δημοσίων ἀδικημάτων· λέγομεν γὰρ, ἠδυνάμην [9] μὲν οὖν καὶ ἀσεβείας αὐτὴν γραψάμενος εἰς ὑμᾶς ἀγαγεῖν, ὅτι τὸ [10] σχῆμα τῆς Ἀθηνᾶς ἀσεβῶς ὑπεκρίνατο.

Ἰστέον δὲ, ὅτι μικροτέρου κρίνοντας δεῖ λέγειν, ὅτι

---

1 καλούμενα Vind. om. 2 Vind. τινές. 3 τὸ Vind. om. 4 Par. κρίνοντες. 5 Mon. ποιοῦμεν τὸ προοίμιον. 6 οὐ Par. om., man. rec. posuit supra lin. 7 ὡς Mon. om. 8 Vind. ad marg. σημειωτέον, ὅτι ἡ Φύη προσήκουσα ἦν τῷ Πεισιστράτῳ, ἧ τὸ τῆς Ἀθηνᾶς ὑπεκρίθη σχῆμα, εἰσερχομένου τοῦ Πεισιστράτου εἰς τὰς Ἀθήνας καθ' ἡμέραν ἐφ' ἅρματος, καὶ εἰσάγουσα αὐτὸν εἰς τὴν πόλιν. Herod. I, 60. 9 Par. ad marg. γρ. ἠδυνάμην μὲν οὖν αὐτὸν καὶ ἀσεβείας δίκην γραψάμενος εἰς ὑμᾶς ἀγαγεῖν. 10 Vind. ὅτι τὸ τῆς Ἀθηνᾶς ἀσεβῶς ὑπεκρίνατο σχῆμα.

καὶ [11] μείζονος ἠδυνάμην· μὴ μέντοι μείζονος κρίνοντας λέγειν, ὅτι καὶ τοῦ μικροτέρου ἠδυνάμην· ἄτεχνον γὰρ τὸ τοιοῦτον· ἐν δὲ ταῖς ἀπολογίαις εὐκαταληπτότερον τὸ ἐκ περιουσίας μάθημα· πᾶς γὰρ ὁστισοῦν μετὰ τὴν ἐνεργεσίαν κρινόμενος ἄριστα ποιήσει προοίμιον ἐκ περιουσίας λέγων. ἐγὼ μὲν καὶ γέρας ὑπελάμβανον ἐπὶ τοῖς πεπραγμένοις λήψεσθαι, μή τι γε δὴ καὶ [12] κρίσεις ὑπομένειν· οἷον, ὁ στρατηγὸς ὁ τὰς τριήρεις νικώμενος καταφλέξας, καὶ νικήσας, καὶ κρινόμενος δημοσίων ἀδικημάτων. ἢ ὁ ῥίψας ἀπὸ τοῦ τείχους τὴν ἀσπίδα, καὶ ἀποκτείνας τὸν πολέμιον, καὶ καθάπαξ ῥᾳδίου τοῦ μαθήματος ὄντος, χρειώδους δὲ, ἀνθεκτέον.

---

## Cap. IV.

### ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΚΑΙΡΟΥ ΠΡΟΟΙΜΙΩΝ.

Τὸ δὲ ἀπὸ καιροῦ καλούμενον [1] προοίμιον ἀφατόν τινα τὴν ὑπερβολὴν τῆς δυνάμεως ἔχει, ἐὰν εὑρεθῇ· ἔστι δὲ τοιοῦτον τῇ δυνάμει, ἐὰν δυνώμεθα τὴν ἀξίωσιν ἣν εἰσφέρομεν τρόπον τινὰ ἤδη δεῖξαι καὶ [2] γεγενημένην· ἔστι δὲ αὐτοῦ τὸ τῆς ἰσχύος τοιοῦτον. οἷον, ἐφυγαδεύθησάν τινες, καὶ ἔκτισαν ἐπὶ τοῖς ὁρίοις τῆς πατρίδος ἑτέραν πόλιν, ἐν ᾗ ᾤκουν. πολέμου ἐνστάντος ἐκείνοις ὅθεν ἐξεβλήθησαν, ἐπανελθόντες ἐβοήθησαν αὐτοῖς· καὶ γράφει τις αὐτοὺς καταδέχεσθαι· λέγομεν γὰρ, τὸ [3] μὲν δοκεῖν [4] ἐγὼ γράφω τὸ ψήφισμα τήμερον, τοὺς πολίτας καταδέχεσθαι· τὸ δὲ ἀληθὲς ἤδη τούτους δεδέγμεθα, ὅτε συμμάχους ὄντας αὐτοὺς [5] κατελθεῖν εἰάσαμεν. ἀλλὰ

---

11 Mon. Vind. om. 12 καὶ Port. om.

1 καλούμενον Mon. om. 2 Vind. καὶ om. 3 Port. τῷ.

4 Ald. δηκεῖν. 5 Vind. αὐτοὺς ὄντας, tum Mon. ἐάσαμεν.

καὶ Μεγαρεῖς ἐπὶ τῶν τριάκοντα τυράννων ἐκτιθέντων Ἀθηναίων τὰ γένη ἀναιρούμενοι ἔτρεφον αὐτά. καταλυθείσης τῆς τυραννίδος, ἤκουσιν ἀποδιδόντες τὰ γένη· καὶ ἀξιοῖ τις καθαιρεῖν τὸ περὶ [6] τῶν Μεγαρέων πινάκιον· καὶ ἔτι ἐν τοῖς τὴν πόλιν κατασκάψασι καὶ σπείρασιν αὐτήν· θέλοντες γὰρ ἀσεβεῖς αὐτοὺς ἀποδεῖξαι, [7] φαμὲν ὑπὸ τῶν θεῶν ἐληλέγχθαι [8] καὶ πρὸ τῶν ἡμετέρων λόγων, ὅτι εἰσὶν ἀσεβεῖς, ἐξ ὧν ὡς ἐναγεστάτοις οὐδὲ τοὺς καρποὺς ἀνῆκεν ἡ γῆ· καλεῖται δὲ τοῦτο καὶ ἀγχίστροφον ἐπιχείρημα· τὸ δὲ ἐπὶ [9] τῶν ἐπιπεπλεγμένων προβλημάτων οὐκ ἀναγκαῖον ἐνόμισα προσθεῖναι μάθημα· ἢ γὰρ καλόν ἐστι, καὶ τῶν ἐξ ὑπολήψεως ὂν φαίνεται, ἢ προκατάστασις ὄν, διηγηματικόν, οὐ προοίμιον εὑρίσκεται.

---

## Cap. V.

### ΠΕΡΙ ΠΑΝΤΟΣ ΠΡΟΟΙΜΙΟΥ, ΚΑΙ ΕΚ ΠΟΣΩΝ ΜΕΡΩΝ ΣΥΝΕΣΤΗΚΕ.

Σύγκειται δὲ [1] πᾶν προοίμιον ἐκ προτάσεως, ἥ τις ἐστὶν ἐκ τῶν μαθημάτων εὑρισκομένη τῶν προκειμένων, ἐξ ὧν δή τοι [2] καὶ γίνεται· ἐκ [3] κατασκευῆς, ἐξ ἀποδόσεως, ἥτις ἐστὶν ἀξίωσις· [4] ἐκ βάσεως, ἣ συνάγει τὴν πρόταση καὶ τὴν ἀπόδοσιν. ἐὰν μὲν οὖν θελήσωμεν πολιτικώτερον στῆσαι τὸ προοίμιον, εἰς τὴν ἀξίωσιν ψιλὴν αὐτὸ στήσομεν. ἐὰν δὲ προστιθῶμεν καὶ τὴν [5] αἰτίαν τῆς ἀξιώσεως, ἁπτόμενοι τοῦ πράγματος αὐτοῦ, πανηγυρικω-

---

6 περὶ Vind. om. 7 Mon. ἐπιδεῖξαι. 8 Mon. ἐληλέχθαι. 9 In cod. correctum κατά. ad marg. γρ. κατὰ τῶν ἐπιπεπλ. tum Vind. νοημάτων. supra lin. προβλημάτων.

1 δὲ Mon. om. 2 Ald. Par. τι. Port. Vind. Mon. marg. Vict. τοι. 3 Mon. δεύτερον ἐκ κατασκευῆς, τρίτον ἐξ ἀποδόσεως — τέταρτον ἐκ βάσεως. 4 Vind. ἡ ἀξ. 5 Vind. τῆς αἰτίας.

τέρα γίνεται ἡ βάσις· καὶ μάλιστα ἂν μὴ τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἁπλῶς εἴπωμεν, ἀλλ᾽ ἐπιφωνηματικῶς· ποιεῖ δὲ[6] πανηγυρικὴν τὴν βάσιν ἡ[7] εὐρυθμία, ἵνα τὸ πανηγυρικὸν ᾖ διπλοῦν, ἢ ἐν τῷ λόγῳ διὰ τὴν εὐρυθμίαν,[8] ἢ ἐν τῷ νῷ διὰ τὴν[9] εἰς τὸ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους φιλοτιμίαν. δεῖ δὲ τὸ προοίμιον ἐν μὲν τοῖς πολιτικοῖς ἡρμηνεῦσθαι[10] μακροτέροις τοῖς κώλοις καὶ σχοινοτενέσιν· ἐν δὲ τοῖς παθητικοῖς, συνεστραμμένοις καὶ εὐκόλοις[11] μᾶλλον. περιβολὴ δὲ αὐτάρκης προοιμίων, διπλασιάσαι ὄνομα καὶ διπλασιάσαι κῶλον, καὶ προτάσεως ἀπ᾽ αἰτίας[12] κατασκευήν· καὶ[13] ὄνομα μὲν, ἂν λέγωμεν,[14] „πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει, καὶ πᾶσιν ὑμῖν, καὶ ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας καὶ δόξης.“ κῶλον[15] δὲ, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους, „ὑπὲρ τοῦ Χερρόνησον[16] ἔχειν ὑμᾶς ἀσφαλῶς, καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς.“ προτάσεως δὲ ἐξ αἰτίας κατασκευὴν ἂν λέγωμεν, (πολλαχῇ δὲ δυνάμεθα εἰπεῖν) τὰ μὲν τούτῳ τετολμημένα λέληθεν ὑμῶν[17] οὐδένα· τοῦτο ἡ πρότασις. ἡ δὲ κατασκευὴ ἐξ αἰτίας, ἐπεὶ μηδὲ οὕτως ἐστὶ μικρὰ

6 Vind. Mon. Par. ad marg. ποιεῖ δὲ πολλάκις πανηγυρικήν. 7 Vind. καὶ ἡ εὐρ. 8 Ald. ἀριθμίαν. Vind. Mon. marg. Vict. εὐρυθμ. Par. κατὰ τὴν εὐρυθμ. 9 Par. διὰ τὴν ἐν τοῖς ἀπ᾽ ἀρχῆς. marg. γρ. διὰ τὴν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ut Mon. Vind. Ald. — Port. διὰ τὴν εἰς τὸ ἀπ᾽ ἀρχῆς. 10 Mon. ἑρμηνεύεσθαι. tum Ald. μακρότερος. Vind. Mon. marg. Vict. μακροτέροις. 11 Vind. εὐκολωτέροις μᾶλλον. 12 Vind. ἐξ αἰτίας. 13 καὶ Mon. Vind. om. tum Vind. ὀνόματος μέν. 14 pro cor. init. — v. 13. ὅσην — διατελῶ Ald. Codd. om., recepi ex Port. — v. 15. Port. εὐσ. τε καί. 15 Mon. κώλου. — c. Aristocr. init. 16 Mon. Χερόννησον ὑμῶς ἔχειν. Vind. Χερρόνησον ἡμᾶς ἔ. Ald. Port. Χερόνν. ἔχ. ὑμ. 17 Ald. ἡμῶν. Port. Vind. Mon. ὑμῶν.

τὰ τετολμημένα, ὡς δύνασθαι καὶ [18] λαθεῖν· λεκτέον δὲ καὶ ἐπὶ παραδείγματος. πωλοῦσι τὰ τέκνα οἱ νησιῶται, καὶ γράφει τις παρὰ Ἀθηναίοις ἐπανεῖναι τὸν φόρον· οἷα μὲν [19] οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πάσχουσιν οἱ νησιῶται κακὰ προφάσει τῶν φόρων, λέληθεν οὔτε [20] ὑμᾶς, οὔτε τῶν ἄλλων Ἑλλήνων οὐδένα· τοῦτο ἡ πρότασις· καὶ γὰρ οὐδὲ [21] οὕτως ἐστὶ μέτριον, ὃ τολμῶσι περὶ τὰ φίλτατα, ὥστε λαθεῖν ἐνεῖναι δύνασθαι· τοῦτο ἡ κατασκευὴ τῆς προτάσεως. εἶτα ἡ ἀπόδοσις, ὑμᾶς [22] δὲ προσήκει πρόνοιαν ποιουμένους τῆς ὑμετέρας εὐδοξίας [23] ἐπανεῖναι τοῖς ἀθλίοις τὸν φόρον, καὶ μηκέθ' οὕτως ὀχληροὺς καθίστασθαι. ἐὰν [24] μὲν οὖν πολιτικῶς ἐθελήσῃς στῆσαι, [25] οὕτω στήσεις τὴν ἀξίωσιν· εἰ δὲ βούλει, [26] πρόσθες καὶ τὴν τῆς ἀξιώσεως αἰτίαν, τουτέστιν αὐτὸ τὸ πρᾶγμα, αὐτὸ λέγω τὸ ἀπ' ἀρχῆς ἄχρι τέλους γυμνόν· καὶ [27] ἐὰν θελήσωμεν εἰπεῖν τὸ ἀπ' ἀρχῆς ἄχρι τέλους, τολμῶντες ἐπιφωνηματικώτερον, ἔσται καὶ οὕτω [28] πανηγυρικὴ ἡ βάσις· δι' οὓς [29] ἀναγκαζόμεναι δυστυχοῦσιν ἀπαιδίαν αἱ νῆσοι. [30] ΕΡ-

---

18 καὶ Mon. om. 19 Vind. οἷα μὲν, ὦ Ἀθηναῖοι. 20 Vind. οὔθ' ὑμᾶς. 21 Ald. οὐ δέον οὕτως. Par. Vind. Port. οὐδὲ οὔτ. 22 Ald. Port. Vind. ἡμᾶς. Par. Mon. ὑμᾶς. 23 Vind. τῆς ὑμετέρας εὐδ. ποιουμένους. 24 Mon. καὶ ἐὰν μὲν πολ. ἐθελήσεις. — Vind. οὖν om. 25 Par. ad marg. γρ. καὶ στῆναι. ita Mon. Idem οὕτως στήσ. 26 εἰ δὲ βούλει — αἰτίαν Vind. om. 27 Vind. ἐὰν δὲ θελ. Mon. ἐθελήσωμεν. 28 Mon. πανηγυρικὴ καὶ οὕτως. Port. πανηγυρικωτέρα καὶ οὕτως. Vind. ad marg. man. rec. πανηγυρικωτέρα. 29 Ald. Mon. Par. δι' ὧν. Port. Vind. δι' οὓς. Plut. Timol. 36. πόλεις τοσαύτας καὶ μυριάδας ἀνθρώπων δι' ἑαυτὸν ἐφορᾷν εὐδαιμονούσας. Plut. Apophth. p. 195. F. Μάρκου — τοῦ τὴν ἀκρόπολιν φρουροῦντος δι' ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος. p. 204. D. οὐκ αἰσχύνῃ ἐμοὶ λοιδορούμενος, δι' ὃν ἐξ ἀφώνου λόγιος, ἐκ δὲ πεινατικοῦ ἐμετικὸς γέγονας. Lucian. de gymn. c. 30. ἐν ἐλευθερίᾳ βιώσεσθαι δι' αὐτούς. Aristid. Or. in Jov. p. 8. καὶ διὰ τοῦτον ὁρῶμεν καὶ ἔχομεν, ὁπόσα ἔχομεν. 30 In Mon. τέλος τοῦ ά τόμου.

# ΕΡΜΟΓΕΝΟΥΣ[1]
## ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

---

### Cap. I.

### ΠΕΡΙ ΠΡΟΚΑΤΑΣΤΑΣΕΩΣ[2] ΤΗΣ ΚΑΙ[3] ΠΡΟΔΙΗΓΗΣΕΩΣ.

*Διήγησίς ἐστι παντὸς μὲν*[4] *προβλήματος αὐτὸ τὸ* 44
*πρᾶγμα, ἐξ οὗ συνέστηκεν ἡ ὑπόθεσις, καὶ διὰ τοῦτο*
*διήγησιν μὲν*[5] *εὑρεῖν οὐ δύσκολον· φαίνεται γὰρ τοῦ*
*πράγματος πλατυνομένου τοῖς τρόποις*[6] *οἷς ἐκθήσομαι·*
*τὴν δὲ προκατάστασιν τῆς διηγήσεως, τὴν καὶ προδιή-*
*γησιν καλουμένην, ἄξιον ἐξετάσαι, πόθεν ληφθήσεται,*
*καὶ ἀπὸ τρόπων ὁπόσων, καὶ εἰ ὁμοίως ἐν πᾶσι*[7] *προβλή-*
*μασιν ἡ αὐτὴ, ἢ καθ' ἕκαστον εἶδος ζητήματος ἰδία τις*
*εὕρεσις*[8] *προκαταστάσεως γίνεται· ὡς ἐν κεφαλαίῳ μὲν*
*οὖν εἰπεῖν, πάσης διηγήσεως ἐν παντὶ προβλήματι ζητη-*
*τέον, τὰ πρεσβύτερα μὲν, χρήσιμα δὲ τῇ ὑποκειμένῃ*
*ἀξιώσει*[9] *ἢ κρίσει, κἀκεῖθεν λαμβάνειν ἄξιον· καὶ προ-*
*καταστήσαντας, ὡς προσήκει, τὴν προδιήγησιν, οὕτως*
*εἰς αὐτὴν χωρῆσαι τὴν ἐμφαινομένην*[10] *ἐν αὐτῷ τῷ προ-*
*βλήματι διήγησιν· ἄτεχνον γὰρ καὶ ἰδιωτικὸν τὸ τῆς*
*διηγήσεως αὐτόθεν ἄρχεσθαι, ὅθεν καὶ τὸ πρόβλημα*

---

1 Mon. Vind. *Τόμος δεύτερος περὶ εὑρέσεως.* Ald. *περὶ εὑρέσεως τόμ. δεύτ.* 2 Ald. Par. Mon. Vind. *καταστάσεως.* Port. et Planud. p. 384. *προκαταστ.* 3 Port. *τῆς τε προδιηγ.* Vind. Mon. haec om. 4 Port. *Διήγ. μέν ἐστι.* 5 *μὲν* Vind. om. 6 Mon. *προσώποις.* man. rec. supra lin. *τρόποις.* 7 Vind. *πᾶσι τοῖς πρ.* 8 Ald. *εὕρεσιν.* 9 Vind. *ἀξιόσει.* 10 Ald. *ἐφαινομ.*

λέγει. ἀλλ' ἐπεὶ τῶν προβλημάτων εἴδη ποικίλα, καὶ τῶν πραγμάτων αἱ ζητήσεις διάφοροι, ποικίλας καὶ τὰς εὑρέσεις παραδώσομεν, ὥστε τεθείσης ὑποθέσεως, [11] αὐτίκα εἰδέναι, ἐφ' ὃ τρεπτέον ἐστὶν εἰς εὕρεσιν τῆς προκατα-
5 στάσεως τεχνικήν.

---

## Capp. II.

### ΠΕΡΙ ΜΕΤΟΙΚΙΩΝ ΚΑΙ ΤΗΣ ΕΝ ΤΟΥΤΟΙΣ ΕΥΡΕΣΕΩΣ.

Οἱ περὶ μετοικίας βουλευόμενοι [1] δυοῖν τούτοιν ἕνεκα θατέρου [2] τὴν βουλὴν ἔχουσιν· ἢ γὰρ προσόντος ἀγαθοῦ καὶ ἀφανισθέντος λύπῃ τῶν ἀπολωλότων βουλεύον-
10 ται μετοικεῖν· οἷον, Λυδοὶ μὴ ῥέοντος τοῦ Πακτωλοῦ τὸν χρυσὸν, ἢ Αἰγύπτιοι μὴ ὑπερβαίνοντος τοῦ Νείλου καὶ ἄρδοντος τὴν γῆν· ἢ προσεπιγενομένου κακοῦ ἀδοκήτου· [3] οἷον, σείεται Σικελία συνεχῶς, καὶ βουλεύονται μετοικεῖν· ἢ πάλιν, ῥεῖ ἀπὸ τῆς Αἴτνης ἐπὶ τὴν Κατά-
15 νην [4] τὸ πῦρ, καὶ βουλεύονται μετοικεῖν· εἰ μὲν οὖν [5] ἀγαθοῦ τινος ἐπιλείποντος βουλευόμεθα μετοικεῖν, τὴν προκατάστασιν λέξομεν, λαβόντες ἐντεῦθεν. οἱ πρόγονοι τὰς πόλεις ἔκτισαν ἢ τὴν πόλιν ἐνταῦθα, οὐδενὶ τῶν ἄλλων ἐπαρθέντες, ἢ τούτῳ τῷ ἀγαθῷ. μέχρι μὲν οὖν
20 πάγιον ἦν καὶ βέβαιον, εἰκότως ἐμένομεν. καὶ γὰρ ἀπελαύομεν τῶν ἀγαθῶν. ἐπεὶ δὲ οἴχεται, μετοικισθῆναι δίκαιον. Εἰ δὲ κακὸν ἐπιγένηταί [6] τι, λέξομεν τὴν προ-

---

11 Vind. τῆς ὑποθ. [Ald. ὑπωθέσ.]

1 Mon. Par. 2. in scholiis repetunt: βουλόμενοι. tum Ald. Par. δυεῖν. Port. Vind. Mon. δυοῖν. 2 Ald. ἕνεκα καθατέρου. Mon. ἕνεκεν· θατέρου. 3 Par. ad marg. γρ. ἀπροσδοκήτου. ita Vind. Mon. marg. Viet. tum Vind. προσεπιγινομένου. 4 Vind. ἐπὶ τὴν Κατ. ἀπὸ τῆς Αἴτνης. 5 οὖν Mon. om. tum Par. ad marg. γρ. ἐπιλιπόντος. 6 Mon. ἐπιγίνεται.

κατάστασιν, ὡς οἱ πρόγονοι μηδεμιᾶς ἐλπίδος ἐμφαινομένης τοιούτου κακοῦ, ἔκτισαν ἐνταυθοῖ τὴν πόλιν. εἰ γὰρ ἤδεσαν,[7] οὐκ ἂν ἔκτισαν. ὁ δὲ ἀξιῶν μένειν, ὁμοίως καὶ αὐτὸς ἀναβήσεται ἐπὶ[8] τὰς κτίσεις τῶν προγόνων, ὧν πρεσβύτερον οὐδέν. λέξει δὲ ἀγαθοῦ μέν τινος λείποντος, ὡς οὐ διὰ τοῦτο ἔκτισαν ἐνταυθοῖ τὴν πόλιν οἱ πρόγονοι, οὐδὲ τούτῳ μόνῳ ἐπαρθέντες, ἀλλὰ καὶ ἄλλοις πολλοῖς,[9] ὧν προσόντων, οὐ δεῖ τὴν ἀπουσίαν τοῦ ἑνὸς ὀδύρεσθαι· ἐὰν δὲ κακοῦ ἐπιγενομένου,[10] λέξει, ὅτι οὐχ ὡς ἀπαθῆ καὶ ἀθάνατον ἔκτισαν οἱ πρόγονοι τὴν πόλιν, ἀλλ' ὡς ὑποκειμένην καὶ αὐτὴν πάθεσιν ἀνθρωπίνοις, θῶμεν δὲ καὶ ἐπὶ παραδείγματος· βουλεύονται Αἰγύπτιοι μετοικεῖν τοῦ Νείλου μὴ ἐπαναβαίνοντος ἔτι. ἐρεῖ οὕτως·[11] δοκῶ τοι καὶ τοὺς προγόνους οὐδενὶ τῶν ἄλλων ἐπαρθέντας τὴν Αἴγυπτον οἰκῆσαι,[12] ἐπεὶ μήτε ὀρῶν ἀσφάλεια, μήτε ποταμῶν ἄλλων κάλλος ἐν Αἰγύπτῳ φαίνεται, μήτε πρὸς φυτείαν ἐπιτήδειος·[13] οὔτε γάρ εἰσιν ἐλαῖαι παρ' ἡμῖν, οὔτε ἄμπελοι· τῇ δὲ τοῦ ποταμοῦ χαίροντες φορᾷ καὶ τῇ παραδόξῳ γεωργίᾳ· ὁ δὲ ἀξιῶν μένειν ἐρεῖ, ὡς οὐ διὰ τὸν ποταμὸν μόνον οἱ πρόγονοι τὸν οἰκισμὸν ἐποίησαντο τῆς Αἰγύπτου, ἀλλὰ πολλὰ αὐτῆς καὶ ἄλλα θαυμάσαντες, τὴν κρᾶσιν τὴν τῶν ἀέρων, τὸ τῶν πεδίων εὐήλατον, τὸ εἰς τὰ ἄλλα τῆς γῆς εὔφορον, τὴν τῆς θαλάττης γειτνίασιν, καὶ τὴν τοῦ ποταμοῦ πρὸς τὰ ἄλλα χρείαν· καὶ οὐ διὰ τὴν ἀρδειαν μόνον, ἣν καὶ αὐτὴν ἔχειν ἐστὶν ἀνθρώποις γε οὖσι, καὶ παρὰ[14] τοῦ θεοῦ. οὐ γὰρ ἔξω που τῶν ὅρων οὐρανοῦ τὰς πόλεις ὑπετίθεσαν. καὶ πάλιν, ῥεῖ τὸ πῦρ

7 Ald. εἴδεσαν. 8 Vind. εἰς. 9 πολλοῖς Port. om. 10 Vind. ἐπιγινομένου λέξεις. 11 Ald. Mon. ἐρεῖς οὕτω. Port. Vind. ἐρεῖ οὕτως. 12 Vind. κτῖσαι. 13 Vind. ἐπιτήδειον. tum Ald. ἐλαίαι. 14 Ald. Port. Vind. καὶ παρὰ τοῦ θεοῦ. Mon. καὶ περὶ τὰ τοῦ θ.

ἐπὶ τὴν Κατάνην ἀπὸ τῆς Αἴτνης, [15] καὶ βουλεύονται μετοικεῖν. ὁ μὲν ἀξιῶν μετοικεῖν ἐρεῖ τὸν τρόπον τοῦτον. οὐδὲ γὰρ τοὺς προγόνους μοι δοκῶ κτῖσαι τὴν Κατάνην ὑπὸ [16] τὴν Αἴτνην φέροντας, εἰ τοιαύτας ἔσεσθαι συμφορὰς προσεδόκησαν· [17] ἀλλὰ νομίζοντας ἐν ὁρίοις στήσεσθαι τὸ πῦρ. μέχρι μὲν οὖν ἐφύλαττε τοὺς ὅρους, [18] καὶ ἡμεῖς ἐμένομεν· ἐπεὶ δὲ ὑπερβαίνει [19] καὶ κατατρέχει τὴν πόλιν, μετοικιζόμεθα· [20] ὁ δὲ ἀξιῶν μένειν, οὕτως. οὐδὲ γὰρ τοὺς προγόνους τοὺς [21] κτίσαντας τὴν Κατάνην ἐνταῦθα ἔλαθε πλησίον οὖσα ἡ Αἴτνη· καὶ ὡς πυρὸς ἔχει ῥύακας· καὶ ὡς φύσις αὕτη [22] πυρὸς, ὑπερβαίνειν τε τοὺς ὅρους, ἐν οἷς ἂν ἑστήκοι, [23] καὶ ῥεῖν, ἀλλ' οὐχ ὡς ἀθάνατον [24] οὐδ' ὡς ἀπαθῆ κακῶν ἐσομένην καὶ ἀπείρατον πυρὸς ἔκτιζον τὴν Κατάνην. πολλοῖς γάρ τοι καὶ μὴ Κατάνην οἰκοῦσιν ἠνώχλησε πῦρ· [25] τοῖς μὲν αὐτόματον, τοῖς δὲ ἐξ ἐπιβουλῆς, τοῖς δὲ καὶ [26] ἐξ οὐρανοῦ.

---

## Cap. III.

### ΠΕΡΙ ΝΟΜΩΝ ΕΙΣΦΟΡΑΣ. [1]

Αἱ δὲ τῶν νόμων εἰσφοραὶ μετὰ περιστάσεως, καὶ αἱ λύσεις τῶν νόμων μετὰ περιστάσεως, προδιηγήσεις ἔξουσι τοιαύτας καὶ λαμβανομένας οὕτως. ἐὰν μὲν λύωμεν τὸν νόμον λέγοντες, ὅτι τοῦτον ἐχρῆν μηδὲ γεγράφθαι

---

15 ἀπὸ τῆς Αἴτν. Vind. om. 16 Mon. ἐπὶ, supra lin. ὑπό. 17 Vind. προσεδόκησαν. 18 Vind. νόμους. 19 Ald. ὑπερβαίνειν. Mon. Vind. Port. ὑπερβαίνει. 20 Ald. Port. μετοικιζώμεθα. Mon. Vind. μετοικιζόμεθα. 21 τοὺς Vind. om. 22 Vind. φύσ. πυρός ἐστιν αὕτη. 23 Vind. ἑστήκει. 24 Vind. Mon. ἀλλ' οὐκ ἀθάνατον. tum Mon. οὐδὲ ὡς ἀπ. 25 Vind. τὸ πῦρ. 26 Vind. καὶ om.

1 Mon. addit: ἢ θέσεως ἢ διαθέσεως.

τὸν νόμον τὴν ἀρχήν. οὐδὲ γάρ ἐστι τούτου τι πρεσβύτερον, οὐδὲ τῇ ἀξιώσει μᾶλλον ἁρμόδιον τοῦ [2] φάσκειν λελύσθαι τὸν νόμον τὸ [3] μηδὲ τὴν ἀρχὴν αὐτὸν γεγράφθαι. κατασκευασθήσεται δὲ προχωρῶν ὁ λόγος ἐκ τῶν συμβάντων· οὐ γὰρ ἂν τοσῶνδε [4] καὶ τοιῶνδε ἐπειράθημεν κακῶν· ἐπεὶ δὲ ἐτέθη, καὶ ἐπάθομεν τὰ καὶ τὰ, λῦσαι δίκαιον. δῆλον γὰρ ὡς λύσει τις νόμον ἐν προβλήματι κακοῦ τινος ἀπαντήσαντος ἐξ αὐτοῦ τοῦ νόμου, καὶ ὡς ἂν μηκέτι τοῦτο γίνοιτο [5] σκοποίντων τινῶν· οἷον, Λακεδαιμόνιοι μετὰ τὰ ἐν Μαραθῶνι βουλεύονται λύειν τὸν τῆς πανσελήνου νόμον· οἷον, ἔδει μηδὲ κεῖσθαι τοῦτον τὴν ἀρχὴν [6] ἐν Λακεδαίμονι τὸν νόμον· οὐ γὰρ ἂν δόξῃς ἀπεστερήμεθα τοιαύτης καὶ τροπαίων καὶ κατορθωμάτων καὶ τῶν συμβεβηκότων. δεῖ γάρ, ὡς ἔφην, περίστασιν ἔχειν τὰς λύσεις τῶν νόμων, ἢ τὰς εἰσφοράς· αἱ γὰρ ἄνευ αἰτίας καὶ περιστάσεως εἰσφοραὶ νόμων ἢ λύσεις γυμνάσματά [7] ἐστι μόνα. ὅθεν οὐδὲ διηγήσεις ἔχει· ἐὰν δὲ γράφωμεν νόμον καὶ εἰσφέρωμεν, ἡ προκατάστασις τῆς [8] διηγήσεως γενήσεται ἡ αὐτή· οἷον, τοῦτον ἐχρῆν [9] πάλαι κεῖσθαι τὸν νόμον ἐξ ἀρχῆς· [10] οὐ γὰρ ἂν τούτου κειμένου, ταῦτα ἡμᾶς συνέβη παθεῖν, ἃ πεπόνθαμεν μὴ κειμένου τοῦ νόμου. οἷον, Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον εἰσφέρει νόμον, μηδένα στρατηγὸν ἀπὸ στρατοπέδου ἀνακαλεῖσθαι· φήσει γὰρ, τὸν νόμον τοῦτον ἐχρῆν πάλαι γεγράφθαι, καὶ γεγενῆσθαι κύριον. οὐ γὰρ ἂν ἔβλαψε μὴ ἀνακαλουμένους ὑμᾶς [11] Ἀλκιβιάδην ἐκ Σικελίας. ἢ ὡς ἐκεῖνο τὸ πρόβλημα, τοὺς

---

2 in Par. correctum τῷ. 3 Ald. Port. Mon. τοῦ. Vind. τό. 4 Ald. τοιῶνδε. 5 Vind. γένοιτο. 6 τὴν ἀρχὴν Vind. om. 7 Vind. γύμνασμα. 8 Vind. Mon. ἡ προκατ. γενήσεται τῆς διηγήσ. ἡ αὐτή. omisso sq. οἷον. 9 Port. ἐχρῆν τοῦτον. 10 Vind. τὴν ἀρχήν. οὐδὲ γὰρ ἂν τούτου κ. 11 Vind. Mon. Par. ὑμᾶς. Ald. Port. ἡμᾶς.

μοιχοὺς χρήματα ἐκτινύναι· πολλοὶ μοιχεύουσι, καὶ καταβάλλουσι χρήματα, καὶ γράφει τις κτεῖναι τοὺς μοιχούς· ἐνταῦθα γὰρ[12] καὶ εἰσφορὰ νόμου καὶ λύσις ἐστί· καὶ προκατάστασις γενήσεται τῆς διηγήσεως, ὅτι μήτε[13] ἐκεῖνον ἐχρῆν γεγράφθαι τὸν νόμον περὶ τῶν χρημάτων, καὶ ὅτι τοῦτον ἐχρῆν γεγράφθαι τὸν νόμον ἀρχῆθεν[14] τὸν ἀξιοῦντα κτεῖναι τοὺς μοιχούς.

## Cap. IV.

### ΠΕΡΙ ΠΟΛΕΜΟΥ ΚΑΙ ΕΙΡΗΝΗΣ.

Ὁμοίως κἂν πολεμεῖν γράφωμέν τισιν, ἢ καταλύειν πόλεμον, χρησόμεθα ταῖς προκαταστάσεσιν οὕτως· ἂν μὲν γράφωμεν πολεμεῖν τισιν, εἰς [1] τὰ πρεσβύτερα τῶν ἐγκλημάτων ἀνατρέχοντες, καὶ λέγοντες ὅτι τούτοις πάλαι ἐχρῆν πολεμεῖν· ἐχθροὶ γὰρ καὶ πρὸ τούτων τῶν ἀδικημάτων, ἄλλα εἰς ἡμᾶς [2] εἰργασμένοι, εἶτα καταβαίνοντες εἰς τὰ νῦν γεγενημένα. τὰ μὲν γὰρ πρεσβύτερα τῶν ἀδικημάτων προκατάστασίς ἐστι [3] τῆς διηγήσεως. ἃ δὲ νῦν διὰ τὸν πόλεμον γράφεις, ἡ διήγησις. οἷον, ἔχρησεν ὁ θεὸς τῷ Κροίσῳ τοὺς ἀρίστους τῶν Ἑλλήνων ἑλέσθαι ξυμμάχους. εἵλετο Λακεδαιμονίους· καὶ συμβουλεύει τις Ἀθηναίοις Κύρῳ συμμαχεῖν, ἔδει [4] Κροίσῳ καὶ πάλαι πολεμεῖν, ἐξ οὗ γὰρ τὴν ἀρχὴν διεδέξατο παρὰ τοῦ πατρὸς Ἀλυάττου,[5] καὶ τοῖς Ἕλλησιν ἐπεβούλευε,[6] καὶ τοῖς ἐν τῇ Ἀσίᾳ Δωριεῦσι καὶ Ἴωσι καὶ Αἰο-

12 γὰρ Vind. om. 13 Vind. μήτ' ἐκ. 14 τὸν νόμον ἀρχῆθεν ex Mon. Vind. recepi. Ald. Port. om. a Par. ἀρχῆθεν abest.

1 Vind. Mon. ἀνατρέχοντες εἰς τὰ πρ. 2 Vind. ἡμ. πολλὰ εἰργ. 3 ἐστὶ Mon. Vind. om. 4 Vind. οἷον ἔδει. 5 Vind. Mon. Ἀλυάττεω [Mon. Ἀλυάττου] τοῦ πατρ. 6 Vind. Mon. ἐπεβούλευσε.

λεῦσι· πρὸ γὰρ τῆς Κροίσου ἀρχῆς πάντες ἦσαν Ἕλληνες ἐλεύθεροι. καὶ τοῦτο πλατυνόμενον προκατάστασις ἔσται καὶ προδιήγησις. εἶτα ἡ διήγησις· ἐπεὶ δὲ καὶ νῦν χρήσαντος αὐτῷ τοῦ θεοῦ τοὺς ἀρίστους τῶν Ἑλλήνων ἑλέσθαι συμμάχους, εἵλετο Λακεδαιμονίους, καὶ τὴν πόλιν ἡμῶν ὕβρισε. πολεμῶμεν αὐτῷ συμμαχοῦντες Κύρῳ. Καὶ πάλιν, ἅρματι νικήσας Ἀλκιβιάδης Ὀλύμπια, ἐρομένων Ἠλείων, ὅθεν εἴη, τῆς ἀρίστης ἔφη τῶν [7] πόλεων· ἐμαστίγωσαν αὐτόν· γράφει ἐπανελθὼν [8] στρατεύεσθαι ἐπὶ τοὺς Ἠλείους· ἡ προκατάστασις τῆς διηγήσεως, ἐχρῆν Ἠλείοις πάλαι πολεμεῖν. ἐχθροὶ γὰρ ἡμῶν εἰσι, [9] καὶ βοηθοῦντες ἀεὶ Λακεδαιμονίοις καὶ Κορινθίοις, καὶ ναῦς διδόντες καὶ χρήματα εἰς τὸν καθ' ἡμῶν πόλεμον, ὅθεν [10] καὶ Θουκυδίδης εἴρηκεν „Ἠλείους δὲ ναῦς ἤτησαν κενὰς [11] καὶ χρήματα." εἶτα ἡ διήγησις· ἐπεὶ δὲ καὶ νῦν ἐνίκησα τὸν ἀγῶνα, καὶ ἠρώτησαν, ὅθεν εἴην, [12] ἐγὼ δὲ τὰ βέλτιστα ἀπεκρινάμην, οἵδ' ἐμαστίγωσάν με, τὴν πόλιν ὑβρίζοντες, στρατεύειν [13] ἐπ' αὐτοὺς ἄξιον. Ἐὰν δὲ καταλύωμεν πόλεμον, ἡ [14] προκατάστασις γενήσεται τῆς διηγήσεως, ὅτι μηδὲ τὴν ἀρχὴν ἐχρῆν κεκινῆσθαι τοῦτον τὸν πόλεμον, καὶ προσχρησόμεθα ταῖς ἀπὸ τῆς ἱστορίας αἰτίαις, ἐὰν [15] ἔχωμεν. οἷον, σείεται ἐν τῷ πολέμῳ τῷ Πελοποννησιακῷ [16] Δῆλος, καὶ γράφει τις καταλύειν τὸν πόλεμον ἐν τοῖς Ἕλλησι, λέγων, ὅτι μηδὲ

---

7 Vind. πόλεως. — Ald. Port. constanter Ἠλείων. 8 Mon. ἐπανελθ. γράφει. Vind. καὶ ἐπαν, γρ. 9 Mon. εἰσὶν ἡμῶν. 10 ὅθεν ex Par. recepi. ad marg. οὕτω καὶ Θουκυδ. εἴρηκεν. ut Vind. Mon. Ab Ald. et Port. οὕτω et ὅθεν abest. 11 Ald. καινάς. Par. per corr. Port. Vind. Mon. κενάς. — Thuc. I. 27. 12 Ald. Port. Vind. ἂν εἴην. Mon. ἂν om. 13 Vind. στρατεύεσθαι. Post ἄξιον Taur. 77. titulum habet: περὶ εἰρήνης. 14 ἡ Vind. om. 15 Vind. ἄν. 16 Ald. Πελοποννησ. Port. Vind. Πελοποννησ. tum Port. ἡ Δῆλος.

τὴν ἀρχὴν ἐχρῆν κεκινῆσθαι τοῦτον τὸν πόλεμον ἡμῖν, συμμάχοις [17] γε [18] οὖσι καὶ φίλοις καὶ τοῖς βαρβάροις ἀεὶ μαχομένοις πρότερον· ἀφ' οὗ καὶ ἐνδοξότεροι [19] διατελοῦμεν ὄντες πολέμου. [20] τοῦτο ἡ προκατάστασις· εἶτα ἡ διήγησις· ἐπεὶ δὲ καὶ νῦν Δῆλος σείεται χαλεπαίνοντος τοῦ θεοῦ ἐπὶ ταῖς ἡμετέραις διαφοραῖς, καταλύσωμεν τὸν πόλεμον. ἐὰν δὲ μὴ [21] βοηθώμεθα ἀπὸ τῆς ἱστορίας, ἡ προκατάστασις διαβολὴν ἕξει τοῦ πολέμου, ὅτι οὐκ ἐχρῆν οὐδὲ τὴν ἀρχὴν τὸν πόλεμον τοῦτον αἱρεῖσθαι, [22] καταλιπόντας τὴν [23] εἰρήνην· χαλεπὸν γὰρ [24] πρᾶγμα πόλεμος καὶ δύσκολον, καὶ ὅσα ἔχει ἐν ἑαυτῷ [25] κακά· ἡ δὲ εἰρήνη καλὸν, καὶ ὅσα ἔχει ἐν ἑαυτῇ [26] καλά. οἷον, πολεμούντων τινῶν ἐξέλιπεν ὁ ἥλιος, καὶ γράφει τις λελύσθαι τὸν πόλεμον· ἐνταῦθα γὰρ ὃν ὑπεθέμην τρόπον διηγούμενοι κακίσομεν τὸν πόλεμον, καὶ τὴν εἰρήνην ἐπαινεσόμεθα, εἶτα χωρήσομεν εἰς τὴν διήγησιν, τὴν ἔκλειψιν διηγούμενοι τοῦ ἡλίου, καὶ ὅτι διὰ τοῦτο προσήκει καταλῦσαι τὸν πόλεμον. [27]

## Cap. V.

### ΠΕΡΙ ΑΣΕΒΕΙΑΣ Η ΦΟΝΟΥ.

Ἐὰν δὲ ἀσεβείας [1] κατηγορῶμεν τινὸς, πρὸ τοῦ κα-

17 Mon. συμμάχους γε ὄντας καὶ φίλους — μαχομένους. 18 Vind. τε. 19 Vind. ἔνδοξοι. 20 πολέμου Ald. Port. Vind. Mon. om., recepi ex Par. Ad marg. γρ. ἔνδοξοι διατελοῦμεν ὄντες· τὸ [sic] πολέμου δηλονότι μὴ προκειμένου. ibid. ἡ σύνταξις ἀφ' οὗ πολέμου καὶ ἔνδοξοι ὄντες διατελοῦμεν. 21 μὴ Ald. Mon. om., est in Port. Par. Vind. 22 Par. ad marg. γρ. ἄρασθαι, ut Mon. 23 τὴν Port. inserit, Ald. Codd. om. 24 Vind. μὲν γάρ. 25 Mon. ἐν αὐτῷ. Vind. ἐν αὖτῷ. 26 Mon. αὐτῇ. Vind. αὖτῇ. 27 Taur. 77. τὸν νόμον.

1 Marg. Vict. addit: ἢ φόνου.

τηγορουμένου [2] ἐγκλήματος τὰ πρεσβύτερα ζητοῦντες ἀδικήματα προδιηγησόμεθα, καὶ εἴτι ἀσεβὲς φθάνουσιν [3] ἄλλο προειργασμένοι. κἂν μὲν ἱστορίαν ἔχωμεν, [4] ἀπ' ἐκείνης ζητήσομεν. ἂν δὲ ἰδιωτικὸν ᾖ τὸ πρόβλημα, κατὰ παράλειψιν διασύροντες φήσομεν. ἐγὼ τὸν μὲν ἄλλον βίον παραλιμπάνω λέγειν ὡς ἀσεβὴς καὶ ἐναγὴς καὶ [5] κατὰ πάντα ἀποτρόπαιος· ὡς ἂν μὴ δοκοίην ἐνοχλεῖν ὑμῖν μάτην, περὶ ὧν νῦν οὐ δικάζετε, περὶ τούτων ἀκούοντας. ἀλλὰ τὸ τελευταῖον αὐτῷ τολμηθὲν ἀσέβημα διέξειμι πρὸς ὑμᾶς. οἷον, μυούμενός τις ἐμάνη, καὶ ἀσεβείας κρίνεται. ἡ αὐτὴ [6] γὰρ προδιήγησις ἁρμόσει τῷ προβλήματι. εἶτα 47 καταβησόμεθα εἰς τὴν διήγησιν. ἐπειδὴ γὰρ ὁ καιρὸς ἐνέστη τῶν μυστηρίων, καὶ ἔδει μυεῖσθαι καθαροὺς εἰσιόντας εἰς τὸ ἀνάκτορον, τηνικάδε [7] καὶ οὗτος, οὔτε καθηράμενος ἀπὸ τῶν ἀσεβημάτων, οὔτε ἁγνεύσας, καὶ [8] τὰ ἑξῆς. ἐν δὲ τοῖς ἀπὸ ἱστορίας οὕτω. κρίνονται Ἀθηναῖοι ἀσεβείας ἐπὶ Ποτιδαίᾳ· καὶ [9] ὅτι Ἀθηναῖοι ἀρχῆθεν ἀσεβεῖς, καὶ ὅτι Λακεδαιμόνιοι διὰ τοῦτο πρὸς αὐτοὺς πόλεμον [10] ἐξενηνόχασι, καὶ ὅτι πρῶτον μὲν τὸ Κυλώνειον ἄγος [11] οὐκ ἠθέλησαν ἐλάσαι, εἶθ' ὅτι [12] τὰς τριακοντούτεις σπονδὰς ἔλυσαν, εἶθ' ὅτι πόλεις ἀσεβῶς Ἑλληνίδας τὰς μὲν ἀνέστησαν, [13] τὰς δὲ ἐξώρισαν. εἶτα καταβησόμεθα εἰς τὴν διήγησιν, καὶ νῦν Ποτίδαιαν ἄτοι-

---

2 Ald. *καγορουμένου*. 3 Marg. Vict. *φθάνει — — προειργασμένος*. 4 Vind. *ἔχομεν — ζητήσωμεν*. Mon. *ἀπὸ ἐκείνης*. 5 *καὶ* Mon. om. 6 Vind. *καὶ αὕτη γὰρ ἡ προδιήγ*. Mon. *καὶ αὐτὴ γὰρ ἡ διήγ*. 7 Vind. *τηνικαῦτα*. 8 Ald. Mon. *οὕτω καὶ τὰ ἑξ*. Port. Vind. *οὕτω* om. 9 *καὶ* Mon. Vind. om. 10 Mon. Vind. *τὸν πόλ*. Vind. *ἐξενηνόχασιν*. 11 Ald. *ἄστος*. Port. Codd. *ἄγος*. Correxit etiam Paul. Leopard. Emendat. L. XX. c. 10. tum Par. *τριακοντούτις*. 12 Mon. *εἶτα ὅτι* h. l. et paullo post. 13 Par. *ἀνέσκαψαν*. ad marg. *γρ. ἀνέστησαν*.

κον Κορινθίων οὖσαν, καὶ τὰ ἑξῆς. ἐὰν δὲ ἀπολογώμεθα, ἀνάπαλιν ποιήσομεν, εἴ τι πρεσβύτερον ἔχοιμεν [14] τῆς κρίσεως βοηθοῦν ἡμῖν ἀπὸ ἱστορίας εὐσεβῶς [15] πεπραγμένον, λέγοντες. εἰ δὲ ἰδιωτικὸν εἴη τὸ πρόβλημα, [16] κατὰ παράλειψιν εἰσάγοντες, ὥσπερ ἐν ταῖς κατηγορίαις ἔφαμεν. ὁμοίως κἂν φόνου κατηγορῶμεν, ἢ βίας, ἢ τοιούτων ἀδικημάτων, τὸν αὐτὸν τρόπον τὰ πρεσβύτερα βίαια ζητήσομεν, εἰ ἔχοιμεν ἀπὸ ἱστορίας· εἰ δὲ μή, κατὰ παράλειψιν θέντες, καὶ ἐν ταῖς ἀπολογίαις ὁμοίως τὰς ἐπιεικείας, ἢ ἀπὸ ἱστορίας βοηθουμένας τιθέντες, ἢ κατὰ παράλειψιν εἰσάγοντες. ποιοῦσι δὲ τὰς τοιαύτας προδιηγήσεις ἐπὶ μὲν τῶν πόλεων αἱ πράξεις, ἐπὶ δὲ τῶν ἀνδρῶν οἱ βίοι, προχωροῦντες [17] εἰς τὰς τῆς διηγήσεως χρείας.

---

## Cap. VI.

### ΠΕΡΙ ΔΗΜΟΣΙΩΝ ΑΔΙΚΗΜΑΤΩΝ.

Κἂν [1] δημοσίων ἀδικημάτων κατηγορῶμεν, ἀπὸ τῶν πρεσβυτέρων ληψόμεθα. οἷον, τριακόσιοι νύκτωρ τὰ δεσμὰ ῥήξαντες αἰχμάλωτοι, ἀπὸ τῶν πολεμίων φυγόντες, ἦλθον εἰς τὴν πατρίδα· νόμου κελεύοντος νύκτωρ μὴ ἀνοίγεσθαι τὰς πύλας, οὐκ ἀνέῳξεν αὐτοῖς ὁ στρατηγός, καὶ κρίνεται δημοσίων ἀδικημάτων. ἐνταῦθα γὰρ καὶ ὁ κατήγορος ἀπὸ πρεσβυτέρων ἀδικημάτων ἄρξεται, λέγων, ὅτι ἡμεῖς μὲν αὐτὸν ἐχειροτονήσαμεν στρατηγὸν [2] πάντων προτιμήσαντες· ὁ δὲ δύσνους ὢν ἀρχῆθεν περὶ τὴν πόλιν ἐπέδειξε τοῦτο καὶ ἐν τῇ στρατηγίᾳ. οὕτω γοῦν φαύ-

---

14 Mon. ἔχομεν. 15 Vind. εὐσεβές. 16 τὸ πρόβλημα Vind. Mon. om. 17 Vind. χωροῦντες.

1 Taur. 77. ἐάν. 2 Par. ad marg. γρ. στρατηγεῖν. ita Mon.

λως ἐστρατήγησεν, ὥστε καὶ ἠτιῶμεν, καὶ ἤγαν βαρβᾶαν, ἐν ᾗ τριακοσίους πολίτας [2] αἰχμαλώτους συνέβη γενέσθαι, μετὰ τὸν τῶν ἄλλων φόνον. εἶτα ἐπὶ τὴν διήγησιν χωρήσομεν· ἀλλ' ἐπειδὴ ἡ τύχη παρέσχε τοῖς πολίταις τόλμαν, ζητῆσαι τὰ δεσμὰ διηγῆσαι καὶ λαθεῖν, [3] καὶ τὰ ἑξῆς. ἐὰν δὲ ἀπολογώμεθα, οὕτως· [4] ἐγὼ περὶ τὴν πόλιν οὖσαν [5] ἔνδυς ἀρχῆθεν ἐγενόμην, ὥστε καὶ τοῦ πολέμου καταλαβόντος ὑμᾶς, τῆς ἐμῆς [6] εὐνοίας ἔχοντες παραδείγματα, πάντας παραλιπόντες τοὺς ἄλλους, ἐμὲ στρατηγεῖν [7] ἐχειροτονήσατε. τυφωνοκτόνοι δὲ πάντες καὶ ἀριστεῖς ὁμοίως προδιηγήσεις ἕξουσι τοὺς βίους, ἀφ' ὧν χωροῦμεν ἐπὶ τὰς διηγήσεις τῶν πραγμάτων, ἐφ' οἷς αἱ κρίσεις.

## Cap. VII.

### ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ. [1]

Ταυτὶ [2] μὲν οὖν περὶ τῶν προκαταστάσεων τῶν ἐν ταῖς διηγήσεσιν, [3] καὶ ὅθεν δεῖ ἀρχομένους μὴ ἀκεφάλως ἐμβάλλειν τοῖς πράγμασι. ῥητέον δὲ ἑξῆς, τίσι πλατύνεται ἡ διήγησις τρόποις. ἡμεῖς [4] μὲν οὖν φαμεν, ὅτι πρῶτον χρὴ τῶν λεγομένων ἕκαστον καὶ τρισὶ καὶ τέτρα-

3 Vind. ὁπλίτας. supra lin. ἢ πολίτας. 4 Ald. Mon. οὕτω. Port. Vind. οὕτως. 5 Vind. οὔσης om. 6 ἐμῆς Vind. om. 7 Mon. Vind. διώγματα. 8 Mon. στρατηγόν. Par. στρατηγεῖν [Ald. ἐχειροτονήσατε].

1 Titulum Mon. om. Tituli c. V. VI. manu rec. ad marg. adiecti sunt. Taur. 77, περὶ διηγήσεως, πῶς πλατύνεται διήγησις. 2 Mon. ταῦτα. 3 Vind. addit: λέλεκται. 4 Vind. ἡμεῖς οὖν φαμεν πρῶτον χρῆναι.

Digitized by Google

σι [5] κώλοις πλατύνεσθαι, ἢ [6] καὶ πλείοσιν ἐκφέρεσθαι πολλάκις· οὐ γὰρ ἐστενοχώρηται τῆς διηγήσεως ἡ δύναμις ῥητῷ μέτρῳ, καθάπερ καὶ τὸ προοίμιον, ἀλλ᾽ ἐξουσίαν ἔχει καὶ μέτρον τὴν βούλησιν ἢ τὴν δύναμιν τοῦ λέγοντος· οἷον, ἐγὼ περὶ τὴν πόλιν εὔνους οὐ τήμερον, οὐδὲ νῦν ἠρξάμην ἀγαπᾷν τὰ κοινά· ἀλλὰ τῆς πρὸς ὑμᾶς εὐνοίας πάλαι καὶ πρόπαλαι πολλὰ ἐξενήνοχα δείγματα· καὶ ὅτι τὰ πρὸς ὠφέλειαν ὑμῖν [7] ἀνασκοπῶν μυριάκις δηλῶσαί μοι δοκῶ. τὸ γὰρ αὐτὸ πρᾶγμα πολλάκις ἑρμηνευθὲν κόσμον ἐνεδείξατο τοῦ λόγου. τρέφει δὲ καὶ τὴν δύναμιν τοῦ ῥήτορος μάλιστα ἐν ταῖς περιγραφαῖς [8] τοῦτο ἀσκούμεναν. ἐξ [9] ἀνάγκης γὰρ ποικίλων ὀνομάτων καὶ διαφόρων εὐπορούμεν, [10] ζητούντων ἡμῶν ποικίλοις καὶ πολυτρόποις ὀνόμασι μεταποιεῖν τὰ κῶλα. πρῶτον μὲν οὕτω μηκύνεται ἐξ ἑρμηνείας. ἔπειτα δὲ καὶ τὸ παραλειφθὲν ζητήσαντες λέξομεν κἀκεῖνο ἐν κώλοις ὅσοις ἂν [11] δυνώμεθα· οἷον, τόδε μὲν οὐκ ἐποίησα, οὐδὲ εἰργασάμην. ἐκεῖνο δὲ οὐ [12] διεπραξάμην. ἔπειτα μέν τοι καὶ τοῦ πεπραγμένου τὴν αἰτίαν ζητήσομεν· καὶ ὅταν εὕρωμεν, ὅσοις ἂν δυνώμεθα κώλοις ἕκαστα ἀφηγησόμεθα. οὐδεὶς γὰρ νοῦς οὕτω [13] καλὸς εἰς κατασκευὴν διηγήσεως, ὡς αἰτία.

Πλατύνουσι δὲ διήγησιν καὶ οἱ συλλογισμοὶ, [14] εἰ πρὸ τῶν πράξεων λέγοιμεν βεβουλεῦσθαι, ὡς εἰ μὲν τόδε ποιήσαιμι, τόδε ἀπαντήσεται· καὶ προστιθέναι τὰς αἰτίας· εἰ δὲ τόδε ἐργασαίμην, [15] τόδε ἀπαντήσεται. καὶ

---

5 Vind. τέταρσι. 6 ἢ Vind. om. 7 Ald. Mon. ἡμῖν. Port. Vind. ὑμῖν. 8 Par. ad marg. γρ. ἐν ταῖς γραφαῖς. 9 Mon. ἀνάγκη. 10 Mon. εὐπορήσομεν. 11 ἂν Vind. om. 12 Mon. οὐδέ. 13 Vind. Mon. οὕτω νοῦς καλός. 14 Mon. Vind. λογισμοί. Praec. articulum Vind. om. 15 Ald. Port. εἰργασαίμην. Mon. Vind. ἐργασ.

παραδείγματος ἕνεκεν [16] καὶ σαφηνείας τῶν θεωρημάτων καὶ ἐπὶ προβλήματος λέξομεν. ἔστω δὲ ὁ στρατηγὸς ὁ μὴ ἀνοίξας τὰς πύλας. ἀπὸ τοῦ παραλειφθέντος πρῶτον. ἡμεῖς γὰρ ἐνστάντος τοῦ πολέμου καὶ καταῤῥαγείσης τῆς [17] μάχης καὶ κινηθείσης ἡμῖν πρὸς τοὺς ἐχθροὺς φιλονεικίας, ἄλλον μὲν οὐδένα τῶν πάντων στρατηγὸν ἐχειροτονήσαμεν, οὐδὲ ἐπεστήσαμεν τοῖς πράγμασιν, οὐδὲ τὸ στρατόπεδον ἐπιστεύσαμεν. εἶτα τὸ πραχθὲν, τοῦτον δὲ [18] στρατηγεῖν ἠξιώσαμεν, καὶ τὸ ἀξίωμα τῆς πόλεως ἐπιστεύσαμεν, καὶ πᾶσαν τὴν δύναμιν ἔχειν, καὶ τάττειν ὅπως ἐθελήσειεν, [19] ἐπετάξαμεν. εἶθ' ἡ αἰτία [20] οὐχ ὡς μὰ τὴν ἀλήθειαν [21] προδώσοντος αὐτοῦ τὴν πόλιν, καὶ τοὺς ἐχθροὺς ἀγαπήσοντος, ἀλλ' ὡς εὐνοϊκῶς προστησομένου τῶν ἡμετέρων πραγμάτων. ὁ δὲ, ταῦτα πιστευθεὶς, πάλιν ἐκ τῶν παραλειφθέντων, [22] οὔτε ἐστρατήγει καλῶς, οὔτε ἐξηγεῖτο τῶν πραγμάτων ὀρθῶς. [23] εἶθ' ἡ αἰτία τοῦ παραλειφθέντος· [24] δύσνους γὰρ ἦν περὶ τὴν πόλιν καὶ ἄδικος πάνυ· ἀλλὰ καὶ αἴτιος ἡμῖν ἥττης ἐγένετο. ἐπεὶ δὲ ὁ θεὸς καλῶς ποιῶν [25] καὶ κηδόμενος τῶν τῆς πόλεως πραγμάτων καὶ ἐπανορθούμενος τὰ τῆς πόλεως πταίσματα κατὰ νοῦν ἐποίησε τοῖς πολίταις [26] ῥῆξαι τὰ δεσμὰ καὶ φυγεῖν δυνηθῆναι καὶ σωθῆναι πρὸς ἡμᾶς· εἶτα ἀπὸ τῶν λογισμῶν· ἐνταῦθα ὁ στρατηγὸς ἐλογίσατο, ὡς εἰ μὲν ἀνοίξει τὰς πύλας, σωθῆναί τε παρασκευάσει τοὺς τριακοσίους, καὶ οὐδὲν

16 Vind. ἕνεκα καὶ τῆς σαφ. 17 τῆς Mon. om. 18 δὲ Mon. om. 19 Vind. θελήσειεν. 20 Par. ad marg. εἶτα ἡ αἰτία τοῦ πραχθέντος. 21 Mon. τὴν Ἀθηνᾶν προδόσοντος αὐτῆς [sic]. 22 Vind. τοῦ παραληφθέντος. 23 Mon. σεμνῶς. ad marg. man. rec. γρ. ὀρθῶς. Vind. ὀρθῶς om. 24 εἶθ' ἡ αἰτ. τοῦ παρ. in Mon. non est, sed manu rec. ad marg. adscriptum. 25 ποιῶν Vind. om. 26 πολίταις Mon. om. In Vind. insertum est.

ὄφελος αὐτῷ τῆς προδοσίας ἔσται καὶ τῆς ἥττης ἡμῖν ἀπαντήσει [27] παραμυθία. εἰ δὲ μὴ ἀνοίξειεν, ὡς πληρώσει τε τὴν ἐπιθυμίαν, καὶ πάντες τεθνήξονται, καὶ εἰς στενὸν κομιδῇ [28] καταστήσονται τὰ ἡμέτερα, τοῦτο καὶ πράττειν προείλετο. καὶ παρατηρητέον, ὅτι καὶ τὰ πραττόμενα καὶ τὰς αἰτίας τῶν πραττομένων καὶ τὰ παραλειπόμενα καὶ τὰς αἰτίας τῶν παραλειπομένων καὶ τοὺς λογισμοὺς καὶ πάντα ἐν πολλοῖς κώλοις καὶ ποικίλοις [29] λέγειν δυνάμεθα.

Εἰ δὲ τρόπος ἐν διηγήσει τῶν πεπραγμένων [30] πλατύνοιτο, διασκευάζεται τὸ πρόβλημα, καὶ οὐχ ἁπλῶς διηγεῖται. [31] αἰτία μὲν γὰρ διήγησιν, [32] τρόπος δὲ διασκευὴν κατασκευάζει. τρόποι δὲ διηγήσεως τρεῖς, ἁπλοῦς, ἐγκατάσκευος, ἐνδιάσκευος. ὅταν μὲν οὖν ᾖ τὰ [33] πράγματα πολλὰ καὶ ποικίλα καὶ ἱκανὰ καὶ βαρῇ τοὺς ἀντιδίκους, ἡμῖν δὲ βοηθῇ, ἁπλῇ χρησόμεθα τῇ διηγήσει. οὐ δεῖται γὰρ ἰσχυρῶν λόγων τὸ αὐτομάτως ἰσχύον πρᾶγμα. ἐὰν δὲ σύντομος ᾖ καὶ πολιτικὴ ἡ διήγησις, τῷ [33] ἐγκατασκεύῳ χρησόμεθα τρόπῳ, ταῖς αἰτίαις κατασκευάζοντες αὐτήν, ἵνα γένηται ῥητορικωτέρα τῇ προσθήκῃ τῶν αἰτιῶν, εἰς τὴν κατασκευὴν βοηθουμένη. ἐὰν δὲ ᾖ σύντομος καὶ φαιδροτέρα, [35] τῷ ἐνδιασκεύῳ χρησόμεθα τρόπῳ, μὴ φειδόμενοι μηδὲ τῶν ἀπὸ τοῦ τρόπου κατασκευῶν. ἐνδιάσκευος γάρ τοι διὰ τοῦτο κέκληται, ὅτι τοῖς ἀπὸ τῆς διασκευῆς μέρεσι βοηθεῖται. ἔφαμεν δὲ [36] ἤδη
49 φθάσαντες, ὅτι αἰτία μὲν κατασκευάζει, [37] τρόπος δὲ διασκευάζει.

---

27 Vind. ἀπαντήσοι. 28 κομιδῇ Mon. om. tum Vind. καταστήσεται. 29 καὶ ποικίλοις Vind. om. 30 τῶν πεπραγμ. Mon. om. 31 Vind. καὶ οὐ διηγεῖται. 32 Vind. διήγ. ἐγκατάσκευον. Mon. διήγ. ἐγκατάσκευον σκευάζει· τρόπος δὲ διήγησιν ἐνδιάσκευον κατασκευάζει. 33 Ald. ᾖτα. 34 τῷ Vind. Mon. om. 35 marg. Vict. σφοδροτέρα. 36 δὲ Mon. om. 37

Ἁπλῆ μὲν οὖν διήγησις παρὰ Δημοσθένει ἐν τῷ κατὰ Κόνωνος αἰκίας. Ἐξήλθομεν [38] εἰς Πάνακτον, [39] ἔτος τουτὶ τρίτον. καὶ μεθ' ἡμῶν ἐσκήνωσαν οἱ Κόνωνος [40] υἱεῖς, προσούρουν [41] τε ἡμῖν, καὶ τὰς ἀμίδας κατερρήγνυον· οὐ γὰρ εἶχε μᾶλλον δεινῶσαι τὸν λόγον, [42] ἢ τὰ πράγματα λέγων αὐτὰ ψιλὰ [43] ὁ ῥήτωρ, ἃ ἔπραττον ἐκεῖνοι· [44] γυμνὰ γάρ τοι λεγόμενα πλείονα ἰσχὺν [45] ἔλαβεν, ἢ εἴ τις αὐτὰ ἐκόσμει λόγοις. ἐγκατάσκευος δέ ἐστιν ἡ κατὰ Ἀριστοκράτους. φάσκων γὰρ Χερρόνησον [46] κινδυνεύειν τῇ πόλει, τὰς αἰτίας λέγει, δι' ἃς ἐσώζετο, καὶ τὰς αἰτίας, [47] δι' ἃς ἀπολεῖται. ἔστι γὰρ τοῦτο· [48] τελευτήσαντος Κότυος, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλε-

---

Mon. κατασκευάζει διήγησιν. Vind. διήγησιν κατασκ. Par. ad marg. γρ. καὶ οὕτως· ὅτι αἰτία μὲν διήγησιν ἐγκατάσκευον, τρόπος δὲ διήγησιν ἐνδιάσκευον κατασκευάζει. ita Taur. 77. qui habet ad marg.: γρ. κατασκευάζει· τρόπος δὲ διασκευάζει. 38 Port. ἐξῆλθον ἔτος τουτὶ τρίτον εἰς Παν. φρουρᾶς ἡμῖν προγραφείσης. ἐσκήνωσαν οὖν οἱ υἱεῖς Κόνωνος τουτουὶ ἐγγὺς ἡμῶν, καὶ τὰ ἑξῆς, καὶ τὰς ἀμίδας κατεσκεδάννυον καὶ προσεούρουν. οὐ γὰρ κ. τ. λ. — In Con. p. 1257. 39 Vind. Ἀπάνακτον. 40 Ald. Vind. Sch. T. VII. p. 732. Ἀρίστωνος. Mon. Κόνωνος. supra lin. manu rec. γρ. Ἀρίστωνος. Vind. ad marg. κρεῖττον Κόνωνος. 41 Vind. Mon. Sch. T. VII. p. 732. καὶ προσούρουν τε. 42 Mon. Sch. T. VII. p. 732. τῷ λόγῳ. ad marg. τὸν λόγον. Vind. δηλῶσαι τῷ λόγῳ. 43 Vind. Mon. Sch. T. VII. p. 732. αὐτὰ ὁ ῥήτ. ψιλά. 44 Ald. add. ψιλὰ ἐκθεῖναι. Mon. Vind. ἃ ἔθραττον [Ald. ἔπρατον. Vind. ἔπραττον.] ἐκεῖνοι. γυμνὰ γάρ τοι. [Ald. λεγόμεν. corr. marg. Vict. Mon. Vind. Port.] 45 Ald. Mon. Vind. πλέον ἰσχύν. Mon. ad marg.: πλείονα. Port. πλέον ἰσχύος. 46 Ald. Port. Mon. Χερόννησον. Vind. Χερρόνησον κινδ. τὴν πόλιν. 47 Vind. καὶ τὰς, ἐξ ὧν ἀπολ. — c. Aristocr. p. 623. 48 Mon. τοιοῦτο.

πτην, τρεῖς ἀνθ' ἑνὸς γενέσθαι Θρᾴκης βασιλέας. συμβέβηκε γὰρ ἐκ τούτου αὐτοῖς μὲν ἀντιπάλους εἶναι τούτους,[49] ὑμᾶς δ' ὑπέρχεσθαι[50] καὶ θεραπεύειν· καὶ καθάπαξ ἡ διήγησις πᾶσα διὰ τῆς θεωρίας πεπλήρωται ταύτης. ἐνδιάσκευον δὲ ἐκεῖνο τὸ μέρος τῆς διηγήσεως ἐν τῷ περὶ τῆς παραπρεσβείας παρὰ τῷ Δημοσθένει.[51] θέαμα δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐλεεινόν. ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφούς, ἐξ ἀνάγκης ἦν ὁρᾷν ταῦτα πάντα,[52] οἰκίας κατεσκαμμένας, τείχη[53] περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρια ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς.

Τὸ δὲ ἄριστον καὶ ἀναγκαιότατον εἰδέναι, ὅτι τῶν διηγήσεων αἱ μὲν πλεῖσται πᾶσιν ὑποπίπτουσι τοῖς τρόποις, ὥστε τινὰ μὲν μέρη αὐτῶν[54] ἁπλᾶ εἶναι, τινὰ δὲ[55] ἐγκατάσκευα, τινὰ δὲ ἐνδιάσκευα, ὡς φαίνεται ἡ διήγησις αὕτη παρὰ τῷ Δημοσθένει, μᾶλλον δὲ αἱ πλείους. τὸ μὲν γὰρ λέγειν, ὑμεῖς τοῦτον ἐχειροτονήσατε πρεσβευτὴν οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ἡμέτερα,[56] ἀλλ' ὡς τῶν φυλαξάντων τοὺς ἄλλους, τῆς ἐγκατασκεύου μέρος ἐστί. τὸ δὲ λέγειν, ὁ δὲ τῇ προτεραίᾳ[57] τῶν ἐκκλησιῶν πάντα εἰπὼν κατὰ Φιλοκράτους, τῇ δὲ[58] ὑστεραίᾳ μεταβαλλόμενος, δῆλός ἐστι προδιδόναι, ἁπλῶς[59] λέγει καὶ ἁπλῶς διηγεῖται. ἐπὶ τέλει δὲ ἐδείξαμεν, ὅτι ἐνδιασκεύως τὰ περὶ Φωκέας διηγεῖται.

Ἀκμὴ δὲ διηγήσεως τριχῶς γίνεται· ἤτοι τοῦ πράγμα-

---

49 Port. τούτοις. tum Ald. ἡμᾶς δέ. 50 Vind. Mon. ὑπερέχεσθαι. Port. δὲ ὑπ. 51 De fals. leg. p. 361. 52 Port. ἡμῖν πάντα ταῦτα. 53 Mon. καὶ τείχη. 54 Vind. αὐτῶν μέρη. 55 Vind. τὰ δέ. 56 Vind. ὑμέτερα. 57 Ald. Mon. Vind. πρώτῃ. Port. προτεραίᾳ. 58 Vind. δ' ὑστερ. 59 Mon. ἁπλᾶ.

γματος αὐτοῦ, ἢ τῆς ἀξιώσεως, ἢ τῆς αἰτίας τῆς ἀξιώσεως συνεχῶς διαφόροις κώλοις καὶ ποικίλοις [60] λεγομένης· ἢ καὶ τῶν δύο, ἢ καὶ τῶν τριῶν πολλάκις ὁμοίως παραλαμβανομένων. οὕτω γὰρ ἀκμὴ μείζων [61] γίνεται καὶ ποικίλη μᾶλλον, ἐὰν τὸ πρᾶγμα τρισὶ κώλοις [62] ἢ τέτρασιν εἴπωμεν. ἐπὶ τέλει δὲ [63] καὶ τὴν ἀξίωσιν καὶ τῆς ἀξιώσεως τὴν αἰτίαν· [64] οἷον, ἐνώπιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν υἱὸν κατὰ τὸν τῶν ἀκριτῶν νόμον. ἐξέθανεν ἡ μήτηρ, καὶ κρίνεται ὁ πατὴρ αἰτίας θανάτου, [65] καὶ συλλαβὼν τὸν υἱὸν ἔπαιεν, ἐτίτρωσκεν, ἐφόνευεν ὁμοῦ τῇ γυναικὶ, ὡς ἀλλοτρίους, ὡς ἐχθροὺς, ὡς ἔκ τινος τῶν πολεμίων γεγονότας. τὸ πρᾶγμα τοῦτο. εἶτα ἡ ἀξίωσις, τίς οὐκ ἀγαναχτεῖ; τίς οὐκ ὀργίζεται; τίς οὐ χαλεπαίνει [66] τοῖς γεγενημένοις; τίς οὐκ ἀπαιτεῖ τὴν προσήκουσαν τιμωρίαν; εἶτα ἡ αἰτία· [67] δι' ὃν πεπλήρωται μιασμάτων [68] ἡ οἰκία, δι' ὃν ἄθεσμοι φόνοι, δι' ὃν ἀσεβεῖς σφαγαὶ, δι' ὃν γένος ὅλον ἔρριπται [69] πεφονευμένον, παρ' οὗ [70] ἥκιστά τις ἂν προσεδόκησεν.

---

60 καὶ ποικίλοις Vind. om. 61 Vind. μείζων ἡ ἀκμὴ γενήσεται καὶ π. μ. ὅταν τὸ πρ. 62 Vind. Mon. τρ. κώλ. εἴπωμεν ἢ τέτρ. 63 δὲ Ald. Vind. om., est in Mon. Port. 64 Vind. καὶ τὴν τῆς ἀξιώσεως αἰτ. 65 Vind. φόνου. 66 Ald. χαλεπαίνειν. 67 Vind. Mon. αἰτ. τῆς ἀξιώσεως. 68 Vind. τῶν μιασμ. 69 Mon. ἔριπται. 70 Ald. Mon. παρ' ὃν. Port. Vind. παρ' οὗ.

# ΕΡΜΟΓΕΝΟΥΣ[1]

## ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

### Cap. I.

Τὸ τρίτον μοι σύνταγμα τουτὶ γέγονεν, ὦ κράτιστε Ἰούλιε Μάρκε,[2] περὶ ὧν ἤδη σοι φθάνω καὶ δι' ἐμαυτοῦ[3] πολλάκις τεχνολογήσας, τοῦ κορυφαίου τῆς ῥητορικῆς μέρους· ἔστι δὲ ἥ τε τῶν κεφαλαίων εἰσαγωγὴ καὶ οἱ τρόποι τούτων, καὶ δι' ὅσων γίνονται· εἶτα περὶ τῶν λύσεων καὶ ἐξ ὅσων συνίστανται· εἶτα ἐπιχειρημάτων καὶ τῶν τόπων, ἐξ ὧν λαμβάνονται· εἶτα ἐργασιῶν, αἳ καθ' ἕκαστον τῶν ἐπιχειρημάτων ἐκλαμβάνουσαι ἐργάζονται. καὶ μὴν καὶ τῶν ἐπὶ τούτοις ἐνθυμημάτων ἐμοὶ παρευρεθέντων, ἀφ' ὧν τὸ ἀκρότατον τῆς δριμύτητος καὶ παρὰ τοῖς ἀρχαιοτέροις[4] εὑρίσκεται. περαιτέρω δὲ τούτων προβαίνουσαν τὴν ῥητορικὴν οὐχ εὑρήκαμεν, ἀνακυκλουμένην[5] δέ γε. πρὸ δὲ τούτων βραχέα μοι περὶ προκατασκευῆς εἰπεῖν ἔδοξε.

---

1 Mon. τόμος τρίτ. περὶ εὑρέσεως. Ald. περὶ εὑρέσεως τόμος τρίτος. 2 Vind. Μάρκε Ἰούλιε. 3 In Mon. supra lin. manu rec. ζώσης φωνῆς. ad marg. τινὰ τῶν βιβλίων τὸ δι' ἐμαυτοῦ οὐκ ἔχει, καὶ δύναται νοεῖσθαι οὕτως· ὅτε ἔχει ὅπερ δηλοῖ ζώσῃ φωνῇ. 4 Vind. Mon. ἀρχαίοις. 5 Vind. supra lin. δηλαδὴ περὶ ταῦτα.

## Cap. II.

### ΠΕΡΙ ΠΡΟΚΑΤΑΣΚΕΥΗΣ.

Ἡ προκατασκευὴ πρεσβύτερόν ἐστι μέρος λόγου τῆς κατασκευῆς, ὡς δηλοῖ καὶ τοὔνομα. ἔργον δὲ αὐτῆς τὸ προεκτίθεσθαι τὰ κεφάλαια, καὶ τὰ ζητήματα, οἷς περιπλακεὶς ὁ λόγος συμπληρώσει τὴν ὑπόθεσιν. οἷόν ἐστιν ἐκεῖνο παρὰ τῷ Δημοσθένει· δίκαιον δ' [1] ἐστὶν ἴσως ἐμὲ τρία ὑμῖν [2] ὑπεσχημένον εἰπεῖν, ἓν μέν, ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται. δεύτερον δὲ, ὡς ἀσύμφορόν ἐστι [3] τοῦτο τῇ πόλει· τρίτον δὲ, ὡς ἀνάξιός [4] ἐστι Χαρίδημος τούτων τυχεῖν, ἁπάντων τούτων ὑμῖν αἵρεσιν δοῦναι, τί πρῶτον, ἢ τί δεύτερον, ἢ τί τελευταῖον βουλομένοις ὑμῖν ἐστιν ἀκοῦσαι. ταῦτα γάρ τοι προειπὼν πᾶσαν ἡμῖν ἐπὶ κεφαλαίου τὴν τομὴν ἐσήμανε τοῦ λόγου. εἶτα καθ' ἕκαστον αὐτῶν λαβων διεπεράνατο ταῖς κατασκευαῖς, τὰς ἁρμοττούσας ἑκάστῳ τῶν ἐπιχειρήσεων [5] προσαγαγὼν δυνάμεις. καὶ μὴν καὶ ἐν τῷ τῆς παραπρεσβείας λόγῳ προκατασκευῆς ἔχει χώραν καὶ δύναμιν τὸ λέγειν αὐτόν· σκέψασθε [6] παρ' ὑμῖν [7] αὐτοῖς τίνων [8] προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν. πρῶτον μὲν τοίνυν ὧν ἀπήγ-

---

1 Ald. Mon. δέ. Port. Vind. δ'. — In Aristocr. p. 626. 2 Mon. ἡμῖν. sq. εἰπεῖν Mon. Vind. om. 3 Vind. ἔσται. sq. τοῦτο Port. om. 4 Ald. Mon. οὐκ ἀνάξ. Port. Vind. οὐκ om. tum Vind. Mon. τούτων τυχεῖν Χαρίδ. Port. τυχεῖν τούτων, ὧν γέγραπται, ἁπάντων omisso Χαρίδημος. 5 Port. ἐπιχειρημάτων. 6 Port. εἰ σκέψαισθε ut Dem. de fals. leg. p. 342. 7 Ald. ἡμῖν. 8 Vind. τίνα προσήκει λόγον. omisso τῇ πόλει.

γειλε, δεύτερον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατε αὐτῷ· μετὰ ταῦτα τῶν χρόνων. ἐφ' ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως, ἢ μή, ταῦτα πάντα[9] πέπρακται· καὶ[10] γὰρ καὶ ἐνταῦθα ἐπὶ κεφαλαίων τὰ ἐγκλήματα προὔθηκεν,[11] ὧν καθ' ἕκαστον ἐξελέγξει καὶ ἀποδείξει· εἰ δὲ ζητοίης, εἰ τούτοις τέτμηκε τοῖς κεφαλαίοις τὸν λόγον, ἢ εἰ τούτοις μόνοις, ἢ εἰ τῇ τάξει ἐχρήσατο τῆς ἐπαγγελίας, ἐν τῇ κατασκευῇ λόγον ἴδιον ζητεῖς θεωρίας[12] καὶ τέχνην τοῦ τῆς παραπρεσβείας καὶ οἰκονομίαν, οὐκ ἂν ἐρεῖς τὸ μὴ οὐ προεκτίθεσθαι[13] τὰ κεφάλαια τὸν ῥήτορα, ὃ τῆς προκατασκευῆς ἐστιν ἴδιον. πολὺ δὲ δήπουθεν διενήνοχε τεχνολογῆσαι διδασκαλικὴν θεωρίαν, ἢ θεωρῆσαι δικανικὴν ἀνάγκην λόγου[14] πρὸς τὸ χρήσιμον τῶν ζητουμένων διοικονομουμένου· ἐπεὶ κἀκεῖνό σοι ἀστεῖον καὶ χάριεν προειρῆσθαι, ὡς τετηρήκαμεν τὴν προκατασκευὴν ταύτην οὐ μιᾷ χώρᾳ συνεζευγμένην ἀλλὰ διπλῇ. ποτὲ μὲν γὰρ μετὰ τὰ προοίμια τάττει τὴν προκατασκευήν, ὡς ἐν τῷ τῆς παραπρεσβείας λόγῳ· ποτὲ δὲ μετὰ τὴν διήγησιν, ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους λόγῳ.

Καὶ τοῦτο μὲν ἐξήρκεσεν ἂν εἰπεῖν ἄλλῳ, ὅτι διττὴν ἔχει χώραν. σοὶ δὲ οὐκ ἀποκρύψομαι παραστῆσαι, τί ποτε τῷ ῥήτορι ἐνενόησα. καὶ γὰρ οὖν καὶ αὐτῷ διαπορῆσαί μοι παρέστη[15] γενομένῳ τοῦ πράγματος ἐν ἐπιστάσει, καὶ εὗρον τὸν ῥήτορα, εἰ μὲν ἀπατήσειν μὴ μέλλοι τοὺς δικαστάς, ἀλλὰ πληρώσειν τὴν ἐπαγγελίαν καθαρῶς, μετὰ τὴν διήγησιν τιθέντα τὴν προκατασκευήν, καὶ ἅμα συνάπτοντα, καὶ ἐπάγοντα τὴν κατασκευήν· ὥστε ἔτι τῆς[16] μνήμης οὔσης ἐναύλου τῆς κατὰ

9 Port. πάντα ταῦτα. 10 Ald. Mon. Vind. εἰ γὰρ καί. [Vind. καὶ om.] Port. καὶ γὰρ καί. 11 Vind. προέ ἐπέθηκεν. 12 Vind. θεωρεῖν. 13 Mon. προεκτεθῆσθαι. 14 λόγου Ald. Mon. om., est in Port. Vind. 15 Mon. Vind. πάρεστι. 16

τὴν ἐπαγγελίαν, μηδὲν ψεύδεσθαι δοκεῖν, ἀλλ' ὡς ἐπηγγείλατο τιθέντα τὴν κατασκευὴν οὕτως. ὅταν δὲ μέλλῃ δοκεῖν δικαίως [17] μὲν ἐπαγγέλλεσθαι, τὴν ἐπαγγελίαν δὲ παρ' οὐδὲν τίθεσθαι, τηνικαῦτα μετὰ τὰ προοίμια προκατασκευάζοντα, καὶ μεταξὺ τὴν διήγησιν τάττοντα, εἶθ' οὕτω τῆς μνήμης διὰ τῆς διηγήσεως ἐξελόντα τὴν ἐπαγγελίαν, κατασκευάζοντα ὕστερον ὡς βούλεται. καθάπερ οὖν ἐν τῷ τῆς [19] παραπρεσβείας ἐάλωκε [20] λόγῳ· καὶ γὰρ ἐνταῦθα φήσας δεῖν πρῶτον εὐθύνας ἀπαιτεῖν ὧν ἀπήγγειλε, τὸ ἀνεύθυνος [21] ἐπὶ λόγοις, μετὰ πολλὰ τέθεικε κεφάλαια. καὶ ὅλως τὴν τάξιν τῆς ἐπαγγελίας 51
συγχέας, οὐχ ὡς ἐπηγγείλατο, κατεσκεύασεν. εἰ δὲ εἰς τὸν λόγον αὐτὸν λέγειν δέοι, [22] καθ' ἕκαστον τῶν μερῶν ἰδίας ἔχει τέχνας [23] καὶ ἀποῤῥήτους. οὐ μέντοι τὰ τῆς οἰκονομίας ἐκείνης ἴδια κοινὰ διδασκαλίας τεχνῶν τοιούτων δύναται γενέσθαι.

Εὗρον καὶ ἄλλο προκατασκευῆς εἶδος [24] παρευρεθὲν τοῖς ἀρχαίοις, ὃ κεφαλαίων μὲν ἐπαγγελίαν οὐκ ἔχει, ἀπόδειξιν δὲ παρίστησι τοῦ κατὰ τοὺς νόμους δοκεῖν εἰσέρχεσθαι τὴν κρίσιν. προκατασκευὴ δ' ἂν καὶ τοῦτο καλοῖτο [25] εἰκότως, ὅτι λόγος ἐστὶ πρὸ τῶν κεφαλαίων λεγόμενος, εἰκόσι λογισμοῖς πᾶσαν τὴν κατασκευὴν προκαλούμενος. καὶ τούτῳ κέχρηνται πολλοὶ τῶν ἀρχαίων· ἀλ-

---

Vind. τῆς om. Mon. ἐναύλου τῆς μνήμης οὔσης. 17 Vind. Mon. δικαίως μὲν δοκεῖν. Mox ἐπαγγέλλεσθαι interpretatur Taylor. ad Dem. de fals. leg. p. 340, v. 12. formam operis proponere, rem seu argumentum futurum delineare et rationem instituere istius, quod esset exsequendum. 18 Par. ad marg. ἐν ἄλλοις πρόκειται· καὶ μὴν καὶ ὡς ὅτι δύναται μηκίστην ταύτην ποιοῦντα· εἶθ' οὕτως [etiam Vind. οὕτως]. 19 Mon. περὶ τῆς. 20 Vind. πεποίηκε. supra lin. ἐάλωκε. 21 Vind. ἀνεύθυνον. 22 Mon. Vind. δέοι λέγειν. 23 Mon. τέχνας ἔχει. 24 Vind. εἶδος προκατασκευῆς. 25 Vind. καλοῖτο καὶ τοῦτο.

λὰ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· τῆς γὰρ στάσεως οὔσης ὁρικῆς, [26] καὶ τεμνομένων τῶν ὅρων οἷς ἴσμεν κεφαλαίοις, [27] κέχρηται νοήμασι τοῖς διδοῦσι [28] κατὰ τῶν οὕτως [29] ἀδικησάντων περὶ τὴν ἑορτὴν, ἐξουσίαν εἶναι προβολῆς τοῖς κατηγορεῖν ἐσπουδακόσιν εἰ παρὰ τὰ διωρισμένα τις ἐκ τῶν νόμων ἐν τοῖς Διονυσίοις ποιεῖ· καὶ τοῦτο ἀποδείξας καὶ ἀναγνοὺς ἐκ νόμων οὕτως ἐχώρησεν εἰς τὴν μελέτην τοῦ ὅρου. καί τοι τό γε τὴν κατηγορίαν ἐκ νόμων εἰσιέναι ταύτην οὐδὲν ἔμελλε συνοίσειν, [30] οὔτε τῇ κατασκευῇ τοῦ ὅρου, οὔτε τῇ νίκῃ τοῦ τὸ πραχθὲν ἀσέβειαν εἶναι δοκεῖν, οὐχ ὕβριν. καὶ μέντοι καὶ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου λόγῳ τῷ αὐτῷ τρόπῳ τῆς προκατασκευῆς ἐχρήσατο. καὶ γὰρ ἐκεῖνος πορνείας γραφὴν ἐνστησάμενος καὶ τοῦ τὰ πατρῷα κατεδηδοκέναι τὸν Τίμαρχον προκατασκευῇ κέχρηται τῇ διδούσῃ κατὰ τῶν ἀσελγῶς ζησάντων ἐξουσίαν εἶναι κατηγορίας καὶ γραφῆς. καί τοι τοῦτο οὔτε τοῦ στοχασμοῦ τῶν κεφαλαίων ἅπτεται, οὔτε πρὸς τὴν νίκην αὐτῷ τοῦ τὸν [31] κρινόμενον αἱρήσειν συναγωνίζεται. καὶ γὰρ εἰ τὰ μάλιστα διδόασιν οἱ νόμοι τὴν ἐξουσίαν τοῖς βουλομένοις κατηγορεῖν κατὰ τῶν οὕτω ζησάντων, οὐδέν τι παρὰ τοῦτο μᾶλλον ὁ Τίμαρχος ἐλήλεγκται [32] τοιοῦτος ὢν ἐκ τούτων τῶν νοημάτων, οἷον αὐτὸν ἐν τοῖς κεφαλαίοις ἀποδείξει. ἀλλ' ἔστιν ἀπηλλοτριωμένη τῶν ζητημάτων ἡ τοιάδε προκατασκευή· εἰ δέ μοι λέγοι [33] τις, ὡς ὁ Δημοσθένης ἐν τῷ

26 Mon. ὁρικῆς οὔσης. 27 Vind. τόποις. 28 Par. ad marg. γρ. καὶ οὕτως. τοῖς διδοῦσιν ἐξουσίαν κατὰ τῶν οὕτως ἀδικησάντων. etiam Mon. ἐξουσίαν post διδοῦσι ponit. 29 Ald. Port. Par. Mon. ὄντως. Vind. Par. ad marg. οὕτως. 30 Ald. Port. διοίσειν. Port. ad marg. γρ. συνοίσειν. ita Vind. et Mon. — Ad marg. Mon. γρ. διοίσειν. — tum Ald. κατασκῇ. 31 Ald. αὐτὸν τοῦτον. Port. Vind. Mon. αὐτῷ τοῦ τόν. 32 Mon. ἐλήλεκται. 33 Vind. Mon. λέγει.

κατὰ Τιμοκράτους λόγῳ μεταξὺ τῶν δύο νομίμων, τοῦ τε παρανόμως εἰσενηνοχέναι τὸν νόμον [34] τὸν ὑπὸ Τιμοκράτους γραφέντα μέσῳ κέχρηται τούτῳ τῷ νοήματι ἐν τοῖς κεφαλαίοις, ὅτι κατὰ τῶν μὴ ποιησάντων, ἃ προστάττουσιν οἱ νόμοι, [35] διδόασιν ἐξουσίαν κατηγορίας τοῖς βουλομένοις, ἐρῶ τὰς αἰτίας, καθ' ἃς ἐκεῖ [36] μὲν κεφαλαίων μέρος ἐγένετο, προκατασκευῆς δὲ ἐνταῦθα. [36] ὅταν μὲν γὰρ ἄλλης στάσεως ὁ λόγος ᾖ κεφαλαίοις ἄλλοις διαιρουμένης, τῷ νομίμῳ δὲ οὐ κατασκευασθησομένης, τότε προκατασκευὴ [38] τὸ νόμιμον γίνεται, ὡς ἐν τῷ κατὰ Τιμάρχου, στοχασμοῦ τῆς στάσεως οὔσης, προκατασκευὴ τὸ νόμιμον ἐγένετο· καὶ ἐν τῷ κατὰ Μειδίου, ὅρου οὔσης τῆς στάσεως, ἀπὸ τῆς προκατασκευῆς τὸ νόμιμον ἐγένετο. οὔτε γὰρ ὅρος οὔτε στοχασμὸς τούτῳ [39] τῷ κεφαλαίῳ τέμνονται. ὁ δὲ κατὰ Τιμοκράτους λόγος πραγματικῆς ὢν τῆς κατὰ νόμου εἰσφορᾶς [40] ὀφείλων τῷ νομίμῳ κατασκευασθῆναι, τὸ ἐκ τοῦ νόμου βοηθοῦν μέρος αὐτῷ [41] τετήρηκε τῷ νομίμῳ. ἄξιον δὲ κἀκεῖνο τηρῆσαι τῶν ῥητόρων ἐν τούτοις, ὅτι καινοὺς ἀγῶνας εἰσιόντες, ὁ μὲν πορνείας, ὁ δὲ τῆς περὶ τὰ Διονύσια προβολῆς, οἷς οὐκ ἦσαν Ἀθηναῖοι συνειθισμένοι, τῷ μηδένα τοιοῦτον [42] πρότερον εἰσελθεῖν, ἀναγκαίως ἐχρή-

---

34 Mon. ad marg. γρ. τὸν νόμον Τιμοκράτους δεικνύντος, καὶ τὸν εἰσενηνεγμένον εἶναι παράνομον, τὸν ὑπὸ Τιμοκράτους γραφέντα μέσῳ κ. τ. λ. Port. τὸν νόμον Τιμοκράτην δεικνύντος, καὶ τοῦ τὸν εἰσενηνεγμένον εἶναι παράνομον, μέσῳ κεχρ. 35 Ald. οἱ νόμοι νομοθετούντων καὶ τοῦ πῶς διδ. Vind. οἱ νόμ. νομοθετοῦντες. In Mon. scriptum fuit: οἱ νομοθέται νομοθετούντων. quibus deletis νομοθέται in νόμοι mutatum est. Port. οἱ νόμοι. sine νομοθετούντων καὶ τοῦ πῶς. 36 Mon. γρ. ἐνταῦθα. 37 Mon. γρ. ἐκεῖ. 38 Mon. ad marg. γρ. ἀπὸ τοῦ νομίμου ἡ προκατασκευὴ ἐγένετο. 39 Mon. τούτων τῶν κεφαλαίων. 40 Mon. ταῖς κατὰ νόμον εἰσφοραῖς. 41 Vind. αὐτῷ μέρος. 42 Vind. τῶν τοιούτων.

σαντο ταύτῃ τῇ προκατασκευῇ, ὡς ἂν μὴ προσκρούοιεν [43] τοῖς δικασταῖς ἐκ τοῦ τὰ πρὸς μηδενὸς ἄλλου γενόμενα [44] τολμᾷν εἰσάγειν, ἀλλὰ προσεκτικὸς καὶ διδασκαλικὸς τῆς κατηγορίας ὁ λόγος γένοιτο τοῖς δικασταῖς, μαθοῦσιν ὅτι περὶ ὧν πρῶτον [45] δικάζουσιν ἐκ νόμων ὥρμηνται, καὶ ἀπὸ τῆς τῶν νόμων βουλήσεως. [46]

## Cap. III.

52 ΠΕΡΙ ΒΙΑΙΟΥ [1]

Ἔστι [2] καὶ τρίτον εἶδος λύσεως, [3] τὸ παραδοξότατον καὶ ἰσχυρότατον, [4] καὶ νικητικώτατον, ὃ καὶ βίαιον κέκληται. γίνεται δὲ, ὅταν εἰς τὸ ἐναντίον περιϊστάναι [5] δυνώμεθα τὸν λόγον, ἐξ αὐτῶν αἱροῦντες τὸν ἀντίδικον, οἷς θαῤῥῶν εἰσέρχεται· ὡς ὁ Δημοσθένης, ἀλλὰ ἀγανακτήσει Φίλιππος, ἐὰν τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφίσησθε· δι' ἃ γὰρ ἐκεῖνος οἴεται σωθήσεσθαι, διὰ ταῦτα δείκνυσιν αὐτὸν ἀπολωλέναι δίκαιον. ὁ μὲν γάρ φησι [7] δεῖν φυλάττεσθαι τοὺς Ἀθηναίους, μὴ εἰς ὀργὴν προκαλέσωνται τὸν Φίλιππον, ὁ δὲ δείκνυσιν αὐτὸν τιμωρίας ἄξιον ἐξ αὐτοῦ τούτου μάλιστα, διότι τοῖς Ἀθηναίοις τοιαῦτα ψηφίσασθαι παρακελεύεται, δι' ἃ μὴ χαλεπαίνει Φίλιππος. ἐπιφέρει γὰρ

43 Vind. προσκρούειν γε. 44 Vind. γενόμενα. 45 Mon. πρᾶγμα. Vind. περὶ οὗ. 46 Ald. βουλέσεως.

1 Port. caput hoc post caput VI. ponit, sub tit.: περὶ λύσεως κεφαλαίων κατὰ βίαιον ὅρον. — Vict. ad marg. „Eust. [p. 476, Bas.] ἀφ' ἧς βίας ἤτοι ἀνδρίας οἱ μεθ' Ὅμηρον ῥήτορες νόημα βίαιον καλοῦσι τὸ γενναῖον καὶ ἀνδρεῖον. — 2 Mon. ἔσται 3 Port. λύσεων. 4 Ald. ἰσχυρώτατον. 5 Ald. περιστάναι. 6 De fals. leg. p. 382. 7 Mon. φήσει.

οὕτως· ἐγὼ δὲ εἰ τοῦτό ἐστιν ἀληθὲς, οὐκ ἔχω σκοπούμενος εὑρεῖν ὅ τι μεῖζον τούτου [8] κατηγορήσω. εἰ γὰρ ὁ τῆς εἰρήνης ἕνεκα χρήματα ἀναλώσας ὥστε τυχεῖν αὐτῆς, οὗτος οὕτω νῦν γέγονε φοβερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικαίων ἀμελήσαντας ὑμᾶς ἤδη τι Φιλίππῳ χαριεῖσθαι [9] σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν δίκην δεδωκότες ἂν εἶεν; ἢ ὅταν ἐναντία δείξῃ ποιοῦντα τὸν ἀντίδικον ὧν φησιν εἰρχάσθαι, ὡς ἐπ' [10] ἐκείνης τῆς ὑποφορᾶς. „ἂν τοίνυν ἀντὶ Πυλῶν καὶ Φωκέων, Χερρόνησος [11] ὡς περίεστι τῇ πόλει, λέγῃ, μὴ ἀποδέξησθε, ὦ Ἀθηναῖοι, μηδ' ὑπομείνητε [12] πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδικήσθε, καὶ τῆς ἀπολογίας ὄνειδος προσκατασκευασθῆναι [13] τῇ πόλει. καὶ γὰρ ἐκεῖ κεχρημένος τῇ ἐνστάσει φανερῶς, ὅτι μὴ διὰ Φωκέας [14] Χερρόνησος σώζεται, ἡ πρὸ τεσσάρων [15] μηνῶν σωζομένη, μέτεισιν ἐπὶ τὸ βίαιον, δεικνὺς τὸ ἐναντίον, οὗ φησιν ὁ ἀντίδικος, ὅτι μὴ μόνον αὐτὴν οὐκ ἔσωσε [16] διὰ Φωκέας, ἀλλ' ὅτι καὶ κινδυνεύειν αὐτὴν ἐποίησε διὰ Φωκέας ἀπολωλότας, εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ τὴν Χερρόνησον εὑρήσετε, ἢ τότε. πρότερον [17] γὰρ εὐπορώτερον ἂν δίκην ἔδωκε Φίλιππος ἐξαμαρτὼν εἰς αὐτὴν, καὶ τὰ ἑξῆς. πλὴν ὅτι τῆς ἐνστάσεως πολὺ διαφέ-

---

8 Vind. τούτου μεῖζον. Mox Par. ἕνεκα om., additur ad marg. 9 Port. τί Φιλ. χαριεῖσθε, Demosth. l. l. secutus. 10 Vind. ὑπ' ἐκ. — De fals. leg. p. 365. 11 Ald. Port. Mon. constanter Χερόννησος. Vind. Χερρόνησος. Ald. Port. ὡς Χερ. Vind. Mon. Χερ. ὡς. 12 Ald. Vind. Mon. μηδὲ πρός, omisso ὑπομείνητε, quod recepi ex Dem., Port. ὑπομένητε. 13 Mon. προκατασκ. 14 Ald. διὰ ἀφωκέας. 15 Mon. τεττάρων. 16 Ald. Mon. Vind. ἔσωζε. Port. ἔσωσε. 17 Ald. πότορον. (sic) marg. Vict. πρότερον. Mon. πότερον. manu rec. supra lin. τουτέστι πρὸ τοῦ πορθηθῆναι τὴν Πύλον καὶ τὴν Φωκίδα,

ρει τὸ βίαιον. ἡ μὲν γὰρ ἔνστασις ἀναιρεῖ τὸ λεγόμενον ὡς οὐκ ὄν. τὸ βίαιον δὲ παρίστησι τοῦ λεγομένου τὸ ἐναντίον. ἐναργῶς δὲ ἐνταῦθα ἐμήνυσεν ἑκάτερα, τῷ μὲν εἰπεῖν, οὐ διὰ Φωκέας Χερρόνησος σώζεται, τὴν ἔνστασιν πληρώσας· τῷ δὲ εἰπεῖν, ὅτι κινδυνεύει διὰ Φωκέας Χερρόνησος, τὸ βίαιον παραστήσας.

---

## Cap. IV.

### ΠΕΡΙ ΚΕΦΑΛΑΙΩΝ. [1]

Περὶ μὲν τῆς τῶν κεφαλαίων εὑρέσεως [2] κατὰ τὴν διαιρετικὴν ἐξεθέμεθα [3] τέχνην, καὶ ὅσα ἑκάστης τῶν στάσεων ἴδια, καὶ ὅσα κοινὰ, καὶ τὰ τούτων διάφορα· νυνὶ δὲ πρόκειται δεῖξαι, πῶς τῆς διαιρετικῆς τέχνης ὑποβαλλομένης τῶν κεφαλαίων ἕκαστον, ἡμεῖς ἐκλαβόντες αὐτὸ κατασκευάσομεν· [4] τὸ γὰρ πᾶν τῆς ῥητορικῆς ἰσχυρὸν ἐν τούτοις ἵσταται, καὶ τὸ τῆς νίκης κράτος ἐν τῇ κατασκευῇ τῶν κεφαλαίων διαφαίνεται· κεφάλαιον τοίνυν ἤτοι [5] παρ' ἡμῶν αὐτῶν εἰσάγεται, [6] ὃ δεῖται κατασκευῆς, ἢ παρὰ τῶν ἐχθρῶν τίθεται, ὃ δεῖται λύσεως. οἷον, ἐὰν μὲν ἀπολογώμεθα ἐν τοῖς στοχασμοῖς, τὴν τῶν ἐλέγχων ἀπαίτησιν ἡμεῖς εἰσάγομεν, λέγοντες, ἐλέγχους πάρασχε, [7] εἶτα κατασκευάζομεν ἐκ τῶν ἐπιχειρημάτων συνιστάντες, [8] ὅτι δεῖ παντὸς πράγματος ἐλέγχους παρασχέσθαι, [9] καὶ παντὸς ἐγκλήματος. ἐὰν δὲ κατηγορῶμεν,

---

1 Port. περὶ εἰσαγωγῆς κεφαλαίων. 2 marg. Vict. διαιρέσεως. 3 Vind. διεξέμεθα. 4 Mon. κατασκευάσωμεν. 5 Ald. Port. Mon. ἤ τε. Vind. ἤτοι. 6 Ald. Port. εἰσάγωμεν. Vind. Mon. marg. Vict. εἰσάγεται. 7 Port. παράσχου, h. l. et infra. 8 Vind. συνισιῶντες. 9 Mon. παρέχεσθαι h. l. et infra. tum Vind. ἂν δὲ κατ.

ἀνάγκη, τοῦ ἐχθροῦ τὸ κεφάλαιον τιθέντος καὶ λέγοντος, ἐλέγχους πάρασχε, ἡμᾶς λύειν λέγοντας, οὐ δεῖ ἐλέγχους παρασχέσθαι παντὸς πράγματος. καὶ εἰς τοῦτο κατασκευῆς εὐπορήσομεν [10] τῆς ἀπὸ τῶν ἐπιχειρημάτων, ἵνα δείξωμεν, ὅτι μὴ δεῖ [11] τοὺς ἐλέγχους ἀπαιτεῖν· καὶ ἐν ταῖς πραγματικαῖς, εἰ τύχοι, ἢ τιθέμεθα κεφάλαιον λέγοντες, οὐ δεῖ καινοτομεῖν, ἢ οὐ δεῖ παρὰ τὰ δόξαντα [12] λέγειν, ἢ οὐ δεῖ ἔθος καταλύειν. [13] καὶ ὅ τι ἂν τούτων 53 εἰσάγωμεν, [14] ἐκ τῶν ἐπιχειρημάτων εἰς τὰς κατασκευὰς βοηθούμεθα δεικνύντες, ὅτι μηδὲν τούτων δεῖ ποιεῖν, ἢ καινοτομεῖν, ἢ τὰ δόξαντα λύειν, ἢ τὸ [15] ἔθος παραβαίνειν ἢ τεθὲν [16] παρὰ τῶν ἀντιδίκων λεγόντων, ὅτι [17] οὐ δεῖ ταῦτα ποιεῖν, ἡμεῖς αὖθις δεόμεθα λύσεως, ἵνα δείξωμεν, ὅτι δεῖ καινοτομεῖν, καὶ τὰ δόξαντα λύειν, ἢ τὸ ἔθος παραβαίνειν, καὶ εἰς τὴν τούτων κατασκευὴν βοηθούμεθα τοῖς ἐπιχειρήμασι.

Πολλῶν δὲ πολλὰ ἐκθεμένων περὶ ἐπιχειρημάτων καὶ πολὺν ἀναλωσάντων λόγον καὶ μηδενὸς δυνηθέντος σαφῶς παραστῆσαι, πειράσομαι ὅτι μάλιστα σαφέστατα διακρῖναι, τίς εὕρεσις ἐπιχειρήματος, ὃ κατασκευάζει τὸ κεφάλαιον, [18] ἢ τὴν λύσιν· καὶ τίς εὕρεσις ἐργασίας, ἣ κατασκευάζει τὸ ἐπιχείρημα· καὶ τίς εὕρεσις ἐνθυμήματος, ὃ κατασκευάζει τὴν ἐργασίαν. ἐὰν μὲν [19] οὖν ἡμεῖς εἰσάγωμεν κεφάλαιον, ἁπλῆς δεήσει τῆς θέσεως, καὶ τῆς εἰς τοῦτο κατασκευῆς εὐπορήσομεν [20] ἀπὸ τῶν ἐπιχειρη-

---

10 Vind. εὐπορήσας. sq. τῆς Mon. om. Schol. T. VII. p. 744. v. 11. καὶ τῆς τούτου κατασκευῆς εὐπορήσομεν ἀπὸ τῶν ἐπιχειρ. 11 Ald. μὴ δεῖν. Port. Mon. Vind. ὅτι μὴ δεῖ. 12 marg. Vict. τὴν δόξαν. 13 Par. ad marg. γρ. παραβαίνειν. 14 Ald. Mon. εἰσάγομεν. Port. Vind. εἰσάγωμεν. 15 Vind. ἢ καὶ ἔθος. Port. τὸ om. 16 Mon. τιθέν. 17 Mon. ὡς. 18 Par. τὸ κεφ. om. Manus rec. supra lin. posuit. 19 Mon. μὲν om. 20 Ald. ἀπορήσομεν. Mon. marg. Vict. εὐπορήσομεν. Vind. καὶ τὴν τού-

μάτων μετὰ προτάσεως. τὸ δὲ ἐντελέστερον, ἐὰν τιθῆται ἀπὸ [21] τῶν ἐχθρῶν καὶ εἰσάγηται· τότε γὰρ δεῖ κοσμῆσαι τὸ κεφάλαιον, προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει, λύσει, τῇ καὶ ἀνθυποφορᾷ καλουμένῃ. ὃ δὲ τούτων ἕκαστόν ἐστι, σαφῶς παραστήσω. πρότασις μὲν γάρ ἐστιν ἡ ἐπαγγελία τῆς ὑποφορᾶς. ὑποφορὰ δὲ ὁ τοῦ ἐχθροῦ λόγος. ἀντιπρότασις δὲ ἡ τῆς λύσεως ἐπαγγελία. εἶτα ἡ λύσις ἣν ποιούμεθα ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς. οἷον, εἰ τύχοι, κατατρέχει Χερρόνησον Φίλιππος· γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν· τάχα τοίνυν καὶ τοιοῦτος ἥξει λόγος παρὰ τῶν ἀντιδίκων· τοῦτο ἡ πρότασις. ὡς χαλεπὸν διορύξαι Χερρόνησον· τοῦτο ἡ ὑποφορά. ἔστι δὲ τοῦτον αὐτὸν [22] οὐ χαλεπὸν διαλῦσαι τὸν λόγον· τοῦτο ἡ ἀντιπρότασις· τὸ γὰρ διορύσσειν πρᾶγμα ῥᾴδιον· τοῦτό ἐστιν [23] ἡ λύσις, ἥ τις δεῖται ἐπιχειρημάτων. τὸ μὲν οὖν πλῆρες κεφάλαιον οὕτω. [24]

Λείπει δὲ πολλάκις ἡ πρότασις οὐδὲν βλάπτουσα τὴν ὑποφοράν. κόσμος γάρ ἐστι τοῦ λόγου, καὶ πλέον οὐδὲν πολλάκις. ἔσθ' ὅτε γὰρ καὶ θεωρίας ἐνδείγματα καλλίστης ἐμφανίζουσιν ἥ τε πρότασις καὶ ἀντιπρότασις, εἰ τῆς ἑρμηνείας τοῖς ὀνόμασι προσέχοιμεν, ἐξ ὧν τὸ εἶδος τῆς ὑποφορᾶς ὅπως διασύρεται καὶ δείκνυται θεωροῦμεν. οἷον, ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, [25] ὡς ἐγὼ πυνθάνομαι, εἰ μόνος τῶν ἐνταῦθα [26] πολιτευομένων λόγων εὐθύνας ὑφέξει. εἰ μὲν γὰρ ἔλεγε, πυνθάνομαι τοίνυν αὐτὸν περιάγοντα κατὰ [27] τὴν

---

του κατασκευὴν εὑρήσομεν. 21 Mon. ὑπὸ τ. ἐχθ. καὶ εἰσάγεται παρ' ἡμῶν, τότε δεῖ. 22 Vind. τούτων αὐτῶν. 23 Vind, Mon. ἐστὶν om. 24 Vind. οὕτως. — v. 20. Port. καὶ ἡ ἀντιπρ. 25 Mon. μᾶλλον. — de fals. leg. p. 398. — Vind. post ὡς ἐγὼ πυνθάνομαι, quod manu secunda supra lin. scriptum est, habet ὁ Φίλιππος. 26 Vind. ἐνταυθοῖ. Port. τῶν ἐν τῷ δήμῳ λεγόντων — ex Dem. h, l, et bis postea recepit. 27 κατὰ Vind. om.

ἀγοράν λέγειν,[28] ἃ καὶ νῦν ἴσως πρὸς ὑμᾶς[29] ἐρεῖ ἀγαναχτῶν, εἰ μόνος τῶν ἐνταῦθα πολιτευομένων λόγων εὐθύνας ὑφέξει, μετὰ προτάσεως ἔκειτο. ἐν οἷς γὰρ λόγοις[30] ἐλπίζεται ἡ ὑποφορά, τοῦτό ἐστιν ἡ πρότασις. τὸ δὲ λέγειν, ὅτι ἀγανακτήσει τοίνυν, εἰ μόνος τῶν ἐνταυθοῖ[31] πολιτευομένον λόγων εὐθύνας ὑφέξει, τοῦτό ἐστιν ἡ ὑποφορά.

Ποτὲ δὲ ἡ ἀντιπρότασις λείπει, τουτέστιν ἡ τῆς λύσεως ἐπαγγελία. οἷον, ἔστι δὲ οὐκ[32] ἄδηλον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ' ὅτι Λεπτίνης, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ. μέχρι τούτου ἡ πρότασις. φήσει δ'[33] ἀναξίους τινὰς ἀνθρώπους εὑραμένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουργίας· τοῦτο ἡ ὑποφορά. ἐγὼ δὲ ὅτι μέν τινων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν τῶν ἀδίκων ἐστὶν, ἐάσω·[34] τοῦτο εὐθέως ἡ λύσις. λείπει δὲ ἡ ἀντιπρότασις. ἦν δ' ἂν[35] πλῆρες εἰ ἔλεγε· χρὴ δὲ ὑμᾶς, ὦ Ἀθηναῖοι, μηδαμῶς ἀποδέχεσθαι τοῦτον τὸν λόγον. τὸ γάρ τινων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν ἄδικον. καὶ ἡ ἀντιπρότασις μέντοι λείπουσα οὐδὲν τῷ νοήματι λυμαίνεται, ἀλλὰ τὴν αὐτὴν ἔχει δύναμιν τῇ προτάσει, ἤ τις μόνον[36] κόσμος ἐστὶ τῷ λόγῳ· ἐπεὶ πολλάκις καὶ χωρὶς προτάσεως καὶ ἀντιπροτάσεως εὑρίσκομεν παρὰ τοῖς ἀρχαίοις· οἷον, ἀλλ'[37] ἀδίκως, φησὶν, ἦρξας.[38] ἡ ὑποφορὰ χωρὶς προτάσεως. εἶτα

---

28 Ald. λέγει. Mon. marg. Vict. Port. λέγειν. 29 Ald. Port. Mon. ἡμᾶς. Vind. ὑμᾶς. 30 Mon. λόγοις om. 31 Vind. ἐνταῦθα. 32 Port. δ' οὐκ. ut Dem. in Lept. initio. 33 Mon. δέ. 34 τῶν ἀδίκων ἐστὶν ἐάσω Vind. om. Mon. ἐστὶν ἐάσω om. Man. rec. supra lin. scripsit: ἄδικον ἐάσω. 35 Ald. Port. Vind. δὲ ἄν. Mon. δ' ἄν. 36 Vind. μόνον om. 37 Ald. Mon. ἀλλὰ ἀδ. Port. Vind. ἀλλ'. — pro cor. p. 266. 38 Ald. Vind. Mon. ἦρξας. Port. ἦρξα.

παρὼν, ὅτε με εἰσῆγον οἱ λογισταὶ, διὰ τί οὐ κατηγόρεις; ἡ λύσις χωρὶς ἀντιπροτάσεως. τὸ δὲ
54 πλῆρες ἀπὸ τῶν ἀρχαίων οὕτω. Φίλιππος γὰρ ἄρχεται[39] μὲν περὶ Ἁλοννήσου[40] λέγων, ὡς ὑμῖν[41]
5 δίδωσιν ἑαυτοῦ οὖσαν, ὑμᾶς δὲ οὔ φησι δικαίως αὐτὸν ἀπαιτεῖν. οὐ γὰρ ἡμετέραν οὖσαν οὔτε λαβεῖν οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύομεν· τοῦτο ὅλον[42] πρότασις. εἶτα ἡ ὑποφορὰ, ὡς
10 λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο,[43] καὶ προσήκειν αὐτὴν ἑαυτοῦ[44] εἶναι. τοῦτο[45] ἡ ὑποφορά. τοῦτον[46] δὲ τὸν λόγον, ὡς οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν ἐλέγξαι.[47] τοῦτο ἡ ἀντιπρότασις. ἅπαντες γὰρ οἱ λῃσταὶ
15 τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους ὀχυροὺς[48] ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν· ὁ δὲ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας οὐκ ἂν δήπου εἰκότα[49] λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ
20 ἀλλότρια[50] εἶχον, ταῦτα ἐᾶν[51] ἑαυτοῦ γίνεσθαι. τοῦτο ἡ λύσις. καὶ[52] ἡ τοῦ κεφαλαίου εἰσαγωγὴ

---

39 Ald. Port. Vind. ἔρχεται. Mon. marg. Vict. ἄρχεται. ut Dem. de Halon. p. 77. 40 Port. Vind. Ἁλονήσου. 41 Ald. Port. Mon. ἡμῖν et ἡμᾶς δέ. Vind. ὑμῖν et ὑμᾶς δέ. etiam Mon. ὑμᾶς δέ. 42 ὅλον Tzetz. om. Idem sqq. εἶτα ἡ ὑποφορὰ om. 43 Vind. ἐκτήσατο καὶ προσήκει. etiam Mon. προσήκει. 44 Ald. Mon. αὐτοῦ. Port. Vind. ἑαυτοῦ. 45 Mon. μέχρι τούτου. Tzetz. sq. ἡ om. 46 Vind. κατὰ τοῦτον. 47 Port. οὐ χαλ. ἐστιν ἐλέγξαι. Ald. Mon. Vind. Tzetz. χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι. Lectio, ut videtur, orta ex praec. ἀφελόμενος. 48 Ald. ἰσχυρούς. Mon. Port. ὀχυρούς. Vind. ἐχυρούς. 49 Tzetz. δήπως εἰκότως. 50 Tzetz. ἀλλοτρίως. 51 Ald. Mon. ἐάν. Vind. Tzetz. ἐᾶν. Port. et Dem. om. 52 Tzetz. καὶ οὕτως ἡ τοῦ κεφ. εἰσ. ἐκ τῶν τεσσάρων πληροῦται.

ἐκ τῶν τεττάρων πεπλήρωται, προτάσεως, ὑποφορᾶς, ἀντιπροτάσεως, λύσεως.

---

## Cap. V.

### ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

Εἴτε οὖν εἰσάγοιμεν ἡμεῖς κεφάλαιον,[1] εἴτε τεθὲν[2] λύοιμεν, δεῖ ζητεῖν τὰ ἐπιχειρήματα, ὅθεν εὑρεθήσεται καὶ ἀπὸ τρόπων[3] ὁπόσων. εἴτε γὰρ[4] κατασκευάζοιμεν, εἴτε λύοιμεν, ἀπὸ τῶν αὐτῶν αἱ γενέσεις τῶν νοημάτων τοῖς ἐπιχειρήμασι· καὶ παρὰ ταῦτα οὐδεὶς ἂν εὑρεῖν ἕτερον δύναιτο. εὑρίσκεται τοίνυν πᾶν ἐπιχείρημα γινόμενον ἀπὸ τῆς περιστάσεως. Περίστασις δέ ἐστι τὸ πᾶν ἐν ἡμῖν, καὶ λόγοις καὶ πράγμασι καὶ δίκαις καὶ ὑποθέσεσι καὶ βίῳ, τόπος, χρόνος, τρόπος, πρόσωπον, αἰτία, πρᾶγμα. προστιθέασι δὲ οἱ φιλόσοφοι καὶ ἕβδομόν τι, τὴν ὕλην, ἣν ὁ ῥήτωρ οὐκ ἰδίᾳ χωρίσας ἔχει. πιθανῶς δὲ ἐπιμερίζει, τῶν ἄλλων ἑκάστῳ, ὅτῳ ἂν καὶ δύνηται· εἴ[5] γε οὖν ἀξιοῖμεν γενέσθαι τι, φήσομεν ἐπιχειροῦντες δεῖν αὐτὸ γενέσθαι. καλὸν γὰρ εἶναι ἢ διὰ τὸν τόπον, ἢ διὰ τὸν χρόνον, ἢ διὰ τὸν τρόπον, ἢ διὰ τὸ πρόσωπον, ἢ διὰ τὴν αἰτίαν, ἢ διὰ τὸ πρᾶγμα.[6] εἴτε ἀντιλέγοιμεν, ἀξιοῦντες μὴ δεῖν γενέσθαι, φήσομεν μὴ δεῖν αὐτὸ πραχθῆναι· φαῦλον γὰρ εἶναι ἢ διὰ τὸν τρόπον,[7] ἢ διὰ τὸν χρόνον, ἢ διὰ τὸν τρόπον, ἢ διὰ τὸ

---

1 Vind. τὸ κεφ. 2 Mon. τεθέντες. 3 Par. ad marg. ἀπό τινων. 4 γὰρ Mon. om. — Sqq. εἴτε λύοιμεν in Mon. manu rec. ad marg. adjectum est. 5 Port. Vind. εἴτε. 6 Vind. τὸν χρόνον. supra lin. τὸ πρᾶγμα. — Mox Par. ad marg. φήσομεν ἐπιχειροῦντες μὴ δεῖν. 7 Port. τόπον, ἢ δ. τ. χρόν. ἢ διὰ τὸν τρόπον.

πρόσωπον, ἢ διὰ τὴν αἰτίαν, ἢ διὰ τὸ πρᾶγμα. εἶτε ἐπὶ τοῦ παρεληλυθότος, [8] εἴτε ἐπὶ τοῦ μέλλοντος· πραχθήσεται δὲ, [9] ἢ διὰ τὸν τρόπον, [10] ἢ χρόνον, καὶ τὰ ἑξῆς. ἢ οὐ πραχθήσεται διὰ τὸν τόπον, ἢ χρόνον, καὶ τὰ ἑξῆς. [11] καταμάθωμεν δὲ καὶ ἐπὶ παραδειγμάτων [12] ἀφ' ὧν πάντα σαφῆ γίνεται. οἷον, ἐπὶ τοῦ στοχασμοῦ πρῶτον ἐμπίπτει κεφάλαιον [13] τὸ παραγραφικόν· εἶτα ἡ τῶν ἐλέγχων ἀπαίτησις, εἰ μή τι πρὸ αὐτοῦ παραδόξως ἕτερον εὑρεθείη, καθὰ συμβαίνει πολλάκις. ἔστω δὲ πρόβλημα ὁ Περικλῆς ὁ κρινόμενος προδοσίας, ὅτι μὴ ἐδήωσεν [14] αὐτοῦ τοὺς καρποὺς Ἀρχίδαμος. εἴτε γὰρ ἀπαιτοίη τοὺς μάρτυρας ὁ Περικλῆς, ἐπιχειρήσει λέγων τῇ τῶν ἐλέγχων ἀπαιτήσει, πρῶτον μὲν ἀπὸ τοῦ πράγματος, ὅτι δεῖ ἐλέγχους παρέχεσθαι [15] προδοσίας, τὸ κεφάλαιον ὁρίσας. εἶτα ἐπιφέρων ἐπιχείρημα. παντὸς γὰρ πράγματος κρινομένου δεῖ τοὺς ἐλέγχους παρέχεσθαι· δίκαιον γὰρ τοῦτό γε. εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι καὶ δεῖ Περικλέα μὴ ἄνευ μαρτύρων κρίνεσθαι προδοσίας. εἶτα ἀπὸ τοῦ τόπου, ὅτι καὶ μὴ δεῖ ἐν δημοκρατίᾳ ἄνευ μαρτύρων τὰς κρίσεις γίνεσθαι· εἶτα ἀπὸ τῆς αἰτίας, ὅτι διὰ [16] τοῦτο δεῖ μάρτυρας παρέχεσθαι τοῦ Περικλέους [17] τῆς προδοσίας, καὶ ἀπαιτεῖν, ἵνα τοῦτο προεγνωκότες οἱ κατήγοροι μὴ συκοφαντῶσι προπετῶς, γινώ-

---

8 Mon. Vind. παρελθόντος. 9 Mon. πραχθ. τόδε διά. sq. ἢ ex Vind. recepi. 10 Ald. h. l. et paullo post τρόπον. Port. Vind. Mon. τόπον. 11 Port. addit: ἢ δύσκολον διὰ τὸν τόπον ἢ χρόνον καὶ τὰ ἑξῆς· ἢ οὐ δύσκολον διὰ τὸν τόπον ἢ χρόνον καὶ τὰ ἑξῆς. 12 Ald. Mon. παραδείγματος. Port. παραδειγμάτων. Vind. τῶν παραδειγμάτων. 13 κεφάλαιον Mon. om. 14 Vind. ἐδήωσε τοὺς καρποὺς αὐτοῦ. 15 Vind. παρασχέσθαι h. l. et in sqq. constanter. 16 Vind. Mon. καὶ διά. 17 Vind. Mon. τῆς προδοσίας τῆς Περικλέους.

νώσκοντες ὅτι συκοφαντίας ἁλώσονται προπετῶς κατηγοροῦντες, ἐὰν [18] μὴ παρέχωσι μάρτυρας· εἰ δὲ [19] ἀντιλέγοιμεν μὴ δεῖν μάρτυρας [20] παρέχεσθαι, καὶ τότε ὁμοίως ἐπὶ τὴν περίστασιν βαδιούμεθα, λέγοντες, [21] καὶ πρῶτον μὲν τὸ κεφάλαιον ὁρίζοντες, οὐ δεῖ μάρτυρας παρέχεσθαι τῆς προδοσίας τῆς Περικλέους· εἶτα ἐπιχείρημα [22] ἀπὸ τοῦ πράγματος· πᾶν γὰρ πρᾶγμα ᾧ πρόσεστιν ἀδίκημα, κρύφα πράττεται [23] πρὸς τῶν πονηρῶν, ἵνα μὴ κατάφωροι [24] γινόμενοι διδῶσι τιμωρίας· εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι καὶ μαρτυρεῖν οὐδεὶς ἐθελήσει κατὰ Περικλέους, φοβούμενος τὸ ἀξίωμα τοῦ ἀνδρός· εἶτα ἀπὸ τῆς αἰτίας, ὅτι καὶ μὴ δεῖ [25] μάρτυρας ζητεῖν πάντων τῶν ἀδικημάτων, ἀλλὰ [26] καὶ ἀπὸ τῶν εἰκότων κρίνειν· εἰ δὲ μή, πειράσονται πάντες ἄνευ μαρτύρων ἐπιτίθεσθαι, [27] ὡς ἐξ οὐδενὸς ἄλλου ἁλωσόμενοι πλὴν τούτου. εἶτα ἀπὸ τοῦ τόπου, ὅτι καὶ ἐν Ἀθήναις, ὅπου καὶ ἡ ἀλήθεια τῶν πραγμάτων πλέον ἰσχύει τῶν μαρτύρων, ὡς ἐν τῷ κατὰ Τιμάρχου φησὶν Αἰσχίνης, [28] ὅτι καὶ τοὺς ξένους οὐκ ἀπὸ τῶν μαρτύρων ἐν τοῖς δήμοις, ἀλλ' ἀπὸ τῆς ἀληθείας εὑρίσκετε. καὶ [29] ἐπὶ τῆς βουλή-

18 Vind. ἄν. 19 Marg. Vict. inserit: μὴ εὐπορῶμεν μάρτυρας καὶ ἀντ. Par. ad marg. γρ. εἰ δὲ μὴ εὐπορεῖ μαρτύρων. 20 Port. παρέχ. μάρτυρας. 21 λέγοντες Vind. om. 22 Vind. ἀπὸ τοῦ πραγμ. ἐπιχείρημα. 23 Ald. Mon. πράττεσθαι. Port. Vind. πράττεται. 24 Ald. κατάφοροι. 25 Ald. Mon. δεῖν. Port. Vind. δεῖ. 26 Mon. Vind. ἀλλ' ἀπὸ τῶν. 27 Vind. addit: τοῖς ἀδικήμασιν. 28 Locus hic in oratione laudata non legitur: fort. in animo habuit locum §. 153. p. 299. Bekk. καὶ τὰς κρίσεις οὐκ ἐκ τῶν μαρτυριῶν, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησὶ ποιεῖσθαι. 29 in Mon. praecedit titulus: περὶ βουλήσεως. Vind. καὶ ἡ βούλησις ὁμοίως τὸ κεφάλαιον. tum Vind. Mon. ὁρίσαντες, ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι Περικλέα, τρεψόμεθα πάλιν ἐπὶ τὰ ἐπιχειρ. ἀπὸ τοῦ πράγματος, οὐκ εἰκός. Ald. Port. ὁρίσαντες τρεψόμεθα πάλιν ἐπὶ τὰ ἐπιχειρ. ὅτι οὐκ εἰ-

σεως ὁμρίως τὸ κεφάλαιον ὁρίσαντες, ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι Περικλέα, τρεψόμεθα πάλιν ἐπὶ τὰ ἐπιχειρήματα. ἀπὸ τοῦ πραγματος, ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι Περικλέα· φαῦλον γὰρ πρᾶγμα ἡ προδοσία, καὶ ὃ μηδεὶς ἂν ἡδέως ὑποσταίη νοῦν ἔχων, [30] καὶ ὅτι ἀντὶ πολλῶν καὶ μεγάλων ἀγαθῶν οὐκ ἂν πονηρὸν πρᾶγμα εἱλόμην. εἶτα ἀπὸ προσώπου, [31] οὐκ ἂν ἠθέλησα προδοῦναι Περικλῆς ὤν, φιλόπολις ἀεὶ καὶ φιλαθήναιος καὶ κρείττων χρημάτων· εἶτα ἀπὸ τῆς αἰτίας, οὐκ ἂν ὑμᾶς προὔδωκα. οὐ γὰρ ἐδεόμην χρημάτων πλούσιος ὤν, οὐδὲ ἐμισούμην παρ' ὑμῶν, [32] ἀλλ' ἐθαυμαζόμην. εἶτα ἀπὸ τοῦ χρόνου, ὅτι μηδὲ [33] προδοῦναι ἂν ἠθέλησα νῦν ἔχων τηλικαύτην δόξαν καὶ τοσαύτην· καὶ ἡ δύναμις, ὅτι οὐκ ἂν ἠδυνήθην προδοῦναι· καὶ [34] πρῶτον μὲν ἀπὸ τοῦ πράγματος, ὅτι προδοσία πρᾶγμα δύσκολον, καὶ οὐ ῥᾳδίως πραχθῆναι δυνάμενον. εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι καὶ Περικλεῖ δύσκολον, ὃς ἐν προσχήματι τιμῆς ἀεὶ πρὸς Ἀθηναίους ὢν [35] φυλάττεται κρύφα μηδὲν πρᾶξαι δυνάμενος. εἶτα ἀπὸ τοῦ χρόνου, ὅτι καὶ τότε δύσκολον, ὅτε ἡ πόλις ἐφυλάττετο, μήτε εἰσιόντος τινὸς, μήτε ἐξιόντος. καὶ ὁ Δημοσθένης ἐν τῷ περὶ [36] παραπρεσβείας, ἀνεύθυνος, φησὶν, ἐπὶ λόγοις, ἢ [37] οὐκ ἀνεύθυ-

---

κὸς ἐθ. πρ. Περικλέα. ἀπὸ τοῦ πράγματος, ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι Περ. [ὅτι οὐκ εἰκὸς ἐθ. πρ. Περ. Port. h. l. om.] 30 Ald. ὑποσταίην ἐνέχων. Port. Vind. Mon. marg. Vict. ὑποσταίη νοῦν ἔχων. 31 Port. τοῦ προσ. 32 Vind. Mon. παρ' ὑμῖν. 33 Vind. οὐδέ. 34 Vind. Mon. πρῶτον μὲν τὸ πρᾶγμα. sine καί. tum Vind. ὅτι ἡ προδοσ. 35 Par. ad marg. γρ. ἀεὶ πρὸς Ἀθηναίους φυλάττ. ita Vind. 36 περὶ Mon. om. 37 Ald. εἶτα. Mon. εἰτα. Vind. ἤ. Port. ἀλλ'. ad marg. γρ. εἶτα. Reisk. ad Dem. de fals. leg. p. 399. v. 6., locum, quem tractat Hermogenes, ita emendat: καὶ γὰρ Δημοσθ. ἐν τῷ περὶ παραπρεσβείας, ἐνεύθυνός ἐστιν ὁ πρεσβευτὴς, φησὶν, ἀλλ' οὐκ

νος; καὶ πρῶτον ἔλαβεν ἀπὸ πράγματος· οὐδὲν γὰρ πρᾶγμα ἀνεύθυνον, [38] ᾧ πρόσεστιν ἀδίκημα· εἶτα ἀπὸ τοῦ προσώπου, ὅτι καὶ ῥήτωρ ἀνεύθυνος ἐπὶ [39] λόγοις οὐκ ἂν εἴη. ἕκαστος γὰρ ὧν ἐστι κύριος, τούτων τὰς εὐθύνας δίδωσιν. εἶτα ἀπὸ τοῦ τόπου, ὅτι καὶ ἐν δημοκρατίᾳ οὐδεὶς ἀνεύθυνος ἐπὶ λόγοις. οἷς γάρ ἐστιν ἐν λόγοις ἡ πολιτεία, πῶς ἂν οὗτοι μὴ ὦσιν ἀληθεῖς, ἀσφαλῶς ἐστι [40] πολιτεύεσθαι; καὶ καθάπαξ, ὡς ἔφημεν, πάντα τὰ κεφάλαια οὕτω καὶ ἀνασκευασθήσεται καὶ κατασκευασθήσεται. οἷον, [42] συνεχῶς κατατρέχει Χερρόνησον ὁ [43] Φίλιππος, καὶ γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν. τὸ [44] κεφάλαιον, καινὰ γράφεις, καινοτομεῖν δὲ οὐ δεῖ. πρῶτον ἀπὸ τοῦ πράγματος, πονηρὸν γὰρ ἡ καινοτομία· εἶτα [45] ἀπὸ τοῦ προσώπου, ὅτι καὶ μὴ δεῖ καινοτομεῖν Ἀθηναίους τοὺς συνετοὺς, καὶ τοῖς [46] ἀρχαίοις ἀεὶ καὶ νόμοις καὶ ἤθεσι χρωμένους. εἶτα ἀπὸ τοῦ καιροῦ· ὅτι μὴ δεῖ [47] ἐν πολέμῳ καινοτομεῖν· ἀγαπητὸν γὰρ, εἰ καὶ τὰ συνήθη φυλάττων τις ἐν ἐκείνῳ [48] σωθήσεται. καὶ πάλιν, [49] δεῖ καιν-

---

ἀνεύθυνος. Sed violentior est haec emendatio, quam ut eam recipere audeam, quare recepta codicis Vindob. lectione signum interrogationis posui. 38 Mon. τέως ἀνεύθυνον. 39 Mon. ἐν. eandem praepositionem paullo post v. 6. habent edd. et codd., ortam sine dubio ex sqq. οἷς γάρ ἐστιν ἐν λόγοις ἡ πολιτεία. scripsi ἐπί. 40 Par. ad marg. γρ. καὶ οὕτως. πῶς, ἂν οὗτοι μὴ ὦσιν ἀληθεῖς, ἀσφαλῶς πολιτεύεσθαι. ita Vind. 41 Vind. Mon. πάντα οὕτως [Mon. οὕτω] τὰ κεφάλαια. 42 Mon. καὶ πάλιν· συνεχῶς. 43 ὁ Ald. Port. Mon. om., recepi ex Vind. 44 τὸ Ald. Mon. om., recepi ex Port. Vind. 45 Vind. εἶτα ὅτι καὶ δεῖ καινοτομεῖν Ἀθηναίους, ἀπὸ τοῦ προσ. 46 Vind. Mon. τούς. 47 Ald. Mon. δεῖν. Port. Vind. δεῖ. 48 Mon. ἐκείνοις. 49 καὶ πάλιν Par. Port. Ald. om, recepi ex Vind. Mon. — Par. ad marg. γρ. καὶ πάλιν δεῖ καινοτομεῖν.

νοτομεῖν, ἡ λύσις. εἶτα [50] ἀπὸ τοῦ πράγματος· καλὸν γὰρ τὸ καινοτομεῖν· καὶ ὁ βίος ἀεὶ καινοτομεῖται τοῖς πράγμασι, καὶ διὰ τοῦτο βελτίων γίνεται. εἶτα καὶ ἀπὸ τοῦ προσώπου, δεῖ καινοτομεῖν Ἀθηναίους· ὡς νεωτεροποιοὶ [51] γὰρ καὶ παρὰ τοῖς ἐχθροῖς ἐπαινούμεθα· εἶτα ἀπὸ τοῦ καιροῦ, ὅτι καὶ [52] δεῖ ἐν πολέμῳ καινοτομεῖν· καινοτόμον γὰρ πρᾶγμα ὁ πόλεμος, καὶ ἀφ' ἑαυτοῦ [53] τεχνᾶται τὰ πολλά. Κεφάλαιον ἕτερον [54] ἐμπίπτει πάλιν, ὅτι δύσκολον διορύξαι Χερρόνησον, εἶτα [55] ἀπὸ τοῦ πράγματος, αὐτὸ γὰρ τὸ διορύσσειν δύσκολον. εἶτα ἀπὸ τοῦ προσώπου, [56] ὅτι καὶ Ἀθηναίοις δύσκολον τοῖς ἀήθεσιν. εἶτα ἀπὸ τοῦ τόπου, ὅτι καὶ μακρὰν ἀπὸ τῆς πατρίδος δύσκολον. εἶτα ἀπὸ τοῦ καιροῦ, ὅτι καὶ ἐν πολέμῳ δύσκολον ταῦτα ποιεῖν· ἡ λύσις, οὐ δύσκολον. τό τε γὰρ πρᾶγμα ῥᾴδιον, καὶ [57] ἐν τῇ ἡμετέρᾳ χώρᾳ· εἶτα, ὅτι καὶ Ἀθηναίοις πάντα ῥᾴδια. [58] Αἱ μὲν οὖν γενέσεις τῶν ἐπιχειρημάτων αὗται.

Πολλάκις δὲ ἀπὸ μιᾶς γενέσεως καὶ δύο καὶ τρία εὑρίσκεται ἐπιχειρήματα· [59] οἷον, ἀπὸ τοῦ [60] προσώπου, ὅτι μὴ ὁ δεῖνα τόδε ἐποίησεν· ἔστι γὰρ τοῦτο [61] τοῦ ποιοῦντος. εἶτα, ὅτι μηδὲ κατὰ τῶνδε ἐποίησεν, ἔστι γὰρ ἀπὸ προσώπου καθ' ὧν δοκεῖ πεποιηκέναι. εἶτα, ὅτι μηδὲ ὑπὲρ τῶνδε ἐποίησεν, ἔστι γὰρ ἀπὸ προσώπων [62] τῶν δι' οὓς κρίνεταί τις. οἷον ἐπὶ παραδειγμάτων,

---

50 Vind. Mon. εἶτα ἐπιχείρημα ἀπό. 51 Port. νεωτεροποιοί. sqq. καὶ παρὰ Ald. om., habet Port. Vind. Mon. 52 καὶ Vind. Mon. om. 53 Vind. ἀπ' αὐτοῦ. 54 Vind. καὶ κεφάλαιον ἐμπίπτει πάλιν. 55 Vind. εἶτα om. 56 ἀπὸ τοῦ προσώπου Vind. om. 57 καὶ Vind. om. 58 Mon. πάντα ῥᾴδιον ποιεῖν. 59 Ald. τὰ ἐπιχειρ. Vind. Mon. Port. τὰ om. — Mon. τρία ἐπιχ. εὑρίσκ. 60 τοῦ Vind. om. 61 τοῦτο Vind. om. Par. ad marg. γρ. ἔστι γὰρ τὸ πρόσωπον τοῦ ποιοῦντος. — v. 22. Port. ἀπὸ τοῦ προσ. 62 Mon. Vind. προσώπου. τῶν.

ὅτι οὐκ εἰκὸς ἐθελῆσαι προδοῦναι Περικλέα τὸν συνετὸν,[63] τὸν οὕτω λαμπρὸν καὶ μέγαν καὶ στρατηγὸν[64] ἔνδοξον· ἀπὸ τοῦ Περικλέους τοῦτο. ὅτι μηδὲ εἰκὸς ἐθελῆσαι προδοῦναι Ἀθηναίους τοὺς τιμῶντας αὐτόν· ἄλλο πρόσωπον. ὅτι μηδὲ εἰκὸς ἐθελῆσαι προδοῦναι Λακεδαιμονίοις τοῖς ἐχθροῖς, τοῖς ἐπιβουλεύσασιν αὐτῷ· καὶ τοῦτο ἄλλο πρόσωπον. καὶ πάλιν, δεῖ καινοτομεῖν Ἀθηναίους, ἀπὸ τοῦ προσώπου, ἀεὶ γὰρ Ἀθηναῖοι καινοτόμοι. καὶ δεῖ καινοτομεῖν κατὰ Φιλίππου[65] τι ποιοῦντας, καινοτόμος γὰρ καὶ Φίλιππος, δεῖ δὲ μιμεῖσθαι τὰς τῶν πολεμίων ἐπιτηδεύσεις ἐν τῷ πολέμῳ· καὶ ταῦτα[66] ἄλλα πρόσωπα. καὶ πάλιν, ὅτι χαλεπὸν διορύξαι[67] Χερρόνησον. καὶ λήψῃ ἀπὸ τοῦ τόπου ἐπιχείρημα. μακρὰν γὰρ Ἀθηναίων Χερρόνησος· καὶ πάλιν, χαλεπὸν διορύξαι Χερρόνησον· μέγας γὰρ ὁ τόπος, ὃν ἀξιοῦσι διορύξαι πέντε καὶ τετταρακοντα σταδίων· εὑρίσκεται δὲ πολλάκις οὕτω καὶ ἐπὶ τῆς αἰτίας. οἷον, συμβουλεύει ὁ Θεμιστοκλῆς ἐν τῇ θαλάσσῃ μυεῖν. ἀλλὰ δέος, μὴ ἐπιστῇ[68] βασιλεὺς μυοῦσιν ἡμῖν. ἀλλ' οὐκ ἐπιστήσεται· ἀπὸ τῆς αἰτίας, ἵνα μὴ δόξῃ περὶ τοὺς θεοὺς ἀσεβὴς εἶναι, κωλύων γενέσθαι μυστήρια. καὶ πάλιν· οὐκ ἐπιστήσεται, ἵνα μὴ ἀσεβήσας ἡττηθῇ.[69] ἔστι γὰρ ἴδιον μὲν, τὸ ἵνα μὴ δόξῃ ἀσεβὴς εἶναι, ἴδιον δὲ, ἵνα μὴ ἀσεβήσας ἡττηθῇ· ἐπεὶ

63 Vind. addit: Ἀθηναίους τοὺς φίλους Λακεδαιμονίοις τοῖς ἐχθροῖς. Glossa esse videtur, vide Sch. T. VII. p. 755. v. 11. Mon. τὸν συνετὸν om. Par. ad marg. γρ. καὶ οὕτως· Περ. τὸν συνετὸν Ἀθην. τοὺς φίλους Λακ. τοῖς ἐχθροῖς, τὸν οὕτω λαμπρὸν καὶ μέγαν καὶ στρατηγὸν ἔνδ. ἀπὸ Περικλέους τοῦτο. 64 Ald. Port. στρατ. καὶ ἔνδοξον, Vind. καὶ om. Viet. in ex. suo delevit. Mon. ἔνδοξον στρατηγόν. 65 Mon. τοῦ Φιλ. 66 Vind. καὶ τοῦτο ἄλλο πρόσωπον. 67 Ald. διορύσσαι. Mon. διορύσσειν. Port. διορύξαι. 68 Vind. ἐπιστήσεται. 69 Vind. ἡττηθῇ· καὶ δια τοῦτο· ἔστι γὰρ ἄλλο, τὸ ἵνα μὴ δόξῃ ἀσεβὴς εἶναι· ἴδιον δέ.

καὶ ἐν εἰρήνῃ φυλάξεταί τις ἀσεβὴς εἶναι δοκεῖν, κἂν μηδὲν διὰ τοῦτο φανερὸν ἤδη φοβῆται κακόν· καὶ ὅλως εὑρίσκεται ἐπὶ πάντων, πλὴν οὐκ ἀεὶ, σπανιάκις δέ γε.

Ὥσπερ τοίνυν τοῦτο ἴσμεν, ὅτι πολλάκις[70] ἡ μία γένεσις τοῦ ἐπιχειρήματος δύο καὶ τρία παρατυχὸν[71] εὑρίσκει ἐπιχειρήματα, οὕτως ἰστέον, ὅτι καὶ πολλάκις ἓν ἐπιχείρημα εὑρίσκεται κοινὸν καὶ δύο καὶ τριῶν γενέσεων, ὡς δύνασθαι τὸ αὐτὸ δοκεῖν εἶναι καὶ καιροῦ καὶ τόπου, ἢ αἰτίας καὶ πράγματος, ἢ προσώπου καὶ τόπου·[72] οἷον, ὅτι καὶ[73] δεῖ τῶν κρίσεων ἐλέγχους παρέχεσθαι παρ' ὑμῖν τοῖς δημοκρατουμένοις. τοῦτο[74] γάρ ἐστι κοινὸν καὶ τοῦ προσώπου τῶν δημοκρατουμένων καὶ τοῦ τόπου, ἔνθα ἐστὶν ἡ δημοκρατία. καὶ πάλιν, δεῖ λόγων εὐθύνας εἶναι παρ' ἡμῖν τοῖς δημοκρατουμένοις. κοινὸν γάρ ἐστιν, ὡς ἔφην, ἀμφοῖν.

Πάντα[75] δὲ ταῦτα ἐξεθέμην, ὅπως εἰδείημεν καὶ τὰς εὐπορίας μὴ περιττὰς εἶναι δοκεῖν, ἃς ὑποβάλλει τὰ ἐπιχειρήματα, ὅταν ἐξῇ πολλὰ λαβεῖν, καὶ τὰς ἀπορίας. καὶ ὅτι μὴ παρ' ἡμᾶς[76] ἁπαντᾷν[77] τὰ νοήματα νομίζειν προσήκει, καὶ μάλιστα ὅταν ἓν νόημα καὶ ἓν ἐπιχείρημα ἐπικρατῇ[78] πολλῶν γενέσεων. τὸ γὰρ[79] πρᾶγμά

---

70 πολλάκις Vind. om. 71 Ald. Par. Vind. παρὰ τὸ τυχόν. Port. Mon. περὶ τὸ τυχόν. Par. ad marg. γρ. παρατυχὸν, ἄνευ τοῦ ἄρθρου. δύο καὶ τρία παρὰ τὸ τυχὸν ἀντὶ τοῦ συμβάντος οὕτως. ἔστι δὲ Ἀττικὴ ἡ σύνταξις, εὐθεῖα ἀντὶ γενικῆς· ἀντὶ γὰρ τοῦ παρατυχόντος. cfr. T. VII. p. 755. 72 Port. ad marg. γρ. τρόπου. ita marg. Vict. 73 καὶ Vind. om. 74 τοῦτο γάρ ἐστι κοινὸν — τοῖς δημοκρατουμένοις Vind. om. 75 Mon. ταῦτα δὲ πάντα. 76 Ald. ὑμᾶς. Post μὴ in Mon. manu rec. scriptum δέ. Vind. ὅτι μὴ δεῖ παρ' ἡμᾶς. omisso sq. προσήκει. 77 Par. ad marg. γρ. ἅπαντα τὰ νοήματα. Vind. ἅπαντα νοήμ. 78 Par. ad marg. γρ. καὶ ἓν ἐπιχ. πολλῶν ἦν κοινὸν γεν. Vind. κοινὸν ᾖ. 79 Vind. Mon. τὸ πρᾶγμα γάρ ἐστι.

ἐστι τὸ πάσχον τὴν ἀπορίαν, ἢ ἀναδεχόμενον [80] τὴν εὐπορίαν. ὁ μέντοι τεχνίτης εἰς τὴν θεωρίαν ἀποβλέπων ἕξεται, περὶ τί συμβαίνει ἡ ἀνάγκη. ὥστε [81] εἰδέναι τοῦτο, καὶ μὴ λυπεῖσθαι αὐτὸν, καθάπερ ἀνόητον, εἰ [82] μὴ δυναμένης τῆς τέχνης ὑποβαλεῖν τῷ πράγματι ἐπιχειρήματα, αὐτός ἐστιν ἐν στενῷ κομιδῇ τῆς ἀπορίας τῶν νοημάτων· ἔστι δὲ τῷ τρόπῳ τῆς μεταποιήσεως καὶ τὰ πλήθη συστεῖλαι τῶν νοημάτων καὶ τὰ ἄπορα ἐκτεῖναι καὶ πολλὰ ποιῆσαι ταῖς κατὰ τὴν ἑρμηνείαν θεωρίαις· ἐπεὶ [83] μηδὲ Δημοσθένης ἠδέσθη πολλάκις ἑνὶ χρησάμενος ἐπιχειρήματι, καὶ ποτὲ μὲν αὐτὸ τρέψας καὶ μεταποιήσας, ὡς ἐν τῷ τῆς παραπρεσβείας τὸ πρῶτον [84] τὸ μεταστατικόν· ποτὲ δὲ μηδὲ [85] ἐργασάμενος, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου. ἀλλ' [86] ἀδίκως, φησὶν, ἦρξας· εἶτα παρὼν, ὅτε με εἰσήγαγον [87] οἱ λογισταὶ, διὰ τί οὐ κατηγόρεις; ἠρκέσθη γὰρ τῷ ἀπὸ τοῦ χρόνου ἐπιχειρήματι νικῆσαι τὴν ὑποφοράν· νῦν οὖν κατηγορεῖς, δέον [88] ὅτε ἐκρινόμην, καὶ τὰς εὐθύνας ἐδίδουν. [89]

---

80 Mon. ἐπιδεχόμενον. Par. ad marg. γρ. καὶ ἀναδεχόμενον καὶ ἐπιδεχόμενον. tum Ald. Port. ἀπορίαν. Vind. Mon. marg. Vict. εὐπορίαν. 81 Vind. ὥστε καὶ εἰδ. 82 Ald. οἱ. 83 Vind. ἐπειδή. 84 Ald. τῷ πρώτῳ. Vind. πρώτῳ. Mon. Port. τὸ πρῶτον. Vict. marg. τὸ ἓν τὸ πρῶτον. 85 Vind. μή. 86 Mon. ἀλλὰ ἀδίκως. pro cor. p. 266. 87 Vind. εἰσῆγον. omisso sq. διὰ τί. 88 Ald. δέον δέ. Port. Mon. Vind. δὲ om. ων 89 Mon. ἐδίδουν.

## Cap. VI.

### ΠΕΡΙ ΕΝΣΤΑΣΕΩΣ ΚΑΙ ΑΝΤΙΠΑΡΑΣΤΑΣΕΩΣ.[1]

57 Ἰστέον, ὅτι τὴν ἔνστασιν καὶ ἀντιπαράστασιν ἐναντία κεφάλαια τῆς ἀντιλήψεως ἡ διαιρετικὴ παρέδωκε τέχνη. οἷον, ἐξῆν μοι κτεῖναι τὸν υἱόν· ἀντιληπτικὸν[2] τὸ κεφάλαιον. εἶτα ἡ ἔνστασις, οὐκ ἐξῆν.[3] εἶτα ἡ ἀντιπαράστασις, εἰ δὲ καὶ ἐξῆν, ἀλλ᾽ οὐκ ἐνώπιον τῆς μητρός. καὶ πάλιν, ἀνεύθυνος ἐπὶ λόγοις, τὸ κεφάλαιον· ἀλλ᾽ οὐκ ἀνεύθυνος, ἡ ἔνστασις. εἰ δὲ καὶ ἀνεύθυνος, οὐχ ἵνα ὑβρίζῃς τὴν πόλιν, ἡ ἀντιπαράστασις· χρὴ δὲ ἡμᾶς[4] καθ᾽ ἕκαστον τῶν κεφαλαίων ἐν πάσῃ στάσει πειρᾶσθαι τὰς μάχας καὶ τὰς κατασκευὰς κατ᾽ εἰκόνα τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως εἰσάγειν. πάντως γὰρ δυοῖν θάτερον, ἢ τὸ τῆς ἐνστάσεως, ἢ τὸ τῆς ἀντιπαραστάσεως βιαιότατον ἀποδείκνυσι[5] τὸν ῥήτορα. οἷον ἐὰν λέγωμεν, ὅτι[6] δεῖ καινοτομεῖν, κεφάλαιον, εἶτα λέγωμεν, ὅτι καὶ[7] καινοτομεῖν προσήκει ἐπὶ[8] τῷ συμφέροντι, τοῦτο γὰρ ἀντιπαραστατικῶς εἰσάξομεν. εἶτα ὅτι μηδὲ καινοτομεῖν,[9] τοῦτο ἐνστατικῶς· καὶ πάλιν, ὅτι δύσκολον τόδε ποιῆσαι, κεφάλαιον· ἀλλ᾽ οὐ δύσκολον, ἐνστατικῶς. εἰ δὲ δύσκολόν, ποιητέον, ἀντιπαραστατικῶς. ἅμα γάρ τοι καὶ ἡ εὐπορία τῶν νοημάτων καὶ τῶν ἐπιχειρημάτων[10] ἀμύθητος καὶ πολλὴ γίνεται, ζητούντων ἡμῶν, εἴτε τὴν ἔνστασιν πρώτην θείημεν, εἴτε τὴν ἀντιπαράστασιν, καὶ εἰς ἐκείνην πρῶτον τὴν προκειμένην ἀπὸ τῆς

---

1 Port. περὶ εἰσαγωγῆς καὶ λύσεως κεφαλαίων κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν. 2 Ald. ἀντιλιπτ. 3 Mon. Vind. ἐξῆν. εἰ δὲ καὶ [Vind. καὶ om.] ἐξῆν, οὐκ ἐναντ. τῆς μητρός. ἡ ἀντιπαράστασις. 4 Ald. ὑμᾶς, Port. ἡμᾶς. 5 Vind. ἀποδείξει. Mon. τὸν ῥήτορα ἀποδείξει. 6 ὅτι Mon. om. 7 καὶ Vind. Mon. om. 8 Vind. ἀλλ᾽ ἐπὶ τῷ. 9 Par. καινόν. manu rec. supra lin. καινοτομεῖν.— v. 20. Port. δὲ καὶ δύσκ. 10 καὶ τῶν ἐπιχειρ. Vind. om.

περιστάσεως ζητούντων [11] τὰ ἐπιχειρήματα, εἶτα εἰσαγαγόντων [12] τὴν ἑτέραν. καὶ πάλιν εἰς ἐκείνην [13] ἀπὸ τῆς αὐτῆς περιστάσεως ζητούντων [14] τὰ ἐπιχειρήματα, καὶ εἰς ἄπειρον οὗτος [15] ὁ λογισμὸς τὰ νοήματα ἐξάγει. εἰ γὰρ ἡ ἔνστασις εὕροι δύο ἐπιχειρημάτων πίστεις, καὶ ἡ ἀντιπαράστασις δύο, καὶ εἰς ἕκαστον ἐπιχείρημα ἐργασίαν δῶμεν, καὶ καθ' ἑκάστην ἐργασίαν [16] αὖθις ἐνθύμημα, τῷ ὄντι εἰς ἄπειρον [17] ὁ τοιοῦτος λογισμὸς τὰ νοήματα ἐξάγει. τοῦτο δὲ ὀλιγάκις ἀπορήσασα [18] ἡ τέχνη πάσχει. ἤδη δὲ ἠρκέσθησαν οἱ παλαιοὶ πολλάκις καὶ δίχα τῶν ἐπιχειρημάτων ἐν ταῖς λύσεσιν αὐτῷ τῷ ἐνστατικῷ καὶ [19] ἀντιπαραστατικῷ μόνοις χρήσασθαι, ὡς μυριάκις ἐν τοῖς ἀρχαίοις ἐπιδείξομεν· τάξιν δὲ οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει, τί πρῶτον θετέον, ἔνστασιν, ἢ ἀντιπαράστασιν; ἀλλὰ τὸ παραδοξότερον αὐτῶν καὶ βιαιότερον πρῶτον [20] τάττεται. πάσχει δὲ τοῦτο [21] ποτὲ μὲν ἔνστασις, ποτὲ δὲ ἡ ἀντιπαράστασις.

---

11 Mon. Vind. ζητητέον τὰ ἐπιχειρήματα. Port. ζητούντων τὰ ἐπιχειρ. Ald. ζητούντων τὰ νοήματα. 12 Vind. εἰσαγόντων. 13 εἰς ἐκείνην Ald. om., est in Vind. Mon. marg. Vict. Port. 14 Ald. ζητοῦντας. Vind. Mon. marg. Vict. Port. ζητούντων. 15 Mon. οὕτως. man. rec. corr. οὗτος. 16 Vind. ἐργασίαν om. tum habet: ἐνθυμήματα. 17 Vict. marg. inserit: ὡς ἔφθην εἰπών. 18 Ald. ἀπορ. ὀλιγάκις. Vind. Mon. Port. ὀλ. ἀπορήσ. Sch. T. VII. p. 758. τοῦτο δὲ ἡ τέχνη πάσχει ἀπορ. ὀλιγάκις. 19 Mon. ἢ ἀντιπαραστάτικῷ κεχρῆσθαι μόνοις. Vind. μόνοις χρήσασθαι καὶ ἀντιπαραστ. 20 Ald. Port. Mon. δεύτερον. Vind. πρῶτον, tum Ald. πράττεται. Vind. Mon. Port. τάττεται. 21 Vind. αὐτό.

## Cap. VII.

### ΠΕΡΙ ΕΡΓΑΣΙΑΣ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

Ὥσπερ τοίνυν τῆς λύσεως εὑρεθείσης καθ' ἕκαστον κεφάλαιον ἤτοι [1] ἐκ τῆς ἐνστάσεως, ἢ ἀντιπαραστάσεως, δεόμεθα τῶν ἐπιχειρημάτων εἰς τὴν [2] κατασκευὴν τῆς λύσεως, οὕτω δεησόμεθα πάλιν ἐργασίας εἰς τὴν κατασκευὴν τοῦ ἐπιχειρήματος. ἐργάζεται δὲ πᾶν ἐπιχείρημα ἀπὸ τούτων, ἃ δοκοῦσιν εἶναί τινες ἐπιχειρήματα· οἷον, ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, ἀπὸ μικροτέρου, ἀπὸ μείζονος, ἀπὸ ἴσου, ἀπὸ [3] ἐναντίου. καὶ ἡ μὲν γένεσις τῶν ἐπιχειρημάτων ἀπὸ περιστάσεως. ταῦτα δὲ οὐ καθ' ἕκαστον κεφάλαιον ζητηθήσεται, ἀλλὰ καθ' ἕκαστον ἐπιχείρημα. ὥσπερ δὲ κεφαλαίου τεθέντος, εἰς τὴν λύσιν, ἢ κατασκευὴν πολλάκις μὲν πολλῶν εὐπορουμεν ἐπιχειρημάτων, πολλάκις δὲ ὀλίγων, οὕτω καὶ ἐπιχειρήματος [4] εὑρεθέντος, πολλάκις μὲν ἀπὸ τῆς ἐργασίας, εἰς κατασκευὴν εὑρέθη τοῦ ἐπιχειρήματος πλείονα, πολλάκις δὲ ἐλάττονα. οἷον τὸ ἐπιχείρημα ἔστω, εἰ τύχοι, ἀπὸ προσώπου, πολλάκις μὲν εἰς κατασκευὴν τοῦ ἐπιχειρήματος τοῦ ἀπὸ τοῦ [5] προσώπου εὕρηται ἐργασία ἐκ παραδείγματος μόνον, πολλάκις δὲ καὶ ἐκ παραδείγματος [7] καὶ ἐκ παραβολῆς· πολλάκις δὲ καὶ ἐκ τούτων καὶ ἐκ τοῦ ἐναντίου· πολλάκις δὲ καὶ ἐκ πλειόνων. θῶμεν δὲ καὶ ἐπὶ παραδείγματος, οὐ δεῖ καινοτομεῖν, κεφάλαιον, ἡ λύσις, ὅτι δεῖ καινοτομεῖν, εἰ συμφέροι· [8] ἐπι-

---

1 Ald. Mon. ἤ. Port. Vind. ἤτοι. 2 τὴν Port. Vind. om. tum Vind. τῆς λύσεως om. v. 7. Port. δοκοῦσί τινες εἶναι. Ald. δοκοῦσι (sic) εἶναί τινες. 3 Mon. ἀπ' ἐναντ. 4 Ald. ἐπιχειρήματα εὑρεθέντα. Par. οὕτω καὶ ἐπὶ τοῦ ἐπειχειρήματος ad marg. γρ. οὕτω καὶ ἐπιχειρήματος εὑρεθέντος. ita Port. Mon. Vind. In Mon. εὑρεθέντος manu rec. ad marg. adiectum est. 5 τοῦ Vind. om. 6 Vind. μόνου. 7 Mon. παραδειγμάτων. 8

χείρημα ἀπὸ τοῦ προσώπου, ὅτι δεῖ [9] καινοτομεῖν Ἀθηναίους ὄντας, καινοτόμοι γάρ ἐσμεν. εἶτα ἐργασία ληφθεῖσα ἐκ παραδείγματος εἰς κατασκευὴν τοῦ ἐπιχειρήματος τούτου, ὅτι Ἀθηναῖοι καινοτόμοι, καὶ οἱ πατέρες ἡμῶν ἐκαινοτόμησαν τόδε καὶ τόδε. καὶ πολλάκις οὐχ ἓν [10] εὑρίσκεται παράδειγμα, ἀλλὰ [11] πλείονα. καὶ τοῖς μὲν ἀπείροις ἔδοξε πολλὰ εἶναι ἐπιχειρήματα· [12] ἡμῖν δὲ οὐκ ἐπιχειρήματα, ἀλλ' ἐργασίαι. [13] καὶ ἐργασία ἀπὸ παραδείγματος μία, κἂν ᾖ τὰ παραδείγματα πολλά. καὶ ὁ Δημοσθένης εἶπέ που λέγων· [14] οὐ δὴ θαυμαστὸν, εἰ στρατευόμενος ἐκεῖνος καὶ παρὼν ἐφ' ἅπασιν ἡμῶν μελλόντων καὶ ῥᾳθυμούντων περιγίγνεται· [15] τοῦτό ἐστιν ἐπιχείρημα ἀπὸ τοῦ πράγματος. εἶτα ἐργασίᾳ κέχρηται ἀπὸ τοῦ ἐναντίου· τοὐναντίον γὰρ ἂν [16] ἦν θαυμαστὸν, εἰ μηδὲν ὧν δεῖ ποιοῦντες ἡμεῖς τοῦ πάντα ἃ προσήκει ποιοῦντος περιῆμεν. ἂν δὲ λέγῃς, καλὸν τὸ τιμᾶν γονέας, ἐπιχείρημα ἀπὸ τοῦ πράγματος, ἐπιφέρῃς [18] δὲ, καὶ γὰρ τὰ θηρία τοῦτο ποιεῖ, ἐκ παραβολῆς ἐργασίαν τῷ ἐπιχειρήματι δίδως. κἂν λέγῃς ἐπιχείρημα πάλιν, ἔξεστι [19] τῇ πόλει παρ' ἑαυτῇ ποιεῖν ὃ βούλεται· εἶτα ἐπι-

---

Mon. Vind. ἐὰν συμφέρῃ. 9 Mon. καὶ δεῖ. 10 Ald. ἓν παράδ. οὐχ εὑρίσκ. Recepi ordinem ex Port. Mon. Vind. 11 Ald. Port. ἀλλὰ καί. Vind. Mon. καὶ om. 12 Mon. τὰ ἐπιχειρ. 13 Port. ἐργασία. 14 Ol. II. p. 24. 15 Ald. Port. Mon. περιγίνεται. Vind. περιγίγν. In corrigendis Portus locum ita emendat: ἐκεῖνος αὐτὸς, καὶ παρὼν ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλιπὼν, ὑμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. 16 ἄν Vind. om. 17 Ald. εἰ μηδὲν ὧν ποιοῦντες ἡμεῖς. Mon. μηδὲν ὧν δεῖ. etiam Vind. ὧν inserit. Port. Demosthenem secutus: εἰ μηδ. ποι. ἡμεῖς ὧν τοῖς πολεμίοις προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν. 18 Mon. ἐπιφέρεις, et paullo post: εἶτα ἐπιφέρεις. 19 Vind.

φέρῃς, καὶ γὰρ ἐν ταῖς οἰκίαις ἔξεστιν ἑκάστῳ δεσπότῃ ποιεῖν ἃ [20] βούλεται, ἐργασίαν ἀπὸ τοῦ μικροτέρου [21] λέγεις.

## Cap. VIII.

### ΠΕΡΙ ΕΝΘΥΜΗΜΑΤΟΣ. [1]

Τὸ δὲ ἐνθύμημα δόξαν δριμύτητος ἀποφέρεται [2] μείζονα γνωσθὲν, ὅ τί τέ ἐστι, καὶ ὅπως εὑρίσκεται καὶ ὅπου. καὶ γὰρ ἡ τάξις αὕτη τὴν τῆς δριμύτητος δόξαν ἐξ ἀνάγκης αὐτῷ προστίθησι. δεῖ γὰρ τεθέντος κεφαλαίου λῦσαι πρῶτον ἀπὸ τῆς ἐνστάσεως ἢ ἀντιπαραστάσεως· εἶτα προσλαβεῖν τὸ ἐπιχείρημα εἰς κατασκευὴν [3] τῆς λύσεως ἀπὸ τῆς περιστάσεως· εἶτα ἐργάσασθαι [4] ἀφ' ὧν τὴν ἐργασίαν ἔφαμεν γίνεσθαι τοῦ ἐπιχειρήματος· εἶτα τὸ ἐνθύμημα ἐπενεγκεῖν τῇ ἐργασίᾳ· οἷον, κεφάλαιον ὑποκείσθω, χαλεπὸν διορύξαι Χερρόνησον. εἶτα ἡ λύσις ἀπὸ τῆς [5] ἐνστάσεως, ὅτι οὐ χαλεπὸν τὸ διορύξαι. εἶτα ἐπιχείρημα ἀπὸ τοῦ πράγματος, γῆν γὰρ ὀρύξομεν· παιδιὰ δὲ τὸ ὀρύσσειν· εἶτα ἐργασία ἐκ παραδείγματος, ὅτι καὶ βασιλεὺς Περσῶν δεηθεὶς ποτε διώρυξε τὸν Ἄθω. εἶτα ἐνθύμημα εἰς τοῦτο· καί τοι ἐκεῖνος μὲν διώρυσσεν [6] ὄρος· ἡμεῖς δὲ γῆν ὀρύξομεν. ὥσπερ γὰρ

---

Mon. ἔξεστι πόλει παρ' αὐτῇ. 20 Vind. Mon. ὅ. 21 Port. ἥττονος.

1 In Mon. man. rec. ad marg. posuit; τῆς λύσεως. 2 Par. ad marg. γρ. ἐν ἑαυτῷ ἀποφέρεται. 3 Par. εἰς κατασκ. ἀπὸ τῆς περιστάσεως. ad marg. γρ. εἰς κατασκ. τῆς λύσεως ἀπὸ τῆς στάσεως. 4 Vind. ἐργάζεσθαι. 5 τῆς Mon. om. sq. ὅτι abest a Vind. 6 Ald. διώρυσεν. Port. διώρυξεν. Vind. Mon. διώρυσσεν.

ἡ ἐργασία κατασκευάζει τὸ ἐπιχείρημα, οὕτω καὶ [7] τὸ ἐνθύμημα κατασκευάζει τὴν ἐργασίαν. καὶ πάλιν, ὥσπερ καθ' ἕκαστον ἐπιχείρημα ζητοῦμεν ἐργασίαν, οὕτω καὶ [8] καθ' ἑκάστην ἐργασίαν ζητοῦμεν ἐνθύμημα. ὥστε εἰς ἄπειρον προχωρεῖν [9] δύνασθαι τὴν δριμύτητα, εἰ ἡ λύσις μὲν εὐπορήσειεν [10] ἐνστάσεώς τε καὶ ἀντιπαραστάσεως, τούτων δὲ ἑκάστη πάλιν ἐπιχειρημάτων δύο ἢ καὶ [11] τριῶν, τῶν δὲ ἐπιχειρημάτων [12] ἕκαστον ἐργασιῶν ὁμοίως δύο ἢ καὶ τριῶν, τῆς δὲ ἐργασίας ἑκάστης ἴδιαν ἐνθύμημα εὑρούσης πάλιν.

Ἰστέον δέ, ὅτι καὶ πολλάκις ἐργασία μία πολλὰ εὑρίσκει ἐνθυμήματα, εἰ [13] ζητοίη τις οὕτω καθ' ἑκάστην ἐργασίαν τὸ ἐνθύμημα, καὶ πάλιν [14] ἀπὸ τῶν αὐτῶν περιστάσεων ζητήσει, [15] ἀφ' ὧν ἐζήτησεν ἂν τὰ ἐπιχειρήματα [16] τοῦ τεθέντος κεφαλαίου. ἔτι, ὃ λέγω, σαφέστερον ἐκθήσομαι· ὅτι καθ' ἑκάστην ἐργασίαν τὰ ἐνθυμήματα εὑρίσκεται, σχῆμα μὲν ἔχοντα συγκριτικόν, εὕρεσιν δ' ἐν τῇ συγκρίσει ἀπὸ τοῦ τόπου ἢ χρόνου ἢ τρόπου, ἢ προσώπου, ἢ αἰτίας, ἢ πράγματος. συμβήσεται γὰρ οὕτως ἐν ἐργασίᾳ μιᾷ καὶ δύο καὶ πλείονα εὑρε-

---

7 καὶ Vind. om. 8 καὶ Vind. om. 9 Vind. χωρεῖν. 10 Sch. min. T. VII. p. 767. προσεπακουστέον τὸ μάλιστα, ἵνα μὴ δοκῇ ἐλλιπῶς ἔχειν τὸ χωρίον, καὶ στικτέον ἀπὸ τοῦ, καὶ ἡ λύσις, μέσως ἄχρι τῆς εὑρούσης πάλιν, ἐκεῖσε δὲ στικτέον τελείαν. — Post ἐνστάσεως Mon. τε om. 11 καὶ Vind. Mon. om. h. l. et paullo post. 12 Par. ad marg. γρ. τὸ ἐπιχείρημα. 13 Par. καὶ εἰ. 14 καὶ πάλιν Ald. Par. Mon. om., est in Port. Vind. 15 Mon. ζητήσεις. Ald. Port. Vind. ζητήσει. Par. ζητήσοι. Par. ad marg. γρ. εἴπερ ζητοίη τις οὕτω καθ' ἑκάστην ἐργασίαν τὸ ἐνθύμημα πάλιν ἀπὸ τῶν αὐτῶν περιστάσεων, ἀφ' ὧν ἐζήτησε τὰ ἐπιχειρήματα, τοῦτο δέ ἐστι σαφέστερον. 16 Vind. τὸ ἐπιχείρημα.

θῆναι ἐνθυμήματα, [17] ἅπερ εὑρεθέντα δόξαν ἐπενθυμήματος [18] παρέχει.

---

## Cap. IX.

### ΠΕΡΙ ΕΠΕΝΘΥΜΗΜΑΤΟΣ. [1]

Ἐπενθύμημα γάρ ἐστι κυρίως ἐπὶ φθάνοντι ἐνθυμήματι ἕτερον ἐπινοούμενον [2] ἐνθύμημα. οἷον τὸ παράδειγμα· καὶ γὰρ ὁ βασιλεὺς διώρυξε τὸν Ἄθω. εἶτα τὸ ἐνθύμημα, ὃ ῥητέον, ὅτι συγκριτικῶς πᾶν εὑρίσκεται συγ-
59 κρινόμενον ἀπὸ τῆς ἐργασίας πρὸς [3] αὐτὸ τεῖνον· οἷον, καίτοι ἐκεῖνος μὲν ὄρος διῆρει δυσκολώτερον πρᾶγμα. ἡμεῖς δὲ γῆν διασκάψομεν, πρᾶγμα οὐ δυσχερές. εἶτα ἀπὸ τῆς αἰτίας. καίτοι ἐκεῖνος μὲν ἵνα πλεονεκτήσῃ, ἡμεῖς δὲ ἵνα μὴ πάσχωμεν κακῶς πλεονεκτούμενοι· τοῦτο ἐνθύμημά ἐστιν [4] ἀπὸ τῆς αἰτίας εὑρεθέν· [5] ἐπιφερόμενον δὲ τῷ πρώτῳ ἐνθυμήματι, τῷ, ὅτι ἐκεῖνο [6] μὲν δυσχερέστερον, ἡμῖν [7] δὲ ῥᾴδιον, ὅπερ εὑρεθὲν δόξαν ἐπενθυμήματος ἤνεγκε.

Καὶ μήν ἐστι καὶ [8] ἄλλο ἐνθύμημα εὑρεῖν εἰς τὴν αὐτὴν ἐργασίαν ἀπὸ τοῦ καιροῦ. καὶ ὁ μὲν ταῦτα ἐποίει ἐπείγοντος αὐτὸν τοῦ πολέμου, παρέργῳ χρώμενος τῷ

---

17 Vind. Mon. τὰ ἐνθυμήμ. 18 Par. 2. Mon. ἐπενθυμημάτων.

1 Ald. Port. Vind. Mon. caput hoc non distinguunt: secutus sum Par. 1. 2. Planudam T. V. p. 410. Anonymum T. VII. p. 767. 2 Vind. ἐπιννοούμενον. — v. 6. Ald. Codd. βασιλεύς. Port. ὁ βασ. 3 Ald. Port. καὶ πρός. Vind. Mon. καὶ om. 4 Mon. Vind. μέν ἐστιν. 5 Vind. εὑρεῖν. 6 marg. Vict. ἐκείνῳ. 7 Vind. τοῦτο δὲ ῥᾴδιον εὑρεθέν. Mon. τοῦτο δὲ ῥᾴδιον ἐπενθυμήματος δόξαν ἤνεγκε. ad marg. man. rec. adiectum est: ὅπερ εὑρεθέν. 8 καὶ Ald. Vind. om., est in Port. Mon.

πράγματι· [9] ἡμεῖς δὲ ἐν ἔργῳ θέσθαι τοῦτο [10] δυνάμεθα. οὐκ ἀγνοητέον δὲ, ὡς ἡ τοῦ λόγου μεταχείρισις [11] 42
τὸ ἐνθύμημα τὸ δεύτερον εὑρεθὲν ποιεῖ δοκεῖν ἐπενθύμημα εἶναι, εἴτις τὸ πρῶτον εἰπὼν ἐνθύμημα, [12] καὶ παυσάμενος, εἶτα αὐτὸ ἐπαναλαβὼν πάλιν συνάψειε, καὶ δεύτερον [13] προστιθεὶς τῷ πρώτῳ καθάπερ αὐτῷ [14] λεῖπόν τι προσεξευρὼν, οὐκ ἄλλο εὑρών· οἷον, [15] καὶ ὁ μὲν Περσῶν βασιλεὺς ἵνα πλεονεκτήσῃ, διώρυξεν, ἡμεῖς δὲ ἵνα μὴ πλεονεκτώμεθα. εἶτα ἐπαναλαβόντες πάλιν φαμὲν ὥσπερ ἐπενθυμούμενοι. καὶ ὁ μὲν ἐπειγόντων αὐτὸν μειζόνων, ὅμως τοῦ πλεονεκτεῖν ἕνεκεν ἐποίει τὰ χαλεπώτερα· ἡμεῖς δὲ οὐδενὸς ἄλλου καλοῦντος ἡμᾶς, ἢ [16] ἵνα μὴ ζημιωθῶμεν, τὸ πρᾶγμα οὐχ ὑποστησόμεθα;

Πολλάκις δὲ καὶ [17] φύσις τῶν πραγμάτων ἐπενθυμήματος ἰδίαν εὕρεσιν κατασκευάζει τοῦ ἐνθυμήματος καθ' αὐτὸ μὲν οὐκ ἀπαρτίσαντος, [18] προσθήκης δέ τινος ἄλλης περιττοτέραν δριμύτητα χαριζομένης αὐτῷ τῷ ἐνθυμήματι· οἷον εἰ λέγοι τις δεινὸν τὸ ἀδικεῖν πατρίδα, εἶτα ἐργάσαιτο ἐκ τοῦ ἐναντίου, χρὴ γὰρ ἀδικεῖν πολεμίους. εἶτα ἐνθύμημα θείη, ὅτι χαλεπώτερόν ἐστιν ὁ πολίτης ἀδικῶν τοῦ πολεμίου· ὅτι ὁ μὲν διὰ τὸ γένος συγγνώμην ἔχει· [19] ὁ δὲ ἐπιτείνει διὰ τὸ πολίτης εἶναι τὸ μισεῖσθαι. τούτῳ εἰ προσγένοιτο τῷ ἐνθυμήματι τό, καὶ μάλιστα ἐὰν ὁ πολίτης φαίνηται [20] τούτους ἀδικῶν, οὓς ἐδόκει πρότερον εὖ πεποιηκέναι, λοιπὸν τοῦτό ἐστι

---

9 Mon. τῷ πράγμ. χρώμενος. 10 Vind. Mon. τοῦτο θέσθαι. 11 Ald. Port. Mon. μεταχείρησις. Vind. μεταχείρισις. 12 Mon. Vind. ἐνθύμημα εἶναι. 13 Mon. τὸ δεύτ. 14 Port. αὐτό. tum Vind. Mon. αὐτῷ λείποντι προσευρών. 15 Vind. οἷον, καὶ βασιλεὺς μὲν, ἵνα. 16 ἢ Vind. om. 17 καὶ Vind. om. et post πραγμάτων ponit. 18 Ald. Mon. ἀπαρτήσαντος. Vind. ἀπαρτίσ. 19 Ald. ἔχοι. 20 Mon. Vind. ἂν ὁ πολίτης ἀριστεύῃ [Vind. ἀριστεύοι] τούτους ἀδ. In Mon. ad marg. manu rec. φαίνηται.

τὸ ἐκ τῆς φύσεως τοῦ αὐτοῦ πράγματος ἀληθινὸν ἐπενθύμημα μετὰ προσθήκης τινὸς περιττοτέραν δριμύτητα χαριζόμενον αὐτῷ τῷ ἐνθυμήματι. καὶ λοιπὸν οὕτω γίνεται, καὶ καλεῖται ἐν ἑνὶ καὶ τῷ αὐτῷ προβλήματι διπλῆ συγκριτικὴ ἐπίτασις, περιττοτέραν δριμύτητα χαριζομένη [21] αὐτῷ τῷ ἐνθυμήματι.

## Cap. X.

### ΠΕΡΙ ΤΩΝ ΑΠ' ΑΡΧΗΣ ΑΧΡΙ ΤΕΛΟΥΣ. [1]

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστὶ μὲν τὸ συνεκτικώτατον πάντων τῶν κεφαλαίων· ἔνθεν γὰρ καὶ τὰ ἄλλα γίνεται κεφάλαια· ἔχει δὲ οὐ τὴν αὐτὴν κατασκευὴν τῶν ἐπιχειρημάτων, [2] οἵαν καὶ τὰ λοιπά. οὐ γὰρ ἡ περίστασις [3] κατασκευάζει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀλλ' ὥσπερ ἴδιος ἐπιχειρημάτων τόπος ἐστὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἡ ὑποδιαίρεσις καλουμένη. ἔστι δὲ ἡ ὑποδιαίρεσις ἡ τοῦ ἀθρόου πράγματος εἰς λεπτὸν τομὴ εὑρισκομένη πολλή, καὶ γίνεται οὕτως, εἴ τις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁρίσας ἑαυτῷ ὁλοσχερῶς καὶ ἀπαραλείπτως καθ' ἕκαστον ὄνομα τῶν λεγομένων ἐν αὐτοῖς δύναιτο ὑποδιαιρεῖν, οὕτω πλάττων. [4] εἰ γὰρ μὴ τόδε ἐποίησας, ἀλλὰ μετριώτερον. [5] εἰ γὰρ μὴ τοσαῦτα ἐποίησας, ἀλλ' ἐλάττονα· [6] οἷον τρεῖς τις ἀπέκτεινε κατὰ τὸν τῶν ἀκρίτων νόμον

υἱεῖς

---

marg. Vict. ἀριστεὺς ἢ καὶ φαίνηται. 21 Vind. παρεχομένη. supra lin. χαριζομένη.

1 A Mon. titulus abest. 2 Mon. τῶν ἐπιχειρ. κατασκ. 3 Par. ad marg. γρ. οὐ γὰρ ἡ πρόστασις κατασκ. 4 Ald. πλάτων. 5 Ald. μητριώτερον. Port. μικρότερον. Mon. μετριώτερον, οὐκ ἔδει εὐθύνας ὑποσχεῖν. εἰ γὰρ μὴ τοσαῦτα. (Port. τοιαῦτα.) 6 Ald. ἀλλὰ

υἱεῖς, καὶ ἀξιοῖ δημοσίᾳ τρέφεσθαι, νόμου κελεύοντος τὸν ἄπαιδα δημοσίᾳ τρέφεσθαι, γενόμενος ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους οὕτω διασκοπήσεις. ὅπου τρεῖς ἀπέκτεινεν υἱεῖς, τὸ τρεῖς ὑποδιαιρήσεις, εἰ γὰρ ἕνα ἀπέκτεινε· τὸ υἱεῖς [7] ὑποδιαιρήσεις, εἰ γὰρ μὴ ἑαυτοῦ [8] παῖδα. τὸ ἀπέκτεινεν ὑποδιαιρήσεις, εἰ γὰρ ἀπεκήρυξεν. αὐτὰ δὲ ταῦτα νοεῖται μὲν οὕτως, ἰσχὺν δὲ λαμβάνει [9] ἀπὸ τοῦ λόγου· ἐπεὶ δύναται καὶ ὡς πνεύματα [10] ἀποταθῆναι κατὰ τὸ τοῦ ἀντιθέτου σχῆμα. δύνασαι [11] δὲ καὶ μετὰ τὸ πληρωθῆναι τὸ πνεῦμα ἕκαστον αὐτῶν, εἰ θέλοις, καὶ κατὰ [12] περίοδον ἀπολαμβάνειν· καὶ δύναται [13] ὡς πνεῦμα ἀποταθῆναι κατὰ τὸ τοῦ [14] ἀντιθέτου σχῆμα, οὕτως. οἷον, εἰ γὰρ μηδὲν προσήκοντας ἀπέκτεινας, εἰ γὰρ ἀλλοτρίους, εἰ γὰρ ὀθνείους, εἰ γὰρ ξένους, οὐκ ἂν ἠγανάκτησα καὶ τότε; οὐκ ἂν ἐδυσχέρανα; οὐκ ἂν ἀπήτησα [15] τιμωρίαν; νῦν [16] δὲ φιλτάτους, οὓς ἐγέννησας, οὓς ἔθρεψας, ὑπὲρ ὧν ἔδει μάχεσθαι, ὑπὲρ ὧν ἔδει δεδιέναι, μή τις αὐτοὺς ἄλλος ἀποκτείνῃ φθάσας, τοῦτο ἐποίησας· ἆρα τὸ [17] τοιοῦτον ἄγος καταδεξαίμην; οὐκ ἔστιν εἰπεῖν. εἰ δὲ βούλει, καὶ συνάγεται ὧδε. ἄλλος [18] μὲν οὖν τις δικαίως ἂν ὑπόσχοι τιμωρίαν, εἰ καί τινα τῶν μὴ προσηκόντων ἀπέκτεινεν. [19] οὗτος δὲ ἰδίους υἱεῖς τρεῖς ἀποκτείνας ἀφεθήσεται; δύναται δὲ καὶ ἑκάστη ὑποδιαίρεσις ὁρισθεῖσα χώραν προσωποποιΐας ἀναδέξασθαι.

---

60

ἐλάττονα. etiam Mon. Vind. ἀλλά. Port. ἀλλ'. 7 Mon. εἷς. 8 Mon. αὐτοῦ. 9 Mon. ἀπὸ τοῦ λόγου ἔχει. 10 Ald. Mon. πνεῦμα. Port. Vind. πνείματα. 11 Mon. Vind. δύναται. 12 κατὰ Vind. om. 13 καὶ δύναται — σχῆμα, οὕτως Vind. om. 14 τοῦ Mon. om. 15 Vind. ἀπέτισα. 16 Vind. νυνὶ δέ. tum Ald. ἐγέννησας. 17 τὸ Mon. Vind. om. 18 Ald. ἄλλως. Mon. marg. Vict. Vind. Port. ἄλλος. sq. οὖν Vind. om. 19 Ald. Port. ἀποκτείνοιεν. Vind. ἀπέκτεινεν. Mon. ἀπέκτανεν.

ποικιλλε [20] δὲ τοῖς σχήμασιν. οἷον, εἰ γὰρ ἕνα ἀπέκτειναν, οὐκ ἂν εἶπον καὶ τότε ὅτι φόνος ἀσεβής σοι τετόλμηται; γίνεται δὲ ὑποδιαίρεσις ποτὲ μὲν ἀπ' [21] αὐτοῦ τοῦ πράγματος εἰς λεπτὸν [22] τεμνομένου, ποτὲ δὲ ἐκ τῶν ὁμοίων λαμβανομένου, καὶ ἀπὸ [23] μὲν αὐτοῦ τοῦ πράγματος οὕτως· οἷον, προσῆλθε μάγος πατρὶ αἰτῶν θυγατέρα πρὸς γάμον· οὐκ ἔδωκεν. ἐρᾷ εἰδώλου ἡ κόρη, καὶ κρίνεται ὁ μάγος φαρμάκων. ἐνταῦθα ὑποδιαιροῦντες τὸν τοῦ εἰδώλου ἔρωτα λέγομεν· ἐρᾷ εἰδώλου. εἰ γὰρ ἀνδρὸς ἤρα τινός, οὐκ ἂν ἐπὶ σὲ ἤγαγον [24] τὴν αἰτίαν· εἰ γάρ σου αὐτοῦ ἤρα, οὐκ ἂν ἐπήγαγον [25] ἐπὶ σὲ τὴν αἰτίαν· ταῦτα ὑποδιαίρεσίς ἐστιν ἐκ τῶν μικροτέρων. τὸν γὰρ τοῦ εἰδώλου ἔρωτα ὑποδιαιροῦμεν ἀπὸ τῶν μικροτέρων εἰς ἄλλους. [26] ἀπὸ δὲ τῶν ὁμοίων οὕτως. εἰ γὰρ μὴ ἤρα, ἀλλ' ἐνόσει νόσον ἄλλην [27] τῷ σώματι, οὐκ ἂν καὶ τότε σε ἔκρινα; καθόλου δὲ, ὡς ἔφαμεν, καὶ τῶν ὁμοίων καὶ τῶν ἰδίων αἱ λεπταὶ ὑποδιαιρέσεις ἀναδέξονται τὰς προσωποποιΐας ἀναγκαίας οὔσας, ἃς, εἰ θέλοις, [28] καὶ περιόδοις καὶ παντὶ τρόπῳ ἔξεστί σοι μηκύνειν. ἔστι δὲ ὑποδιαίρεσις καὶ ἐκ τοῦ μείζονος ἐνίοτε λαμβανομένη, ἵνα μὴ ἀεὶ τοῖς λεπτοῖς προσέχωμεν· συμβαίνει δὲ τοῦτο, ὅταν ἀξιώμεθά τι παρασχεῖν ἐπὶ μισθῷ φαινομένῳ, ἢ χάριτι, λέγοντες, ὅτι οὐδὲ εἰ μείζονα ἐδίδου. οἷον, πέπομφεν ἑκατὸν τάλαντα Φίλιππος [29] πρίασθαι βουλόμενος τὸν Δημοσθένην. εἰς λεπτὸν ὑποτεμὼν ἐρεῖς, οὐδὲ [30] ἄλλον τινὰ τῶν τυχόντων ἔδωκα ἄν,

---

20 Ald. ποίκιλε. 21 Par. ἀπ' om., ad marg. γρ. καὶ απ' αὐτοῦ. 22 Mon. Vind. λεπτά. 23 Mon. ἀπ' αὐτοῦ δὴ τοῦ πρ. Vind. ἀπ' αὐτοῦ μέν. 24 Ald. εἴγαγον. 25 Ald. ἐπίγαγον. marg. Vict. Port. ἐπήγαγον. Mon. Vind. ἐπηγάγομεν. 26 Vind. εἰς ἄλλους ἐκ τῶν μικροτέρων. 27 Vind. ἄλλην νόσον. 28 Mon. θέλεις. Vind. εἰ θέλοις δὲ, omisso ἃς. 29 Vind. ὁ Φίλ. 30 Mon. οὐδ'. tum Vind. ἔδωκα ἂν τῶν τυχόντων.

μήτι [31] γε Δημοσθένην. τὰ δὲ ἑκατὸν τάλαντα ἐκ τοῦ μείζονος, οὐδὲ εἰ μυρία διδοίη τάλαντα, οὐδ' ἂν πόλεις, οὐδ' ἂν ἔθνη, ἀντὶ Δημοσθένους λήψομαι. ἀλλ' ἵνα μὴ προσκορὲς ᾖ [32] τὸ ἐξ ὑποδιαιρέσεως ἀεὶ τῷ αὐτῷ σχήματι εἰσαγόμενον, ἀλλαττέσθω τὰ σχήματα· ποτὲ μὲν οὕτω λεγόντων, εἰ γὰρ τόδε ἐποίησας, οὐκ ἔδει σε δοῦναι τιμωρίαν. ποτὲ δὲ οὕτως· ἐγὼ μὲν γὰρ καὶ ἐπ' ἐκείνῳ [33] σε τιμωρίαν ἀπήτησα ἄν· καίτοι μικρὸν [34] ἦν καὶ μετριώτερον. ποτὲ δὲ οὕτως· ἄλλος μὲν οὖν τις ἐμίσησεν ἂν καὶ διὰ [35] τόδε. ἔστι δὲ τούτων καλλίων ἡ [36] μεταχείρισις, εἰ ἀναστρέφοι τις καὶ ὅλον τὸ πρᾶγμα, οὐκ ἀπὸ τοῦ πράγματος εἰς τιμωρίαν ἕλκων, ἀλλ' [37] ἀναστρέφων τὴν τιμωρίαν. οἷον, εἰ καί τι τούτου μετριώτερον ἐποίησας. [38] ἵνα ποτὲ μὲν ἀπὸ [39] τοῦ πράγματος ἀρχόμενοι εἰς τὴν [40] ἀξίωσιν καταβαίνωμεν· ποτὲ δὲ ἀπὸ τῆς ἀξιώσεως ἀρχόμενοι [41] εἰς τὸ πρᾶγμα ἀνερχώμεθα. [42] ὅταν δὲ αἱ ὑποδιαιρέσεις ἄλογοι γίνωνται, [43] φασκόντων ἡμῶν, εἰ γὰρ τόδε ἐποίησας, οὐκ ἂν ἔκρινόν σε; διὰ τὸ μὴ [44] ἀλόγως ἂν κρῖναι δόξαι, οὕτω σχηματίσεις· εἰ τόδε ἐποίεις, οὐκ ἂν ἔκρινον. ὡς ὁ συνθάψας τὴν χλαμύδα τῷ ἐρωμένῳ, καὶ μὴ κομίσας ἐκ τῆς ἀλλοδαπῆς ἐντειλαμένου ἐκείνου. ἐνταῦθα γὰρ, ἐπεὶ μωρόν ἐστι τὸ

---

Par. ad marg. γρ. τῶν ἐπιτυχόντων ἢ παρατυχόντων. 31 Ald. Port. μήτοι. Vind. Mon. μήτι. 32 Ald. Port. Mon. εἴη. Vind. ᾖ. 33 Vind. ἐκεῖνο. 34 Mon. Anonym. T. VII. p. 775. v. 21. μικρότερον ἦν καὶ μετριώτερον ἦν. 35 διὰ Vind. om. 36 ἡ Vind. Mon. om., tum Ald. Port. Mon. μεταχείρησις. Vind. μεταχείρισις. Par. ad marg. γρ. ἔστι δὲ τούτου καλλίων μεταχείρησις. 37 Vind. ἀλλά. 38 Vind. addit: ἔδει σε δοῦναι δίκην. 39 ἀπὸ Mon. om. 40 τὴν Mon. om. 41 Ald. ἀρχώμενοι. 42 Par. ἐπανερχώμεθα. ad marg. γρ. ἐρχώμεθα. ita Mon. 43 Vind. γίγνωνται. 44 μὴ Par. Mon. om. Par. ad marg. μὴ ἂν ἀλόγως.

λέγειν, ἔχρινα ἄν σε, εἰ καὶ ἐδάκρυες συνεχῶς, ἐρεῖς, ὅτι εἰ ἐδάκρυες, οὐκ ἂν ἐφρόντισα· [45] εἰ παρεκαθέζου τῷ τάφῳ, οὐκ ἂν ἐμήνιον. [46] καί τοι καὶ τότε εἰ δύνασαι, βίασαι ἀνελεῖν [47] ὃ δέδωκας. καὶ καθόλου πᾶσαν ὑποδιαίρεσιν ἂν πειραθείης συγχωρήσας ἀνελεῖν, εἶτα ἀνελὼν ἐπενέγκοις, [48] πολλαπλασιάσεις τὸν λόγον δριμέως λέγων οὕτως. εἰ μὲν τόδε ἐποίησας, συγγνώμης
61 ἄξιος· ἐπεὶ δὲ τόδε, οὐκ ἔτι· καίτοι οὐδὲ τότε. [49] οὕτω γὰρ καὶ αἱ προσωποποιίαι χώραν ἔξουσι μυρίαν· ἵνα δὲ μὴ πρόσκοπὸς εἶναι δόξῃς [50] διὰ τῶν προσωποποιιῶν, πληρῶν λόγους θαυμαστὸς φανήσῃ ῥήτωρ, τὸ γνώρισμα αὐτῆς ἀφαιρῶν καὶ χρώμενος αὐτῇ. εἰ γὰρ μὴ λέγοις, εἶπον ἂν ἄλλο τι φαίνεται πρότερον, ἢ προσωποποιία.

---

## Cap. XI.

### ΠΕΡΙ ΠΛΑΣΤΟΥ ΕΠΙΧΕΙΡΗΜΑΤΟΣ. [1]

Πρόσκειται [2] τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ὥσπερ ἴδιόν τι ἐπὶ [3] τῷ τέλει καὶ τὸ πλαστὸν ἐπιχείρημα καλούμενον. τινὲς δὲ οὕτως αὐτὸ ἐκάλεσαν πλαστὸν, οὐκ εἰδότες, ὅτι καὶ πᾶσα ὑποδιαίρεσις πλαστή ἐστι. τὸ γὰρ μὴ γενόμενον, πλαττόμενον δὲ, ὡς καὶ γενέσθαι δυνάμενον, τῆς αὐτῆς ἂν εἴη δήπουθεν εὑρέσεως. τὸ [4] μὲν γὰρ

---

45 Ald. ἐφρότισα. 46 Vind. ἐμηνίων. 47 Mon. ἀναιρεῖν. tum Ald. οὐ δέδωκας. Vind. Mon. Port. ὃ δέδ. Par. ἀρε λ
αιρεῖν ὃ δέδ. 48 Mon. εἰ ὑπενέγκοις, πολλαπλασιάσοις δριμέως πολλάκις τὸν λόγον. Vind. δριμέως τὸν λόγον. 49 Ald. Port. Mon. τόδε. Vind. τότε. 50 Vind. δοκῇς.

1 Titulum hunc posuit Portus: abest ab Ald. et codd. 2 Vind. πρόσκ. δέ. 3 Mon. ἐν. 4 Par. καὶ τὸ μὲν κυρίως. ad marg. γρ. τὸ μὲν κυρίως.

κυρίως πλαττόμενον, ἐπιφερόμενον δὲ πᾶσι τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, οὕτως εὑρίσκεται καθολικῶς. [5] εἰ μὲν ἐπ' ἀγαθῷ τινι πραχθέντι δωρεὰν αἰτεῖς, [6] καὶ πλάττεις οὕτως· εἰ [7] δὲ πρὶν ποιῆσαι τὸ ἀγαθὸν ἤτουν τὴν [8] δωρεὰν, οὐκ ἄν μοι ἔδοτε; [9] οὐκ ἂν ἐψηφίσασθε ἐπαγγελλομένῳ ποιήσειν; καὶ ἐπὶ τούτῳ ἐρεῖς, δεινὸν δὲ ἐπαγγελλομένῳ μὲν ποιήσειν ψηφίσασθαι, μὴ δοῦναι δὲ πεποιηκότι. εἰ δὲ ἐπὶ [10] κακῷ τινι πραχθέντι, πάλιν [11] τιμωρίαν ἀπαιτεῖς καὶ πλάττεις ὁμοίως· εἰ δὲ πρὶν ἢ γενέσθαι [12] τὸ κακὸν ἔγνωμεν ὅτι ἔσται, οὐκ ἂν ἐφιλοτιμησάμεθα κωλῦσαι; δεινὸν δὲ μέλλον μὲν γενέσθαι κωλύειν, γενόμενον δὲ [13] μὴ τιμωρεῖσθαι. καὶ ἐφεξῆς τούτῳ τῷ σχήματι τῆς ζητήσεως χρώμενος πολυτρόπως εὑρήσεις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους καταστῆσαι.

Τὰ δὲ πλαστὰ χώραν ἔχει μετὰ τὴν ἀθρόαν ἐσβολὴν [14] τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. χώραν δὲ ἔχει καὶ ἐν ταῖς ἐργασίαις ταῖς ἀπὸ παραδείγματος, εἰ λέγοιμεν ἐπὶ τῷ παραδείγματι τῷ καλῶς πραχθέντι [15] ἢ κακῶς, τὸ [16] πλαστὸν ἐπιφέροντες. οἷον, οὐ δεῖ ἐχθρῷ ἐπιτάττοντι πείθεσθαι. τοῦτο τὸ ἐπιχείρημά ἐστιν. ἡ ἐργασία ἐκ παραδείγματος. [17] οὐδὲ γὰρ οἱ [18] πατέρες ἡμῶν ἐπείσθησαν τῷ Ξέρξῃ, γῆν αἰτοῦντι [19] καὶ ὕδωρ, ἀλλ' ἐξελθόντες πολλὰ καὶ καλὰ ἔπραξαν. εἶτα πλαστὸν

---

5 Vind. καὶ καθολ. 6 Par. γρ. αἰτοίης. 7 Ald. εἶτα δὲ, εἰ πρὶν ἤ. receptam lect. habet Port. Vind. Mon. 8 τὴν ex Vind. Mon. recepi, Ald. Port. om. 9 Ald. ἔδωτε. 10 ἐπὶ Mon. om. 11 πάλιν Mon. om. 12 Vind. Mon. ποιῆσαι. in Mon. manu rec. supra lin. scriptum: γρ. γενέσθαι. idem ἤ post πρὶν om. eadem manus inseruit. 13 δὲ Mon. om. 14 Mon. marg. Vict. εἰσβολήν. 15 marg. Vict. πράγματι. 16 τὸ Vind. Mon. om. 17 Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τὸ ἐκ παραδείγματος. Mon. om. Vind. ἡ ἐργ. ἐκ παραδ. om. 18 οἱ Ald. Mon. om., est in Port. Vind. 19 Par. γρ. ἀπαιτοῦντι.

φέρε· εἰ δὲ τότε συνεβούλευέ τις δοῦναι γῆν καὶ ὕδωρ, οὐκ ἂν κατελεύσθη; ἐγὼ μὲν οἶμαι. ἐπὶ [20] δὲ τῷ κακῶς· οἷον, οὐ δεῖ πιστεύειν Φιλίππῳ χαριζομένῳ, ἀπατεὼν γάρ ἐστιν. εἶτα ἐργασία [21] ἐκ παραδείγματος· οὐδὲ γὰρ τοῖς Ὀλυνθίοις συνήνεγκε πεισθεῖσιν αὐτῷ· ἀλλὰ Ποτίδαιαν λαβόντες ἅπαντα προσαπώλεσαν. εἶτα πλαστὸν φέρε· εἰ δὲ τότε ὅτε τὴν Ποτίδαιαν ἐλάμβανον, εἶπέ τις αὐτοῖς θεόθεν, ὅτι προσαπολοῦσι καὶ τὴν Ὄλυνθον, ἆρα [22] ἂν ἐδέξαντο; οὐκ ἔστιν εἰπεῖν.

Ἔτι παραπειρᾶσθαι [23] δεῖ τὰ πλαστὰ καὶ ἀπὸ τῶν ἐναντίων ζητεῖν πλάττειν. καὶ τοῦτο μυριάκις εὑρίσκεται, οἷον, εἰ μὲν ἐπ᾽ ἀγαθῷ αἰτοίης [24] γέρας, λέγε· εἰ δὲ κακόν τι ἐπεποιήκειν, οὐκ ἂν τιμωρίαν ἔδωκα; ὡς ὁ Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην. διεξελθὼν γὰρ τὰς πράξεις τοῦ Χαβρίου [25] λέγει ἐκ τοῦ ἐναντίου πλάττων· ἀλλ᾽ εἰ μὲν μίαν ἀπώλεσεν [26] ναῦν, περὶ θανάτου [27] ἂν ἐκινδύνευε. τοῦτο μέν τοι [28] καὶ διπλῆν ἔχει τὴν τῆς πλάσεως θεωρίαν. ἀπὸ γὰρ τοῦ ἐναντίου γενόμενον τῷ μικροτέρῳ συμπλέκεται, ἢ ἐάν τινα κελεύῃς δοῦναι τιμωρίαν ἐπ᾽ ἀδικήματι. ἔνεστι γὰρ λέγειν, εἰ ἃ ἔβλαψεν εὐηργέτησε, [29] δωρεὰς ἂν ἔλαβε. δράσας δὲ κακῶς οὐ κολασθήσεται; παντὸς δὲ τοῦ λεγομένου ζήτει τὸ ἐναντίον, καὶ πολλάκις εὑρήσεις τοῦτο παρ᾽ ὅλον τοῦ πλαστοῦ τὸν [30] λόγον μεμνημένος, ὅτι

---

20 Vind. Mon. ἢ ἐπὶ τῷ κακῶς. In Mon. ad marg. eadem manu adiectum est: πραχθέντι. 21 Vind. ἐκ παραδ. ἐργασία. 22 Ald. ἄρα. 23 Mon. πειρᾶσθαι. 24 Vind. ἀγαθῷ, καὶ αἰτ. 25 Mon. Χαυρίου. 26 Ald. ἀπώλεσεν. Port. ἀπώλεσε. 27 Ald. Mon. θάνατον. Port. Vind. θανάτου. in animo habet locum p. 481. μίαν μὲν πόλιν εἰ ἀπώλεσεν ἢ ναῦς δέκα μόνας, περὶ προδοσίας ἂν αὐτὸν εἰσήγγελλον οὗτοι. 28 τοι Vind. om. 29 Vind. Mon. εὐεργέτησε. 30 Mon. τὸν τοῦ πλ. λόγον.

ὡς ἐπὶ τὸ πολὺ [31] ἢ ἀθρόον τὸ πραχθὲν ὡς οὐ γενόμενον πλάττεται, ἢ τὸ ἐναντίον αὐτοῦ. οἷον ἐπὶ τυραννοκτόνου· [32] εἰ δὲ πρὶν ἀποκτεῖναι ἐπηγγελλόμην, [33] τοῦτο τοῦ ἀθρόου πλάσμα, [34] ὡς μὴ γενομένου. καὶ ἄλλο ἐκ [35] τοῦ ἐναντίου. εἰ δὲ μὴ κατώρθωσα, ἀλλὰ ἐλήφθην, τί ἂν ἔπαθον; καὶ εἰ Δημοσθένην αἰτοίη Φίλιππος, ἤ τι τοιοῦτο, [36] διάπλασον ἐκ τοῦ ἐναντίου. [37] εἰ γὰρ ὑμεῖς ἐβούλεσθε λαβεῖν τι τῶν τοῖ [38] Φιλίππου, πότερον [39] ἂν συνεχώρησεν ὑμῖν; εἰ δὲ καὶ εὐτελέστερόν τι συνεχώρει [40] ἡ φύσις, οὐκ ἂν ὤκνησα διὰ τὸ σαφέστερον. Σὺ δὲ παράπεμπε τῷ νῷ τὰς θεωρίας τῷ ῥητορικῷ σου λόγῳ κοσμῶν τὴν τέχνην. ἴσθι μέντοι, ὡς τοῖς ἀρχαίοις ἐντυγχάνοντες καὶ μάλιστα [41] τῷ καθηγεμόνι μυρία καλὰ εὑρίσκομεν. ὅσα δὲ πρὸς τὸ κατεπεῖγον τῆς ὑπαγορεύσεως ἐπιτρέχει τῇ ψυχῇ, δίδωμι.

## Cap. XII.

### ΠΕΡΙ ΤΩΝ ΑΠ' ΑΡΧΗΣ ΑΧΡΙ ΤΕΛΟΥΣ ΤΗΣ ΠΡΑΓΜΑΤΙΚΗΣ. [1]

Δυσχερῆ λύσιν ἔχει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς [2] πραγματικῆς. εὕρηται οὖν καὶ [3] μέθοδος πρὸς ταῦτα, ὡς-

---

31 Vind. ὡς ἐπιπολύ. 32 Vind. Mon. οἷον οἱ τυραννοκτόνοι. εἰ δέ. 33 Ald. ἐπαγγελλόμην. marg. Vict. Port. ἐπηγγελλόμην. Vind. ἐπηγγελόμην. Mon. ἐπηγγελόμην. 34 Vind. πλάσις. 35 Vind. ἀπό. 36 Vind. τοιοῦτον. 37 Ald. ἐκ τοῦ ἐναντίου. 38 τοῦ Vind. Mon. om. 39 Ald. Mon. Vind. πότε. Port. πότερον. tum Ald. ἂν συνεχώρησεν. Port. Mon. Vind. συνεχ. ἄν. Mon. Vind. ὑμῖν om. 40 Vind. συνέχει. 41 Vind. μάλιστά γε.

1 Titulus abest a Vind. Mon. 2 Par. γρ. τὰ τῆς πραγματ. 3 καὶ Mon. om. Vind. καὶ πρὸς ταῦτα.

τε τῷ λύοντι [4] τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εὐπορίαν εἶναι, καὶ τοῦτο μάθημα σαφέστατα ἐκθήσομαι. ἐὰν μὲν [5] τὸ πρᾶγμα παρ' ἡμῶν εἴη γεγονὸς, καὶ ὑπὸ τῶν ἐχθρῶν εἰς τὴν ἡμετέραν βλάβην εἰσαγόμενον, οὕτως αὐτὸ λύσομεν. ζητοῦντες τῶν ἀντιθετικῶν στάσεων τὰ λυσιτελοῦντα ἡμῖν θήσομεν, ὥσπερ [6] ποιοῦμεν καὶ ἐν τῇ ἀντιλήψει, πολλάκις δὲ θήσομεν καὶ τῶν ἄλλων στάσεων τὰ συντελοῦντα εἰς τὴν ἡμετέραν ὠφέλειαν. καὶ [7] μεταληπτικὰ δὲ ἂν ἔχῃ τὸ κεφάλαιον τοῦ πλαττομένου, θήσομεν ἔσιθ' ὅτε, καὶ οὕτω λύσομεν· ὅτι οὐδὲν πρὸς ἡμᾶς τὸ γενόμενον, καὶ μάλιστα ἐὰν ἐκ φύσεως ᾖ τι [8] γενόμενον, καὶ διὰ τοῦτο ἀξιῶμέν τι [9] γενέσθαι. ὁ ἐνιστάμενος ἐρεῖ, ὅτι οὐ δι' ἡμᾶς γίνεται, ἀλλὰ διὰ τὴν αὐτοῦ [10] φύσιν. οἷον, ῥεῖ ἀπὸ τῆς Αἴτνης ἐπὶ τὴν Κατάνην τὸ πῦρ συνεχῶς, [11] καὶ συμβουλεύει τις αὐτοὺς μετοικίζεσθαι. τοῦτο λέξει [12] ὁ φεύγειν συμβουλεύων, ὅτι κινδυνεύομεν ἐπιόντος ἡμῖν τοῦ πυρὸς καὶ ἀπαίρωμεν [13] ἐνθένδε. ἀπαντήσομεν· οὕτως· οὐ δι' ἡμᾶς ῥεῖ τὸ πῦρ, ἀλλὰ διὰ τὴν αὐτοῦ φύσιν.

## Cap. XIII.

ΠΕΡΙ ΤΑΞΕΩΣ [1] ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ.

Ἡ τάξις τῶν ἐπιχειρημάτων διπλῆ. εἰ γὰρ τύχοι τὰ

4 Par. γρ. τὸ λύειν τὰ ἀπ' ἀ. 5 μὲν Vind. om. 6 Vind. ὥσπερ καὶ ποιοῦμεν ἐν τῇ ἀντ. 7 καὶ Vind. om. 8 Mon. τὸ, supra lin. τι. Vind. τὸ γιγνόμενον. 9 Ald. καί τι. Port. Vind. Mon. καὶ om. tum Port. γίνεσθαι. 10 Vind. ἑαυτοῦ. Mon. ἀλλὰ διὰ τὴν α. φύσιν om. 11 Mon. Vind. συνεχῶς τὸ πυρ. 12 Ald. τοῦτο τοίνυν λέξοι. Port. τοῦτο εἰ λέξει. Vind. Mon. τοῦτο λέξει. 13 Mon. Vind. ἀπαίρομεν.

1 Vind. τάξεως om.

μὲν αὐτῶν ἀποδεικτικὰ [2] εἶναι, πολιτικῆς ἑρμηνείας δεόμενα, τὰ δὲ πανηγυρικὰ, τηρήσεις τὰ πανηγυρικὰ τελευταῖα, πρὸς τὸ δοκεῖν [3] αὔξειν προχωροῦντα τὸν λόγον ἐπὶ τὸ ἀκμαιότερον, ἵνα τὰ τῆς τέχνης κατ' οἰκείαν τάξιν προχωροῦντα δόξαν ἀκμῆς τῷ λέγοντι παράσχῃ, ὡς ὑπὸ τῆς ἐν τῷ λέγειν θερμότητος ἐπὶ τὸ ἀκμαιότερον προαγομένῳ· ἄλλως [4] τε δὲ καὶ ἡδίων τοῖς ἀκούουσιν ὁ ἀπὸ τῶν ἀποδεικτικῶν ἐπὶ τὰ πανηγυρικώτερα [5] χωρῶν, οὐχ ὁ ἀπὸ τῶν πανηγυρικῶν ἐπὶ τὰ ἀποδεικτικά. αὕτη μὲν ἰδέα πρώτη. [6]

Δευτέρα δὲ ἐκείνη [7] σοφωτέρα, ἰδόντα τὰ ἐπιχειρήματα ὁπόσα ἐστὶ καὶ οἷα, τὸ προκλητικώτερον τοῦ ἑξῆς κεφαλαίου τελευταῖον τιθέναι, ἵνα ἐκ τῆς ἀνάγκης τοῦ ἐπιχειρήματος ἀνισταμένου [8] τοῦ κεφαλαίου, κατὰ τὸ ἐφεξῆς ὕφος [9] ἓν ὁ λόγος γένηται καὶ σῶμα, μὴ διασπώμενος ἐν ταῖς ὑποφοραῖς, ἀλλὰ αὐτὸς αὐτοῦ δοκῶν ἔχεσθαι καὶ ἀνίστασθαι δι' αὐτοῦ· [10] ὥσπερ οὖν ἴσμεν καὶ ἐπὶ [11] ταῖς ἀντιλήψεσι τὸ ἀντιπαραστατικὸν μετὰ τὴν ἔνστασιν τελευταῖον τιθέμενον, ἐπειδὴ ἐγερτικόν ἐστι τοῦ ὅρου· οἷον, ἐξῆν ἀποκτεῖναι [12] τὸν υἱόν. ἡ ἔνστασις, [13] οὐκ ἐξῆν· εἰ δὲ καὶ ἐξῆν, οὐκ ἐπὶ τὸ αἴτιον γενέσθαι σὲ τῇ μητρὶ [14] θανάτου. ἵνα εὐθέως ὁ ὅρος ἀπαντήσῃ, τί τὸ αἴτιόν ἐστι θανάτου γενέσθαι. εἰ γὰρ καὶ ἀντιπαράστασίς ἐστιν ἡ ἀπαντήσασα, οὐκ ἐπιχείρημα, ὅμως εἰς παραδείγματος λόγον ἐθήκαμεν, ὅτι χρὴ

---

2 Vind. ἀποδεικτά. Post ἑρμηνείας addit: μόνης. 3 Ald. Vind. δοκοῦν. Port. Mon. δοκεῖν. 4 Par. ad marg. γρ. ἄλλως δέ. 5 Vind. πανηγυρικώτατα. 6 Par. γρ. μία. ita Vind. Mon. 7 Ald. Port. Mon. ἐκείνη. Vind. ἐκείνης. 8 Ald. ἀναστα μένον. 9 Mon. Vind. ὑφ' ἓν ὁ λόγ. γένηται σῶμα. 10 Port. ἑαυτοῦ. 11 Mon ἐν. 12 Mon. ἀποκτιννύναι. 13 ἡ ἔνστασις Mon. om., supra lin. εἶτα. 14 Ald. Mon. ματρί. Vind. per comp. μρί. Port. μητρί.

καὶ ἐπὶ τῶν ἐπιχειρημάτων οὕτω τιθέναι τελευταῖον τὸ τοῦ μέλλοντος κεφαλαίου προκλητικόν· ἐπεὶ καὶ ἡ ἔνστασις καὶ ἀντιπαράστασις [15] τὸν αὐτὸν ἔχουσι λόγον, οὐκ ἀεὶ τῆς ἐνστάσεως ἢ τῆς [16] ἀντιπαραστάσεως πρώτης τιθεμένης, ἀλλ' ἐναλλὰξ τοῦτο πασχούσης ἑκάστης· ὃν τρόπον, φαμὲν, δεῖ [17] ἀνασκοπεῖν καὶ ἐπὶ τῶν ἐπιχειρημάτων· καὶ γὰρ τούτων ἑκάστη [18] ἢ διὰ τὸ ἀκμαιότερον δευτέρα τεθήσεται, ἢ διὰ τὴν τοῦ μέλλοντος κεφαλαίου προσδοκίαν.

---

## Cap. XIV.

### ΠΕΡΙ ΟΡΟΥ ΚΑΙ [1] ΤΩΝ ΕΞΗΣ.

63 Ὁ ὅρος καὶ ἀνθορισμὸς καὶ συλλογισμὸς καὶ λύσις τοῦ συλλογισμοῦ τέσσαρα μέν ἐστιν ὀνόματα, τῇ δὲ δυνάμει δύο. ὅ τε γὰρ τὸν ὅρον ἔχων καὶ τὸν συλλογισμὸν τοῖς αὐτοῖς ἐπιχειρήμασι κατασκευάζειν [2] ἑκάτερα δύναται· ὅ τε τὸν ἀνθορισμὸν καὶ τὴν λύσιν τοῦ συλλογισμοῦ, τοῖς αὐτοῖς ἐπιχειρήμασι κατασκευάζειν ἑκάτερα δύναται. τέχνη δὲ θαυμασία παρ' ἡμῖν εὕρηται πρὸς τὸ μήτε πεφύρθαι τὸν λόγον, μήτε ἄπορον εἶναι διῃρημένης τῆς [3] διανοίας· ὥσπερ καὶ [4] ἐπὶ τῶν ἐπιχειρημάτων· ἵνα [5] ὅ τε τὸν ὅρον μελετῶν καὶ ὁ τὸν ἀνθορισμὸν ἀντιτιθεὶς τούτῳ τὰ πρὸ τοῦ πράγματος εἰωθότα συμ-

---

15 Port. καὶ ἡ ἀντ. 16 τῆς Mon. om. 17 Port. δεῖν. 18 Ald. Vind. ἕκαστον. Port. Mon. ἑκάστη.

1 καὶ τῶν ἑξῆς Ald. Vind. Mon. om., posuit Portus. In Mon. manu rec. adiectum: καὶ ἀνθορισμοῦ καὶ συλλογισμοῦ καὶ λύσεως τοῦ συλλογισμοῦ. 2 Mon. Vind. κατασκευάσαι. 3 τῆς Mon. Vind. om. 4 καὶ Mon. Vind. om. 5 Ald. Mon. ἵν'. Port. Vind. ἵνα.

βαίνειν λέγωσι. καὶ ὁ μὲν τὸν ὅρον κατασκευάζων οὕτω ζητεῖ· [6] τόδε πρὸ τοῦ πράγματος ἔδει γενέσθαι, οὐ γέγονεν. [7] ὁ δὲ τὸν ἀνθορισμὸν κατασκευάζων, ἵνα [8] οὕτω λέγῃ· ἔδει τόδε γενέσθαι πρὸ τοῦ πράγματος, γέγονεν. [9] ταῦτα μὲν ἀπὸ τῶν [10] πρὸ τοῦ πράγματος. οἷον, μαινόμενος ἀπέκτεινε τύραννον. σωφρονήσας αἰτεῖ τὸ γέρας. ἐνίσταταί τις αὐτῷ· οὐ τοῦτό ἐστι τυραννοκτονία. ὁ δέ φησι. τοῦτό ἐστι τυραννοκτονία, ἔδει ἀνελθεῖν εἰς τὴν [11] ἀκρόπολιν; ἀνῆλθον. ἔδει ἀποκτεῖναι; πεφόνευκα· ταῦτα πρὸ τοῦ πράγματος. ὁ δὲ τὸν ἀνθορισμὸν [12] κατασκευάζων ἐρεῖ οὕτως. ἔδει βουλεύεσθαι πρῶτον τὸν [13] μέλλοντα τυραννοκτονεῖν. σὺ μαινόμενος οὐκ ἐβουλεύσω. σωφρονούντων γὰρ ἔργον ἐστίν. ὥστε τῶν ὀφειλόντων [14] τι πρὸ τοῦ πράγματος γενέσθαι παρὰ τοῦ [τυραννοκτόνου λείπει. ἔδει εἰδέναι τὸν τυραννοκτόνον τί ποιεῖ, σὺ δὲ οὐκ ἤδεις. ὁ δὲ συλλογισμὸς ἀπὸ τῶν ἐπισυμβαινόντων τῷ πράγματι ἐπικατασκευασθήσεται. οἷον, οὐδὲν διαφέρει, εἴτε ἐμαινόμην, εἴτε ἐσωφρόνουν. ἃ γὰρ ὡς σωφρονοῦντος [15] ἐμοῦ καὶ ἀποκτείναντος ἐπισυνέβη ἂν ἀγαθὰ, ταῦτα καὶ νῦν γέγονεν. ἔδει τὸν τύραννον ἀνηρῆσθαι; ἀνῄρηται. ἔδει ἐλευθερίαν γενέσθαι; γέγονεν. ἔδει μηδένα εἶναι ἐπὶ τῆς ἀκροπόλεως; οὐδείς ἐστιν. Ὁμοίως καὶ ὁ τὴν λύσιν τοῦ συλλογισμοῦ ἔχων, ἐκ τῶν μετὰ ταῦτα συμβαινόντων [16] εἴτι μὴ ἐπιγέγονε λαμβά-

---

6 Vind. ζητῇ. 7 Mon. *καὶ γέγονεν*, manu rec. supra lin. *ἀλλ' οὐ γέγονεν*. Vind. simpliciter: *γέγονεν*. 8 Ald. Vind. *ἵν'*. Port. Mon. *ἵνα*. 9 Mon. *οὐ δὲ γέγονεν*, manu rec. supra lin. *γέγονε*. 10 *ἀπὸ* Mon. Vind. om. 11 *τὴν* Vind. om. 12 Ald. Port. *ὅρον*. Vind. Mon. *ἀνθορισμόν*. In Mon. manu rec. supra lin. *γρ. ὅρον*. 13 *τὸν* Mon. om. Vind. *δεῖ βουλεύσασθαι πρότερον τὸν μέλλ. τυρ. συμαινόμενος*. 14 Ald. *ὀφιλόντων*. 15 Mon. Vind. *σωφρ. καὶ* [Vind. *καὶ* om.] *ἀποκτείναντος ἐμοῦ*. 16 Vind. *συμβάντων*. supra lin. *συμβαινόντων*.

νων, ὡς ἐπιχείρημα φήσει, ὅτι πολὺ διαφέρει. ἃ γὰρ ἂν [17] ἐπισυνέβη σωφρονοῦντός σου ἀποκτείναντος, [18] ταῦτα οὐ γέγονε νῦν σου [19] μαινομένου ἀποκτείναντος. οἷον, ὁ σωφρονῶν ἀποκτείνας εὐθέως τιμᾶται· σὺ δὲ μετὰ τὸν φόνον ἐθεραπεύου ἰατροῖς ὑποκείμενος καὶ μάγοις. ὥστε τῇ μὲν δυνάμει τὰ αὐτὰ εἶναι κἀκεῖνα, οἷα τὰ ἐνθάδε· μόνῃ δὲ τῇ διαστάσει τῶν χρόνων [20] διαφέρειν. ἐξ οὗ συμβαίνει μὴ διαμαρτεῖν τὰς δριμύτητας πρός τε εὐπορίαν τοῦ ἐπιχειροῦντος καὶ πρὸς διάκρισιν τῶν τε ἄνω κεφαλαίων καὶ τῶν ἐφεξῆς, ὡς ἂν μὴ τοῖς αὐτοῖς περιπίπτωμεν τῷ τὰς αὐτὰς δυνάμεις ἔχειν ἑκάτερα.

---

## Cap. XV.

### ΠΕΡΙ ΔΙΑΣΚΕΥΗΣ.

Διασκευὴ δὲ τοῦ [1] προβλήματος ἡ διατύπωσίς [2] ἐστι τοῦ πράγματος, ὥσπερ [3] ἐν ποιητικῇ ἡ καθ' ἕκαστον τῶν γινομένων· [4] ἀφήγησίς τε [5] καὶ διατύπωσις. διὰ μὲν τῶν πεπραγμένων τοῦ διασκευάζοντος ὀφείλοντος πλατύνειν τὸ πρᾶγμα μόνον, οὐ μέντοι γε οὔτε αἰτίαις, οὔτε λογισμοῖς τοσοῦτον, οὔτε ἄλλῳ τινὶ ἐπιχειρήματι, ἀλλὰ μόνῳ τῷ τρόπῳ. [6] διασκευάζεται μὲν γὰρ πάντως ἔν τι

---

17 Mon. ἄν om. Vind. ἐπισυνέβη ἄν. 18 Vind. Mon. κτείναντος. 19 σου Vind. Mon. om. 20 Vind. Mon. τοῦ χρόνου μὴ διαμαρτεῖν, omissis διαφέρειν — συμβαίνει. In Mon. ad marg. inseritur: ἐξ οὗ συμβαίνει.

1 Par. ad marg. γρ. καὶ οὕτως. ἡ διασκευὴ τοῦ πράγματος ἡ διατύπωσίς ἐστι. καὶ οὕτως γρ. ἡ διασκευή ἐστιν ἐν προβλήματι ἡ διατύπωσις τοῦ πράγματος. ita Port. omisso articulo ante διασκευή. Vind. διασκευὴ δέ ἐστιν ἐν προβλήματι. 2 Ald. διατύποσις. sq. ἐστὶ Mon. om. 3 Port. καθάπερ. 4 Vind. γενομένων. 5 Mon. Vind. τις. 6 In Mon. man. rec. supra

τῶν τῆς περιστάσεως· καὶ ὅ τι δ' ἂν ἐκείνων [7] ᾖ, τῷ τρόπῳ [8] πλατύνεται, καὶ μετὰ τοῦ τρόπου καὶ προσωποποιΐας, [9] οἷα εἰκὸς ἦν τελεῖσθαι [10] ἐφ' ἑκάστου τῶν πραττομένων καὶ λεχθῆναι δυναμένων [11] παρὰ τῶν ἐμφαινομένων προσώπων ἐν τῇ διατυπώσει. ἔξεστι δὲ τὸν [12] διασκευάζοντα πιθανῶς τολμᾷν καὶ λέγειν, καὶ ὅσα εἰκὸς ἐπισυμβαίνειν εἴωθε τοῖς πράγμασι παράδοξα ἢ θαυμαστὰ, καὶ ταῦτα λαμβάνοντα [13] ἐκ τοῦ εἰκότος. ὃ γὰρ ἂν δυνηθῇ ποτε ἐπισυμβῆναι τοιούτῳ πράγματι, λέγειν ἔξεστιν, ὡς ἐπισυνέβη καὶ τότε. πᾶν δὲ τὸ παρὰ τὸ εἰκὸς ἢ λεχθῆναι [14] ἢ πραχθῆναι λεγόμενον εἰς κακόζηλον ἐξάγει τὴν διασκευήν. γίνεται δὲ ἡ διατύπωσις [15] τοῦ πράγματος ἢ ἐκ τῶν παρελθόντων ἢ ἐκ τῶν παρόντων, ἢ ἀπὸ τῶν μελλόντων, ἢ οἷα πάλαι ἐγένετο, ἢ οἷα [16] νυνὶ γίνεται, ἢ ὁποῖα κατὰ τὸ μέλλον γενήσεται, ἡμῶν καὶ ταῦτα διατυπούντων. συνελόντι δὲ εἰπεῖν ἡ διασκευὴ ποιητικῆς ἔχει φιλοτιμίαν. οὐδὲν γὰρ ἕτερον ἡ ποιητικὴ ἔχει, πλὴν ἑκάστου τῶν γενομένων ἀφήγησίν τινα καὶ διατύπωσιν.

Χρὴ δὲ τὸν μέλλοντα μελετᾷν οἰκονομεῖν εἰδέναι. εἰ μὲν γὰρ εὑρίσκοιτο διήγησις [17] καὶ ἐκ τῶν παρελθόν-

---

lin. scriptum: πλατύνεται. 7 Ald. Mon. ἐκεῖνο. Port. Vind. ἐκείνων. 8 Par. γρ. τῷ τρόπῳ πάντως πλατύνεται. ita Mon. 9 Ald. προσωποποιΐαις. Port. Vind. Mon. προσωποποιΐας. in Mon. supra lin. — αις. 10 τελεῖσθαι in Mon. manu rec. supra lin. scriptum. 11 Mon. δυναμένων ἔξει περὶ τῶν ἐμφαιν. manu rec. supra lin. παρά. Par. γρ. καὶ οἷα εἰκὸς ἦν ἐφ' ἑκάστῳ τῶν πραττομένων καὶ λεχθῆναι δυναμένων ἔξει παρὰ τῶν ἐμφαινομένων προσώπων ἐν τῇ διατυπώσει. 12 τὸν et sq. καὶ Vind. om. 13 Vind. λαμβάνοντας. 14 Mon. ἢ λεχθὲν ἢ πραχθὲν πεπρᾶχθαι λεγόμενον. Vind. παρὰ τὸ εἰκὸς πεπρᾶχθαι λεγόμ. 15 ἡ διατύπ. τοῦ πράγμ. post μελλόντων ponit Vind. 16 Mon. Vind. ποῖα. 17 Mon. ἡ διήγ. Vind. διήγησις ponit post μελλόντων.

των καὶ ἐκ τῶν μελλόντων· ἢ ἀπὸ τῶν παρόντων μόνον, ἢ καὶ [18] τῶν δύο καιρῶν, ἢ καὶ τῶν τριῶν, ἔξεστι τὸν παρελθόντα ἀπολαβόντα ἐν τῇ διηγήσει ἐνδιασκεύως ἀποπληρῶσαι τὸ ἄνω μέρος, οὐ μέλλοντα ἐνοχλήσειν τοῖς κάτω μέρεσι τοῖς αὐτοῖς διὰ τὴν τῶν μελλόντων διατύπωσιν. [19] εἰ δὲ εἴη τὸ πρᾶγμα ὀφεῖλον διασκευασθῆναι καὶ ἄνω καὶ κάτω ἐν ταῖς διηγήσεσιν, μνήμην [20] αὐτοῦ ποιησόμεθα, κατασκευάζοντες ταῖς [21] αἰτίαις, αἷς ἔφαμεν τὴν διήγησιν κατασκευάζεσθαι. τοὺς δὲ τρόπους αὐτοὺς [22] τῇ διασκευῇ φυλάξομεν· ἐὰν δὲ παντάπασιν ᾖ ἄπορον εἰς διατύπωσιν τὸ πρᾶγμα, τότε μεταχείρισίς [23] ἐστιν οἰκονομίας ἀρίστη [24] τὸ μηδὲ ἐν τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους γενομένους ἀποχρήσασθαι ταῖς ὑποδιαιρέσεσιν, ἀλλ' [25] ἀθρόως εἰπόντες τὸ πρᾶγμα ἐκεῖ καὶ πλάσαντές τινα [26] πλαστὰ καὶ ἐπὶ ἀθρόῳ τῷ πράγματι ἐπειπόντες τὰς καθ' ἕκαστον ὑποδιαιρέσεις τοῖς ἐπιοῦσι [27] φυλάξομεν, τῇ κατασκευῇ χρώμενοι ἐνταῦθα ἀντὶ τῆς διασκευῆς· καὶ τοὺς ὑπομερισμούς, οὓς ἐμέλλομεν ἐν [28] τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους ποιεῖν, ὡς κατασκευάζοντες, τούτους φυλάξομεν τῇ διασκευῇ ὡς διατυποῦντες, μόνῃ τῇ τῶν κώλων ἁρμονίᾳ χρώμενοι [29] διαφερούσῃ· (ἄλλα γάρ ἐστι κατασκευαζόντων κῶλα, [30] καὶ ἄλλα διασκευαζόντων·) προσέτι δὲ καὶ τὰς περὶ τὴν κατασκευὴν περιόδους ἀφαιροῦντες· [31] ἀλλότριον γὰρ περίοδος δια-

---

διὰ

18 Vind. ἢ ἐκ τῶν δύο καιρῶν ἢ τριῶν. 19 Vind. ἀποτύπωσιν. 20 Vind. Mon. αὐτοῦ μνήμην. 21 Vind. τοῖς τρόποις οἷς. 22 Vind. τούτους. 23 Ald. Port. Codd. μεταχείρησις. 24 Mon. ἀρίστης. 25 Vind. ἀλλά. 26 Mon. τινὰ ἢ πλεῖστα ἐπὶ ἀθρόῳ. 27 Ald. Vind. ποιοῦυσι. Port. Mon. marg. Vind. ἐπιοῦσι. 28 ἐν Vind. om. 29 Vind. χρησάμενοι. 30 κῶλα Vind. post διασκευαζόντων ponit. 31 Ald. ἀφεροῦντες.

σκευῆς, [32] ὅθεν γίνεται καὶ ἡ τῶν προσωποποιϊῶν εὐπορία· εἰ γὰρ καὶ ἀποροίη τὸ πρᾶγμα διασκευῆς ἀθρόως, ὁ [33] ὑπομερισμὸς προσωποποιΐας οὐκ ἀπορεῖ· χρὴ δὲ εἰδέναι, ὅτι καὶ πᾶς ὑπομερισμὸς τὰ αὐτὰ λέγει τῇ διασκευῇ ἀνεμποδίστως. δεῖ γὰρ πάντως ἐκ τῆς ὑποδιαιρέσεως εἰς τὸ πρᾶγμα αὐτὸ ἐπανελθεῖν· ἀλλὰ καὶ καθ' ἑκάστην ὑποδιαίρεσιν τοῦτο ποιεῖν, [34] ἀνεπαχθές ἐστιν ἀεί.

Ταυτολογεῖ δὲ διασκευῆς [35] καὶ ἡ τῶν καλουμένων χωρίων ἀγωγὴ, καὶ ἐκείνη ἀνεπιλήπτως. [36] ἀνάγκη γὰρ ἀπὸ τοῦ παραδείγματος ἢ τοῦ μυθικοῦ ἢ τοῦ ἱστορικοῦ μεταβαίνοντα [37] εἰς τὸ ἴδιον πρᾶγμα τὸ αὐτὸ λέγειν πολλάκις. οἷον, ὡς ἐπὶ παραδείγματος τοῦτο ἐπιδεῖν τινα σαφέστερον· ἐπίπρασκεν Ἀλέξανδρος τοὺς Θηβαίων αἰχμαλώτους. πριάμενοι Λακεδαιμόνιοι τριακοσίους κατέσφαξαν ἐπὶ τὸ ἐν Λεύκτροις τρόπαιον, καὶ κρίνονται τῶν εἰς τοὺς Ἕλληνας ἀδικημάτων. ἐὰν γὰρ διασκευάζοντες λέγωμεν, τριακοσίους ἐθύσατε, ὡς ἱερεῖα, ὠμῶς [38] καὶ ἀνηλεῶς τοῖς βωμοῖς, ὡς σφάγια, [39] ταῦτα πάλιν διασκευάσομεν. καὶ [40] ἐν ταῖς διατυπώσεσιν αὐταῖς, ὡς ἔφαμεν, λέγοντες, ὡς προσῆκον, [41] δεδακρυμένους, θρηνοῦντας, ἐστεφανωμένους, καὶ οἷα ἐποίουν περιπτυσσόμενοι [42] ἀλλήλους, καὶ οἷα ἔλεγον ἱκετεύοντες καὶ ὀδυρόμενοι. μέχρι τούτων ἡ διατύπωσις ἡ ἀπὸ τοῦ πράγματος. ἐὰν δὲ ἐπεισάγειν ἐθέλῃς [43] χωρίον ἀπὸ ἑνὸς ὀνό-

---

δια

32 Vind. κατασκευῆς. 33 ὁ Mon. om. 34 Vind. ποιοῦντες. supra lin. ποιεῖν. 35 Port. τῇ διασκευῇ. Vind. διασκευή. 36 Ald. ἀνεπιλήπτῳ. Port. Mon. Vind. ἀνεπιλήπτως. 37 Vind. ἐπαναβαίνοντα. 38 Ald. Mon. Vind. ὁμῶς. Port. ὠμῶς. 39 Port. σφαγία. tum Ald. Port. πάλιν καὶ διασκ. Mon. Vind. καὶ om. 40 καὶ Mon. om. 41 Ald. προσῆκε. Port. Vind. Mon. προσῆκον. 42 Vind. περιπτύσσοντες. 43 Vind. θέλῃς. Mon.

*ματρς, λήψῃ πρόφασιν ἱστοριῶν· ὡς ἐνταῦθα, τριακοσίους ἐθύσατε, διεφθείρατε τὸν ἀριθμὸν ὑμῶν τὸν ἐπαινούμενον τῶν τριακοσίων τῇ τούτων τελευτῇ· μετὰ γὰρ τὸ εἰπεῖν, ὡς* [44] *ἀνηλεῶς ἀπεκτείνατε, καὶ διασκευάσαι, δύνασαι εἰπεῖν, ὅτι ἀπέθανον ἡμῶν καὶ ἐν Θυρέᾳ* [45] *τριακόσιοι, ἀλλὰ πολέμου νόμῳ. ὑμεῖς δὲ ἱερείων νόμῳ τούτους κατεσφάξατε. καὶ πάλιν ἄλλο χωρίον, ἀπέκτεινεν ὑμῶν καὶ* [46] *βασιλεὺς τριακοσίους ἐν Πύλαις, ἀλλ' οὐκ ἔθυσεν· ὑμεῖς δὲ παρεστήσασθε τριακοσίους ἱερεῖα τοῖς βωμοῖς.* [47] *καὶ πάλιν ἐπὶ τὴν διασκευὴν χωρήσωμεν, εἰ τύχοι παράδειγμα,* [48] *κἂν Κλέωνος μνημονεύσῃς, τὸ περὶ Πύλον καὶ Σφακτηρίαν χωρίον ἐπεισάγων, κἀκεῖθεν ἐπαναδραμεῖν εἰς τὴν διασκευὴν δύνασαι* [49] *πάλιν ἀνεμποδίστως.*

*ΕΡ-*

---

*θέλεις.* 44 ὡς Vind. om. tum legit: *δύνασαι εἰπεῖν πάλιν.* 45 Vind. *Θυρέᾳ*, ut Thuc. II. 27. IV. 56. — Herod. I. 82. *Θυρέαι*. Ald. Port. Mon. *Θυραίᾳ*. apud Diod. Sic. XII. 44. codd. nonnulli *Θυραῖαι*. tum Ald. *ἀλλ' ἀπολέμου*. 46 *καὶ* Vind. Mon. om. 47 Vind. *θεοῖς*. sq. *καὶ* Ald. Vind. om., est in Port. Mon. tum Mon. *πρὸς τὴν διασκ.* Port. *χωρήσομεν*. 48 Ald. *παράδηγμα*. 49 *δύνασαι πάλιν ἀνεμπ.* Vind. om.

# ΕΡΜΟΓΕΝΟΥΣ[1]
## ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ. 65

### Cap. I.

### ΠΕΡΙ ΛΟΓΟΥ ΣΧΗΜΑΤΩΝ.

Ἐπειδὴ οὖν καὶ περὶ τῶν ἐπιχειρημάτων καὶ περὶ τῶν ἐργασιῶν καὶ περὶ τῶν ἐνθυμημάτων τῆς εὑρέσεως πάντα εἰς τέλος πεπλήρωται, ἀναγκαῖον εἰπεῖν καὶ περὶ τῶν τοῦ λόγου σχημάτων, καθὰ προσήκει ἕκαστον αὐτῶν ἐκφέρεσθαι. ὅσα μὲν γὰρ τῶν ἐπιχειρημάτων ἢ τῶν ἐργασιῶν πολιτικά ἐστι τῷ νῷ καὶ ἀποδεικτικά, προσήκει ταῦτα στρογγύλως καὶ κατὰ[2] ἀντίθετα καὶ κατὰ περίοδον[3] ἐκφέρεσθαι· ὅσα δὲ παν ηγυρικὰ τῷ νῷ, ἤτοι[4] παραδειγματικὰ, ἢ ἐκ παραβολῆς λαμβανόμενα, ταῦτα δεῖ πνευματικῶς ἀποτείνεσθαι[5] καὶ ἀκμαίως· τὰ γὰρ ἐνθυμήματα πάντα στρογγύλως τε[6] καὶ κατὰ σύγκρισιν ἐκφερόμενα δριμύτητος δόξαν πλείονα ἀποφέρεται, ἢ εἴ τις αὐτὰ ἁπλῶσαι θελήσειε[7] τῷ λόγῳ. καί τοι καὶ τούτῳ τῷ σχήματι ὁ Δημοσθένης ἐκαλλωπίσατο πολλάκις, ὡς ἐν τοῖς βιβλίοις[8] εὑρίσκομεν· ὡς ἐκεῖνο[9] ἐν τῷ περὶ

1 Ald. περὶ εὑρέσεως τόμ. τέτ. Mon. τόμος δ'. περὶ σχημάτων. περὶ εὑρέσεως. 2 Vind. κατὰ τὰ ἀντ. 3 Mon. περιόδους. 4 Vind. Mon. ἤ. 5 Par. γρ. ταῦτα δεῖ πνευμ. ἀποτείνειν καὶ ἀκμαίως ἐκφέρειν. γρ. καὶ οὕτως· ταῦτα δεῖ πνευμ. ἀποτείναντας καὶ ἀκμαίως ἐκφέρειν. ita Vind. Mon. [Vind. ἀποτείνοντας. Mon. ἀποτείνοντα.] 6 Vind. Mon. στρογγύλως κατὰ τὴν σύγκρ. 7 Vind. ἐθελήσειε. Sqq. καί τοι καὶ Vind. om. 8 Mon. τοῖς βίβλοις. 9 Vind. ὡς ἐν ἐκείνῳ ἐν τῷ. — pro cor. p. 258.

τοῦ στεφάνου· ὑμεῖς τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν πᾶσαν, [10] Μέγαρα, Αἴγιναν, Κλεωνὰς, τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης, ἐξήλθετε εἰς Ἁλίαρτον, καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον [11] εἰς Κόρινθον, τῶν τότε [12] Ἀθηναίων πολλὰ ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελειικὸν [13] πόλεμον πεπραγμένων. [14] ἀλλ' οὐχ ἐποίουν ταῦτα, οὐδὲ ἐγγύς. [15] καί τοι τότε [16] ταῦτα ἀμφότερα, Αἰσχίνη, οὔθ' [16] ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτ' [18] ἀκίνδυνα ἑώρων, ἀλλ' οὐ διὰ ταῦτα προΐεντο τοὺς καταφεύγοντας ἐπ' αὐτοὺς, [19] ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς ἑαυτοὺς ἐκδιδόναι, [20] ὀρθῶς καὶ καλῶς βουλευόμενοι. καὶ γὰρ ἐνταῦθα τὸ μὲν ἐπιχείρημα ἦν καλὸν, τὸ μὴ μνησικακεῖν τοῖς ἀδικήσασιν, ἐὰν κινδυνεύωσιν. ἡ ἐρχασία δὲ αὐτοῦ· οὐδὲ γὰρ Κορινθίοις, [21] οὐδὲ Θηβαίοις ἐμνησικακήσατε, ἀλλὰ κἀκείνοις ἐβοηθήσατε. [22] τὸ δὲ ἐνθύμημα, καί τοι Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ φοβερῶν ὑμῖν [23] ὄντων πραγμάτων.

---

10 Port. ἅπασαν. Vind. τὴν Βοιωτ. πᾶσαν, Μέγ. Αἴγ. om. 11 Vind. ὕστερον ἡμέραις. 12 Mon. τῶν τε Ἀθ. 13 Ald. Δεκελικόν. 14 Port. πραχθέντων. 15 Ald. Mon. ἐγγὺς τούτων. Vind. Port. τούτων om. Port. τοῦτο οὐδ' ἐγγύς. 16 τότε Ald. om., est in Port. Mon. Vind. [Vind. ταῦτα τότε]. 17 Ald. οὔτε. Port. Mon. Vind. οὔθ'. 18 Ald. Port. Mon. οὔτε. Vind. οὔτ'. 19 Mon. ἐφ' ἑαυτούς. 20 Mon. αὐτοὺς διδόναι. 21 Mon. οὐδὲ γὰρ Θηβαίοις, οὐδὲ Κορινθ. Vind. ἐμνησικακίσατε. 22 Ald. ἐβοηθήσασε. 23 Ald. ἡμῖν. Port. Mon. Vind. ὑμῖν.

ἔλαθε δὲ ἁπλώσας αὐτὸ ἀπὸ τοῦ καὶ τὴν τάξιν ὑπαλλάξαι. δεινὸς γὰρ ἀεὶ σοφίσασθαι [24] τὰς τέχνας καὶ ἀποκρύπτειν ὁ ῥήτωρ, καὶ ἄλλοτε μὲν ἄλλως ἐποίει, [25] τῇ τάξει δὲ ἐνταῦθα. ὅθεν καὶ τολμήσας ἁπλῶσαι τὸν λόγον [26] τοῦ ἐνθυμήματος, εἶτα προελθὼν [27] τῇ ἐργασίᾳ, καὶ πάλιν ἀναγκασθεὶς ἐκ τῆς τέχνης μνησθῆναι τοῦ ἐνθυμήματος τῷ νῷ συνέστρεψεν αὐτὸ [28] ἐν τῷ εἰπεῖν, καίτοι τότε ταῦτα ἀμφότερα οὔθ' [29] ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτ' ἀκίνδυνα ἑώρων, [30] καὶ προσήγαγε τὴν ἐπίτασιν τῷ ἐπιχειρήματι· τὸ δὲ εἰπεῖν, [31] οὐδὲ ἀκίνδυνα ἑώρων, τὸ ἐνθύμημά ἐστιν, ὃ φθάσας ἥπλωσεν ἤδη.

## Cap. II.

### ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ.

Ἀντίθετόν ἐστι σχῆμα λόγος [1] διπλασιάζων πάντα τὸν ὑποκείμενον νοῦν τοῦτον τὸν τρόπον, εἴ τις τοῦ κατὰ φύσιν ζητουμένου τὸ ἐναντίον λαμβάνων καταβαίνοι εἰς τὸ ὑποκείμενον. οἷον, ἐπειδὴ ἡμέρα ἐστὶ, δεῖ ποιῆσαι τόδε. τοῦτο τὸ ζητούμενον. τὸ δὲ ἀντίθετον αὐτοῦ, εἰ μὲν γὰρ μὴ ἦν ἡμέρα, ἀλλὰ νύξ, ἴσως ἐχρῆν μὴ ποιεῖν· [2] εἶτα καταβαίνει εἰς τὸ ἴδιον. ἐπειδὴ [3] δέ ἐστιν ἡμέρα, ποιῆσαι προσῆκεν. [4] οἷον καὶ [5] ἐν τοῖς προβλήμασι, δεῖ καινοτομεῖν· πόλεμος γάρ ἐστι· τοῦτο τὸ κατὰ φύσιν·

[Vind. ὄντων ὑμῖν τῶν πραγμάτων]. 24 Ald. σοφίσασθαι 25 Port. ποιεῖ. 26 Vind. τὸν λόγον τολμήσας ἁπλῶσαι. 27 Vind. προελθών. 28 Port. αὐτῷ. 29 Vind. οὔτε. 30 οὔτ' ἀκίνδ. ἑώρων Vind. Mon. om. 31 εἰπεῖν Mon. Vind. om.

1 Par. γρ. ἀντ. ἐστι σχῆμα λόγου διπλασιάζον. ita Schol. T. VII. p. 807. 2 Vind. ποιῆσαι. 3 Mon. ἐπεὶ δέ. 4 Port. προσήκει. 5 καὶ Ald. om., est in Port. Mon. Vind.

τὸ δὲ[6] ἀντικείμενον αὐτοῦ, εἰ μὲν γὰρ μὴ ἦν πόλεμος, ἀλλὰ εἰρήνη καὶ ἡσυχία, ἔδει μὴ καινοτομεῖν. ἀρετὴ δὲ τοῦ ἀντιθέτου, ὅτι καὶ ἁπλούμενον τῷ πλήθει τῶν κώλων πνεῦμα γίνεται, καὶ συστρεφόμενον τῇ ἑρμηνείᾳ περιόδου τάξιν ἐπέχει· οἷον, εἰ μὲν γὰρ ἦν ἐν ἡσυχίᾳ τὰ καθεστηκότα, καὶ ἀπραγμοσύνη κατεῖχεν ἡμᾶς, καὶ μήτε[7] φοβερὸν μήτε ἄτοπον ἐφειστήκει παρὰ τῶν πολεμίων μηδέν, ἀδείας[8] δὲ ἦμεν ἐπειλημμένοι καὶ ἐξουσίας τοῦ πράττειν ὅσα βουλομένοις ἡμῖν ἐτύγχανεν, ἔδει φυλάττειν τὰ καθεστηκότα καὶ παρακινεῖν μηδέν,[9] μηδὲ καινοτομεῖν, ἀλλὰ τοῖς ἀρχαίοις ἐμμένειν ἔθεσί τε καὶ ψηφίσμασι καὶ νόμοις· ἐπεὶ δὲ πόλεμος κεκίνηται καὶ πλησίον οἱ πολέμιοι, καὶ ἐφέστηκε[10] τὰ δεινὰ καὶ ταραχὴ τοσαύτη τῶν πραγμάτων, τίνος ἕνεκεν οὐ καινοτομήσομεν; αὐτοῦ τοῦ πολέμου ταύτην ἔχοντος τὴν φύσιν, ἀφ' ἑαυτοῦ τεχνᾶσθαι τὰ πολλὰ καὶ τὸν τῶν ἀνθρώπων μεταποιεῖν ἐπὶ τὸ καινότερον βίον· τοῦτο ἐκταθὲν τοῖς κώλοις ἐγένετο πνεῦμα. δύναται δὲ συστραφὲν εὐρύθμως γενέσθαι περίοδος.[11] οἷον, ἃ γὰρ ἐφυλαξάμεθα ἂν[12] ποιεῖν εἰκότως εἰρήνης ὑπαρχούσης, ταῦτα βέλτιον ἐργάσασθαι πολέμου καθεστηκότος· καὶ οὔτε ἰσχυρότερον οὔτε ἀναγκαιότερον εὑρίσκεται σχῆμα τοῦ ἀντιθέτου παρὰ τοῖς ἀρχαίοις ῥᾳδίως οὐδέν. καί τοι γε πάντως[13] τῆς μιᾶς προτάσεως τοῦ ἀντιθέτου περιττῆς οὔσης τῇ ἀληθείᾳ τοῖς ἀκούουσιν, ὅμως τὸ λεγόμενον οὐκ ἔξω τοῦ εἰκότος δοκεῖ λέγεσθαι· ποιεῖ δὲ αὐτὸ δοκεῖν ἀναγκαῖον εἶναι[14]

---

6 Par. γρ. τὸ ἀντίθετον αὐτῶν. 7 Vind. μήτε ἄτοπον μήτε πονηρόν. Mon. μήτε ἄτοπον μήτε φοβερόν. 8 Mon. ἐπ' ἀδείας δὲ ἦμεν, ἐπειλημμ. ἐξουσίας. 9 Mon. μηδὲ ἕν. 10 Vind. ἐ
ἀφίστηκε. 11 Mon. γεν. καὶ περίοδος. 12 Vind. ἄν om. Mon. ποιεῖν ἄν. 13 Mon. παντὸς τοῦ ἀντιθέτου τῆς προτάσεως περιττῆς οὔσης. 14 Mon. εἶναι ἀναγκαῖον.

ἡ τοῦ κατὰ φύσιν προσδοκία. ἐν ᾧ γὰρ τὴν πρότασιν ὁ ῥήτωρ λέγει τοῦ ἀντιθέτου, ἐν τούτῳ τὸ [15] κατὰ φύσιν ἤδη τοῖς ἀκούουσι νοεῖται τῷ τῆς ἀποδόσεως νοήματι. τὸ δὲ σχῆμα οὕτως ἐστὶν ἀξιέραστον, ὡς μὴ περιοδον ποιεῖν μόνον [16] καὶ πνεῦμα, ἀλλὰ καὶ [17] καθάπαξ πάντα νοῦν κοσμεῖν. κοσμεῖ δὲ καὶ προοίμιον πολλάκις, εἴτις τοιούτῳ σχήματι τὸ προοίμιον ἐξενέγκοι, ὡς ὁ Δημοσθένης. [18] εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο [19] λέγειν, ὦ Ἀθηναῖοι. καὶ γὰρ ἐνταῦθα τὸ κατὰ φύσιν ἐστίν. ἐπειδὴ [19*] δὲ περὶ ὧν πολλάκις ἤδη πρότερον εἰρήκασιν οὗτοι, συμβαίνει καὶ νυνὶ [20] σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως ἂν συγγνώμης [21] τυγχάνειν. τὸ δὲ ἀντίθετον, εἰ μὲν περὶ καινοῦ τινος πράγματος [22] προὐτίθετο λέγειν, ἐπισχεῖν ἔδει με [23] τοῖς πρεσβυτέροις παραχωροῦντα πρῶτον εἰπεῖν.

Ἰστέον δὲ, ὅτι περὶ ῥητορικοῦ ἀντιθέτου διελέχθημεν, ἐπεὶ οἱ φιλόσοφοι ἐναντίον καὶ ἀντίθετον οὐ διαιροῦσι. παρ' ἡμῖν δὲ τὸ ἀντίθετον σχῆμά ἐστι τοῦ λόγου. τὸ δὲ ἐναντίον δριμύτης νοήματος ἀπὸ τῆς ἐργασίας λαμβανομένη. οἷον, οὐ δὴ θαυμαστόν ἐστιν, εἰ στρατευόμενος ἐκεῖνος [24] καὶ παρὼν ἐφ' ἅπασι καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων [25] ἡμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθα-

15 Mon. τῷ. 16 Vind. μόνον ποιεῖν. 17 καὶ Mon. om. 18 Phil. I. 19 Ald. προὐτίθετο πράγματος. Mon. πράγμ. προὐτίθ. Vind. πράγμ. προὔκειτο. Port. πράγμ. προὐτίθ. ὦ ἄνδρες Ἀθ. λέγειν. 19* Vind. ἐπεί. 20 Vind. νῦν. 21 Vind. συγγνώμην. 22 Vind. addit: καὶ τὰ ἑξῆς, omissis sqq. προὐτίθετο — — πρῶτον εἰπεῖν. 23 με Mon. om. 24 Port. ἐκ. αὐτός. Vind. στρατ. ἐκεῖνος καὶ πονῶν ἐκεῖνος αὐτός. — Ol. II. p. 24. 25 Vind. παραλιπών. tum Port. ὑμῶν μελλ.

νομένων[26] περιγίγνεται. τοῦτο γὰρ εἰ μὲν[27] ἀντίθετον ἐβούλετο ποιῆσαι, οὕτως ἂν μετεχειρίσατο. εἰ μὲν γὰρ μήτε πονῶν μήτε παρὼν τοῖς πράγμασι περιεγίνετο ὑμῶν, θαυμαστὸν ἦν. τὸ γὰρ ἀντίθετον ταύτην ἔχει τὴν δύναμιν τοῦ λέγειν, εἰ γὰρ μὴ ἐγίνετο, ὃ ἐγένετο.[28] τὸ δὲ ἐναντίον ἀναστρέφει τὸ πρᾶγμα ἀπὸ τῶν δρώντων εἰς τοὺς πάσχοντας, καὶ ἀπὸ τῶν πασχόντων εἰς τοὺς δρῶντας· ὃ πεποίηκεν ἐνταῦθα ὁ ῥήτωρ. τοὐναντίον γὰρ ἂν[29] ἦν θαυμαστὸν, εἰ μηδὲν[30] ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάντα ἃ δεῖ ποιοῦντος[31] περιῆμεν. πολὺ γὰρ διενήνοχε λέγειν, ὅτι θαυμαστὸν ἦν, εἰ Φίλιππος μὴ πονῶν ἡμῶν περιῆν· ὃ τοῦ ἀντιθέτου ἐστὶν ἰσχύς, ἢ λέγειν πάλιν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς Φιλίππου περιῆμεν· ὅ ἐστιν ἐνάργεια τοῦ ἐναντίου. καὶ περὶ μὲν ἀντιθέτου τοσαῦτα εἰρήσθω.

---

## Cap. III.

### ΠΕΡΙ ΠΕΡΙΟΔΟΥ.

Ἡ δὲ περίοδος οὐχ ἑνὶ ὑποπίπτει σχήματι, ὥστε αὐτὸ παραδοῦναι, ἀλλὰ πολλοῖς καὶ ποικίλοις, ἃ παρὰ τῶν ἀρχαίων λαμβάνοντες ἐν τηρήσει πεποιήκαμεν. ἔστιν[1] μὲν οὖν περίοδος κυρίως ἡ τοῦ ὅλου ἐπιχειρήματος ἀναγ-67 καστικὴ σύνοδος καὶ κλεὶς τρόπον τινὰ καὶ ἀληθινὴ περίοδος· τοῦτό ἐστιν ἡ ἀπαρτίζουσα τὸ ἐπιχείρημα καὶ

---

26 καὶ πυνθάνομ. Ald. Vind. om., est in Port. Mon. 27 Vind. τοῦτο μὲν γὰρ εἰ ἀντ. 28 Vind. ὃ ἐγίγνετο. Mon. ἐγίγνετο, ὃ ἐγίγνετο. 29 ἂν Ald. Mon. om., est in Port. Vind. 30 Vind. Mon. μηδὲν ὧν δεῖ ποιοῦντες ἡμεῖς. 31 Port. ποιοῦντος ἃ δεῖ. Vind. ἃ προσῆκε ποιοῦντος. Par. γρ. τοῦ πάντα ἃ δὴ προσῆκε ποιοῦντος.

1 Port. ἔστι.

συνάγουσα, ὡς τό γε ἑτέρως [2] λέγειν περιοδικῶς ἐστι λέγειν, οὐ περίοδον ποιεῖν, [3] ἀλλ' ἑρμηνεύειν περιοδικῶς καὶ σχῆμα περιόδου λαμβάνειν. ἡ δὲ ἀληθινὴ περίοδος οὐ τῷ σχήματι μόνον, ἀλλὰ καὶ τῷ νῷ συνάγει τὸ ἐπιχείρημα, ὅ [4] τινες καὶ ἐνθύμημα καλοῦσιν, οὐ πᾶσα δὲ δύναιτο [5] ἂν ἐνθυμηματικὴ περίοδος εἶναι, εἰ μὴ καὶ γνωμικὴ, τὸ καθόλου εἰς τὸ ἴδιον κατάγουσα, καὶ τὸ ἴδιον εἰς τὸ καθόλου ἀνάγουσα. τηρήσαντες οὖν εὕρομεν παρὰ τοῖς ἀρχαίοις τὰς μεταβολὰς τῶν πτώσεων, ὀνομαστικῆς καὶ γενικῆς καὶ δοτικῆς καὶ αἰτιατικῆς ποιούσας περιόδους. οἷον, ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ [6] τοξεύῃ. τοῦτο κατὰ τὴν ὀνομαστικήν. κατὰ δὲ τὴν γενικὴν, ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν [7] δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. κατὰ δὲ τὴν δοτικὴν, οἷς γὰρ οὗσιν ἡμετέροις ἔχει χρῆσθαι, τούτοις τἄλλα [8] πάντα ἀσφαλῶς κέκτηται. κατὰ δὲ τὴν αἰτιατικὴν, εἶθ' [9] ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν [10] ἐμφανίζει, τοῦτον ἡμεῖς [11] φοβούμεθα; τὸ γὰρ κλητικὸν σχῆμα πνεύματός ἐστι μέρος, ἀποστροφὴν ἐργαζόμενον καὶ καταφοράν. [12] εἶ-

2 Par. γρ. ὡς [Mon. Vind. marg. Viot. qui consentiunt, ὥστε] τὸ ἑτέρωθί πως λέγειν. 3 Mon. Vind. ἔστι ποιεῖν 4 Vind. ὅπερ. sq. καὶ Mon. om. 5 Vind. δύναιτ' ἄν. 6 Ald. καὶ τὸ ξεύῃ. (sic) Port. Mon. Vind. μηδὲ τοξ. ut Dem. Phil. III. p. 115. 7 Ald. Port. Mon. ἡμῖν. Vind. ὑμῖν. ut Ol. II. p. 19. 8 Ald. Port. πάντα τὰ ἄλλα. Vind. Mon. τἄλλα πάντα. Phil. IV. p. 134. 9 Vind. εἶτα. 10 Vind. ἐχθρὸν δὲ συμφέρ. — de Symmor. p. 188. 11 Ald. ἡμᾶς. 12 Mon. ad marg. manu rec. καταδρομήν. ita Par. ad cujus marg. γρ. καταφοράν.

τα,[13] ὦ τὶ ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; καὶ πάλιν, ἀπόκριναι γὰρ[14] δεῦρο ἀναστάς μοι. οὐ γὰρ δὴ[15] δι' ἀπειρίαν γε[16] οὐ φήσεις ἔχειν ὅ τι εἰποις. Εἰσὶ δὲ καὶ ἀποδεικτικαὶ τοῖς σχήμασιν. οἷον, ἐν μὲν γὰρ[17] τῷ γράψαι μηδένα εἶναι ἀτελῆ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς[18] τὸ δοῦναι ὑμῖν ἐξεῖναι. ταύτης[19] τὸ σχῆμα καλὸν μὲν ζηλοῦν καὶ ἀπὸ τῆς ἑρμηνείας· κρεῖττον δὲ,[20] εἰ τὸ ἐλλεῖπον ἀπὸ κοινοῦ ποιοῖ[21] τις ἐν ταῖς μεταποιήσεσιν· ἵνα τὸ ἐν τῇ προτάσει εἰρημένον ἐν τῇ ἀποδόσει λείπῃ μὲν[22] μὴ λεγόμενον, φαίνηται δὲ ὡς λεγόμενον· ὡς καὶ ἐνταῦθα τὸ ἀφείλετο ἐν τῇ[23] προτάσει λέλεκται, ἐν δὲ τῇ ἀποδόσει συνυπακούεται.

Ἔστι δὲ καὶ ἐπιτιμητικὴ περίοδος τῷ σχήματι, ὅταν λέγωμεν· εἶτα ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς,[24] ταῦτα ὑμῶν τινες ἐνθάδε ποιοῦσιν; κἀκεῖ[25] πάλιν, εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ δύναιτ'[26] ἐκεῖνος, ταῦτα ποιῆσαι

---

13 Mon. Vind. οἷον, ὅ τι εἰπών. in Mon. manu rec. supra lin εἶτα. — pro cor. p. 232. 14 γάρ Vind. om. 15 δὴ Ald. om., est in Port. Mon. Vind. Tum Mon. ἀπορίαν. 16 γε Ald. Mon. om., est in Port. Vind., sed Vind. sq. οὐ om. — de fals. leg. p. 378. 17 γὰρ Mon. om. — in Lept. initio. 18 Mon. ὑμῖν τὸ δοῦναι ὑμᾶς ἐξεῖναι. manus rec. ὑμᾶς mutavit in ὑμῖν. 19 Vind. ταύτης μὲν τὸ σχ. καλὸν καὶ ζηλοῦν. 20 Vind. κρεῖττον δὲ ἀπὸ τοῦ κοινοῦ εἰς τὸ ἐλλεῖπον ποιεῖ τις. 21 Mon. ποιεῖ. 22 Vind. μὲν λείπῃ. 23 Mon. ἐν μὲν τῇ πρ. 24 Vind. τῷ θεῷ, ταῦτα ὑμῶν ἐνθάδε ποιοῦσί τινες. 25 Ol. I. p. 16. sed praecedens locus in illa oratione non legitur. Fortasse in animo habuit locum de fals. leg. p. 362. πολλὰ τοίνυν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον εὐδαιμονίσαι τῆς τύχης κ. τ. λ. 26 Mon. δύναιτο.

καιρὸν ἔχοντες οὐ τολμήσετε; γίνεται δὲ καὶ ἐκ συμπλοκῆς δύο ἀδικημάτων. οἷον, νῦν δὲ ἃ μὲν πλεύσασιν ἦν σῶσαι, βαδίξειν κελεύων ἀπολώλεκεν οὗτος. ἃ δ' [27] εἰποῦσι τἀληθῆ, ψευδόμενος. Καθόλου δὲ περὶ σχήματος περιόδου λεκτέον. περιοδός ἐστι σχῆμα αὐτοτελὲς ὅλου τοῦ ἐπιχειρήματος ἐν ἑρμηνείας ῥυθμῷ συντόμως ἀπηρτισμένον. [28] τὰ δὲ ἐν αὐτῇ συντόμως ὑπερβατὰ καλῶς σχηματίζει τὰς περιόδους, οἷον· [29] ὁ γὰρ οἷς ἂν ἐγὼ λῆφθείην. ἔστι [30] γὰρ τὸ ἑξῆς, ὁ γὰρ ταῦτα πράττων καὶ συσκευαζόμενος οἷς ἂν λῆφθείην ἐγώ.

Ἰστέον δὲ, ὡς τὴν περιοδον ἤτοι ἰσοσκελῆ καὶ ἰσόπλευρον ἀπὸ τῶν κώλων εἶναι δεῖ κατὰ τὴν ἑρμηνείαν, ἢ συντομωτέραν ἐν τῇ ἀποδόσει. ἀτονία δὲ ῥήτορος τὴν ἀπόδοσιν τῆς περιόδου μακροτέραν ποιεῖσθαι [31] τῆς προτάσεως. καὶ καθάπαξ εἴ τις ἐκλεξάμενος τὰ παρὰ τῶν ἀρχαίων σχήματα [32] τῶν περιόδων μιμοῖτο, ἐν ταῖς μεταποιήσεσι πλῆθος ἂν εὕροι περιόδων· καὶ γὰρ τὸ ἐκ παραβολῆς σχῆμα ἄριστον. ὥσπερ γὰρ εἴ τις ἐκείνων προήλω, [33] σὺ τάδε οὐκ ἔγραψας ἄν, οὕτως ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει. καὶ διαπορητικῶς [34] ἐστι περιοδεῦσαι, ἂν ἄρξηταί [35] τις, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. διὰ τί [36] ἄρα

---

27 Vind. ἃ δὲ εἰποῖσι τἀληθὲς ἦ, ψευδ. — de fals. leg. p. 398. 28 Ald. ἀπηρτισμένοι. marg. Vict. Mon. Vind. ἀπηρτισμένον. 29 οἷον ex Mon. recepi, Ald. Port. Vind. om. — Phil. III. p. 115. 30 Mon. ad marg. habet: ἔστιν γὰρ τὸ ἑξῆς — λῆφθειην ἐγώ. vv. καὶ συσκευαζόμ. Mon. Vind. om. 31 Vind. ποιῆσαι. 23 Ald. σχημάτων. Port. Mon. Vind. σχήματα. [Vind. τὰ om.] — v. 18. Port. καὶ γὰρ καί. 33 Ald. προελλω. Mon. Vind. προήλω. — c. Androt. p. 595. 34 Mon. διαποριτικῶς. 35 Par. γρ. ἐὰν ἀπ' ἀρχῆς ἄρξηταί τις διαπορεῖν. 36 Mon. τί γε ἄρα, verbotenus hic locus in oratione laudata non invenitur.

νὴ Δία, διὰ τί τοῦτο οὐχὶ καλῶς ἔχειν τὸ ψήφισμα ἔδοξέ[37] τισι; πότερον, ὅτι παρὰ[38] τοὺς νόμους; καὶ μὴν μόνον ἐστὶ κατὰ τοὺς νόμους. ἀλλ᾽ ὅτι[39] τάξεως λύσις; καὶ μὴν καὶ[40] τοῦτο, ὡς οὐκ ἄλλο, θεμέλιος εὐταξίας. ἀλλ᾽ ὅτι τόδε;[41] καὶ ἀποδώσεις αὐτό. γίνεται δὲ ὅταν καὶ δύο καὶ τρία νοήματα ἔχῃς. οἷον, εἴ τις ἐκείνην ἐθελήσειε μεταποιῆσαι τὴν περίοδον, περιοδικὴν[42] μᾶλλον οὖσαν, ἢ περίοδον· νῦν δὲ ἃ[43] μὲν πλεύσασιν ἦν σῶσαι, βαδίζειν κελεύων ἀπολώλεκεν οὗτος, ἃ δὲ εἰποῦσι τἀληθῆ, ψευδόμενος. καὶ πάλιν, διὰ τί γὰρ[44] ἂν νὴ Δία, διὰ τί φείσαιτό τις Αἰσχίνου; πότερον ὅτι τὴν ἔξοδον ἐπετάχυνε; καὶ μὴν πλεῖν ἔδει, καὶ μὴ βαδίζειν. ἀλλ᾽ ὅτι[45] τἀληθῆ πρὸς ὑμᾶς ἔφησε; καὶ μὴν ψευσάμενος πάντα ἀπολώλεκεν· ἡ δὲ τῆς μεταποιήσεως ἀρετὴ τοῦ ὑποτεθέντος[46] νοήματος, πᾶν σχῆμα οὕτως ἐφαρμόσαι δύναται. ὃ μᾶλλον ἐκπλήττει[47] γινόμενον ἐξ αὐτοσχεδίου, ἢ γραφῇ παραδιδόμενον.

Γίνεται δὲ καὶ μονόκωλος περίοδος, γίνεται δὲ[48] καὶ δίκωλος καὶ τρίκωλος, ἡ ἐκ τριῶν κώλων συνεστηκυῖα, καὶ τετράκωλος, ἡ ἐκ[49] τεττάρων. κῶλον δέ ἐστιν ἀπηρτισμένη[50] διάνοια. ἡ γὰρ[51] μονόκωλος ἐκείνη, ἐπειδὴ κρέμαται[52] ἡ διάνοια αὐτῆς μέχρι τοῦ[53] τέλους τῷ ὑπερ-

---

37 Vind. Mon. δόξαι. 38 Vind. κατά. supra lin. παρά. 39 Mon. ὡς. 40 καὶ Vind. om. 41 ἀλλ᾽ ὅτι τόδε in Mon. manu rec. ad marg. adjectum. 42 περιοδικὴν μ. οὖσ. ἢ περ. Vind. om. 43 de fals. leg. p. 398. 44 Vind. διὰ τί γε ἄρα, νὴ Διὰ, φείσαιτό τις. 45 Mon. ὡς, 46 Ald. ὑποθέντος. Port. Vind. Mon. ὑποτεθέντος. 47 Ald. ἐκπλείττει. 48 δὲ Vind. om. tum Vind. Mon. τρίκωλος δέ. 49 Ald. ἢ τεττάρων. marg. Vict. ἡ τετ. Port. Mon. Vind. ἡ ἐκ τετ. 50 Ald. Port. ἡ ἀπηρτ. Mon. Vind. ἡ om. 51 Vind. ἡ μὲν γάρ. 52 Vind. κρέμμαται. 53 τοῦ Vind. om.

βατῷ, οὕτω σχηματισθεῖσα [54] σχοινοτενῶς διείληπται· εἶτα οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἂν εἰ δυναιτ' [55] ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε; [56] Δίκωλος δὲ ἐκείνη, ἡ προτάσεως μονοκώλου κειμένης ἀπόδοσιν ἀπαιτοῦσα μονόκωλον. τοῦτο δὲ μάλιστα πάσχουσιν αἱ γνωμικαί· ἔστι δὲ γνωμικὴ περίοδος αὕτη, τὸ γὰρ [57] εὖ πράττειν παρὰ τὴν ἀξίαν. ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. Τρίκωλος δὲ ἐκείνη, ὅταν δύο κώλων διαφόρων προτεθέντων [58] ἀρκεῖ μονόκωλος ἑκατέροις ἀπόδοσις. [59] οἷον, ὧν οὖν ἐκεῖνος [60] μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, μέχρι τούτου ἡ πρότασις. εἶτα [61] ἐπήρκεσεν ἑκατέροις τοῖς κώλοις ἡ ἀπόδοσις μονόκωλος. τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. τετράκωλος δὲ [62] ἡ ἐν ἑκατέρᾳ προτάσει ἀπόδοσιν [63] ἰδίαν ἔχουσα. οἷον, ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς, [64] τὸ δοῦναι ὑμῖν [65]

---

54 Ald. Mon. σχηματισθείσης. Port. Vind. σχηματισθεῖσα. 55 Mon. δύναιτο. — Ol. I. p. 16. 56 Par. τολμήσετε. αι 57 Ol. I. p. 16. 58 Mon. Vind. προταθέντων ἀρχῇ. Ald. Port. ἀρκεῖ. ά δο 59 Par. ὑπόθεσις. sq. οἷον Ald. Port. om., recepi ex Vind. Mon. 60 Ol. II. p. 19. 61 Vind. πρότασις ἐπήρκεσεν ἑκ. τοῖς κώλοις. εἶτα ἀπόδοσις μον. τοῦτό ἐστιν· τοῦτον. [etiam Ald. τοῦτον. Port. Mon. marg. Vict. τούτων.] 62 Mon. τετρ. δὲ ἐκείνη, ἡ. tum Mon. Vind. ἐν τῇ πρώτῃ προτάσει. 63 Ald. inserit: καὶ ἐν τῇ ἀποδόσει πρότασιν. Port. Mon. Vind. om. Par. ad marg. γρ. τετρ. δὲ ἐκείνη, ἡ ἐν τῇ πρώτῃ προτάσει ἀπόδοσιν ἰδίαν ἔχουσα, καὶ ἐν τῇ δευτέρᾳ προτάσει ἀπόδοσιν ἰδίαν ἔχουσα. 64 Ald. ὑμᾶς om. Vind. Mon. ὑμῖν. Port. ὑμᾶς ut Dem. in Lept. initio. 65 Vind. ἡμῖν. Mon. ὑμᾶς.

ἐξεῖναι. τῆς τετρακώλου[66] δὲ ταύτης ἡ χρεία καλλίστη ἐν ταῖς μεταποιήσεσιν, ὅτι καὶ δύναται στρέφεσθαι. τετράκις γὰρ μετασχηματιζομένη ἐκ τῶν προτάσεων καὶ τῶν ἀποδόσεων ἁλύπως δύναται λεχθῆναι τετράκις· εἰ δὲ δεῖ καὶ χιασθῆναι[67] αὐτὴν, τότε δὴ τότε δύναιτό[68] τις αὐτὴν ἐκ τῆς τῶν νοημάτων ἀνάγκης καὶ πλεονάκις στρέφειν. οὐ πᾶσα δὲ χιασθῆναι δύναται περίοδος τετράκωλος.[69] ἔστω δὲ πρῶτον αὕτη ἡ τετράκις μὲν στρεφομένη, μηδὲ ἅπαξ δὲ χιαζομένη. οἷον, ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς,[70] τὸ δοῦναι ὑμῖν[71] ἐξεῖναι· δύναται δὲ[72] αὕτη ἀθρόως ἀναστραφεῖσα καὶ ἄλλως γενέσθαι· ἡ γὰρ δευτέρα πρότασις καὶ ἀπόδοσις γίνονται πρῶται. οἷον, ἐν μὲν γὰρ τῷ προσγράψαι, μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμᾶς[73] τὸ δοῦναι ὑμῖν ἐξεῖναι ἀφείλετο· ἐν δὲ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τὴν[74] ἀτέλειαν τοὺς ἔχοντας. ἢ τὰς δύο προτάσεις ἐκλαβὼν[75] συντίθημι. ἐν μὲν[76] γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, καὶ ἐν τῷ[77] προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι,[78] καὶ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, καὶ ὑμᾶς τὸ δοῦναι ὑμῖν

---

66 Vind. τετραγώνου. sq. δὲ Ald. om., est in Mon. Vind. Port. Tum Ald. καὶ ἡ χρεία. Port. Mon. Vind. καὶ om. 67 In Mon. manu rec. supra lin. ἢ κατὰ τὸ σχῆμα τοῦ Χ. 68 Vind. δύν. ἄν τις. 69 Mon. Vind. τετράγωνος περίοδος. mox Port. ἡ πολλάκις μέν. 70 Ald. ἡμῖν. Port. ὑμᾶς. Mon. Vind. ὑμῖν. 71 Ald. Mon. Vind. ὑμᾶς. Port. ὑμῖν. 72 Vind. γάρ. tum Ald. ἀναστρειφεῖσα. 73 Ald. ἡμᾶς ἀφείλετο, omissis τὸ δοῦναι ὑμῖν ἐξεῖναι. Port. ὑμᾶς τὸ δοῦναι, ὑμῖν ἐξεῖναι. omisso ἀφείλετο. Marg. Vict. Vind. ὑμᾶς [Vind. ὑμῖν] τὸ δοῦναι ὑμῖν ἐξεῖναι ἀφείλετο. Mon. ὑμῖν τὸ δοῦναι ὑμᾶς ἐξεῖναι sine ἀφείλετο. 74 Port. Mon. τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν. 75 Vind. ἐκβαλών. 76 μὲν Vind. om. 77 καὶ τῷ Vind. om. 78 δοῦναι Port. om.

ἐξεῖναι. ἢ τὰς [79] ἀποδόσεις ποιῶ προτάσεις, καὶ τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, καὶ ὑμᾶς τὸ δοῦναι ὑμῖν ἐξεῖναι; ἐν τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, καὶ ἐν τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ὑμῖν. [80] καὶ αὕτη ἐστὶ, καὶ οὕτω γίνεται ἡ πολλάκις μὲν ἀναστρεφομένη, μηδὲ ἅπαξ δὲ χιαζομένη. ἐκείνη δὲ [81] ἡ παρὰ τῷ Δημοσθένει καὶ χιασθῆναι δύναται, ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, [82] τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι [83] νομίζεται. ὑμεῖς δὲ, ὦ ἄνδρες [84] Ἀθηναῖοι, ὅσῳ χεῖρον ἢ πρόσηκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. καὶ μυριάκις ἐστὶ μεταποιεῖν [85] τὴν ἀναδεχομένην τοῦτο τὸ σχῆμα. πῶς δὲ ἀναδέχεται τὸν χιασμόν; ὅταν ἐν ἀμφοτέραις ταῖς προτάσεσιν ἀμφότεραι ἁρμόζωσιν [86] αἱ ἀποδόσεις, καὶ ἐναλλάξ· οἷον, ὁ μὲν γὰρ Φίλιππος [87] ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν ἑαυτοῦ, τοῦτο ἡ 69 πρότασις· ἁρμόσει [88] δὲ αὐτῇ ἑκατέρα ἀπόδοσις, εἴτε [89] βούλοιτό τις λέγειν, τοσούτῳ θαυμαστότερος ἐκεῖνος παρὰ πᾶσι νομίζεται, εἴτε βούλοιτο λέγειν, τοσούτῳ πλείονα ὑμεῖς αἰσχύνην ὠφλήκατε. καὶ πάλιν, ὑμεῖς δὲ, ὦ Ἀθηναῖοι, [90] ὅσῳ χεῖρον ἢ προσῆκε [91] κέχρησθε τοῖς πράγμασιν· ἡ πρότασις ἡ δευτέρα πρὸς ἀμφότερα ἁρμό-

79 Par. γρ. ἢ [πάλιν τὰς ἀπ. Vind. ἢ πάλιν τὰς δύο ἀπ. 80 ὑμῖν Vind. om. 81 Vind. Mon. ἐκ. δὲ καὶ χιασθῆναι δύναται παρὰ τῷ Δημ. 82 Mon. ἑαυτοῦ. 83 Ald. Port. Mon. πᾶσιν. Vind. πᾶσι. — Ol. II. p. 18. 84 ὦ ἄνδρ. Ἀθην. Vind. om. 85 Ald. Vind. ποιεῖν. Port. Mon. marg. Vict. μεταποιεῖν. 86 Mon. ἁρμόζουσιν. Vind. ἁρμόσωσιν. 87 Φίλιππος Vind. om. 88 Ald. ἁρμόζει. Vind. Mon. Port. ἁρμόσει. 89 εἴτε βούλοιτό τις λ. — — ὠφλήκατε Mon. om., manu rec. ad marg. adjecta sunt. 90 Mon. ὦ ἄνδρες Ἀθ. 91 Ald. Mon. προσῆκεν χρῆσθε [Mon. χρῆσθαι.] Port. Vind. προσῆκε κέχρησθε.

σει, εἴτε βούλοιτό τις λέγειν, τοσούτῳ πλείονα [92] αἰσχύνην ὠφλήκατε, εἴτε βούλοιτο λέγειν, τοσούτῳ θαυμαστότερος ἐκεῖνος παρὰ πᾶσι νομίζεται. καὶ ὅλως ἄπειρος ὁ περὶ τούτων [93] λόγος.

---

## Cap. IV.

### ΠΕΡΙ ΠΝΕΥΜΑΤΟΣ.

Δεῖ τοίνυν τὸν μέλλοντα λέγειν τὰ ποῖα τῶν νοημάτων κατὰ πνεῦμα ἐξενεχθήσεται, πρῶτον εἰπεῖν τί ἐστι πνεῦμα, καὶ πόσα εἴδη αὐτοῦ, καὶ πόθεν [1] γίνεται, καὶ πῶς συντίθεται. πνεῦμα μὲν οὖν ἐστι σύνθεσις λόγου, διάνοιαν ἀπαρτίζον ἐν κώλοις καὶ κόμμασι μετρούμενον πρὸς τὴν διάρκειαν [2] τοῦ πνεύματος κατὰ τὴν φωνὴν τοῦ λέγοντος. ἐπεὶ δὲ καὶ περὶ κώλου καὶ κόμματος ἔφαμεν, ἰστέον ἐν συντόμῳ, ὡς [3] δεῖ καὶ κόμμα καὶ κῶλον ἀπαρτίζειν τὴν [4] διάνοιαν. διαφέρουσι [5] δὲ ἀλλήλων τοῖς μέτροις. τὸ μὲν γὰρ ἀπὸ τεττάρων [6] καὶ πέντε συλλαβῶν καὶ μέχρι τῶν ἓξ κόμμα ἐστὶν ἐπῳδῷ μετρούμενον· τὸ δὲ ὑπὲρ τὰς ἑπτὰ καὶ ὀκτὼ [7] καὶ δέκα καὶ ἐγγίζον ἤδη τῷ τριμέτρῳ καὶ μέχρι τοῦ ἡρωϊκοῦ προχωροῦν κῶλον γίνεται ὀρθὸν καὶ τεταμένον· ὁ δὲ τῶν συλλαβῶν ἀριθμὸς περινενόηται· τὸ δὲ ὑπὲρ τὸ ἡρωϊκὸν σχοινοτενὲς κέκληται, χρήσιμον προοιμίοις μάλιστα, καὶ ταῖς τῶν προοιμίων περιβολαῖς. οἱ δέ φασι καὶ τὸν ἐπῳδὸν κῶλον εἶναι,

---

92 Ald. *πλείωνα*. Vind. om. 93 Vind. Ald. *τούτου*.

1 Par. *γρ. πῶς γίνεται*. ita Vind. 2 in Par. primum scriptum fuit *διάνοιαν*, tum correctum in *διάρκειαν*. 3 Port. *ὅτι*. tum Ald. Vind. *πνεῦμα*. Port. Mon. *κόμμα*. 4 *τὴν* Mon. om. 5 Mon. Vind. *διαφέρουσι* Ald. Port. *διαφέρει*. 6 Vind. *τεσσάρων*. 7 Ald. Mon. *ὀκτωκαίδεκα*. marg. Vict. Vind. *ὀκτὼ καὶ δέκα*.

τὸ δὲ ὑποκάτω [8] κόμμα. ταῦτα μὲν οὖν κῶλά ἐστιν. ἀλλ' ὁ τὴν [9] Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν. εἶτα ἐπιφέρει κόμματα, καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμόν· εἶτα διαδέχεται καὶ [10] κῶλον πάλιν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον· εἶτα κόμμα πάλιν, ἐν δ' Ἐρετρίᾳ [11] Κλείταρχον, ἢ κῶλον ἐπῳδῷ ἴσον. καὶ καθόλου τὸ πνεῦμα τούτοις συνέχεται. οὔτε γὰρ ἀριθμῷ οὔτε ἕξει [12] ὑποπίπτει τὸ πνεῦμα, ἀλλὰ τὸ παρατυχὸν γίνεται. [13] δι' ἄλλων μέντοι οὐ γίνεται. ἰστέον δὲ, ὅτι καὶ ἀπὸ τῶν πέντε συλλαβῶν, ὡς [14] ἔφαμεν, καὶ τεττάρων δέ γε καὶ ἡσσόνων τὸ κόμμα συνίσταται. εἰ γὰρ ἀπαρτίζοιτο διάνοια, καὶ ἐν δύο [15] συλλαβαῖς κόμμα ἐστί.

Κόμμα δέ ἐστι σύνθεσις διανοίας μικροτέρα κώλου. ἐπεὶ τὸ πνεῦμα αὐτὸ μετ' ὀλίγον καὶ εἰς τοιαῦτα καταλήξει κόμματα, ὅταν λέγῃ· πότερον ταῦτα [16] ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε [17] τὴν εἰρήνην, ἢ οὔ; καὶ γὰρ αἱ [18] ἐπὶ τέλει δύο συλλαβαὶ, ἢ οὔ, κόμμα ἐστὶν ἐρωτῶντος ὁλοκλήρως ἀνθρώπου τὴν [19] διάνοιαν. Εἴδη δὲ πνευμάτων δύο· ἤτοι γὰρ ἓν νόημα λαβόντες [20] καὶ τοῦτο ἐργαζόμενοι τῇ ἑρμηνείᾳ πλείοσι κώλοις, ὡς ἔφην, διαρκοῦμεν, τὸ ἓν ἐπεκτείνοντες· οἷον, ὅτε γὰρ περιὼν [21] ὁ Φίλιππος Ἰλλυριοὺς καὶ

---

8 Ald. Port. Mon. ὑπὸ κάτω. Vind. ὑποκάτω. 9 pro cor. p. 248. 10 καὶ Port. om. 11 Vind. Ἐρετρέια. 12 Vind. λέξει. 13 Vind. Mon. λέγεται. Mon. ad marg. manu rec. γίνεται. 14 ὡς Vind. om. et συνίστασθαι scribit. 15 marg. Vict. δυσί. 16 Port. ταῦτα πάντα, ex Dem. pro cor. p. 248. 17 Ald. Mon. τὴν εἰρήνην ἔλυεν. Port. Vind. ἔλυε τὴν εἰρ. 18 αἱ Vind. om. 19 τὴν Mon. Vind. om. 20 Vind. λαμβάνοντες. 21 Vind. ὅτι γὰρ Φίλιππος περιὼν. — pro cor. p. 240.

Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτὸν, καί τινες τῶν [22] ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, [23] τότε δὴ τότε πάντες ἐφ' οὓς ταῦτα παρεσκεύαζεν ἐκεῖνος, ἐπολεμοῦντο. εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος λόγος οὗτος, [24] οὐ πρὸς ἐμέ. τοῦτο γὰρ σύμπαν ἑνός ἐστι νοήματος ἑρμηνεία, τοῦ ὅτι [25] πάλαι Φίλιππος τοῖς Ἕλλησιν ἐπεβούλευεν. ἢ ὅταν πολλὰ πράγματα ἀθρόως ἔχοντες εἰπεῖν καθ' ἕκαστον κῶλον πρᾶγμα ἀπαρτίζωμεν, ὡς ἐν ἐκείνῳ· ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, [26] καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμὸν, καὶ διόλου τοῦτο τὸ πνεῦμα συναπαρτίζει [27] τῷ πράγματι καὶ τὸ κῶλον, [28] καὶ παρὰ τοῦτο οὐκ ἔστιν ἄλλο εἶδος πνεύματος. ἐλέγχεται δὲ τὸ πνεῦμα καὶ γίνεται [29] τῇ ἐπιμονῇ τοῦ [30] σχήματος. δεῖ γὰρ ἐπιμείναντα τῷ σχήματι τῇ ὁμοιότητι [31] δεῖξαι τὴν τέχνην. συνδεῖται δὲ τὸ πνεῦμα καὶ σύντιθεται μάλιστα καὶ εὔτονον γίνεται τοῖς συνέχουσι [32] συνδέσμοις, τοῖς συμπλεκτικοῖς· καὶ πάσχει δέ

γε

---

22 Ald. τινὲς τῶν πόλεων. Par. γρ. τῶν πολεμίων. Port. Mon. marg. Vict. τινὲς τῶν ἐκ τῶν πόλεων. Vind. τῶν ἐκ τῆς πόλεως. 23 Vind. Tzetz. addunt: Αἰσχίνης. v. 6. Port. παρευκευάζετο. 24 Mon. οὗτος λόγος. 25 Vind. ὅτι εἰ πάλαι. 26 Mon. marg. Vict. addit: καὶ Μεγάροις ἐπιχειρῶν, ex Dem. p. 248. 27 Ald. Vind. συναπαρτίζεται τῷ πρ. καὶ τοῖς κώλοις. 28 Ald. Port. τῷ κώλῳ. marg. Vict. Mon. τὸ κῶλον. [Mon. τὸ om.] tum Par. γρ. καὶ παρὰ ταῦτα. 29 καὶ γίνεται Mon. om. 30 τοῦ Port. om. 31 Ald. Mon. addit: τοῦ σχήματος. Port. Vind. om. 32 Vind. συνεχέσι.

γε κοσμούμενον ἀπ' ἀρχῆς ἄχρι τέλους. καὶ παράδειγμα οὐκ ἔθηκα. οὐδὲν γάρ ἐστιν ὅ τι [33] μὴ οὕτως ἔχει.

Σχήματα δὲ πνευμάτων, ὅσα καὶ λόγων. ἔξεστι γὰρ ὅθεν βούλει σοι τὸ πνεῦμα λαβόντι, καὶ λέγοντι μόνον ἐπιμεῖναι, ὅτῳ [34] δ' ἂν ἐπιμείνῃς, πνεῦμα ποιεῖς. μετρίως δὲ ἀπὸ τῶν παραδειγμάτων τὰς τηρήσεις ἐκθεῖναι ἀναγκαῖον. [35] ἔστι γὰρ αὐτῶν τὸ μὲν ἀποφαντικὸν, κατὰ τὴν ὀρθὴν πτῶσιν· οἷον, [36] ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος. ἀπὸ γὰρ τοῦ σφετεριζόμενος ἡ ἐπιμονὴ γενομένη τὸ σχῆμα προήγαγεν. [37] ἔστι δὲ καὶ κατ' ἐρώτησιν, ἐάν τις [38] λέγῃ, τίς γὰρ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος; τίς ὁ καταλαμβάνων Ὠρεόν; τίς ὁ κατασκάπτων Πορθμόν; τίς ὁ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν; καὶ διόλου ἀλλάξας τὸ σχῆμα σῶον ἐποίησας τὸ πνεῦμα, κἂν αὐτὰ λέγῃς τὰ ῥήματα μόνον ἀντὶ τοῦ ἄρθρου τοῦ ὁ, [39] τὸ τίς μόριον [40] παραλαβὼν διὰ τὸ σχῆμα. ἔστι δὲ καὶ ἐλεγκτικὸν, [41] ἐὰν λέγῃς, [42] οὐχ οὗτός ἐστιν ὁ τὴν Εὔβοιαν σφετεριζόμενος; οὐχ οὗτός ἐστιν ὁ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν; καὶ τὰ ἑξῆς ὁμοίως. καὶ δεικτικὸν [43] πάλιν γίνεται τοῦ οὐχὶ ἀφαιρεθέντος· οἷον, οὗτός ἐστιν ὁ τὴν Εὔβοιαν σφετεριζόμενος, οὗτος ὁ κατασκευάζων ἐπιτείχισμα ἐπὶ

---

33 Vind. τι om. 34 Ald. καὶ ὅτῳ δ' ἂν ἐπιμείνοις. Port. Vind. Mon. ὅτῳ δ' ἂν ἐπιμείνῃς. 35 Vind. ἀναγκ. ἐκθεῖναι. [Ald. ἐκθῆναι.] 36 οἷον Vind. om. 37 Vind. πεποίηκεν. 38 Vind. ἐὰν λέγῃς. 39 Vind. Mon. ἀντὶ τοῦ ὁ ἄρθρου. 40 Ald. Port. τὸ τίς μόνον. Mon. marg. Vict. Vind. τὸ τίς μόριον. Par. τὸ τίς παραλαβὼν διὰ τὸ σχῆμα μόριον. ad marg. γρ. καὶ σχῆμα καὶ μόριον. 41 Ald. ἐλεγκτ. μόνον. Port. Vind. Mon. μόνον om. 42 Ald. Mon. λέγῃ. Port. Vind. λέγῃς. 43 Ald. καὶ δεικτ. δὲ γίνεται. καὶ πάλιν τοῦ οὐχὶ ἀφ. Mon. Port. καὶ δεικτ. δὲ [Port. δὲ om.] πάλιν γίνεται. Vind. καὶ δεικτ. γίνεται πολλάκις, τοῦ οὐχὶ ἀφ.

τὴν Ἀττικήν. καὶ ἡ ἔνστασις μέντοι τοῦ πνεύματος ποιεῖ σχῆμα κάλλιστον, ἐὰν λέγωμεν, οὐ τὴν Εὔβοιαν ἐσφετερίζου; οὐ κατεσκεύαζες ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν; καὶ καθόλου ἀποστροφὴ πᾶσα εἰς πρόσωπον ἐπιμείνασα πνεῦμα ἐγένετο, κἂν εἰς ἐμαυτὸν ἐπιστρέψας [44] λέγω, ἐγὼ μὲν ἤμην ὁ τὴν Εὔβοιαν σφετεριζόμενος, ἐγὼ δὲ ὁ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, ἐγὼ δὲ ὁ καταλαμβάνων Ὠρεόν, ἐγὼ [45] δὲ ὁ κατασκάπτων Πορθμόν· δύναται γάρ που ἐν προβλήματι καὶ Φίλιππος λέγειν ταῦτα. Ἢ ἀρνητικὸν πάλιν πνεῦμα, ἐάν τις λέγῃ, οὐκ ἐγὼ τὴν Εὔβοιαν ἐσφετεριζόμην, οὐκ ἐγὼ κατεσκεύασα ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν.

Ἔστι καὶ ἀπαγορευτικὸν [46] σχῆμα, ὃ ἐπιμεῖναν πνεῦμα γίνεται, [47] ὅταν λέγῃ, μή μοι μυρίους μηδὲ δισμυρίους ξένους, [48] μηδὲ τὰς ἐπιστολιμαίους [49] ταύτας δυνάμεις πρόφερε. [50] Ἰστέον δέ, ὅτι ἐπὶ πάντων τούτων [51] αἵ τε τῶν ἀριθμῶν ἀλλαγαὶ ἐνικῶν καὶ πληθυντικῶν ἀλλάσσουσι καὶ μετασχηματίζουσιν, αἵ τε τῶν γενῶν καὶ τῶν πτώσεων [52] καὶ τῶν ἐγκλίσεων· ἀριθμῶν μέν, ὁπόταν [53] τις λέγῃ, οὗτός ἐστιν ὁ τόδε ποιῶν, ποτὲ δὲ λέγῃ, οὗτοί εἰσιν οἱ καταλαμβάνοντες Ὠρεόν, οὗτοί εἰσιν οἱ κατασκάψαντες Πορθμόν. γενῶν δὲ,

---

44 Mon. ἐπιστρέψω λέγω, ἐγὼ ἤμην. Vind. ἀποστρέψας. 45 ἐγὼ δὲ ὁ κατ. Πορθμὸν Mon. Vind. om. 46 marg. Viet. ἀποτρεπτικόν. idem ad marg. Mon. manu rec. 47 Vind. ἐγένετο. tum Ald. ὅταν λέγει. Mon. Port. λέγῃ. marg. Vict. λέγῃς. 48 Ald. Mon. λόγους. Vind. λέγῃς. Port. ξένους ex Phil. I. p. 45. 49 Ald. Mon. Vind. ἐπιστολιμαίας. Par. Port. ἐπιστολιμαίους. 50 Ald. Mon. Vind. πρόσφερε. Par. πρόφερε. Port. om. 51 Mon. ἐπὶ τούτων πάντων. 52 τῶν ante πτώσεων et ἐγκλίσεων Vind. om. Mon. καὶ αἵ τῶν πτώσεων καὶ αἵ τῶν ἐγκλίσεων. 53 Mon. ὁπόταν λέγῃς. Vind. ὁπόταν λέγωμεν τὸ οὗτός ἐστιν ὁ τόδε ποιῶν, καὶ ὁπότε δὲ λέγοις.

ἐὰν [54] ποτὲ μὲν ἀρσενικὸν προθῇς, ποτὲ δὲ θηλυκὸν, ποτὲ δὲ οὐδέτερον, εἶτα ἐπιμείνῃς. γένους γὰρ ἀλλαγὴ σχήματός ἐστιν ἀλλαγή. πτώσεων δὲ, [55] ἐὰν ποτὲ μὲν ὀνομαστικῶς, ποτὲ δὲ γενικῶς, ποτὲ δὲ κατὰ δοτικὴν, ποτὲ δὲ κατὰ αἰτιατικὴν ἐξενέγκῃς [56] τὰ σχήματα καὶ τὰς πτώσεις· καὶ [57] ἑνικῶς μὲν ἐκφέρων ἄλλο πνεῦμα ποιεῖς, πληθυντικῶς δὲ ἄλλο· καὶ κατὰ τὰς ἐγκλίσεις ὁμοίως.

Ταῦτα μὲν οὖν φύσιν ἔχει [58] τοιαύτην, καὶ πάντα, ἵνα μὴ καθ' ἕκαστον λέγωμεν. πᾶσα γὰρ πτῶσις, πᾶσα ἔγκλισις, πᾶς ἀριθμὸς, πᾶν γένος, πᾶσα μετοχὴ, πᾶσα ἀντωνυμία, μεταποιούμεναι καὶ μεταλλασσόμεναι τὰ σχήματα ἀλλάσσουσιν· ἐκεῖνο δὲ ἄξιον εἰδέναι, ὅτι προχωροῦν τὸ πνεῦμα ἐν [59] τῷ σχήματι εἰς συχνὰ κῶλα ὀφείλει καὶ μεταπεσεῖν εἰς ἄλλο σχῆμα λόγου προχωροῦν, [60] καὶ τῷ δευτέρῳ πάλιν εἰ τύχοι ἐπιπίπτειν [61] τὸ τρίτον. ἡ γὰρ κοινωνία ἡ τοιαύτη καὶ ἡ διαδοχὴ ὡραῖον ποιεῖ τὸν λόγον [62] ἐν τῷ πεύματι· οἷον, ἐὰν ἀπὸ τῆς ἀποφάσεως εἰς τὴν πεῦσιν καταστῇς, [63] ὡς ὁ Δημοσθένης τὰ πρῶτα κῶλα ἀπεφήνατο, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος· εἶτα κατέβη εἰς τὴν πεῦσιν, πότερον ταῦτα ποιῶν ἠδίκει καὶ παρεσπόνδει; ἢ τὸ ἔμπαλιν, ἂν [64] ἐρωτήσας εἰς τὸ δεικτικὸν μεταβάλλῃς, [65] ἢ εἰς ἄλλο τι. πλὴν ἰστέον, ὅτι καλὸν ἐπιμείναντα

71

54 Vind. ἂν ποτὲ μὲν ἀρσενικὸν ὄνομα. 55 Mon. μὲν in loco raso. 56 Ald. ἐξανάγκης. sqq. τὰ σχήματα καὶ Vind. om. Port. ita interpungit. σχήματα καὶ τὰς πτώσεις ἑνικῶς μ. ἐ. ἀ. πν. ποιῇς. 57 καὶ ex Vind. recepi. Ald. Mon. om. 58 Vind. Mon. ἔχει φύσιν. 59 ἐν Vind. om. 60 Ald. προχωροῦν λόγου. Port. Vind. Mon. λόγου προχωροῦν. 61 Ald. Mon. ἐπιπίπτει. Port. ἐμπίπτειν. Vind. ἐπιπίπτειν τῷ ὁ τρίτῳ, ἡ γὰρ τοιαύτη κοιν. ον 62 Mon. τὸν ἐν πνεύματι λόγον. 63 marg. Vict. καταβῇς. 64 Mon. Vind. ἐάν. 65 Vind. μεταβάλῃς.

τῷ πνεύματι ἐν τῷ ἑνὶ σχήματι καὶ εἰς διαδοχὴν ἄλλου προχωρῆσαι. πολλάκις γὰρ τοῦτο οὕτω περικαλλῆ τὸν λόγον ἐποίησεν, ὥστε[66] καὶ εἰς τρίτον σχῆμα μεταβαίνοντας ἀναστῆσαι τοὺς ἀκούοντας, ὥσπερ ἀκμαζούσης τῆς τοῦ λέγοντος φορᾶς, ἣν παρίστησι τοῖς ἀκούουσιν ἡ τοῦ σχήματος μεταβολή. τοὺς πολλοὺς δὲ καὶ ἠπάτησεν ἡ θεωρία ὡς ἀκμὴ οὖσα. ὁ δὲ ἀκμαῖος λόγος[67] οὐχ ὁ αὐτός ἐστιν ἐν λόγῳ καὶ νοήματι· ἀκμὴ δὲ ἄλλο τι διανοίας ἐστὶ, καὶ ἄλλο λόγου·[68] ἀκμὴ γάρ ἐστι λόγου τῶν κατὰ πνεῦμα σχημάτων μεταβολή. νοημάτων δὲ, ὅταν πληρώσας τις ἓν νόημα ἐν πνεύματι εἰς ἄλλο νόημα λαθὼν μεταβῇ, κἀκεῖνο ποιῇ[69] πνεῦμα. εἶτα ἀπ' ἐκείνου εἰς ἄλλο πνεῦμα, καὶ οὕτως ἐκ τῶν ἀδήλων[70] εἰς ἄλληλα διαδεχομένη ἀκμὴ γίνεται. ὡς δὲ ἐπὶ παραδείγματος τὸ Δημοσθενικὸν ῥητέον, ὅπως εἰδείημεν, ὅτι ἡ τῶν πνευμάτων συνθήκη ἀκμή ἐστιν. ὅτε γὰρ περιιὼν[71] ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτὸν, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε[72] διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε δὴ τότε πάντες ἐφ' οὓς ταῦτα παρεσκευάζετο[73] ἐκεῖνος, ἐπολεμοῦντο. εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος λόγος οὗτος,[74] οὐ πρὸς ἐμέ. μέχρι τούτου τὸ πνεῖμα. εἶτα τὸ οὐ πρὸς ἐμὲ, θελήσας ἐργάσασθαι ἄλλο πνεῦμα ἐποίησεν· ἐγὼ μὲν γὰρ[75]

---

66 Vind. Mon. ὡς. 67 Vind. λόγος ἐν λόγῳ καὶ ἐν πράγματι οὐχ ὁ αὐτός. 68 Vind. τοῦ λόγου. 69 Ald. ποιεῖ. Port. Vind. Mon. ποιῇ. 70 marg. Vict. ἀδήλως. Mon. Vind. ἐκ τῶν ἀλλήλων εἰς ἄλληλα διαδεχομένων. [Vind. εἰς om.] 71 Vind. περιών. pro cor. p. 240. 72 Vind. ἐκεῖσαι. 73 Vind. παρεσκεύαζεν. 74 Mon. οὗτος λόγος. 75 γάρ Vind. om.

προὔλεγον καὶ διεμαρτυρόμην καὶ παρ' ὑμῖν ἀεὶ καὶ ὅποι [76] πεμφθείην· αἱ δὲ πόλεις ἐνόσουν. καὶ τοῦτο μέχρι τῶν προδοτῶν προχωροῦν ἓν πνεῦμά ἐστιν· εἶτα λέγει, καὶ τὰ ἄλλα, πλὴν [77] ἑαυτοὺς οἰομένοις πωλεῖν, πρώτους ἑαυτοὺς πεπρακόσιν ἠσθῆσθαι. ἀπὸ γὰρ [78] τούτου καταλιπὼν πάλιν τὸ, ἐγὼ οὐκ [79] αἴτιος, ἐργάζεται πνεῦμά τι ἄλλο, ὅτι οἱ προδόται πρὸ τῶν ἄλλων ἑαυτοὺς πιπράσκουσιν. ἀντὶ γὰρ φίλων καὶ ξένων, ἃ τότε ὠνομάζοντο, νῦν κόλακες καὶ θεοῖς ἐχθροὶ καὶ πάντα ἃ προσῆκεν ἀκούουσι. καὶ τὰ παραδείγματα ληφθέντα εἰς κατασκευήν ἐστι τούτου, καὶ ἔστη [80] ἐνταῦθα· ἐπεὶ διά γε ὑμᾶς πάλαι [81] ἂν ἀπολώλειτε. ὥστε ἡ τῶν τριῶν πνευμάτων σύνθεσις ἀκμὴ γέγονεν ἐντελής, ἐκ νοημάτων οὖσα.

Ἐπὶ τούτοις [82] προσθετέον ἐκεῖνο, ὅπερ ἐστὶ λαμπρὸν πάνυ καὶ [83] ποιεῖν καὶ εἰδέναι· ὅτι ἀκμῆς γενομένης ἀπὸ τῶν νοημάτων, δεῖ τελευταῖον τηρεῖν [84] τὸ ποριμώτερον. δεῖ γὰρ ἀεὶ τὸν λόγον αὔξειν. ποριμώτερον

---

76 Mon. Vind. ὅποι. Ald. Port. ὅπῃ. 77 Ald. πλὴν ἐκείνους ὅμως οἰομένους ἄλλους πωλεῖν, πρώτους ἑαυτοὺς πεπρακότας ἠσθ. Mon. πλὴν ἐκείνους, ὅμως ἄλλους οἰομένους πωλεῖν π. ἑ. πεπρακότας ᾖ. Vind. πλὴν ἄλλους οἰόμενοι πωλεῖν πρώτους ἑαυτοὺς πεπρακότας ᾖσθεσθε. Par. ad marg. γρ. τοῖς δὲ προεστηκόσι καὶ τἄλλα, πλὴν ἑαυτοὺς οἰομένους πωλεῖν. receptam lectionem ex Dem. p. 241. adscivit Portus. 78 γὰρ Port. om. 79 Mon. Vind. οὐκ ἐγὼ αἴτιος. 80 Ald. Par. ἔστη. Port. ἔστιν. Par. ad marg. γρ. καὶ οὕτως. καὶ ἔστη ἐνταῦθα πληρώσας. [ita Vind. Mon. marg. Vict.] γρ. καὶ οὕτως· καὶ οὕτως καὶ τὰ παραδείγματα ληφθέντα εἰς κατασκευήν ἐστι τοῦ· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. 81 Ald. καὶ πάλαι, Vind, Mon. Port. καὶ om, — pro cor. p. 212. 82 Vind. τούτῳ. 83 Mon. καὶ τὸ εἰδέναι καὶ τὸ ποιεῖν. Vind. λαμπρὸν πάνυ τὸ εἰδέναι, ὅτι ἀκμῆς. 84 Ald. τηρεῖ.

δέ ἐστι τὸ ἐκ παραδειγμάτων τὴν σύστασιν λαβεῖν δυνάμενον ἢ παραβολῶν. οὕτω γὰρ τῆς [85] τέχνης τὴν τάξιν σε διδασκούσης καὶ ἐπὶ τὸ κρεῖττον κατ' ὀλίγον προαγομένης καὶ ἐναγούσης, [86] εὐδοκιμεῖν ἡ ψυχὴ δοκεῖ, τῆς τέχνης δι' ὧν προσῆκεν εὐοδουμένης· [37] καὶ γὰρ ὁ Δημοσθένης τὰ περὶ τοὺς προδότας παραδείγματα τελευταῖα ἐφύλαξε. καὶ Ὅμηρος τὸ κατὰ κῶλον πνεῦμα ἐν πράγμασι πληρώσας, ἐπὶ τὴν παραβολὴν ἦλθεν,

Ἀσπὶς ἄρ' [88] ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱπποκόμοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.

εἶθ' ἡ παραβολή,

Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Ὡς ἄραρον [89] κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.

---

## Cap. V.

### ΠΕΡΙ ΤΑΣΕΩΣ. [1]

Τάσις δέ [2] ἐστι λόγου, ὅταν ὑπεραίρῃ τῷ μέτρῳ τοῦ λόγου [3] τὸ πνεῦμα μακρότερον γενόμενον τοῦ δύνασθαι ἐν ἰδίῳ ληφθῆναι τοῦ λέγοντος πνεύματι. τοῦτο γάρ [4] ἐστιν ἡ τάσις, τὸ ἀποτετάσθαι ἐπὶ μακρότερον [5] ἢ χρὴ
72 τὸ πνεῦμα. καταφορὰ δέ ἐστιν ἡ ἐν τῇ [6] κατηγορίᾳ τά-

---

85 τῆς Vind. om. 86 Vind. ἀναγούσης. 87 Ald. Vind. ὁδευούσης. Port. Mon. εὐοδουμένης. 88 Mon. δ' ἄρ. — Il. ν. 131. 89 Ald. Mon. Vind. ἄρα Port. ἄραρον — Il. π. 212.

1 Mon. περὶ τάσεως λόγου. Port. περὶ τ. λόγου τῆς ἐν πνεύματι. 2 Tzetz. τάσις ἐστὶν, ὅταν. etiam Vind. δὲ om. 3 τοῦ λόγου Mon. Vind. Tzetz. om. 4 Tzetz. γοῦν. 5 Mon. Vind. Tzetz. μήκιστον. 6 τῇ Vind. Tzetz. om.

σις, τίνι δὲ διαλλάττει; ὅτι ἡ τάσις καὶ ἐν ἀπολογίαις εἶναι δύναται, ἡ καταφορὰ δὲ οὐκ ἂν γένοιτο ἐν ἀπολογίᾳ.

---

## Cap. VI.

### ΠΕΡΙ ΔΙΛΗΜΜΑΤΟΣ.

Τὸ δὲ διλήμματόν ἐστι σχῆμα μὲν [1] λόγου, δριμύτητος δὲ δόξαν ἔχον καὶ ἀληθείας. [2] ἔστι δὲ τοιοῦτον· ὅταν δύο ἐρωτήσεις ἐρωτῶντες τὸν ἀντίδικον πρὸς ἑκατέραν [3] ὦμεν εἰς λύσιν παρεσκευασμένοι. δεῖ δὲ τὰς ἐρωτήσεις ἐναντίας ἀλλήλαις εἶναι, ὡς πάντως ἢ ταύτην ἢ ἐκείνην ἀποκριθησομένου [4] τοῦ ἐχθροῦ. εἰ [5] μὲν οὖν ἔχοιμεν ἀμφοτέρας λῦσαι, δεῖ ἐρωτᾶν κατὰ διλήμματον, εἰ δὲ μή, μὴ προτείνειν τὸ σχῆμα. ἐὰν γὰρ [6] τῶν ἐρωτήσεων ἡ ἑτέρα ῥᾳδία ᾖ τῷ ἐχθρῷ πρὸς ἀπόκρισιν, σοὶ δὲ δύσλυτος, πάντως ἡττηθήσῃ. [7] ἐρωτᾷς γὰρ ἢ ὡς οὐκ ἀποκριθησομένου τοῦ ἐχθροῦ, [8] ἢ ὡς, εἰ καὶ ἀποκρίνοιτο, λῦσαι. εἰ δὲ ἀποκριν̣όμενός σε νικήσειε, [9] σαυτῷ αἴτιος ἐγένου τῆς ἥττης. οὐδὲ γὰρ ἐν ταῖς ἁπλαῖς ἐρωτήσεσι,

---

1 Vind. μὲν σχῆμα δριμύτητος δόξαν ἔ. omisso λόγου. 2 Ald. Port. Par. Vind. Mon. ἀλήθειαν. Sch. min. ἐχρῆν ἀληθείας εἰπεῖν, οὐχὶ ἀλήθειαν, ὡς εἶναι δριμύτητος καὶ ἀληθείας δόξαν ἔχον καὶ ὑπόνοιαν· οὐ γὰρ πάντως ἀλήθειά ἐστιν, ἐπειδὴ σεσόφισται, ἀλλὰ δόξαν ἀληθείας ἔχει. 3 Mon. πρὸς ἑκατέρας ὦμεν λύσιν. 4 Ald. Vind. ἀποκρινομένου. Port. Mon. ἀποκριθησομένου. 5 Mon. Vind. καὶ εἰ μὲν ἔχοιμεν. 6 Mon. Vind. ἐὰν γὰρ ᾖ τῶν ἐρωτήσ. ἡ ἑ. ῥᾳδία μὲν [Vind. μὲν om.] τῷ ἐ. 7 Mon. Vind. ἥττησαι. Mon. πάντως om., ad marg. man. rec. γρ. ἡττήσει πάντως. Par. ἡττήσει. ad marg. γρ. ἡττηθήσῃ. 8 τοῦ ἐχθροῦ Ald. om., est in Port. Vind. Mon. 9 Vind. Mon. νικήσειεν, ἑαυτῷ.

μήτιγε κατὰ διλήμματα ἐρωτᾷν δεῖ, εἰ μὴ τότε, ὅταν ἢ μὴ ἔχῃ, [10] τί ἀποκρίνηται, ἢ ὅταν μέλλῃ [11] τοῦτο ἀποκρίνεσθαι, ὅ σοι συμφέρει. [12] καθόλου γὰρ ὁ ἐρωτῶν ὡς εἰς [13] νίκην τῇ ἐρωτήσει θαῤῥῶν ἐρωτᾷ. τὸ δὲ διλήμματόν ἐστι τοιοῦτον, οἷον, πότερον παρῆς τούτοις γινομένοις καὶ συνευφραίνου, [14] ἢ οὐ παρῆς; ἐάν τε γὰρ [15] εἴπῃ, παρήμην [16] καὶ συνευφραινόμην, παρεσκεύασται ὁ ῥήτωρ εἰπεῖν, πῶς οὖν κατηγορεῖς τοὐτων οἷς συνευφραίνου; ἐάν τε λέγῃ, οὐ παρήμην, ἀπαντήσεται αὐτῷ, ὅτι δίκης ἄξιος τοῖς ἀγαθοῖς τῆς πόλεως μὴ συμπαρών. καὶ πάλιν, [17] ἤδεις τὰ μέλλοντα, [18] ἢ οὐκ ἤδεις;" ἐάν τε γὰρ εἴπῃ ἤδειν, ἀπαντᾷ, τί οὖν οὐ προέλεγες; ἐάν τε εἴπῃ οὐκ ἤδειν, τί οὖν [19] ἡμῶν ὡς εἰδότων κατηγορεῖς; εἰ μὲν γὰρ ἤδεις, προειπεῖν ὤφειλες· [20] εἰ δὲ οὐκ ἤδεις, τί τῶν ἄλλων ὡς μὴ [21] εἰδότων κατηγορεῖς; τῆς ἀγνοίας [22] τῶν μελλόντων κοινῆς οὔσης πρὸς πάντας ἀνθρώπους. γίνεται δὲ τὰ διλήμματα, ἤτοι τῶν δύο ἐρωτήσεων δι' ἓν πέρας ἐρωτωμένων· οἷον, εἴτε [23] καλὴν ἔγημας, εἴτε αἰσχράν, οὐκ ἔδει γῆμαι. ἓν γὰρ πέρας [24] συνάγεται ἐξ ἀμφοτέρων, τὸ μὴ δεῖν γῆμαι· διὰ μὲν τοῦ [25] καλὴν, κοινὴν, διὰ δὲ τοῦ [26] αἰσχράν, ποινήν· καὶ τὰ [27]

---

10 Mon. ἔχει. 11 Mon. Vind. ἢ μέλλει. omisso ὅταν et sq. σοι. 12 Ald. Port. συμφέροι. Mon. Vind. συμφέρει. 13 Par. εἰς om., superscripsit man. rec. 14 Ald. συνεφραίνου. marg. Viet. συννυφρ. Mon. Vind. Port. συνευφρ. — pro cor. p. 300. 15 γὰρ Vind. om. 16 Vind. παρείμην. 17 pro cor. p. 293. 18 Vind. μέλλοντα ἔσεσθαι ἢ οὐκ εἴδης. 19 Vind. τί οὖν ὡς ἡμῶν μὴ εἰδ. 20 Ald. ὄφειλες. 21 μὴ Mon. om. tum Ald. καταγορεῖς. 22 Ald. Port. ἀνοίας. Vind. Mon. ἀγνοίας, quam lectionem iam Schaef. ad Dem. pro cor. p. 293. v. 28. Hermogeni vindicavit. 23 Vind. εἰ. 24 Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τὸ πέρας. 25 Vind. τό. 26 Mon.

μὲν κοινὰ διλήμματα ταῦτά ἐστιν. ἢ ὅταν τῶν ἐρωτήσεων ἑκάστη ἰδίας ἀποδόσεως [28] δέηται. τοῦτο δὲ τὸ διλήμματον σεσόφισται, καὶ Δημοσθενικόν ἐστι σχῆμα, [29] ὅπερ καὶ παρ' ἡμῶν ἐν τῇ διαιρετικῇ [30] τέχνῃ ὡς παραγραφικὸν ἀντιληπτικὸν μεμελέτηται.

## Cap. VII.

### ΠΕΡΙ ΠΑΡΗΧΗΣΕΩΣ.

Παρήχησις δέ [1] ἐστι κάλλος ὁμοίων ὀνομάτων ἐν διαφόρῳ γνώσει ταὐτὸν ἠχούντων· [2] γίνεται δὲ, ὅταν δύο ἢ τρεῖς ἢ τέσσαρας λέξεις ἢ ὀνόματα εἴπῃ τις ὅμοια μὲν ἠχοῦντα, διάφορον δὲ τὴν δήλωσιν ἔχοντα, ὡς παρὰ τῷ Ξενοφῶντι, πείθει τὸν Πειθίαν. [3] καὶ παρὰ τῷ Ὁμήρῳ, [4]

— — — ἀλλ' Εὐπείθει
Πείθοντο. —
Κἀκεῖ μάλιστα ἐνεργῶς,

Vind. τό. in Mon. manu rec. supra lin. τοῦ. Alludit ad notum apophthegma, quod Pittaco tribuit Stob. T. 67. 7. Bianti Aul. Gell. V. 11. 27 καὶ τὰ μὲν κοινὰ διλ. ταῦτά ἐστιν Vind. h. l. om. et post δέηται ponit, sed sine ἐστίν. 28 Vind. ἀποδώσεως. 29 Mon. σχῆμά ἐστιν. Sqq. ὅπερ — μεμελέτηται Vind. om. 30 διαιρετικῇ et ἀντιληπτικὸν Par. om., ad marg. γρ. καὶ παρ' ἡμῶν ἐν τῇ διαιρετικῇ τέχνῃ ὡς παρ. ἀντιληπτικῶς μεμελέτηται.

1 δὲ Mon. Vind. om. 2 Vind. δηλούντων. tum Ald. Mon. οἷον ὅταν. Port. Vind. γίνεται δὲ, ὅταν. 3 Ald. Port. Codd. etiam Planud. T. V. p. 430. Πειθίαν. Xen. Hellen. VII. 1, 41. Πεισίαν. 4 Mon. Vind. παρ' Ὁμήρῳ. tum Ald. Mon. ἀλλ' οὐκ Εὐπείθει. Vind. ἀλλ' Εὐπειθεῖ πεπίθοντον. Port. ἀλλ' Εὐπείθει πείθ. ut Od. ω, 465.

*Ἦτοι ὃ καππεδίον* [5] *τὸ Ἀλήϊον οἷος ἀλᾶτο*
*Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.*

*ἐνταῦθα γὰρ ὅμοια μὲν ἀλλήλοις ἠχεῖ τὸ Ἀλήϊον* [6] *καὶ τὸ ἀλᾶτο καὶ τὸ ἀλεείνων. ἀλλὰ τὸ μέν ἐστι τόπου ὄνομα* [7] *τὸ Ἀλήϊον· τὸ δὲ ἀλᾶτο πρᾶγμα· τὸ δὲ ἀλεείνων πρᾶγμα μὲν καὶ αὐτό, ἄλλο δὲ παρὰ τὸ προσεσημασμένον·* [8] *καὶ ὁ Θουκυδίδης, καὶ μὴν* [9] *τότε Αἴγυπτος ὑπὸ τῷ Ξέρξῃ* [10] *βασιλεῖ ἐγένετο, πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ διὰ μέγεθός τε* [11] *τοῦ ἕλους οὐκ ἠδύναντο ἑλεῖν. καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ Ἕλειοι.* [12] *Ἕλος μὲν γὰρ ὁ τόπος, ἑλεῖν δὲ τὸ πρᾶγμα· Ἕλειοι δὲ οἱ ἐνοικοῦντες.*

---

## Cap. VIII.

### ΠΕΡΙ ΚΥΚΛΟΥ.

73 *Κύκλος ἐστὶ σχῆμα καὶ αὐτὸ ἑρμηνείας ἴδιον, κάλλος ἐμπεριέχον λόγου. γίνεται δέ, ὅταν ἀφ' οὗ ἄρξηταί* [1] *τις ὀνόματος ἢ ῥήματος, εἰς τὸ αὐτὸ καταλήξῃ* [2]

---

5 Ald. Vind. Mon. *ἤτοι ὅγ' ἐς πεδίον ἀλήϊον οἷος ἀλᾶτο.* [Mon. *τὸ ἀλ.*] Port. restituit ex Il. ζ, 201. 6 Vind. *ἀλήϊον πεδίον.* 7 Mon. *ὄνομα τόπου.* 8 Mon. Vind. *σεσημασμένον.* 9 Port. *Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέως ἐγ.* — Thuc. I, 110. 10 *Ξέρξῃ* Vind. Mon. om. 11 *τε* Ald. Vind. om., est in Mon. Port. Tum Ald. Mon. *ἕλλους.* Port. Vind. *ἕλους.* 12 Mon. *οἱ Ἑλλειοί εἰσιν.* Vind. *οἱ Ἕλειοί εἰσιν.*

1 Ald. *ἄρξοιτο.* Mon. *ἄρξεται.* Port. Vind. *ἄρξηται.* Generalis enuntiatio solo coniunctivo, omissa particula *ἄν*, significatur. Schaef. Appar. ad Dem. T. I. p. 657. 2 Vind. *καταλέξει.*

πάλιν, μήτε πτῶσιν ἀλλάξας [3] μήτε σχῆμα μήτε χρόνον, μήτε ἀριθμὸν μήτε ἄλλο τι· οἷον, σοὶ [4] μὲν γὰρ ἦν κλέπτης ὁ πατὴρ, εἴπερ ἦν ὅμοιός σοι. ἀπὸ γὰρ οὗ ἤρξατο μορίου τῆς ἀντωνυμίας, εἰς αὐτὸ ἔληξεν. [5] ἐγχωρεῖ δὲ καὶ περιοδικῶς αὐτὸ λεχθῆναι δύνασθαι. καὶ μὴν καὶ διηγηματικῶς, ὡς ὁ Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην· λέγεται τοίνυν ἐκεῖνος τειχίζειν [6] εἰπὼν [7] οἴχεσθαι πρεσβεύων [8] εἰς Λακεδαίμονα. καὶ διελθὼν τὰ κατὰ Θεμιστοκλέα [9] πάλιν ὁμοίως ἐπαύσατο· καὶ πάντες ἴστε ὃν τρόπον ἐξαπατῆσαι λέγεται. τὸν γὰρ τοι κίκλον οὐχ ὁ ῥυθμὸς ἐλέγχει, ἀλλὰ ἡ ἀρχὴ καὶ ἡ [10] τελευτή. εἴρηται δὲ κύκλος ἀπὸ τῶν ἐν τῇ γῇ γραφομένων κύκλων. ὥσπερ γὰρ ἐκείνων [11] διὰ τὸ ἐξ ἴσου πανταχόθεν περιφερὲς ἡ ἀρχὴ ἄδηλος, ὅθεν ἂν ἐθελήσωμεν τεκμήρασθαι οὐ δυναμένων τὴν ἀρχὴν, [12] οὕτω δὴ καὶ τούτων ἐκ τῆς ὁμοιότητος τῶν ὀνομάτων ἀμφιβόλου τῆς ἀρχῆς καθισταμένης, ὅθεν εἶναι δύναται. [13] διόπερ εἰ θέλοιμεν αὐτὸ τοῦτο ἀφοριζόμενοι, τὸ τί ἐστι [14] κύκλος, ποιῆσαι

---

3 Mon. ἐναλλάξας. 4 γὰρ Vind. om. — Phil. IV. p. 151. — Mox insolentiorem constructionem ἀπὸ γὰρ οὗ pro ἀφ' οὗ γὰρ notat Schaef. l. l. 5 Mon. κατέληξεν. Vind. καὶ κατέληξεν. 6 Ald. τειχίζειν ἐκεῖνος. Port. Mon. Vind. ἐκ. τειχίζειν. 7 Port. addit: τοῖς πολίταις ex or. in Lept. p. 478. 8 Ald. Port. Mon. πρεσβεύσων. Vind. πρεσβεύων. 9 Ald. Port. κατὰ Θεμιστοκλέους. Mon. κατὰ Θεμιστοκλέα. Vind. τὸ κατὰ τὸν Θεμιστοκλέα καὶ πάλιν. 10 Mon. Vind. καὶ τὸ τέλος. 11 Vind. ἐπ' ἐκείνων διὰ τὸ ἐξ ἴσου πανταχόθεν λαμβάνεσθαι, ὅθεν ἂν ἐθελήσωμεν, τεκμήρασθαι οὐ δυναμένων την ἀρχὴν εὑρεῖν, οὕτω καὶ ἐπὶ τούτου. 12 Mon. ἀρχὴν εὑρεῖν. Par. ad marg. τὸ ἑξῆς οὕτως· ὅθεν ἂν ἐθελήσωμεν τεκμήρασθαι τὴν ἀρχὴν οὐ δυναμένων, αι ο ἡμῶν δηλαδή. 13 Par. δύναται. — tum Vind. διὸ καὶ εἰ. 14

τὸ σχῆμα τοῦ λόγου ἐν τῷ περὶ αὐτοῦ λέγειν τοῦ κύκλου, λελέχθω [15] οὕτω· κύκλος ἐστὶ τὸ ἀφ' ὧν ἂν ἄρξηταί τις ὀνομάτων [16] εἰς τὰ αὐτὰ καταλήγειν δύνασθαι πάλιν. τοῦτο γάρ ἐστιν ὁ κύκλος.

## Cap. IX.

### ΠΕΡΙ ΕΠΙΦΩΝΗΜΑΤΟΣ.

Τὸ [1] ἐπιφώνημα λόγος ἐστὶν ἔξωθεν ἐπὶ τῷ πράγματι παρ' ἡμῶν [3] λεγόμενος. δεῖ δὲ αὐτὸν καὶ προσέχεσθαι τῷ ὑποκειμένῳ, ὡς ἐκείνου μέρος ὄντα, ἵνα μὴ ἀπάδῃ, καὶ [4] ἔξωθέν τι προσειληφέναι, ἵνα ᾖ [5] καὶ ἡ τοῦ ἐπιφωνήματος φύσις φανερά. τὸ δὲ προσλαμβανόμενον ἔξωθεν τετολμῆσθαι δεῖ ἀσφαλῶς. διὰ τοῦτο γάρ τοι [6] καὶ ἐπιφώνημα λέγεται, οὐχ ὅτι αὐτὸ τὰ πεπραγμένον λέγεται, ἀλλ' ὅτι τῷ γινομένῳ [7] ἐπιφωνεῖται. μέχρι μὲν γὰρ ἄν τις [8] κατὰ κῶλον μεμετρημένως διατυποῦν ἐθέλῃ τὸ γινόμενον, τὸ πρᾶγμα [9] λέγει. ἐὰν δὲ παυσάμενος ἐπενέγκῃ τι [10] τῷ παντὶ, ὡς παρ' αὐτοῦ ἔξωθεν, τοῦτο ἐπιφώνημα λοιπόν ἐστιν, οἷον,

Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, [11] Ζέφυρός τε δυσαὴς,

---

Vind. Mon. ἐστὶν ὁ κύκλος. 15 Ald. Par. ἔσται δὴ οὕτω. Port. ἔσται οὕτω. Par. ad marg. γρ. λελέχθω οὕτως. ita Mon. Vind. 16 Vind. addit: ἢ ῥημάτων.

1 τὸ Vind. Tzetz. om. 2 Port. ἐστι λόγος. 3 Mon. παρ' ἡμῶν ἐπὶ τῷ πρ. 4 Ald. Tzetz. δεῖ [Ald. δὴ] δὲ αὐτὸν καὶ ἔξ. 5 Mon. Vind. Tzetz. ᾖ φανερά. 6 τοι Mon. Tzetz. om. 7 Tzetz. ἐπιγενομένῳ. 8 Mon. Vind. Tzetz. τις post μεμετρημ. ponunt. 9 Tzetz. τὸ πρᾶγμα ἤγουν τὴν διήγησιν. 10 Tzetz. ἐπενέγκῃ τι καὶ παρ' αὐτοῦ ἔξωθεν, τοῦτο ἐπιφώνημά ἐστιν, οἷον σὺν δ'. Εὖρος, Νότος καὶ τὰ ἑξῆς, μέχρι τοῦ καὶ πόντον. τὸ δὲ ὀρώρει κ. τ. λ. 11 Ald. Par. Mon. τε ὄρωρ' ἐπαΐξας, ζέφ. et αἰθριγε-

*Καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων.* [12]

καὶ

*— — — σὺν δὲ νεφέεσσι* [13] *κάλυψε*
*Γαῖαν ὅμοῦ καὶ πόντον,*

*μέχρι τούτων ἡ διατύπωσις. τὸ δὲ,*

*— — — ὀρώρει δ' οὐρανόθεν νύξ·*

*ἐπιφώνημα· λοιπόν ἐστιν. ἡ* [14] *μὲν γὰρ ἐκ τῶν νεφῶν σκότος γίνεται,* [15] *προσέχεται* [16] *τῇ ἀληθείᾳ, καὶ ἴδιον τοῦ πράγματος γίνεται.* [17] *ἡ δὲ ἐξ οὐρανοῦ λέγει* [18] *τὴν νύκτα γεγονέναι, δὶς ἐτόλμησε, καὶ νύκτα εἰπὼν τὸ ἄλλο σκότος, καὶ ἐξ οὐρανοῦ γεγονέναι, ὅθεν οὐδέποτε γίνεται σκότος οὐδὲ νύξ. καὶ* [19] *τὸ μὲν ἀληθινὸν ἐπιφώνημα τοῦτό ἐστιν.*

*Ἔστι δὲ* [20] *καὶ ἄλλο ἐπιφωνήματος εἶδος τρόπον τινὰ γινόμενον, ὃ καὶ ἀκμὴν ἐκάλεσάν τινες, οὐκ ὀρθῶς ὁρίζοντες ἐν ἑνὶ κώλῳ ἀκμήν, ἐπεὶ μηδὲ ὅθεν γίνεται, δύναταί τις εἰδέναι. ἔστι* [21] *δὲ τοῦτο τοιοῦτον, ὅταν πνεύματος κατὰ μέρος ἀποταθέντος ἐν πολλοῖς κώλοις,* [22]

---

νέτης. corrigit Port. Vind. — Od. ε, 295. 12 Vind. καλίνδων. 13 Vind. νέφεσι. et δὲ οὐρανόθεν. Od. ε, 293. 14 Tzetz. εἰ. 15 Tzetz. γίνεται σκότος. 16 Ald. Mon. προσέχεσθαι. Port. Vind. Tzetz. προσέχεται. 17 Ald. Mon. ἐγένετο. Port. Vind. γίνεται. 18 Vind. λέγεις τὴν ν. γεγ. δεῖ σε τολμήσαντα καὶ νύκτα εἰπόντα τὸ σκότος καὶ τὸ ἐξ οὐρανοῦ γεγονέναι εἰπεῖν. Par. ad marg. γρ. ἡ δὲ ἐξ οὐρανοῦ λέγοι τὸ τὴν νύκτα γεγονέναι, δὶς ἐτόλμησε, καὶ νύκτα εἰπὼν τὸ ἄλλο σκότος καὶ τῷ ἐξ οὐρανοῦ γεγονέναι εἰπεῖν, ὅθεν οὐδέποτε γίνεται σκότος οὐδὲ νύξ. γρ. καὶ οὕτως· ἡ μὲν γὰρ ἐκ τῶν νεφῶν σκότος γίνεται, προσέχεται τῇ ἀληθείᾳ, καὶ ἴδιον τοῦ πράγματος ἐγένετο, ἡ δὲ ἐξ οὐρανοῦ λέγοιτο τὴν νύκτα γεγονέναι, δεῖ σε τολμήσαντα καὶ νύκτα εἰπόντα τὸ σκότος τὸ καὶ ἀλλὰ καὶ ἐξ οὐρανοῦ γέγονεν εἰπεῖν, ὅθεν οὐ γίνεται σκότος οὐδὲ νύξ. 19 καὶ et μὲν Vind. om. 20 Tzetz. ἔστι δὲ καὶ ἕτερον ἐπιφώνημα τοιοῦτον, ὅταν πνεύματος κατὰ μέρος — κ. τ. λ. 21 Mon. ἔστιν γὰρ τὸ τοιοῦτον. 22 Tzetz. ἐπὶ κώ-

ἐπὶ τέλει πάλιν ἓν κῶλον τεθῇ, συλλήβδην, ὡς εἰπεῖν, πᾶν τὸ [23] πνεῦμα δυνάμενον ἀφορίσασθαι καὶ ἔχειν ἐν ἑαυτῷ· οἷον,

Αἴας δ' οὐκ ἔτ' [24] ἤμυνε, βιάζετο γὰρ βελέεσσι.

καὶ ὅλον τὸ παρ' Ὁμήρῳ πνεῦμα. [25] κατὰ μέρος γὰρ εἰπὼν τὰ συμβάντα [26] τῷ Αἴαντι καὶ ἐπισυμβαίνοντα [27] ἐπὶ τέλει πάλιν ὥσπερ ἐν ἑνὶ κώλῳ πάντα ἐπαλιλλόγησεν [28] εἰπών,

— — — πάντη δὲ κακὸν κακῷ ἐστήρικτο.

Ἔστι [29] δὲ ἐπιφωνηματικὰ καὶ τὰ ἀπὸ τῶν τροπῶν ὀνόματα ἐκλαμβανόμενα [30] λοιπὸν εἰς τὸ πρᾶγμα, τολμηρῶς ἡμῶν βιαζομένων τὰ [31] ἐκ τοῦ ἀλλοτρίου πράγματος εἰς τὸ ἡμέτερον μεταφέρειν, ὡς [32] τὸ ἀσφαλὲς ἐχόντων διὰ τὸ καὶ εἰς τὴν παραβολὴν αὐτὰ προειρηκέναι· οἷον, ἐάν τις ναυάγιον ἐκ παραβολῆς εἰπὼν ἐν λόγῳ, εἶτα μεταβαίνων εἰς τὰ πράγματα ἐθελήσειε κατ' ὄνομα λέγειν [33] ἕκαστον τῶν ἐκ τῆς ναυαγίας σημαίνων τὸ ὑποκείμενον· οἷον, ἐν χειμῶνι καὶ [34] νῦν ἐστι τὰ τῆς πόλεως πράγματα καὶ κλύδωνι, καὶ σαλεύεται τὰ καθεστηκότα, καὶ δεῖται [31] τοῦ κυβερνήσοντος αὐτά [36] καὶ πάλιν αὐτοῦ μεμνησόμεθα τούτου [37] ἐξῆς ἐν τῷ περὶ τροπῆς λόγῳ.

---

λοις πολλοῖς. 23 Mon. πᾶν τὸ αὐτὸ πν. 24 Tzetz. οὐκέτι μίμνε. Il. π, 102. et 110. 25 Vind. πνεῦμα λέγεται. 26 Tzetz. σύμπαντα. 27 Mon. συμβαίνοντα. — Vind. Tzetz. om. λ 28 Ald. Mon. ἐπαλιλόγησεν. Vind. ἐπαλιλόγ. Tzetz. ἐπαλλιλόγ. Port. ἐπαλιλλόγ. 29 Ald. ἔστιν δέ. Port. Tzetz. ἔστι sine δέ. Mon. Vind. ἔστι δὲ καί. 30 Tzetz. λαμβανόμενα. 31 Vind. Tzetz. αὐτά. 32 Tzetz. τὸ δὲ ἀσφαλὲς ἐχ. διὰ καὶ τὸ εἰς τὴν παραβ. αὐτὰ εἴρηνται. 33 Mon. Vind. Tzetz. λέγειν κατ' ὄνομα. 34 καὶ Vind. om. 35 Tzetz. δεῖ. 36 Sqq. καὶ πάλιν — λόγῳ Tzetz. om. 37 Vind. τούτου μεμνησόμ. ἑξῆς.

## Cap. X.

### ΠΕΡΙ ΤΡΟΠΗΣ.

Τροπὴ δέ ἐστι τὸ μὴ ἐξ ὑποκειμένου πράγματος ἀλλοτρίου δὲ σημαντικὸν [1] ὄνομα θεῖναι, κοινὸν εἶναι δυνάμενον καὶ τοῦ ὑποκειμένου καὶ τοῦ ἔξωθεν ἐμφαινομένου. ὃ καλεῖται καὶ μεταφορὰ παρὰ τοῖς γραμματικοῖς, οὐχ ὡς ἐκεῖνοι λέγουσι, τὸ ἀπὸ τῶν ἀψύχων [2] ἐπὶ τὰ ἔμψυχα, καὶ τὸ ἀνάπαλιν, ἀλλὰ [3] καθόλου ἡ ῥητορικὴ πολυπραγμονοῦσα μηδὲν μήτε ἐμψύχων μήτε ἀψύχων οὕτω χρῆται τοῖς ἀλλοτρίοις ὀνόμασιν· οἷον, προπέποται [4] τὰ τῆς πόλεως πράγματα, ἀντὶ τοῦ [5] προδέδοται. καὶ τιθασσεύουσιν, [6] ἀντὶ τοῦ κολακεύουσιν. ἐμφαίνεται γὰρ ἐκείνῳ τε τῷ ὀνόματι τὸ συμπόσιον μὴ ὑποκείμενον, [7] καὶ τούτῳ τὰ θηρία τιθασσευόμενα, τῷ λόγῳ μὴ ὑποκείμενα. τούτου δὲ τοῦ εἴδους εἴ τις ἐφαψάμενος πληρώσειε καὶ τὸ ἐφεξῆς τῆς τροπῆς ὄνομα, ὡς πᾶσαν ἐνθεῖναι τὴν παραβολήν, ἀρετὴν ἐποίησεν. εἰ δὲ ἐλλείψειε, κακοζηλότερόν ἐστιν· οἷον, ἐχθρὸν ἐφ' [8] ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. εἰπὼν [9] ὄνομα καὶ λαβὼν ἀπὸ τοῦ ἀγῶνος εὐθέως ἀπέδωκεν· ἢ φρασάτω τις ἐμοὶ, πόθεν ἄλλοθεν ἰσχυρὸς, [10] ἢ παρ' ἡμῶν αὐτῶν γέγονε Φίλιππος, καὶ τὰ ἑξῆς ὁμοίως. δεῖ μέντοι εἰδέναι,

---

1 Ald. συμαντικόν. 2 Vind. ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. 3 Par. γρ. καθόλου γάρ. ita Mon. Vind. 4 Ol. III. p. 34. 5 Mon. τῆς. 6 Ol. III. p. 37. Sqq. ἀντὶ τοῦ κολακεύουσιν. Mon. Vind. om. 7 Par. ad marg. ἐν ἄλλοις οὐχ εὕρηται. τὸ μὴ ὑποκείμενον. 8 Ald. ἐφ' ἡμᾶς ἐχθρὸν αὐτούς. Vind. Mon. ἐχθρ. ἐφ' ἡμᾶς. Port. ἐχθ. δ' ἐφ' ἡμᾶς αὐτούς. — Ol. III. p. 36. 9 Mon. εἰπὼν γάρ. 10 Mon. Vind. ἰσχ. γέγονε Φίλ. ἢ παρ' ἡμῶν αὐτῶν.

ὅτι ὅσα μέν ἐστι συντελικὰ τῆς τροπῆς, εὐθὺς [11] ἀποδοθήσεται. ὅσα δὲ γελοιότερα, διὰ πολλοῦ τῷ χρόνῳ λανθάνονται [12] καὶ τῷ μὲν [13] τεχνίτῃ κατάδηλα ὄντα, τοῖς ἀτέχνοις δὲ μηδὲ [14] φαινόμενα. τοῦτο μὲν οὖν σεμνὸν ὂν [15] εὐθέως ἀπεδόθη. τὸ δὲ, προπέποται [16] τὰ τῆς πόλεως πράγματα, εἰ μὲν εἶχεν ἐγγὺς [17] παρακειμένην τὴν ἀπόδοσιν, γελοιότερον ἂν ἦν. [18] διὰ πολλοῦ δὲ τεθὲν [19] λανθάνον οὐδὲ φαίνεται. ὑποβαίνων γὰρ ἐρεῖ ὧδέ [20] που, μεθύει τῷ μεγέθει τῶν πεπραγμένων Φίλιππος. ὥρμηται [21] δὲ τὸ τοῦ μεθύειν ὄνομα ἀπ' ἀρχῆς τοῦ προπέποται. ἐδόκει γὰρ εἶναι γελοιότερον εὐθὺς παρακείμενον τῷ προπέποται τὸ μεθύειν. [22] τῷ μέντοι μεθύειν παρακείμενον τὸ ὀνειροπολεῖν, σεμνὸν ὂν, ἐκόσμησε τὸν λόγον. κοινὸν γάρ ἐστι τῶν μεθυόντων [23] τὸ ὀνειροπολεῖν.

## Cap. XI.

### ΠΕΡΙ ΣΕΜΝΟΥ ΛΟΓΟΥ.

Σεμνὸν δὲ εἴ [1] τί πού ἐστιν ἐν τοῖς οὖσι, τί [2] ἄλλο μᾶλ-

---

11 Mon. εὐθέως. 12 Vind. λανθάνοντα. 13 μὲν Mon. om. 14 Vind. μή. 15 Vind. ὂν σεμνόν. 16 Ald. Mon. προπέποτε. Port. Vind. προπέποται. 17 Mon. Vind. εὐθύς. in Mon. man. rec. supra lin. γρ. ἐγγύς. 18 Ald. Mon. ἦν ἄν. Port. Vind. ἂν ἦν. 19 τεθὲν Par. om., ad marg. γρ. διὰ πολλοῦ δὲ τεθὲν λανθάνον οὐ φαίνεται. 20 ὧδε Vind. om. — Phil. I. p. 51. 21 Mon. ὄρμητο [sic] τοίνυν τὸ τοῦ μ. 22 Mon. Vind. μεθύει. et in sqq. τῷ μ. μεθύει παρ. τὸ ὀνειροπολεῖ. 23 Ald. Vind. τῆς μέθης. Port. Mon. τῶν μεθυόντων.

1 Par. Vind. Tzetz. ἦν. Vind. supra lin. εἰ. Par. ad marg. γρ. σεμνὸν δέ τι ἢ νοῦ ἐστιν ἢ λόγου. καὶ τὸ μὲν σεμνὸν τοῦ νοῦ.

μᾶλλόν ἐστιν ἢ λόγος; καὶ τὸ μὲν σεμνὸν τοῦ νοῦ σεμνῶς οὐχ ἑρμηνεύεται ὑπὸ τῆς τοῦ ῥήτορος δυνάμεως, ἀλλ' ὑπὸ τῆς ἀνάγκης αὐτοῦ τοῦ πράγματος· οἷον, ὁ μὲν δὴ μέγας [3] ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων· καὶ ὅσα ἄλλα τοιαῦτα, ὅπου δ' [4] ἂν ὁ νοῦς αἰσχρὸς ᾖ, τότε χρεία τῆς σεμνότητος τοῦ λόγου, ἵνα τὸ νοούμενον αἰσχρῶς οὕτως ἐξενέγκῃ [5] τις τῷ λόγῳ εὐφυῶς, ὄνομα ἀντ' ὀνόματος [6] ἀμείβων, ὡς μὴ δόξαι τισὶν αἰσχρὸν εἶναι τὸ πρᾶγμα διὰ τὴν τοῦ λόγου σεμνότητα. ὡς παρὰ τῷ [7] Μενάνδρῳ. πυθομένου γάρ τινος κόρης, πῶς εἴη διεφθαρμένη, σεμνῶς ἀφηγήσατο πρᾶγμα αἰσχρὸν ὀνόμασι βελτίστοις. Διονυσίων ἦν πομπή. ὁ δέ μοι [8] ἠκολούθησε μέχρι τοῦ [9] πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω με. τὸ γὰρ διεφθάρθαι [10] καὶ ὑβρίσθαι σεμνῶς ἔγνω με εἰπὼν ἐκόσμησε πρᾶγμα αἰσχρὸν σεμνοτέρᾳ λόγου συνθέσει. [11] γίνεται μὲν [12] οὖν ἢ ὀνόματι ἡμῶν ἀντ' ὀνόματος χρωμένων, ἢ πολλάκις οὐδὲ λέγεται τὸ πρᾶγμα, ἐὰν αἰσχρὸν ᾖ πάνυ. ἀλλὰ τὰ πρὸ τοῦ πράγματος εἰωθότα γίνεσθαι [13] καὶ λέγεσθαι καὶ τὰ ἐπισυμβαίνοντα τῷ αἰσχρῷ πράγματι, ἅπερ ἐξ ἀνάγκης ἐναργῶς καὶ σεμνῶς δηλοῖ [14] καὶ αὐτὰ τὰ σιγώμενα. σε-

---

ib. γρ. σεμνὸν δὲ ἢ νοῦ ἐστιν ἢ λόγου. 2 Vind. Mon. Tzetz. τί ἂν ἄλλο. omisso μᾶλλον. 3 Port. inserit ἡγεμών. post ἐλαύνων Tzetz. inserit φέρεται. Plat. Phaedr. p. 246. e. 4 Vind. ὅπου δὲ ὁ νοῦς αἰσχρὸς ἂν ᾖ, ἐκεῖ χρεία. etiam Mon. ἐκεῖ. Tzetz. ὅπου δ' ἂν ὁ νοῦς αἰσχρὸς εἴη, τότε ἐκεῖ χρεία. 5 Mon. Vind. ἐξενέγκῃ. Ald. Port. ἐξενέγκοι. 6 Mon. Vind. ὄνομα ὀνόματι. 7 τῷ Mon. om. 8 Vind. με. 9 Ald. Vind. τά. Port. Mon. τοῦ. 10 Vind. Mon. ἐφθάρθαι. 11 Vind. συνθήκῃ. Mon. προσθήκῃ. 12 Par. γρ. γίνεται οὖν οὕτως. ita Vind., omisso sq. ἤ. 13 Vind. Mon. γίνεσθαι λέγονται. 14 Mon. μηνίει. man. rec. supra lin. δηλοῖ.

μνῶς μὲν, ὅτι μὴ λέγεται· ἐναργῶς δὲ, ὅτι τοῖς ἑκατέρωθεν [15] νοεῖται. ὡς καὶ παρ' Ὁμήρῳ,

Λῦσε δὲ παρθενικὴν [16] ζώνην, κατὰ [17] δ' ὕπνον ἔχευε.

Ἡ δὲ ὑποκυσσαμένη [18] τέκετο [19] ὃν ἔφη τεκεῖν. ἐνταῦθα γὰρ τὴν [20] συνουσίαν ἐδήλωσε τῷ καὶ τὰ γενόμενα πρὸ τῆς συνουσίας εἰπεῖν,

Λῦσε [21] δὲ παρθενικὴν ζώνην,

καὶ τῷ ἐπενεγκεῖν, ἃ μετὰ τὴν συνουσίαν γίνεται, Ἡ δ' ὑποκυσσαμένη τέκετο [22] ὃν ἔφη τεκεῖν.

---

## Cap. XII.

### ΠΕΡΙ ΚΑΚΟΖΗΛΟΥ.

Τὸ δὲ κακόζηλον γίνεται, ἢ κατὰ τὸ [1] ἀδύνατον, ἢ κατὰ τὸ ἀνακόλουθον, ὃ καὶ ἐναντίωμά ἐστιν, ἢ κατὰ τὸ αἰσχρὸν, ἢ κατὰ τὸ ἀσεβὲς, ἢ κατὰ τὸ ἄδικον, ἢ κατὰ τὸ τῇ φύσει πολέμιον. καθ' οὓς τρόπους καὶ ἀνασκευάζομεν μάλιστα τὰ διηγήματα, ἐκβάλλοντες [3] ὡς ἄ-

---

15 Vind. ἑκατέρωθε. 16 Mon. Vind. λῦσε δὲ [Mon. δὲ om.] παρθενίην. — Od. λ, 245. 17 Ald. Vind. ἐπί. Port. Mon. κατά. 18 Ald. ὑποκισσαμένη. Port. ὑποκυσαμ. Vind. Mon. ὑποκυσσ. h. l. et infra. 19 Ald. Mon. Vind. τέκετο. Port. τέκεν. tum Mon. ὃν ἔφατο, h. l. et infra. 20 Vind. καὶ τήν. 21 Vind. λῦσαι δὲ παρθενίην ζώνην καὶ ἐπενεγκεῖν. — Ad hunc locum respicere videtur Eustathius ad Odyss. K. p. 1653. καὶ ἔστι τοιαύτη μέθοδος καὶ ἀλλαχοῦ παρ' Ὁμήρῳ, ἣν καὶ ὁ Ἑρμογένης ἐπισημαίνεται, διδάσκων εἶναί ποτε καὶ μάλιστα ἐπὶ τῶν μὴ σεμνῶν, σιγᾶσθαι μὲν τὸ πρᾶγμα, δηλοῦσθαι δὲ ὅμως ἐκ τῶν πρὸ αὐτου καὶ τῶν μετ' αὐτό. 22 Port. τέκεν.

1 Mon. κατὰ ἀδύνατον ἢ κατὰ ἀνακ. 2 τῇ Mon. om. 3 Ald. ἐκβαλόντες. Port. Mon. Vind. ἐκβάλλοντες. Tzetz. διαβάλ-

πιστα. διά τοι [4] τοῦτο φαμὲν καὶ τὰς διασκευὰς μέχρι τοῦ εἰκότος προχωρεῖν· [5] ὡς εἰ παρὰ τὸ εἰκὸς εὑρεθείη τι, πάντως κακόζηλον ἐσόμενον καὶ ἐμπεσούμενον τῇ ἀνασκευῇ. [6] καὶ γὰρ ἐκεῖ λέγομεν οὐκ εἰκὸς τόδε πραχθῆναι, ἢ ὅτι ἀδύνατον, ἢ ὅτι αἰσχρὸν, καὶ τὰ ἑξῆς. γίνεται δὲ τὸ [7] κακόζηλον ὅμως καὶ τροπικῇ λέξει μιᾷ χρησαμένων, [8] εἶτα τὸ πλῆρες τῆς τροπῆς ἀποδοῦναι μὴ δυναμένων· ἰστέον μέντοι, ὅτι τὰ κακόζηλά ἐστι πολλάκις ἰᾶσθαι τῇ προκατασκευῇ τῇ καὶ προθεραπείᾳ καλουμένῃ. [9] τὰ γὰρ προμαλαχθέντα τῇ ἑρμηνείᾳ νοῦν εἰσάγει. ὅθεν καὶ τὸ τόλμημα προσδοκᾶται τοῖς ἀκούουσιν, ὃ [10] καὶ πρὶν λεχθῆναι ἀσφαλὲς εἶναι δοκεῖ. γυμνὸν δ' ἂν [11] τεθῇ πρὸ τῆς κατασκευῆς τοῦ λόγου, κακόζηλον ἔδοξεν ἢ τῷ νῷ, ἢ τῷ λόγῳ. καὶ [13] σκόπει πῶς καὶ Ὅμηρος ἐποίησεν. ὡς γὰρ ἔμελλε λέγειν,

Ἦκε δ' ἀπορρήξας κορυφὴν ὄρεος [13] μεγάλοιο,

φοβούμενος τοῦτο τὸ ἀδύνατον, προκατασκευάζει τοιοῦτον ἄνδρα τῷ λοιπῷ διηγήματι, ὡς μηδὲ τὸν περὶ τούτου λόγον ἄπιστον κατασταθῆναι λεχθέντα· τῷ τε τροφὰς αὐτῷ παραθεῖναι [14] μείζονας ἢ κατὰ ἄνθρωπον, τῷ τε [15] ἀποδοῦναι αὐτῷ ῥόπαλον βαστάζειν, οἷον οὐκ ἄνθρωπον, καὶ λίθον· καὶ τῷ τὴν ἰδέαν αὐτοῦ διελθεῖν, ὡς μεγά-

---

λοντες. 4 Vind. διὰ τοῦτο γάρ φαμεν. 5 προχωρεῖν Mon. om., manu rec. ad marg. adiectum est. — Schol. T. VII. p. 852. ἔν τισιν εὑρίσκεται μέχρι τοῦ εἰκότως προχωρεῖν. 6 Mon. Vind. τῇ ἀνασκ. ἐμπεσούμενον. 7 τὸ Vind. om. 8 Mon. χρησ. ἡμῶν. 9 καλουμένῃ in Par. man. rec. supra lin. scriptum: ad marg. τῇ προθεραπείᾳ καλουμένῃ. 10 Vind. Mon. διότι καί. Par. ad marg. γρ. ὅτι καὶ πρ. 11 Mon. δὲ ἄν. Vind. ἐάν. 12 Vind. λόγῳ, ὡς καὶ Ὅμ. ἐποίησεν. tum Vind. Mon. ὡς γὰρ λέξειν ἔμελλεν. 13 Ald. οἴρεος. — Od. ι, 481. Post μεγάλοιο in Mon. eadem manu scriptum est: περὶ Κύκλωπος. 14 Mon. περιθεῖναι. 15 Vind. τῷ τε ῥόπαλον αὐτῷ δοῦναι βαστ.

λην καὶ φοβερὰν· καὶ τῷ εἰπεῖν,

— — — οὐδὲ ἐώικει [16]

Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι.

πάντες γὰρ οἱ περὶ τούτου προγυμνασθέντες λόγοι πιστὸν ἐποίησαν εἶναι δοκεῖν τὸ παράδοξον τὸ περὶ τοῦ Κύκλωπος ῥηθὲν, [17] τὸ,

Ἧκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο.

εἰ γὰρ καὶ τοιοῦτος ἦν, οἷον αὐτὸν προκατεσκεύαζεν, οὐδὲν ἦν τὸ καὶ τοιοῦτον αὐτὸν ποιῆσαι δυνηθῆναι. Γίνεται δὲ τὸ κακόζηλον καὶ κατὰ τὸ εὐτελὲς πολλάκις, ὡς ἐκεῖνο· [18]

οἴμοι, δράκων μου γίνεται τὸ ἥμισυ.

θεραπεύεται δὲ τὰ κακόζηλα οὐ τῇ προδιορθώσει [19] μόνῃ, ἢ τῇ προκατασκευῇ, ὡς ἐδείξαμεν, ἀλλὰ καὶ τῇ ἐπιδιορθώσει [20] καλουμένῃ· δεῖ δὲ εἰδέναι, ὅτι τὰ εὐτελῶς εἰρημένα ἡ σεμνύτης διορθοῦται· ὡς παρὰ τῷ Εὐριπίδῃ,

οἴμοι δράκων μου γίνεται τὸ ἥμισυ.

τοῦτο γὰρ κοινῶς καὶ εὐτελῶς εἰπὼν ἐθεράπευσε τῇ ἐπιφορᾷ·

τέκνον περιπλάκηθι τῷ λοιπῷ πατρί.

τοῦτο [21] δὲ οὐ μόνον σεμνῶς εἴρηται, ἀλλὰ καὶ ἐπιφω-

---

16 Od. ι, 190. 17 Mon. Vind. τὸ ῥηθὲν παράδοξον περὶ τοῦ Κύκ. 18 Eur. Fr. inc. CLXVI. Barnes. Schol. T. VII. p, 853. περὶ Κέκροπος ὁ λόγος εἰς δράκοντα μεταβαλλομένου. ibid. Sch. min. εὐτελὲς λέγει οὐ τὸ μικρὸν, ἀλλ' ἐγγὺς ἀσυνέτου· ἀσυνεσία γάρ τις τὸ λέγειν τὸν Κέκροπα, ὅτι δράκων μου γέγονε τὸ ἥμισυ. Scholiasta Cecropem cum Cadmo confudisse videtur: de hoc enim Hermog. de Id. II. 10. p. 141. Ald. Κάδμος δράκων ἐγένετο ἐξ ἀνθρώπου. coll. Apollod. III. 5. 4. Versus nostri igitur ad Cadmum pertinere videntur, si quidem huius nominis fabulam Euripides scripsit. vid. Valck. Diatr. p. 12. a. 19 Vind. προσδιορθ. 20 Vind. ἐπιδιωρθώσει. 21 Mon. Vind. καὶ τοῦτο οὐ μ.

νηματικῶς διὰ τὸ τετολμῆσθαι· οὗ τὸ ἐναντίον ἐὰν συμβῇ τινι, μετὰ σεμνότητα εἰς αἰσχρὸν κατενεχθῆναι, κακοζηλότερον [22] ἐγένετο. ὡς ἐτέρωθι ὁ αὐτός·

Ἦ δὲ καὶ θνήσκουσ' [23] ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως [24] πεσεῖν.

τοῦτο σεμνῶς εἰπὼν ἐπήνεγκεν εὐτελὲς καὶ κοινὸν καὶ κακόζηλον,

Κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

---

## Cap. XIII.

### ΠΕΡΙ ΤΩΝ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ.

Τῶν ἐσχηματισμένων προβλημάτων τὰ μέν ἐστι [1] κατὰ τὸ ἐναντίον, τὰ δὲ κατὰ τὸ πλάγιον, τὰ δὲ κατὰ ἔμφασιν. ἐναντίον [2] μὲν οὖν ἐστιν, ὅταν τὸ ἐναντίον κατασκευάζωμεν οὗ λέγομεν. οἷον, ἤτησαν οἱ [3] Ἀθηναῖοι παρὰ Λακεδαιμονίων εἰρήνην, οἱ δὲ ἀντήτησαν Περικλέα. βουλευομένων τῶν Ἀθηναίων, αὐτὸς ὁ Περικλῆς ὑβριοπαθῶν ἐπὶ τῇ βουλῇ ἀξιοῖ ἀπέρχεσθαι. ὁμολογουμένως [4] γὰρ ὁ Περικλῆς, εἰ καὶ λέγει πέμψατέ με, σχή-

---

22 Vind. Mon. κακόζηλον. 23 Ald. Port. Mon. πίπτουσ'. Vind. θνήσκουσ', ut Eur. Hec. 566. Versum a veteribus celebratum bene expressit Ovidius Fast. II. 833. de Lucretia:

Tum quoque jam moriens ne non procumbat honesta
Respicit: haec etiam cura cadentis erat.

Vide Jacobs. Exercitatt. critt. in scriptores veteres T. I. p. 21. sq. Porson. ad Eurip. l. l. Lucian. Dem. Encom. c. 47. 24 Mon. εὐσχημόνως.

1 Vind. Mon. τὰ μέν ἐστιν [Vind. εἰσιν] ἐναντία, τὰ δὲ πλάγια. Tzetz. ἐστὶ om. 2 Mon. Vind. ἐναντία. 3 οἱ Mon. om. v. 15. Tzetz. βουλομένων. 4 Vind. ὡμολογουμένως. Tzetz.

λην καὶ φοβεράν· καὶ τῷ εἰπεῖν,

— — — οὐδὲ ἐώκει [16]

Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι.

πάντες γὰρ οἱ περὶ τούτου προγυμνασθέντες λόγοι πιστὸν ἐποίησαν εἶναι δοκεῖν τὸ παράδοξον τὸ περὶ τοῦ Κύκλωπος ῥηθὲν, [17] τὸ,

Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο.

εἰ γὰρ καὶ τοιοῦτος ἦν, οἷον αὐτὸν προκατεσκεύαζεν, οὐδὲν ἦν τὸ καὶ τοιοῦτον αὐτὸν ποιῆσαι δυνηθῆναι. Γίνεται δὲ τὸ κακόζηλον καὶ κατὰ τὸ εὐτελὲς πολλάκις, ὡς ἐκεῖνο· [18]

οἴμοι, δράκων μου γίνεται τὸ ἥμισυ.

θεραπεύεται δὲ τὰ κακόζηλα οὐ τῇ προδιορθώσει [19] μόνῃ, ἢ τῇ προκατασκευῇ, ὡς ἐδείξαμεν, ἀλλὰ καὶ τῇ ἐπιδιορθώσει [20] καλουμένῃ· δεῖ δὲ εἰδέναι, ὅτι τὰ εὐτελῶς εἰρημένα ἡ σεμνύτης διορθοῦται· ὡς παρὰ τῷ Εὐριπίδῃ,

οἴμοι δράκων μου γίνεται τὸ ἥμισυ.

τοῦτο γὰρ κοινῶς καὶ εὐτελῶς εἰπὼν ἐθεράπευσε τῇ ἐπιφορᾷ·

τέκνον περιπλάκηθι τῷ λοιπῷ πατρί.

τοῦτο [21] δὲ οὐ μόνον σεμνῶς εἴρηται, ἀλλὰ καὶ ἐπιφω-

---

16 Od. ι, 190. 17 Mon. Vind. τὸ ῥηθὲν παράδοξον περὶ τοῦ Κύκ. 18 Eur. Fr. inc. CLXVI. Barnes. Schol. T. VII. p, 853. περὶ Κέκροπος ὁ λόγος εἰς δράκοντα μεταβαλλομένου. ibid. Sch. min. εὐτελὲς λέγει οὐ τὸ μικρὸν, ἀλλ' ἐγγὺς ἀσυνέτου· ἀσυνεσία γάρ τις τὸ λέγειν τὸν Κέκροπα, ὅτι δράκων μου γέγονε τὸ ἥμισυ. Scholiasta Cecropem cum Cadmo confudisse videtur: de hoc enim Hermog. de Id. II. 10. p. 141. Ald. Κάδμος δράκων ἐγένετο ἐξ ἀνθρώπου. coll. Apollod. III. 5. 4. Versus nostri igitur ad Cadmum pertinere videntur, si [illegible] huius nominis fabulam Euripides scripsit. vid. Valck[illegible] p. 12. a. 19 Vind. προσδιορθ. 20 Vind. ἐπιδ[illegible] 21 Mon. Vind. καὶ τοῦτο οὐ μ.

προσωπικὴ δὲ ἡ καταληκτικὴ· οἷ' ὁ λοιπὸς ἐν τοῖς
ΙΘ καὶ κ, καὶ ἐν τοῖς ΚΑ καὶ ΚΒ· ἀόριστος δὲ
ἡ ἐν τοῖς ΚΓ καὶ ΚΔ· ἐν τοῖς ΚΕ καὶ ΚΖ
ἡ τοῦ ἀορίστου καὶ τοῦ μέλλοντος· ἐν τοῖς ΚΗ καὶ ΚΘ
ἡ τοῦ ἀορίστου καὶ τοῦ παρακειμένου· ἐν τοῖς λοιποῖς
ἡ τοῦ παρακειμένου.

Κεφάλαιον ἕβδομον περὶ ῥημάτων συνθέσεως.

## Κ. ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΡΗΜ.

Τῶν ἀρχαιοτάτων προβλημάτων ἐν μὲν τοῖς Ι καὶ
ΙΑ κεφαλαίοις, ἐν δὲ τοῖς ΙΓ καὶ ΙΔ τὸ περὶ
τῆς συνθέσεως τῶν ῥημάτων ἐστὶν ἐπισκοπούμενον·
ἐπεκτεινόμενος δὲ λόγος ἐπὶ πλεῖστον ἐν τοῖς ΙΕ καὶ
ΙΖ τὸ περὶ τῆς συνθέσεως τῶν ὀνομάτων ἐπεσκόπησεν·
ἐν δὲ τοῖς ΙΗ καὶ ΙΘ τὸ περὶ τῆς συνθέσεως τῶν
λόγων ἐπεσκόπησεν· ἐν δὲ τοῖς ΚΑ καὶ ΚΒ τὸ περὶ
τῆς συνθέσεως τῶν ῥημάτων ἐπεσκόπησεν· ἐν δὲ τοῖς
ΚΓ καὶ ΚΔ τὸ περὶ τῆς συνθέσεως τῶν ἀντωνυμιῶν
ἐπεσκόπησεν· ἐν δὲ τοῖς ΚΕ καὶ ΚΖ τὸ περὶ τῆς
συνθέσεως τῶν ἄρθρων ἐπεσκόπησεν· ἐν δὲ τοῖς ΚΗ
καὶ ΚΘ τὸ περὶ τῆς συνθέσεως τῶν μορίων ἐπεσκόπησεν·
ἐν δὲ τοῖς λοιποῖς τὸ περὶ τῆς συνθέσεως τῶν
ἐπιρρημάτων ἐπεσκόπησεν.

ἐπὶ τέλει πάλιν ἓν κῶλον τεθῇ, συλλήβδην, ὡς εἰπεῖν, πᾶν τὸ [23] πνεῦμα δυνάμενον ἀφορίσασθαι καὶ ἔχειν ἐν ἑαυτῷ· οἷον,

*Αἴας δ' οὐκ ἔτ' [24] ἔμιμνε, βιάζετο γὰρ βελέεσσι.*

καὶ ὅλον τὸ παρ' Ὁμήρῳ πνεῦμα. [25] κατὰ μέρος γὰρ εἰπὼν τὰ συμβάντα [26] τῷ Αἴαντι καὶ ἐπισυμβαίνοντα [27] ἐπὶ τέλει πάλιν ὥσπερ ἐν ἑνὶ κώλῳ πάντα ἐπαλιλλόγησεν [28] εἰπών,

*— — — πάντη δὲ κακὸν κακῷ ἐστήρικτο.*

Ἔστι [29] δὲ ἐπιφωνηματικὰ καὶ τὰ ἀπὸ τῶν τροπῶν ὀνόματα ἐκλαμβανόμενα [30] λοιπὸν εἰς τὸ πρᾶγμα, τολμηρῶς ἡμῶν βιαζομένων τὰ [31] ἐκ τοῦ ἀλλοτρίου πράγματος εἰς τὸ ἡμέτερον μεταφέρειν, ὡς [32] τὸ ἀσφαλὲς ἐχόντων διὰ τὸ καὶ εἰς τὴν παραβολὴν αὐτὰ προειρηκέναι· οἷον, ἐάν τις ναυάγιον ἐκ παραβολῆς εἰπὼν ἐν λόγῳ, εἶτα μεταβαίνων εἰς τὰ πράγματα ἐθελήσειε κατ' ὄνομα λέγειν [33] ἕκαστον τῶν ἐκ τῆς ναυαγίας σημαίνων τὸ ὑποκείμενον· οἷον, ἐν χειμῶνι καὶ [34] νῦν ἐστι τὰ τῆς πόλεως πράγματα καὶ κλύδωνι, καὶ σαλεύεται τὰ καθεστηκότα, καὶ δεῖται [35] τοῦ κυβερνήσοντος αὐτά [36] καὶ πάλιν αὐτοῦ μεμνησόμεθα τούτου [37] ἐξῆς ἐν τῷ περὶ τροπῆς λόγῳ.

---

λοις πολλοῖς. 23 Mon. πᾶν τὸ αὐτὸ πν. 24 Tzetz. οὐκέτι μίμνε. Il. π, 102. et 110. 25 Vind. πνεῦμα λέγεται. 26 Tzetz. σύμπαντα. 27 Mon. συμβαίνοντα. — Vind. Tzetz. om. λ 28 Ald. Mon. ἐπαλιλόγησεν. Vind. ἐπαλιλόγ. Tzetz. ἐπαλλιλόγ. Port. ἐπαλιλλόγ. 29 Ald. ἔστιν δέ. Port. Tzetz. ἔστι sine δέ. Mon. Vind. ἔστι δὲ καί. 30 Tzetz. λαμβανόμενα. 31 Vind. Tzetz. αὐτά. 32 Tzetz. τὸ δὲ ἀσφαλὲς ἐχ. διὰ καὶ τὸ εἰς τὴν παραβ. αὐτὰ εἴρηνται. 33 Mon. Vind. Tzetz. λέγειν κατ' ὄνομα. 34 καὶ Vind. om. 35 Tzetz. δεῖ. 36 Sqq. καὶ πάλιν — λόγῳ Tzetz. om. 37 Vind. τούτου μεμνησόμ. ἑξῆς.

## Cap. X.

### ΠΕΡΙ ΤΡΟΠΗΣ.

Τροπὴ δέ ἐστι τὸ μὴ ἐξ ὑποκειμένου πράγματος ἀλλοτρίου δὲ σημαντικόν [1] ὄνομα θεῖναι, κοινὸν εἶναι δυνάμενον καὶ τοῦ ὑποκειμένου καὶ τοῦ ἔξωθεν ἐμφαινομένου. ὃ καλεῖται καὶ μεταφορὰ παρὰ τοῖς γραμματικοῖς, οὐχ ὡς ἐκεῖνοι λέγουσι, τὸ ἀπὸ τῶν ἀψύχων [2] ἐπὶ τὰ ἔμψυχα, καὶ τὸ ἀνάπαλιν, ἀλλὰ [3] καθόλου ἡ ῥητορικὴ πολυπραγμονοῦσα μηδὲν μήτε ἐμψύχων μήτε ἀψύχων οὕτω χρῆται τοῖς ἀλλοτρίοις ὀνόμασιν· οἷον, προπέποται [4] τὰ τῆς πόλεως πράγματα, ἀντὶ τοῦ [5] προδέδοται. καὶ τιθασσεύουσιν, [6] ἀντὶ τοῦ κολακεύουσιν. ἐμφαίνεται γὰρ ἐκείνῳ τε τῷ ὀνόματι τὸ συμπόσιον μὴ ὑποκείμενον, [7] καὶ τούτῳ τὰ θηρία τιθασσευόμενα, τῷ λόγῳ μὴ ὑποκείμενα. τούτου δὲ τοῦ εἴδους εἴ τις ἐφαψάμενος πληρώσειε καὶ τὸ ἐφεξῆς τῆς τροπῆς ὄνομα, ὡς πᾶσαν ἐνθεῖναι τὴν παραβολήν, ἀρετὴν ἐποίησεν. εἰ δὲ ἐλλείψειε, κακοζηλότερόν ἐστιν· οἷον, ἐχθρὸν ἐφ' [8] ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. εἰπὼν [9] ὄνομα καὶ λαβὼν ἀπὸ τοῦ ἀγῶνος εὐθέως ἀπέδωκεν· ἢ φράσάτω τις ἐμοί, πόθεν ἄλλοθεν ἰσχυρὸς, [10] ἢ παρ' ἡμῶν αὐτῶν γέγονε Φίλιππος, καὶ τὰ ἑξῆς ὁμοίως. δεῖ μέντοι εἰδέναι,

---

1 Ald. συμαντικόν. 2 Vind. ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. 3 Par. γρ. καθόλου γάρ. ita Mon. Vind. 4 Ol. III. p. 34. 5 Mon. τῆς. 6 Ol. III. p. 37. Sqq. ἀντὶ τοῦ κολακεύουσιν. Mon. Vind. om. 7 Par. ad marg. ἐν ἄλλοις οὐχ εὕρηται τὸ μὴ ὑποκείμενον. 8 Ald. ἐφ' ἡμᾶς· ἐχθρὸν αὐτούς. Vind. Mon. ἐχθρ. ἐφ' ἡμᾶς. Port. ἐχθ. δ' ἐφ' ἡμᾶς αὐτούς. — Ol. III. p. 36. 9 Mon. εἰπὼν γάρ. 10 Mon. Vind. ἰσχ. γέγονε Φίλ. ἢ παρ' ἡμῶν αὐτῶν.

ὅτι ὅσα μέν ἐστι συντελικὰ τῆς τροπῆς, εὐθὺς [11] ἀποδοθήσεται. ὅσα δὲ γελοιότερα, διὰ πολλοῦ τῷ χρόνῳ λανθάνονται [12] καὶ τῷ μὲν [13] τεχνίτῃ κατάδηλα ὄντα, τοῖς ἀτέχνοις δὲ μηδὲ [14] φαινόμενα. τοῦτο μὲν οὖν σεμνὸν ὂν [15] εὐθέως ἀπεδόθη. τὸ δὲ, προπέποται [16] τὰ τῆς πόλεως πράγματα, εἰ μὲν εἶχεν ἐγγὺς [17] παρακειμένην τὴν ἀπόδοσιν, γελοιότερον ἂν ἦν. [18] διὰ πολλοῦ δὲ τεθὲν [19] λανθάνον οὐδὲ φαίνεται. ὑποβαίνων γὰρ ἐρεῖ ὧδέ [20] που, μεθύει τῷ μεγέθει τῶν πεπραγμένων Φίλιππος. ὥρμηται [21] δὲ τὸ τοῦ μεθύειν ὄνομα ἀπ' ἀρχῆς τοῦ προπέποται. ἐδόκει γὰρ εἶναι γελοιότερον εὐθὺς παρακείμενον τῷ προπέποται τὸ μεθύειν. [22] τῷ μέντοι μεθύειν παρακείμενον τὸ ὀνειροπολεῖν, σεμνὸν ὂν, ἐκόσμησε τὸν λόγον. κοινὸν γάρ ἐστι τῶν μεθυόντων [23] τὸ ὀνειροπολεῖν.

---

## Cap. XI.

### ΠΕΡΙ ΣΕΜΝΟΥ ΛΟΓΟΥ.

Σεμνὸν δὲ εἴ [1] τί πού ἐστιν ἐν τοῖς οὖσι, τί [2] ἄλλο μᾶλ-

---

11 Mon. εὐθέως. 12 Vind. λανθάνοντα. 13 μὲν Mon. om. 14 Vind. μή. 15 Vind. ὂν σεμνόν. 16 Ald. Mon. προπέποτε. Port. Vind. προπέποται. 17 Mon. Vind. εὐθύς. in Mon. man. rec. supra lin. γρ. ἐγγύς. 18 Ald. Mon. ἦν ἄν. Port. Vind. ἂν ἦν. 19 τεθὲν Par. om., ad marg. γρ. διὰ πολλοῦ δὲ τεθὲν λανθάνον οὐ φαίνεται. 20 ὧδε Vind. om. — Phil. I. p. 51. 21 Mon. ὅρμητο [sic] τοίνυν τὸ τοῦ μ. 22 Mon. Vind. μεθύει. et in sqq. τῷ μ. μεθύει παρ. τὸ ὀνειροπολεῖ. 23 Ald. Vind. τῆς μέθης. Port. Mon. τῶν μεθυόντων.

1 Par. Vind. Tzetz. ἤν. Vind. supra lin. εἰ. Par. ad marg. γρ. σεμνὸν δέ τι ἢ νοῦ ἐστιν ἢ λόγου. καὶ τὸ μὲν σεμνὸν τοῦ νοῦ.

μᾶλλόν ἐστιν ἢ λόγος; καὶ τὸ μὲν σεμνὸν τοῦ νοῦ σεμνῶς οὐχ ἑρμηνεύεται ὑπὸ τῆς τοῦ ῥήτορος δυνάμεως, ἀλλ' ὑπὸ τῆς ἀνάγκης αὐτοῦ τοῦ πράγματος· οἷον, ὁ μὲν δὴ μέγας [3] ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων· καὶ ὅσα ἄλλα τοιαῦτα, ὅπου δ' [4] ἂν ὁ νοῦς αἰσχρὸς ᾖ, τότε χρεία τῆς σεμνότητος τοῦ λόγου, ἵνα τὸ νοούμενον αἰσχρῶς οὕτως ἐξενέγκῃ [5] τις τῷ λόγῳ εὐφυῶς, ὄνομα ἀντ' ὀνόματος [6] ἀμείβων, ὡς μὴ δόξαι τισὶν αἰσχρὸν εἶναι τὸ πρᾶγμα διὰ τὴν τοῦ λόγου σεμνότητα. ὡς παρὰ τῷ [7] Μενάνδρῳ. πυθομένου γάρ τινος κόρης, πῶς εἴη διεφθαρμένη, σεμνῶς ἀφηγήσατο πρᾶγμα αἰσχρὸν ὀνόμασι βελτίστοις. Διονυσίων ἦν πομπή. ὁ δέ μοι [8] ἠκολούθησε μέχρι τοῦ [9] πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω με. τὸ γὰρ διεφθάρθαι [10] καὶ ὑβρίσθαι σεμνῶς ἔγνω με εἰπὼν ἐκόσμησε πρᾶγμα αἰσχρὸν σεμνοτέρᾳ λόγου συνθέσει. [11] γίνεται μὲν [12] οὖν ἢ ὀνόματι ἡμῶν ἀντ' ὀνόματος χρωμένων, ἢ πολλάκις οὐδὲ λέγεται τὸ πρᾶγμα, ἐὰν αἰσχρὸν ᾖ πάνυ. ἀλλὰ τὰ πρὸ τοῦ πράγματος εἰωθότα γίνεσθαι [13] καὶ λέγεσθαι καὶ τὰ ἐπισυμβαίνοντα τῷ αἰσχρῷ πράγματι, ἅπερ ἐξ ἀνάγκης ἐναργῶς καὶ σεμνῶς δηλοῖ [14] καὶ αὐτὰ τὰ σιγώμενα. σε-

---

ib. γρ. σεμνὸν δὲ ἢ νοῦ ἐστιν ἢ λόγου. 2 Vind. Mon. Tzetz. τί ἂν ἄλλο. omisso μᾶλλον. 3 Port. inserit ἡγεμών. post ἐλαύνων Tzetz. inserit φέρεται. Plat. Phaedr. p. 246. c. 4 Vind. ὅπου δὲ ὁ νοῦς αἰσχρὸς ἂν ᾖ, ἐκεῖ χρεία. etiam Mon. ἐκεῖ. Tzetz. ὅπου δ' ἂν ὁ νοῦς αἰσχρὸς εἴη, τότε ἐκεῖ χρεία. 5 Mon. Vind. ἐξενέγκῃ. Ald. Port. ἐξενέγκοι. 6 Mon. Vind. ὄνομα ὀνόματι. 7 τῷ Mon. om. 8 Vind. με. 9 Ald. Vind. τά. Port. Mon. τοῦ. 10 Vind. Mon. ἐφθάρθαι. 11 Vind. συνθήκῃ. Mon. προσθήκῃ. 12 Par. γρ. γίνεται οὖν οὕτως. ita Vind., omisso sq. ἤ. 13 Vind. Mon. γίνεσθαι λέγανται. 14 Mon. μηνίει. man. rec. supra lin. δηλοῖ.

μνῶς μὲν, ὅτι μὴ λέγεται· ἐναργῶς δὲ, ὅτι τοῖς ἑκατέρωθεν [15] νοεῖται. ὡς καὶ παρ' Ὁμήρῳ,

Λῦσε δὲ παρθενικὴν [16] ζώνην, κατὰ [17] δ' ὕπνον ἔχευε.

Ἡ δὲ ὑποκυσσαμένη [18] τέκετο [19] ὃν ἔφη τεκεῖν. ἐνταῦθα γὰρ τὴν [20] συνουσίαν ἐδήλωσε τῷ καὶ τὰ γενόμενα πρὸ τῆς συνουσίας εἰπεῖν,

Λῦσε [21] δὲ παρθενικὴν ζώνην,

καὶ τῷ ἐπενεγκεῖν, ἃ μετὰ τὴν συνουσίαν γίνεται, Ἡ δ' ὑποκυσσαμένη τέκετο [22] ὃν ἔφη τεκεῖν.

---

## Cap. XII.

### ΠΕΡΙ ΚΑΚΟΖΗΛΟΥ.

Τὸ δὲ κακόζηλον γίνεται, ἢ κατὰ τὸ [1] ἀδύνατον, ἢ κατὰ τὸ ἀνακόλουθον, ὃ καὶ ἐναντίωμά ἐστιν, ἢ κατὰ τὸ αἰσχρὸν, ἢ κατὰ τὸ ἀσεβὲς, ἢ κατὰ τὸ ἄδικον, ἢ κατὰ τὸ τῇ φύσει πολέμιον. καθ' οὓς τρόπους καὶ ἀνασκευάζομεν μάλιστα τὰ διηγήματα, ἐκβάλλοντες [3] ὡς ἄ-

---

15 Vind. ἑκατέρωθε. 16 Mon. Vind. λῦσε δὲ [Mon. δὲ om.] παρθενίην. — Od. λ, 245. 17 Ald. Vind. ἐπὶ. Port. Mon. κατά. 18 Ald. ὑποκισσαμένη. Port. ὑποκυσαμ. Vind. Mon. ὑποκυσσ. h. l. et infra. 19 Ald. Mon. Vind. τέκετο. Port. τέκεν. tum Mon. ὃν ἔφατο, h. l. et infra. 20 Vind. καὶ τήν. 21 Vind. λῦσαι δὲ παρθενίην ζώνην καὶ ἐπενεγκεῖν. — Ad hunc locum respicere videtur Eustathius ad Odyss. K. p. 1653. καὶ ἔστι τοιαύτη μέθοδος καὶ ἀλλαχοῦ παρ' Ὁμήρῳ, ἣν καὶ ὁ Ἑρμογένης ἐπισημαίνεται, διδάσκων εἶναί ποτε καὶ μάλιστα ἐπὶ τῶν μὴ σεμνῶν, σιγᾶσθαι μὲν τὸ πρᾶγμα, δηλοῦσθαι δὲ ὅμως ἐκ τῶν πρὸ αὐτου καὶ τῶν μετ' αὐτό. 22 Port. τέκεν.

1 Mon. κατὰ ἀδύνατον ἢ κατὰ ἀνακ. 2 τῇ Mon. om. 3 Ald. ἐκβαλόντες. Port. Mon. Vind. ἐκβάλλοντες. Tzetz. διαβάλ-

πιστα. διά τοι [4] τοῦτο φαμὲν καὶ τὰς διασκευὰς μέχρι τοῦ εἰκότος προχωρεῖν· [5] ὡς εἰ παρὰ τὸ εἰκὸς εὑρεθείη τι, πάντως κακόζηλον ἐσόμενον καὶ ἐμπεσούμενον τῇ ἀνασκευῇ. [6] καὶ γὰρ ἐκεῖ λέγομεν οὐκ εἰκὸς τόδε πραχθῆναι, ἢ ὅτι ἀδύνατον, ἢ ὅτι αἰσχρὸν, καὶ τὰ ἑξῆς. γίνεται δὲ τὸ [7] κακόζηλον ὅμως καὶ τροπικῇ λέξει μιᾷ χρησαμένων, [8] εἶτα τὸ πλῆρες τῆς τροπῆς ἀποδοῦναι μὴ δυναμένων· ἰστέον μέντοι, ὅτι τὰ κακόζηλά ἐστι πολλάκις ἰᾶσθαι τῇ προκατασκευῇ τῇ καὶ προθεραπείᾳ καλουμένῃ. [9] τὰ γὰρ προμαλαχθέντα τῇ ἑρμηνείᾳ νοῦν εἰσάγει. ὅθεν καὶ τὸ τόλμημα προσδοκᾶται τοῖς ἀκούουσιν, ὃ [10] καὶ πρὶν λεχθῆναι ἀσφαλὲς εἶναι δοκεῖ. γυμνὸν δ' ἂν [11] τεθῇ πρὸ τῆς κατασκευῆς τοῦ λόγου, κακόζηλον ἔδοξεν ἢ τῷ νῷ, ἢ τῷ λόγῳ. καὶ [12] σκόπει πῶς καὶ Ὅμηρος ἐποίησεν. ὡς γὰρ ἔμελλε λέγειν,

Ἦκε δ' ἀπαΐξας κορυφὴν ὄρεος [13] μεγάλοιο,

φοβούμενος τοῦτο τὸ ἀδύνατον, προκατασκευάζει τοιοῦτον ἄνδρα τῷ λοιπῷ διηγήματι, ὡς μηδὲ τὸν περὶ τούτου λόγον ἄπιστον κατασταθῆναι λεχθέντα· τῷ τε τροφὰς αὐτῷ παραθεῖναι [14] μείζονας ἢ κατὰ ἄνθρωπον, τῷ τε [15] ἀποδοῦναι αὐτῷ ῥόπαλον βαστάζειν, οἷον οὐκ ἄνθρωπον, καὶ λίθον· καὶ τῷ τὴν ἰδέαν αὐτοῦ διελθεῖν, ὡς μεγά-

---

λοντες. 4 Vind. διὰ τοῦτο γάρ φαμεν. 5 προχωρεῖν Mon. om., manu rec. ad marg. adiectum est. — Schol. T. VII. p. 852. ἔν τισιν εὑρίσκεται μέχρι τοῦ εἰκότως προχωρεῖν. 6 Mon. Vind. τῇ ἀνασκ. ἐμπεσούμενον. 7 τὸ Vind. om. 8 Mon. χρησ. ἡμῶν. 9 καλουμένῃ in Par. man. rec. supra lin. scriptum: ad marg. τῇ προθεραπείᾳ καλουμένῃ. 10 Vind. Mon. διότι καί. Par. ad marg. γρ. ὅτι καὶ πρ. 11 Mon. δὲ ἄν. Vind. ἐάν. 12 Vind. λόγῳ, ὡς καὶ Ὅμ. ἐποίησεν. tum Vind. Mon. ὡς γὰρ λέξειν ἔμελλεν. 13 Ald. οἴρεος. — Od. ι, 481. Post μεγάλοιο in Mon. eadem manu scriptum est: περὶ Κύκλωπος. 14 Mon. περιθεῖναι. 15 Vind. τῷ τε ῥόπαλον αὐτῷ δοῦναι βαστ.

λην καὶ φοβερὰν· καὶ τῷ εἰπεῖν,

— — — οὐδὲ ἐῴκει [16]

Ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι.

πάντες γὰρ οἱ περὶ τούτου προγυμνασθέντες λόγοι πιστὸν ἐποίησαν εἶναι δοκεῖν τὸ παράδοξον τὸ περὶ τοῦ Κύκλωπος ῥηθὲν, [17] τὸ,

Ἦκε δ' ἀποῤῥήξας κορυφὴν ὄρεος μεγάλοιο.

εἰ γὰρ καὶ τοιοῦτος ἦν, οἷον αὐτὸν προκατεσκεύαζεν, οὐδὲν ἦν τὸ καὶ τοιοῦτον αὐτὸν ποιῆσαι δυνηθῆναι. Γίνεται δὲ τὸ κακόζηλον καὶ κατὰ τὸ εὐτελὲς πολλάκις, ὡς ἐκεῖνο· [18]

οἴμοι, δράκων μου γίνεται τὸ ἥμισυ.

θεραπεύεται δὲ τὰ κακόζηλα οὐ τῇ προδιορθώσει [19] μόνῃ, ἢ τῇ προκατασκευῇ, ὡς ἐδείξαμεν, ἀλλὰ καὶ τῇ ἐπιδιορθώσει [20] καλουμένῃ· δεῖ δὲ εἰδέναι, ὅτι τὰ εὐτελῶς εἰρημένα ἡ σεμνύτης διορθοῦται· ὡς παρὰ τῷ Εὐριπίδῃ,

οἴμοι δράκων μου γίνεται τὸ ἥμισυ.

τοῦτο γὰρ κοινῶς καὶ εὐτελῶς εἰπὼν ἐθεράπευσε τῇ ἐπιφορᾷ·

τέκνον περιπλάκηθι τῷ λοιπῷ πατρί.

τοῦτο [21] δὲ οὐ μόνον σεμνῶς εἴρηται, ἀλλὰ καὶ ἐπιφω-

---

16 Od. ι, 190. 17 Mon. Vind. τὸ ῥηθὲν παράδοξον περὶ τοῦ Κύκ. 18 Eur. Fr. inc. CLXVI. Barnes. Schol. T. VII. p, 853. περὶ Κέκροπος ὁ λόγος εἰς δράκοντα μεταβαλλομένου. ibid. Sch. min. εὐτελὲς λέγει οὐ τὸ μικρὸν, ἀλλ' ἐγγὺς ἀσυνέτου· ἀσυνεσία γάρ τις τὸ λέγειν τὸν Κέκροπα, ὅτι δράκων μου γέγονε τὸ ἥμισυ. Scholiasta Cecropem cum Cadmo confudisse videtur: de hoc enim Hermog. de Id. II. 10. p. 141. Ald. Κάδμος δράκων ἐγένετο ἐξ ἀνθρώπου. coll. Apollod. III. 5. 4. Versus nostri igitur ad Cadmum pertinere videntur, si quidem huius nominis fabulam Euripides scripsit. vid. Valck. Diatr. p. 12. a. 19 Vind. προσδιορθ. 20 Vind. ἐπιδιωρθώσει. 21 Mon. Vind. καὶ τοῦτο οὐ μ.

νηματικῶς διὰ τὸ τετολμῆσθαι· οὗ τὸ ἐναντίον ἐὰν συμβῇ τινι, μετὰ σεμνότητα εἰς αἰσχρὸν κατενεχθῆναι, κακοζηλότερον [22] ἐγένετο. ὡς ἐτέρωθι ὁ αὐτός·

Ἡ δὲ καὶ θνήσκουσ' [23] ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως [24] πεσεῖν.

τοῦτο σεμνῶς εἰπὼν ἐπήνεγκεν εὐτελὲς καὶ κοινὸν καὶ κακόζηλον,

Κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

---

## Cap. XIII.

### ΠΕΡΙ ΤΩΝ ΕΣΧΗΜΑΤΙΣΜΕΝΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ.

Τῶν ἐσχηματισμένων προβλημάτων τὰ μέν ἐστι [1] κατὰ τὸ ἐναντίον, τὰ δὲ κατὰ τὸ πλάγιον, τὰ δέ κατὰ ἔμφασιν. ἐναντίον [2] μὲν οὖν ἐστιν, ὅταν τὸ ἐναντίον κατασκευάζωμεν οὗ λέγομεν. οἷον, ἤτησαν οἱ [3] Ἀθηναῖοι παρὰ Λακεδαιμονίων εἰρήνην, οἱ δὲ ἀντήτησαν Περι- 76
κλέα. βουλευομένων τῶν Ἀθηναίων, αὐτὸς ὁ Περικλῆς ὑβριοπαθῶν ἐπὶ τῇ βουλῇ ἀξιοῖ ἀπέρχεσθαι. ὁμολογουμένως [4] γὰρ ὁ Περικλῆς, εἰ καὶ λέγει πέμψατέ με, σχή-

---

22 Vind. Mon. κακόζηλον. 23 Ald. Port. Mon. πίπτουσ'. Vind. θνήσκουσ', ut Eur. Hec. 566. Versum a veteribus celebratum bene expressit Ovidius Fast. II. 833. de Lucretia:

Tum quoque jam moriens ne non procumbat honesta
Respicit: haec etiam cura cadentis erat.

Vide Jacobs. Exercitatt. critt. in scriptores veteres T. I. p. 21. sq. Porson. ad Eurip. l. l. Lucian. Dem. Encom. c. 47. 24 Mon. εὐσχημόνως.

1 Vind. Mon. τὰ μέν ἐστιν [Vind. εἰσιν] ἐναντία, τὰ δὲ πλάγια. Tzetz. ἐστὶ om. 2 Mon. Vind. ἐναντία. 3 οἱ Mon. om. v. 15. Tzetz. βουλομένων. 4 Vind. ὡμολογουμένως. Tzetz.

ματι μόνον λόγου λέγει, ἐπεὶ καὶ μεταχειρίσεσι [5] χρῆται ταῖς κατασκευαζούσαις, ὅτι οὐ χρὴ πεμφθῆναι αὐτόν. Πλάγιον δέ ἐστιν, [6] ὅταν μετὰ τοῦ κατασκευάζειν τὸ ἐναντίον καὶ ἄλλο τι περαίνῃ [7] ὁ λόγος, οἷον, πλούσιος ἐν λιμῷ ὑπέσχετο θρέψειν τὴν πόλιν, εἰ λάβοι τὸν πένητα πρὸς σφαγήν· οὐκ ἔδωκεν ὁ δῆμος. ὁ πένης ἑαυτὸν προσαγγέλλει. ἐνταῦθα γὰρ τὸ [8] ἐναντίον βούλεται ὁ πένης οὗπερ λέγει, ἀποθανεῖν γὰρ οὐ βούλεται. κατασκευάζει δὲ ἐκ πλαγίου καὶ τὸ μὴ εἶναι παρὰ τῷ πλουσίῳ [9] τὸν σῖτον, καὶ τὸ εἰ ἔστιν ἁπλῶς λαβεῖν. Κατὰ ἔμφασιν δέ ἐστιν, ὅταν τι [10] λέγειν μὴ δυνάμενοι διὰ τὸ κεκωλύσθαι καὶ παῤῥησίαν μὴ ἔχειν, ἐπὶ σχήματι ἄλλης ἀξιώσεως ἐμφαίνωμέν [11] τι κατὰ τὴν σύνθεσιν τοῦ λόγου, καὶ τὸ οὐκ ἐξὸν εἰρῆσθαι ὡς εἶναί τε νοῆσαι τοῖς ἀκούουσι, καὶ μὴ ἐπιλήψιμον [12] εἶναι τῷ λέγοντι. οἷον, τὸν μαινόμενον φεύγειν ὁ [13] νόμος ἐκέλευε. φήμης οὔσης, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικὶ, ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν. ἐνταῦθα γὰρ τὸ [14] μὲν δοκεῖν περὶ τῆς φυγῆς διαλέγεται, καὶ τούτῳ τῷ λόγῳ ἐπερείδεται· διόλου δὲ ἐμφαίνει τὴν μοιχείαν τοῦ πατρὸς κατὰ [15] τῆς γυναικός. τὰ μὲν οὖν πλάγια καὶ τὰ ἐναντία ἐν [16] τούτῳ διαλλάττει μόνον, ὅτι τὰ μὲν ἐναντία ἓν μελετᾷ, τὰ δὲ πλάγια καὶ διπλοῦν ἐκφέρει [17] τὸν νοῦν πολλάκις καὶ πλείονα· ἡ μέντοι μεταχείρισις [18] ἡ αὐτὴ,

---

ὁμολ. οὖν. 5 Ald, Port. Codd. Tzetz. μεταχειρήσεσι, tum Vind, Mon, χρήσεται. 6 ἐστιν Vind, om. 7 Vind. περαίνει. Tzetz, περαίνει. 8 Mon, Vind. Tzetz, καὶ τό, Port, τὸ om, 9 παρὰ τῷ πλουσίῳ Mon, Vind, Tzetz, om. 10 τι Vind, om, 11 Ald, ἐμφένωμεν omisso sq. τι, etiam Tzetz. τι om, Port, Mon, Vind. ἐμφαίνωμέν τι. 12 Ald. ἐπιλήψημον, 13 ὁ Vind, om. 14 Port. Tzetz. τῷ. 15 Tzetz. καί. 16 ἓν Vind, om, — tum Mon, Vind, μόνῳ. 17 Mon, ἐμφαίνει, 18 Edd, Codd. constanter in hoc capite μεταχείρησις.

ἀφ' ἧς τὸ μελετᾶν εἰδέναι γίνεται. [19] μελετῶνται γὰρ τῶν τοιούτων προβλημάτων αἱ ὑποφοραὶ ἀπὸ τῆς κατασκευῆς ἐκφερόμεναι· κἀκεῖθεν πάλιν [20] τῶν ἐπιχειρημάτων ὅσα ἂν εὑρίσκηται. ὁ γὰρ παρὰ τῶν ἐχθρῶν λόγος ἰσχυροποιούμενος, ἀσθενεστέρας ἀναγκάζων εἶναι τὰς λύσεις, ἐκεῖ δείκνυσι βούλεσθαι πλέον [21] τὸν σοφιστὴν, ἢ κατὰ τὸ δοκεῖν εἰσάγεσθαι. οἷον, ὁ Περικλῆς ἐν τῷ αὐτὸς [22] ἀξιοῦν ἀπελθεῖν εἰς Λακεδαίμονα. ὁ γὰρ ὑπὲρ αὐτοῦ [23] λέγων ταῦτα ἐκ τῆς ὑποφορᾶς κατασκευασθῆναι ποιήσει, ἅπερ ἂν [24] αὐτὸς ὁ Περικλῆς εἶπεν ὑπὲρ ἑαυτοῦ [25] πάντως, εἴ [26] τις αὐτὸν ἄλλος διδόναι Λακεδαιμονίοις ἠξίου. φήσει τοίνυν ἴσως παρελθὼν, ὡς οὐ δεῖ τοῖς ἐχθροῖς ἐπιτάττουσι [27] πείθεσθαι. δεινὸν γὰρ εἶναι τὸ πρᾶγμα καὶ ἠλίθιον, εἴ τις χαριεῖται κελεύουσιν ἐχθροῖς· φίλοις γὰρ ἐπιτάττουσι δεῖ πείθεσθαι, καὶ οὐ πολεμίοις. καὶ ὅτι οὐδὲ [28] οἱ πατέρες ἡμῶν ὑπήκουσαν οὐδενὶ, [29] μήτε Ξέρξῃ, μήτε Μαρδονίῳ, μήτε Δαρείῳ, μήτε ἄλλῳ τινί· καὶ ὅτι μηδὲ ὑμεῖς [30] μήτε Λακεδαιμονίοις πολλὰ ἐπιτάττουσι περὶ Ποτιδαίας καὶ περὶ Αἰγινητῶν

---

19 Vind. *γίγνεται. μελετῶνται δέ.* 20 Ald. Mon. *ἐκ τῶν.* Vind. Port. *ἐκ* om. 21 Ald. Mon. *πλέον εἶναι.* Port. Vind. *εἶναι* om. Par. ad marg. *γρ. δείκνυσι τὸ ἐκεῖ βούλεσθαι πλέον εἶναι τὸν σοφιστὴν, ἢ κατὰ τὸ δοκοῦν εἰσάγεσθαι.* 22 Ald. Port. *ἑαυτὸν.* Vind. *αὐτός.* Mon. *αὐτόν.* 23 Ald. *αὖτοῦ.* 24 Ald. Port. *ἃ ὁ* [Ald. *ὁ* om.] *Περ. εἶπεν ἂν αὐτός.* secutus sum Vind. Mon. 25 Ald. *αὐτοῦ.* Port. Mon. *ἑαυτοῦ.* Vind. *αὖτοῦ πάντων.* 26 Ald. Port. Mon. *ἢ εἴ τις αὐτὸν ἀ. μὴ δι.* Vind. *ἢ* et *μὴ* om. 27 Par. *ἐπιτάσσουσι.* Mon. et Gregor. Cor. [qui hunc locum affert T. VII. p. 1289.] *ἐπιτάττ. τοῖς ἐχθροῖς.* Vind. *ἐπιτάττουσιν ἐχθροῖς.* tum Vind. Mon. Gregor. Cor. *δεινόν τε γάρ.* 28 Vind. Mon. *μηδέ.* 29 Vind. *μηδενί.* 30 Port. *ἡμεῖς.*

καὶ περὶ Μεγαρέων. καὶ καθάπαξ μία μεταχείρισις ἐν τοῖς ἐσχηματισμένοις, ἡ τῶν ὑποφορῶν [31] κατασκευή. Ἔστι καὶ ἄλλη μεταχείρισις, τὸ περιτιθέντα ἑτέρῳ τ�ὸν λόγον εἰσάγειν τὰ νοήματα. οἷον, ἄλλος μὲν οὖν [32] ἂν εἶπέ τις μὴ πέμπεσθαι κελεύων αὐτὸν Λακεδαιμονίοις, ὡς οὐ χρὴ πολεμίοις ἐπιτάττουσι πείθεσθαι. δεινόν τε γὰρ εἶναι [33] τὸ πρᾶγμα καὶ ἠλίθιον, καὶ μήτε τοὺς πατέρας, μήτε ἡμᾶς ποτε τοιοῦτόν τι [34] πεπραχέναι, καὶ τοιαῦτα [35] νοήματα. ἐγὼ δὲ οὔ φημι ταῦτα. [36] Ἔστι δὲ καὶ ἐν ἄλλῳ μεταβάλλειν [37] σχήματι, ἐάν τις λέγῃ· ἐγὼ δὲ εἰ μὲν ἄκοντά μέ τις ἠξίου βιαζόμενος ἀπελθεῖν πρὸς Λακεδαιμονίους, εἶπον ἂν τάδε καὶ τάδε, καὶ τὰ αὐτὰ νοήματα, ἅπερ εἰ καὶ μὴ ἐσχηματισμένως ἐμελετῶμεν, ἐλέγομεν [38] ἄν. διὰ τοῦτο γὰρ καὶ ἐσχηματισμένα καλεῖται τὰ τοιαῦτα προβλήματα, ἐπειδὴ τὰ αὐτὰ δεῖ λέγεσθαι νοήματα, ἅπερ εἰ καὶ μὴ ἐσχηματισμένως ἐμελετῶμεν, εἴπομεν ἄν. δεῖ δὲ μεταχειρίσεως [39] καὶ τοιούτου σχήματος ἀσφαλοῦς εὐπορῆσαι, ἵνα μὴ λύοντες τὰς ἐμφάσεις γυμνοὺς εἰσάγωμεν τοὺς λόγους, ὡς ἄντικρυς μὴ θέλοντες. καὶ ταυτὶ μὲν περὶ [40] πλαγίων καὶ ἐναντίων.

Τὸ δὲ κατὰ ἔμφασιν σχῆμα τοιοῦτόν ἐστιν, οἷον, καὶ [41] προειρήκαμεν. μελετᾶται δὲ [42] ἐνίοτε μὲν σχήματος εὑρέσει κἀκεῖνο τοιούτου, ἵνα τις ἄντικρυς λέγων τὸ πρᾶγμα μὴ δοκῇ [43] λέγειν. ὃ δὴ καὶ εὕρημά ἐστιν ἐμὸν

---

31 Vind. ἀνθυποφορῶν. 32 Mon. οὖν εἶπεν ἄν τις. Vind. ἄλλος μὲν ἂν εἶπεν ἄν τις μήτε πέμπ. 33 Vind. Mon. εἶναι καὶ τὸ [Mon. τὸ om.] πρ. ἠλίθιον. 34 τι Vind. om. 35 Mon. Vind. τὰ αὐτά. 36 Mon. τά. Vind. τὰ αὐτά. 37 Vind. μεταβαλεῖν. 38 Vind. εἴπομεν ἄν. 39 Mon. h. l. μεταχειρίσεως. 40 Mon. παρά. 41 καὶ Vind. om. 42 Vind. δὲ ἐνίοτε μὲν καὶ αὐτὸ σχ. εὑρ. τ. Mon. δὲ καὶ αὐτὸ ἐνίοτε μὲν σχ. εὑρ. τ. 43 Vind. δόξῃ. — v. sq. γενόμενον ἐμῇ Port. om.

ἐν μελέτῃ γενόμενον ἐμῇ καὶ ἐκδέδοται. οἷον, [44] φήμη ἦν, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί. ἔγκυος [45] ἐγένετο ἡ γυνή. ἔχρησεν ὁ θεὸς τὸ γεννηθησόμενον [46] φονέα ἔσεσθαι τοῦ πατρός. οὐ βούλεται ἐκτιθέναι τὸ γεννηθὲν ὁ παῖς, καὶ ὑπὸ τοῦ πατρὸς ἀποκηρύττεται. [47] ἐνταῦθα γὰρ ὁ παῖς πρὸς τὴν ἀποκήρυξιν ἀπολογούμενος ὀφείλει τὴν [48] ἐντρέχουσαν φήμην τῆς μοιχείας κατὰ ἔμφασιν δηλοῦν ὡς λίαν [49] ἀνεπιλήπτως, καὶ ἐλέγχειν τὸν πατέρα εὐσχημόνως, φανερῶς δὲ [50] μὴ λέγειν, ὅτι μοιχεύει τὴν γυναῖκα τὴν ἐμὴν, καὶ δηλοῦν ὅτι τοῦτο γίνεται. οὕτως οὖν ηὐπορήσαμεν [51] σχήματος τοιούτου, καὶ ἄντικρυς εἰπόντες αὐτὸ λέγειν οὐκ ἐδόξαμεν. ἔστι δὲ τόδε· σὸν εἶναι, πάτερ, λόγισαι τὸ παιδίον, οὐκ ἐμόν. ἐκτίθης ὃ ἐγέννησας· ῥίπτεις τὸ [52] παιδίον, οὗ γέγονας πατήρ. δεῖ δὲ ἐν τοῖς τοιούτοις, τοῖς κατ' ἔμφασιν λέγω, καὶ ὀνομάτων εὐπορῆσαι διττὰ δηλῶσαι δυναμένων, καὶ τὸ ἀνεύθυνον καὶ τὸ σεσημασμένον. οἷον, φήμη ἦν ὅτι σύνεστιν [53] ὁ πατὴρ τῇ θυγατρὶ τῇ ἰδίᾳ. ἀπόῤῥητόν τι ἡ μήτηρ εἰποῦσα τῷ υἱῷ ἀπήγξατο. πυνθάνεται ὁ πατὴρ τὸ ἀπόῤῥητον, καὶ οὐ λέγοντα τὸν υἱὸν ἀποκηρύσσει. οἷον ἡμῖν ἐξενήνεκται καὶ περὶ τοῦδε προοίμιον δεύτερον τόδε. [54] τῆς μὲν οὖν ἀποκηρύξεως ταύτης ἔλαττον ἐμοὶ μέλει. [55] λυποῦμαι δὲ ὑπὲρ τοῦ πατρὸς, εἰ μετὰ τοσαύτην εὐθηνίαν γένους μόνῃ συνέσται τῇ θυγατρὶ καὶ συζήσεται. κοινὰ μὲν γάρ ἐστι καὶ τοῦ ἄλλου βίου τὰ τοι-

---

44 οἷον Vind. om. 45 Mon. ἔγγυος. 46 Mon. γενηθησόμ. tum Vind. ἔσεσθαι φονέα. 47 Vind. ἀποκηρύσσεται. 48 Vind. Mon. καὶ τήν. 49 λίαν Vind. om. 50 Vind. Mon. τε. 51 Vind. εὐπορήσαμεν. 52 τὸ Vind. om. 53 Mon. Vind. σύνεστιν [Vind. σύνεστι] τῇ ἰδίᾳ θυγ. ὁ πατήρ. 54 Mon. δεύτερον. ἔστι δὲ τόδε. τῆς μὲν ἀποκηρ. 55 Vind. μέλλει.

αὗτα [56] ὀνόματα τοῖς ἀνθρώποις. δοκεῖ δὲ μάλιστα ἴδια εἶναι τῇ ὑποκειμένῃ ἐμφάσει, ὡς δηλῶσαι δυνάμενα τό τε [57] ἀνεύθυνον καὶ τὸ σεσημασμένον, τό τε συνέσται φημὶ καὶ τὸ [58] συζήσεται. ἀλλὰ καὶ ἡ τῆς συνθέσεως πάλιν ἀκολουθία συγκειμένη μὲν ἄλλο δηλοῖ, διαιρουμένη δὲ ἄλλο ἐμφαίνει. οἷον, φήμη ἦν, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικί. μοιχὸν καταλαβὼν ἐγκεκαλυμμένον ὁ υἱὸς ἄφηκε, καὶ [59] ἀποκηρύσσεται ὑπὸ τοῦ πατρὸς. ἐρεῖ γάρ, ὅπου καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων, ὦ [60] πάτερ. τὸ γὰρ ὄνομα τοῦ πατρὸς εὐθὺς [61] τῷ μοιχῷ παρακείμενον ἐν τῇ συνθέσει ἐποίησε τὴν ἔμφασιν. καὶ τὸ ἐπενηνεγμένον δὲ ὁμοίως ἔχει· καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων, πάτερ· σὺ δὲ ἧς οὐδαμοῦ. [62] τῷ γὰρ μοιχῷ καὶ τῷ πατρὶ προστεθὲν εὐθέως τὸ, σὺ δὲ ἧς, τῇ [63] συνθέσει τὴν ἔμφασιν ἐδήλωσε· τὴν ἀσφάλειαν δὲ ἔχει ἑκάτερον ἀπὸ τοῦ οὐδαμοῦ.

## Cap. XIV.

### ΠΕΡΙ ΤΩΝ ΣΤΓΚΡΙΤΙΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ.

Τὰ συγκριτικὰ [1] προβλήματα εἰ μὲν στοχασμῷ περιπέσοι ἢ ὅρῳ, ῥᾳδίαν ἔχει καὶ [2] τὴν διαίρεσιν. διπλοῖς

56 Mon. Vind. τοῖς ἀνθρώπ. τὰ τοιαῦτα ὀν. 57 Vind. Mon. καὶ τὸ ἀνεύθ. 58 τὸ Vind. om. 59 καὶ Vind. om. tum Port. ἀπὸ τοῦ πατρὸς, ὡς εἴρηται. Ald. Vind. Mon. ὑπὸ τοῦ πατρὸς, εἴρηται. Par. ad marg. γρ. ἐρεῖ γάρ. 60 ὦ Mon. om. 61 Mon. εὐθέως. 62 Eustath. ad Il. K. p. 809. ὅτι δὲ πολλὰ καὶ οὕτω σχηματίζονται πρὸς λεληθυῖαν ἔμφασιν, δηλοῖ καὶ Ἑρμογένης ἐν τῷ, καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων, ὦ πάτερ, σὺ δὲ ἧς οὐδαμοῦ. μέχρι γὰρ ὧδε ὁ λέγων τὸν μοιχὸν τὸν πατέρα δηλοῖ φανερῶς· ἡ δὲ προσθήκη τοῦ οὐδαμοῦ ἐν τῷ, σὺ δὲ ἧς οὐδαμοῦ ἐσκίασε τὸ τῆς σαφηνείας φῶς. 63 Mon. Vind. ἐν τῇ συνθ. 1 Vind. τὰ δὲ συγκ. 2 καὶ

γὰρ τοῖς κεφαλαίοις καθ' ἕκαστον χρώμεθα. ἐν μὲν τοῖς στοχασμοῖς ταῖς βουλήσεσι καὶ ταῖς δυνάμεσι, λέγοντες· ἐμὲ μὲν οὐκ εἰκὸς βουληθῆναι τόδε ποιῆσαι διὰ τόδε· σὲ δὲ εἰκὸς βουληθῆναι τόδε ποιῆσαι διὰ τόδε· καὶ πάντα ἐκφέρειν [3] εἰς δέον τὰ ἐπιχειρήματα. εἶτα πάλιν, [4] [5] ἐμὲ μὲν οὐκ εἰκὸς δυνηθῆναι τόδε ποιῆσαι διὰ τόδε· σὲ δὲ εἰκὸς [5] τόδε ποιῆσαι δυνηθῆναι διὰ τόδε. καὶ τοῦτο κατασκευάζοντες καὶ τὸ χρῶμα τὸ μὲν ἡμέτερον τιθέντες καὶ κατασκευάζοντες, τὸ δὲ παρὰ τοῦ ἐχθροῦ [6] τεθὲν λύοντες τοῖς ἐπιχειρήμασι, καὶ τὴν πιθανὴν ἀπολογίαν τὴν ἐκείνου μὲν λύοντες, κρατύνοντες δὲ τὴν ἡμετέραν. καὶ μὴν καὶ τὰ ἐν τοῖς ὅροις ὁμοίως διπλῶς μελετῶντες λέγομεν, οἷον, τοῦτό ἐστιν τὸ ἐργάσασθαί [7] τι, ὃ πεποίηκα ἐγὼ, καὶ εἰπεῖν ἅπερ εἰργάσατο. [8] εἶτα ἐπενεγεῖν, σὺ δὲ τούτων ἐποίησας οὐδέν. εἶτα ἀνθυπενεγκεῖν ἐκεῖθεν τὰ αὐτῷ πεπραγμένα καὶ λέγειν, ὡς ταῦτα οὐδέν ἐστι. χρησόμεθα δὲ τοῖς ἐπιχειρήμασι καὶ ταῖς μελετητικαῖς ἐφόδοις, [9] αἷς ἐδιδάξαμεν δεῖν χρῆσθαι καὶ ἐν τοῖς διπλοῖς καὶ ἐν τοῖς ἁπλοῖς, ἀπό τε τῶν πρὸ τοῦ πράγματος καὶ ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα συμβαινόντων. 78 ἐκεῖθεν γὰρ ἡ ἁπλῆ εὐπορία ἐνταῦθα διπλῆ γίνεται. εἰ

---

Vind. om. 3 Ald. ἐκφέρων, Port. Vind. ἐκφέρειν. Mon. εἰσφέρειν. 4 Par. ad marg. γρ. εἶτα ἀνάπαλιν. 5 Mon. εἰκὸς δυνηθῆναι τόδε ποιῆσαι. Vind. εἰκὸς ποιῆσαι τόδε διὰ τόδε sine δυνηθῆναι. 6 Par. ἐν ἄλλοις· παρ' ἐκείνου. 7 Mon. ἐργάζεσθαι. Par. ἐργάσθαι Vind. τοῦτό ἐστι τὸ ἐργάσασθαί τι, ὅπερ ἐποίησα ἐγώ. εἶτα ἐνεγκεῖν ἅπερ εἰργάσατο. εἶτα ἀπενεγκεῖν. 8 Mon. ἅ. 9 Ald. ταῖς ἐφόδοις ταῖς μελετηκαῖς. Par. Vind. μελετητικαῖς. Mon. ταῖς μελετικαῖς ἐφόδοις. Port. ταῖς μελετητικαῖς ἐφ. Tum Ald. Port. Mon. καὶ ἐν τοῖς διπλοῖς ὅροις, αἷς ἐδιδάξαμεν δεῖν χρῆσθαι, καὶ ἐν τοῖς ἁπλοῖς. transponit Vind., omisso καὶ ante ἐν τοῖς διπλ.

δὲ πραγματικὴ ἀμφισβήτησις παρεμπέσοι, [10] τότε δεῖ ζητεῖν, τίνα ἐστὶ τὰ συγκρινόμενα, δύο ἢ καὶ πλείονα. καὶ οὕτως ἐκ τῶν παρακολουθούντων ἑκάστῳ τὰς συγκρίσεις ποιήσεις· [11] μάλιστα δὲ εἰ πρόσωπον [12] συγκρίνοιτο, τότε ἔχειν δεῖ τὴν ἀπὸ τῶν ἐγκωμίων καὶ ψόγων σύγκρισιν καὶ γένη καὶ ἐπιτηδεύματα καὶ πράξεις καὶ τύχας καὶ [13] ἅπαντα τὰ συγκρινόμενα. ὁμοίως δὲ [14] ἔχει καὶ τὰ ἐκ τῆς ἄλλης περιστάσεως. ὅ τι [15] ἂν εἰς σύγκρισιν ἐμπέσοι, τὰ [16] παρακολουθοῦντα ἑκάστοις συγκρίνομεν. παρακολουθεῖ δὲ ἄλλα μὲν τόποις, ἄλλα δὲ χρόνοις, ἄλλα δὲ ἑκάσταις [17] τῶν ἄλλων περιστάσεων. [18]

---

10 Vind. περιπέσοι. 11 Vind. ποιεῖσθαι. 12 Par. ad marg. γρ. εἰ πρόσωπον συγκρίνοιτο, ἔχον τὴν ἀπὸ τῶν ἐγκωμίων καὶ ψόγων σύγκρισιν. 13 καὶ Vind. om. Sq. τὰ Mon. Vind. om. 14 Mon. ὁμοίως δὲ καὶ τὰ ἐκ περιουσίας. Respicit ad hanc lectionem scholion in Par. καὶ εἰ γράψει περιουσίας, οὕτω νοήσεις ὅτι φόνου κατηγορῶν καὶ ἀσεβείας φήσεις δύνασθαι κατηγορεῖν· εἰ δὲ περιστάσεως, ὅτι καὶ ἀπὸ τόπου καὶ χρόνου καὶ τῶν λοιπῶν περιστατικῶν, ὃ καὶ ἄμεινον. 15 Par. γρ. ὅτε γὰρ εἰς σύγκρισιν ἐμπέσοι τὰ παρακ. ἑκάστοις συγκρίνομεν. 16 Vind. καὶ τά. 17 Vind. ἑκάστοις. 18 Vind. ad finem addit: τέλος τοῦ τετάρτου τόμου καὶ ἑπομένως καὶ τοῦ περὶ εὑρέσεως ὅλου βιβλίου τοῦ Ἑρμογένους.

# ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΙΔΕΩΝ ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

### Cap. I.

Εἴπερ ἄλλο τι τῷ ῥήτορι, καὶ τὰς ἰδέας οἶμαι τοῖ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν, ὅπη ποτὲ [1] ἔχουσι, καὶ ὅπως γίνονται. καὶ γὰρ τὸ τὰ τῶν ἄλλων εἰδέναι κρίνειν καθ' ὅ τι τε καλῶς ἂν ἔχοι [2] καὶ ἀκριβῶς, καὶ καθ' ὅ τι μή, εἴτ' οὖν τῶν ἀρχαίων εἴη τινὸς, εἴτε καὶ τῶν νεωτέρων, οὐκ ἄνευ τῆς περὶ ταῦτα ἐπιστήμης γένοιτ' ἄν· εἴτε καὶ αὐτός τις γενέσθαι βούλοιτο λόγων ἐργάτης καλῶν τε καὶ γενναίων καὶ παραπλησίων τοῖς τῶν ἀρχαίων, τό γε τῆς ἐπιστήμης ταύτης ἀναγκαιότατον, εἰ μὴ μέλλοι [3] σφόδρα τἀκριβοῦς τις πόῤῥω [4] ἀπενεχθήσεσθαι. ἡ γάρ τοι μίμησις καὶ ὁ ζῆλος ὁ πρὸς ἐκείνους μετὰ μὲν ἐμπειρίας ψιλῆς καί τινος ἀλόγου τριβῆς γινόμενος οὐκ ἄν, οἶμαι, δύναιτο τυγχάνειν τοῦ ὀρθοῦ, κἂν πάνυ τις ἔχῃ φύσεως εὖ. τοὐναντίον γὰρ ἴσως ἂν αὐτὸν καὶ σφάλλοι μᾶλλον τὰ τῆς φύσεως πλεονεκτήματα χωρὶς τέχνης τινὸς ἀλόγως ἅττοντα [5] πρὸς ὅ τι καὶ τύχοι. μετὰ μέν τοι τῆς περὶ ταῦτα ἐπιστήμης καὶ γνώσεως ὅτε τις τοὺς ἀρχαίους ἐθέλῃ ζηλοῦν, κἂν μετρίως ἔχῃ [6] φύ-

1 Vind. Mon. τε. 2 Ald. ἔχῃ. Port. Mon. Vind. ἔχοι. 3 Vind. Mon. εἰ μέλλοι μὴ σφόδρα. 4 Vind. πόῤῥω τἀκριβοῦς. 5 In Mon. manu rec. supra lin. πιδῶντα [lege πηδῶντα]. 6 Ald. Port. Mon. ἔχοι. Vind. ἔχῃ.

σεως, οὐκ ἂν ἁμαρτάνοι [7] τοῦ σκοποῦ. κράτιστον μὲν γὰρ, εἰ καὶ τὰ τῆς φύσεως συλλαμβάνοιτο· πλεῖον [8] γὰρ ἂν οὕτως ἀγαθόν τις ἐργάσαιτο· εἰ γὰρ μὴ, ἀλλ' ὅγε μαθητόν [9] ἐστι καὶ διδακτὸν, οὐκ ἐν ἄλλοις ἐφ' ἡμῖν δὲ ὂν, πειρατέον κτᾶσθαι. τάχα γὰρ ἂν [10] οὕτω καὶ τοὺς εὖ πεφυκότας οἱ μὴ τοιοῦτοι μελέτῃ καὶ τῇ κατ' ὀρθὸν ἀσκήσει παρέλθοιεν. οὕτω [11] δὲ ὄντος μεγάλου τε καὶ ἀναγκαίου τοῦ περὶ τῶν ἰδεῶν λόγου καὶ τοῖς ἐργάζεσθαι ταῦτα καὶ τοῖς εἰδέναι κρίνειν βουλομένοις, τοῖς δὲ ἄμφω καὶ πολὺ μᾶλλον, οὐ χρὴ θαυμάζειν, εἰ μὴ ῥᾴδιον αὐτὸν, [12] μηδ' οἷον ἁπλῆς τινος δεῖσθαι πραγματείας ὄντα εὑρίσκοιμεν, ἐπεὶ [13] μηδὲ ἄλλο τι τῶν χρηστῶν ἐκ τοῦ ῥᾴστου παραγίνεσθαι πέφυκε. λόγων δὲ καλῶν τε καὶ γενναίων καὶ πάσης ἁπλῶς ἰδέας αὐτῶν εἰ μέλλοι τι χρηστότερον ἀνθρώποις οὖσι καὶ ζῴοις λογικοῖς γενήσεσθαι, θαυμάζοιμ' ἄν.

Μέλλων δὲ [14] ἐπ' αὐτὸ χωρεῖν ἤδη τὸ διδάσκειν [15] περὶ ἑκάστου τούτων, τοσοῦτον προδιορισάμενος [16] αὐτῷ ποιήσω, ὅτι νῦν ἐστιν ἡμῖν οὐ περὶ τῆς Πλάτωνος ἢ Δημοσθένους ἢ τοῦ δεῖνος ἰδέας ὁ λόγος· λελέξεται μὲν γὰρ ἐν ὑστέρῳ καὶ περὶ τούτων. τὸ δὲ νῦν οὐ περὶ [17] τούτων, ἀλλ' αὐτὸ ἕκαστον καθ' αὑτὸ πρόκειται, ὁποῖόν τί ἐστι σεμνότης, δεῖξαι, καὶ ὅπως γίνεται, ὁποῖόν τί ἐστι τραχύτης ἢ ἀφέλεια καὶ τὰ λοιπὰ τῶν λόγων εἴδη. ἐπειδὴ δὲ [18] ἐκείνων δήπουθεν ἕνεκα, λέγω τῶν κατ' ἄνδρα εὐ-

---

7 Mon. ἁμάρτοι. 8 Vind. πλείονι. 9 Vind. μαθηματικόν, supra lin. γρ. μαθητόν. 10 Vind. Mon. ἂν om., tum Vind. οὕτως. 11 Vind. οὕτως. 12 αὐτὸν Mon. om. 13 Mon. ἐπειδὴ οὐδέ. Vind. ἐπεὶ μηδ' ἄλλο — ἐκ τοῦ ῥᾴου. 14 Vind. δ' ἐπ'. 15 Vind. δικάζειν. 16 Ald. Port. Par. Mon. προσδιορισάμενος. Par. γρ. προδιορ. ita Vind. 17 Mon. παρά. Par. ad marg. τὸ δὲ οὐ περὶ τούτων ἐν ἄλλοις οὐκ ἔνι. 18 Mon. Vind. δ' ἐκείνων. tum Mon. ἕνεκα δήπουθεν.

δοκιμούντων, καὶ ταύτης δεόμεθα τῆς πραγματείας, ἀνάγκη προχειρισαμένους ἡμᾶς τὸν μάλιστα τῶν ἄλλων ποικίλως χρησάμενον τῷ λόγῳ καὶ σχεδὸν ἐξ ἁπάσης ἰδέας συμμιγεῖ, [19] διὰ τούτου περὶ ἁπασῶν εἰπεῖν τῶν 79
ἰδεῶν· ἀνάγκη γὰρ τά τε μέρη καθ' ἕκαστον καὶ τὸ ὅλον 5
εἶδος τοῦ τοιούτου δεικνύντας, ὅθεν τε καὶ ἐξ ὧν συνέστηκεν, ὁποῖόν τέ ἐστι καὶ δι' οὗ τὸ [20] τοιοῦτον, περὶ πάσης τε ἰδέας λόγων ἀκριβῶς εἰπεῖν, καὶ τίς ἡ μίξις αὐτῶν, καὶ πῶς μιγνυμένων αὐτῶν [21] τοτὲ μὲν ποιητικὸς, τοτὲ δὲ οὐ [22] ποιητικὸς, καὶ τοτὲ μὲν συμβουλευτικὸς, 10
τοτὲ δὲ πανηγυρικὸς ἢ δικανικὸς ἢ ὅλως τοιόσδε ἢ τοιόσδε ὁ λόγος γίνεται.

Ἔστιν οὖν ὁ μάλιστα παρὰ τοὺς ἄλλους τοῦτον μεταχειρισάμενος τὸν τρόπον τὰ περὶ τοὺς [23] λόγους καὶ καταποικίλας τὸν αὐτοῦ διηνεκῶς οὐκ ἄλλος τις κατ' 15
ἐμὴν δόξαν, ἢ Δημοσθένης. διὰ τοίνυν τούτου [24] καὶ τῶν παρὰ τούτῳ λεκτέον ἂν εἴη δήπουθεν καὶ περὶ τῶν ἄλλων ἁπασῶν ἰδεῶν [25] τοῦ λόγου. ἐπιτιμήσῃ [26] δὲ μηδεὶς μήτε τῇ μεθόδῳ ταύτῃ μήτε τῇ κρίσει, πρὶν ἅπασιν ὁμιλῆσαι τοῖς ῥηθησομένοις. οἶμαι γὰρ θαυμάσεσθαι 20
ἂν εἰκότως μᾶλλόν τινας ἡμᾶς διὰ ταῦτα, καὶ τὸ μέγιστον ἐπ' εὐκρινείᾳ, ἢ τινος ἐπιτιμήσεως ἕνεκα τούτων ἀξίους νομιεῖν, μόνον εἰ προσέχειν τοῖς ἑφεξῆς ἐθελήσαιεν. [27]
Ὁ τοίνυν Δημοσθένης, ὅτιπερ κεφάλαιον ἦν, τὸν πολιτικὸν [28] ἠκριβωκὼς, τὸ μὲν ὡς διὰ πάντων ἥκει παντα- 25

19 Ald. Vind. συμμιγῆ. Port. Mon. συμμιγεῖ. 20 τὸ Mon. om. 21 Vind. Mon. τῶν αὐτῶν. 22 Par. τοτὲ δὲ ὡς ποιητικός. manu rec. οὐ supra lin. ad marg. γρ. τοτὲ δ' αὖ οὐ ποιητ. 23 τοὺς Vind. om. 24 Jo. Sicel. litt. κς'. p. 104. τούτου διχῶς ἐκφέρεται ἡ γραφή· ἡ μὲν γὰρ ἔχει τοῦτο, οἷον διὰ τοίνυν τοῦτο· ἡ δὲ διὰ τούτου γενικῶς. 25 Vind. Mon. ἰδεῶν ἁπασῶν.
η
26 Ald. ἐπιτιμήσει. Vind. ἐπιτιμήσει. Port. Mon. ἐπιτιμήσῃ. 27 Ald. Port. ἐθελήσειεν. Vind. Mon. ἐθελήσαιεν. 28 Port. τὸν

χοῦ ταῖς μίξεσι, μήθ' ὅτε συμβουλεύει πάντη χωρίζων τοῦ δικανικοῦ τε καὶ πανηγυρικοῦ τὸν λόγον αὐτοῦ, μήθ' ὅτε τι τῶν ἄλλων ποιεῖ, τὰ λοιπὰ ἀφιεὶς, τάχα ἂν οὐ τῶν σφόδρα γένοιτο χαλεπῶν εὑρεῖν τοῖς οὐχ ἁπλῶς αὐτὸν μετιοῦσιν. οἷς μέν τοι καθαπερεὶ στοιχείοις τισὶ χρησάμενος εἴδεσι λόγου τοιοῦτον εἴργασται τὸν ἑαυτοῦ, ἃ δὴ καὶ τὸν πανηγυρικὸν αὐτὸν καὶ τἄλλα πάντα [29] τῶν λόγων εἴδη ποιεῖ [30] συνιστάμενα πρὸς ἄλληλα, τοῦτο δὴ [31] παγχάλεπον εὑρεῖν ἔμοιγε εἶναι δοκεῖ. χαλεπὸν δὲ οὐδὲν ἧττον καὶ τὸν [32] εὑρόντα εἰπεῖν, καὶ δεῖξαί τι σαφὲς περὶ αὐτῶν. οὐδὲ γὰρ ἔστιν ὅστις πρὸ ἡμῶν, ὅσα ἐμὲ γινώσκειν, εἰς τήνδε τὴν ἡμέραν ἀκριβές τι περὶ τούτων πραγματευσάμενος φαίνεται. ὅσοι δὲ καὶ [33] ἥψαντο, τεταραγμένως καὶ λίαν ἀπιστοῦντες σφίσιν αὐτοῖς περὶ ὧν εἶπον εἰρήκασιν. ὥστε αὐτοῖς συγκεχύσθαι [34] τὰ πάντα. πρὸς γὰρ αὖ τοῖς [35] ἄλλοις, καὶ οἱ δόξαντές τι λέγειν περὶ τἀνδρὸς, τὸ κατὰ μέρος θεωρήσαντες, καὶ τοῦθ' ὅπως ἐδύναντο, [36] τῶν δ' ἐν τῷ καθόλου βραχέα ἢ οὐδὲν φροντίσαντες, λέγω περὶ αὐτῆς σεμνότητος, [37] περὶ αὐτῆς ἀφελείας, τῶν ἄλλων ἰδεῶν, περὶ [38] μὲν Δημοσθένους τάχα ἄν τι διδάσκοιεν ἡμᾶς, καὶ τούτου νὴ Δία τῶν μερῶν, ὧν τὰς θεωρίας συγγράψαι φασί. περὶ μέν τοι παντὸς τοῦ λόγου [39] καὶ πάσης ἰδέας, εἴτε ἐν μέτροις, εἴτε ἐν ποιήσει, εἴτε ἐν τῷ καταλογάδην εἴδει, παντάπασιν ἡμᾶς ἀδιδάκτους εἴασαν, ὅσον τὸ [40] ἐπ' αὐτοῖς. χαλε-

πολιτικόν. Ald. Mon. Vind. τῶν πολιτικῶν. 29 πάντα Mon. om. Vind. sq. τῶν om. 30 Vind. ποιεῖν. 31 Ald. Port. δέ. Vind. δή. Mon. δὲ et sq. εἶναι om. 32 Vind. τό. Port. om. 33 καὶ Mon. om. 34 Ald. συγκεχεῖσθαι. Port. Mon. Vind. συγκεχύσθαι. 35 Ald. Mon. αὐτοῖς. Port. Vind. αὖ τοῖς. 36 Port. Vind. ἠδύναντο. Mon. τοῦτο ὅπως. 37 Vind. αὐτῆς τῆς σεμν. 38 Mon. τάχα ἂν περὶ Δημ. τι διδάσκοιεν [Ald. διδάσκειεν.] 39 τοῦ Mon. om. 40 Mon. τὸ ὅσον.

λεπὸν μὲν οὖν, ὅπερ ἔφην, ταῦτα καὶ εὑρεῖν, καὶ εὑρόντα διδάξαι σαφῶς [41] μετ' εὐκρινείας. ἀλλὰ μὴ κατ' ἐκείνους, πειρατέον δὲ ὅμως [42] καθ' ἣν προὐθέμεθα ὁδόν. τὰ γάρ τοι τοῦ Δημοσθενικοῦ λόγου καθαπερεὶ στοιχεῖα καὶ ἀρχὰς εἰ δυνηθείημεν ἀκριβῶς αὐτὰ ἕκαστα ἐφ' ἑαυτῶν πόσα τέ ἐστι δεῖξαι καὶ ὁποῖα, καὶ ὅπως γίνεται, τίς τε ἡ πρὸς ἄλληλα μίξις αὐτῶν, καὶ τί δύνανται τόνδε ἢ τόνδε μιγνύμενα τὸν τρόπον, τάχα [43] ἂν περὶ ἁπάντων τῶν λόγων εἰρηκότες εἴημεν. ἡ μὲν οὖν ὑπόσχεσις, [44] κατ' αὐτὸν φάναι [45] τὸν ῥήτορα, οὕτω μεγάλη, τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον κἀνταῦθα δώσει, κριτὴς δὲ [46] ἡμῖν ὁ βουλόμενος ἔστω.

Φημὶ [47] τοίνυν, ὅτι τὸν Δημοσθενικὸν λόγον τὰ ποιοῦντά ἐστιν, εἰ μέλλοι τις ὡς ἓν ἅπαν [48] ἀκούσεσθαι, τάδε· σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. λέγω δὲ ὡς ἓν ταῦτα [49] πάντα, οἱονεὶ [50] συμπεπλεγμένα καὶ δι' ἀλλήλων ἥκοντα. τοιοῦτος γὰρ ὁ λόγος ὁ Δημοσθενικός. τούτων δὲ τῶν ἰδεῶν αἱ μὲν ἐφ' ἑαυτῶν [51] εἰσι καὶ καθ' ἑαυτὰς συνιστάμεναι· αἱ δὲ ἔχουσιν ὑφ' ἑαυτάς [52] τινας ἄλλας ἰδέας ὑποβεβηκυίας, δι' ὧν δὴ γίνονται· αἱ δὲ κοινωνοῦσιν ἀλλήλαις μέρει τινὶ ἢ καὶ μέρεσιν. ὅλως τε αἱ μὲν γένη εἰσὶν εἰδῶν· αἱ δὲ ὥσπερ κατὰ διαφοράν τινα κοινωνοῦσιν ἑτέραις ἰδέαις, τοῖς ἄλλοις κεχωρισμέναι πᾶσιν. αἱ δὲ, ὅπερ ἔφην, μένουσιν [53] ἐφ' ἑαυτῶν, οὐδενὸς ἄλλου [54] προσδεόμεναι. προϊοῦσι δὲ [55] ἔσται φανερώτερον ὃ λέγω, ὅτε καὶ καθ' ἑκάστην

41 Vind. σαφῶς διδάξαι. 42 Mon δ' ὅμως. 43 Vind. τάχ' ἄν. 44 Ald. Mon. Vind. ὑπόθεσις. Port. ὑπόσχεσις ex Phil. I. p. 44. 45 Vind. φαίνεται. 46 Vind. δ' ἡμῖν. 47 Ald. φημί. 48 Mon. ἅπαντα. 49 Mon. τὰ πάντα. 50 Vind. οἷον. 51 Vind. αὐτῶν. 52 Vind. αὐτάς. 53 Vind. δ' ὅπερ ἔφην μένουσαι. 54 Mon. ἑτέρου. 55 Vind. δ' ἔσται, Mon. δ' ἔστιν.

αὐτῶν προχειρισόμεθα.[56] πρῶτον δὲ ἐξ ὧν ἅπας[57] λόγος πέφυκε γίνεσθαι, καὶ ὧν ἄνευ οὐκ ἄν[58] ποτε συσταίη τι λόγων εἶδος, ῥητέον· ἵνα ἐκ τούτων εὐμαθέστερον ἔχοντες μᾶλλον παρακολουθοίημεν·[59] ὅτε καὶ τὰς ὑποβεβηκυίας τινὰς τῶν προειρημένων ἰδεῶν[60] προτιθέντες, ἐξ ὧν πεφύκασι γίνεσθαι, λέγωμεν.[61]

Ἅπας τοίνυν λόγος ἔννοιάν τ' ἔχει πάντως τινὰ, ἣ ἐννοίας καὶ μέθοδον περὶ τὴν ἔννοιαν καὶ λέξιν, ἣ τούτοις ἐφήρμοσται. τῆς δ' αὖ λέξεως ἐχούσης πάντως τινὰ καὶ αὐτῆς ἰδιότητα, πάλιν αὖ σχήματά τέ ἐστί τινα καὶ κῶλα, συνθέσεις τε καὶ ἀναπαύσεις, καὶ τὸ ἐξ ἀμφοῖν τούτοιν συνιστάμενον, ὁ ῥυθμός· ἡ γὰρ ποιὰ σύνθεσις τῶν τοῦ λόγου μερῶν, καὶ τὸ ὡδί πως ἀναπεπαῦσθαι τὸν λόγον, ἀλλὰ μὴ ὡδὶ, ποιεῖ τὸ τοιόνδε, ἀλλὰ μὴ τοιόνδε εἶναι τὸν ῥυθμόν. ἐπεὶ δὲ[62] ἴσως ἐστὶν ἀσαφὲς τὸ προειρημένον, παραδείγματι αὐτὸ σαφηνιοῦμεν. ἔστω γὰρ βούλεσθαι ἡμᾶς ποιῆσαι γλυκύτητα. οὐκοῖν ἔννοιαι μὲν γλυκύτητος αἵ τε[63] μυθικαὶ καὶ αἱ ταύταις[64] ὅμοιαι καί τινες ἕτεραι, περὶ ὧν ὕστερον λέξομεν ἐν τῷ περὶ αὐτῆς τῆς γλυκύτητος λόγῳ. ἀλλ' ἔνναι μὲν αὗται, μέθοδοι δὲ τὸ προηγουμένως καὶ σὺν ἀφηγήσει αὐτὰς διεξιέναι, ἀλλὰ μὴ ἐξ ὑποβολῆς, ἤ πως[65] ἑτέρως. λέξις δὲ ἡ διὰ ἐπιθέτων καὶ ὅση δριμεῖα, καὶ τῆς ποιητικῆς ἡ μὴ διηρημένη μηδὲ πλατεῖα τῇ[66] φύσει, αἵ τε τῆς καθαρότητος ἅπασαι. τῆς δ' αὖ λέξεως σχήματα μὲν τὰ κατ' ὀρθό-

---

56 Port. προχειρισόμεθα. Ald. Mon. Vind. προχειριζόμεθα. 57 Ald. ἅπαξ. Port. Mon. Vind. ἅπας. 58 Ald. Port. Codd. ὧν οὐκ ἄνευ ποτε. Recepi emendationem Toupii ad Longin. Sect. IX. §. 2. p. 303. ed. Weisk. 59 Ald. παρακολουθείημεν. 60 Vind. εἰδεῶν. 61 Mon. λέγομεν. 62 Mon. Vind. ἐπειδὴ δέ ἐστιν ἴσως ἔτι ἀσαφές. [Vind. ἀσαφὲς ἔτι]. 63 τε Vind. Mon. om. 64 Ald. Port. ταύτῃ. Mon. Vind. ταύταις. 65 Ald. πῶς. — v. 23. Port. διηρμένη. 66 τῇ Mon. Vind. om.

τητα, ὡς ἐπὶ τὸ πολὺ, καὶ τὰ χωρὶς ἐπεμβολῆς· κῶλα δὲ τὰ ὀλίγῳ τῶν κομματικῶν μείζονα, ἢ καὶ τὰ κομματικὰ αὐτά. συνθήκη δὲ κατὰ μὲν τὰ τοῦ λόγου μέρη μᾶλλον ἡ ἀνειμένη διὰ τὴν τοιαύτην λέξιν, οὐ μὴν ἥ γε διεστηκυῖα πάντη. [67] δεῖ γάρ τι [68] καὶ κατὰ τὸν ῥυθμὸν ἔχειν τὴν γλυκύτητα ἡδονῆς. κατὰ δὲ τὰς βάσεις ὅση [69] δακτυλική τε καὶ ἀναπαιστική. τὸν δὲ περὶ ῥυθμοῦ τι λέγοντα καὶ συνθήκης ἀνάγκη καὶ [70] περὶ συλλαβῶν καὶ στοιχείων διαλαβεῖν. ἐκ γὰρ τούτων καὶ τῆς ἀναπαύσεως ὁ ῥυθμός· δῆλον δὲ ἔσται μᾶλλον ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων. ἀλλὰ συνθήκη μὲν αὕτη γλυκύτητος· ἀνάπαυσις δὲ ἡ βεβηκυῖα μᾶλλον. ὁ δὲ ῥυθμὸς ὥςπερ εἰδός τι ἑπακολουθεῖ τῇ τε [71] συνθήκῃ τῇ ποιᾷ καὶ τῇ ἀναπαύσει, ἄλλο τι ὂν [72] παρὰ ταῦτα, καθάπερ οἰκίας ἢ πλοίου ἢ τῶν τοιῶνδε, λίθων ἢ ξύλων, τόνδε πως ἢ τόνδε τὸν τρόπον συντεθέντων καὶ μέχρι τοῦδε παυσαμένων, τοιόνδε τὸ εἶδος ἢ τοιόνδε γίνεται, ἄλλο τι παρὰ τὴν συνθήκην καὶ τὴν ἀνάπαυσιν ὄν.

Πάντα μὲν οὖν εἴδη [73] λόγων ἐν τούτοις τεθεώρηται καὶ διὰ τούτων γίνεται, ἐννοίας, μεθόδου, λέξεως, σχήματος, κώλου, συνθήκης, ἀναπαύσεως, ῥυθμοῦ. ἐγὼ δ' [74] ὅτι μὲν καὶ τούτοις καὶ τοῖς προειρημένοις δεῖ σαφηνείας τινὸς, οὐκ ἀγνοῶ· οὐδ' ὡς οἴονταί τινες, γενέσθαι ἂν ἴσως ταῦτα [75] σαφῆ διὰ τῶν παραδειγμάτων, εἰ προτεθείη· [76] οὐ μὴν ἀλλὰ τὸ μὲν δεῖν παραδειγμάτων αὐτοῖς ὁμολογῶ, τὸ δὲ εἰ τεθεῖεν [77] νυνὶ παραδείγματα, γε-

67 Mon. Vind. πάντη διεστηκυῖα. 68 Ald. Mon. τοι. Port. Vind. τι. 69 Ald. ὅσοι δακτυλικοί τε καὶ ἀναπαιστικοί. Vind. Mon. Port. ὅση [Port. ὅλη] δακτυλική τε καὶ ἀναπαιστική. 70 καὶ recepi ex Mon. Vind., Ald. Port. om. 71 Vind. γε. 72 Mon. ὧν. 73 Ald. ἤδη. corrigit marg. Vict. Port. Codd. 74 Port. δέ. — v. 22. Par. γρ. τούτοις ἐπὶ τοῖς προειρημένοις. ita Mon. Vind. 75 Vind. αὐτά. 76 Par. γρ. εἰ παρατεθείη. 77 Ald. εἴτε θεῖεν.

νέσθαι ἂν σαφὲς περὶ οὗ λόγος, οὐκ ἔτ' ἂν συγχωρήσαιμι· ἐπεὶ τοὐναντίον, εἰ νῦν καὶ ἐνταῦθα καὶ καθ' ἕκαστον τῶν προειρημένων τεθείη παραδείγματα,[78] μηκύνοιτό τε ἂν δι' αὐτὸ μᾶλλον ὁ λόγος, καὶ ταραχή τις ἂν πλείων εἰκότως γίνοιτο.[79] ἔπειτα μέν τοι καὶ τὸ παρὸν οἱ περὶ γλυκύτητος προὔκειτο[80] λέγειν· (ὕστερον γὰρ ἀκριβέστερον καὶ περὶ ταύτης ἐροῦμεν) ἀλλ' ὅσαν ἐμφῆναι διὰ τίνων γένοιτ'[81] ἂν ἀκριβὲς ἓν αὐτὸ ἕκαστον λόγων εἶδος· ἵνα ἀπὸ τούτων, ὅπερ ἔφην, εὐμαθέστερον ἔχοντες ῥᾳδίως ἐποίμεθα τοῖς ἑφεξῆς. Οὐκοῦν ἐκεῖσε ἐπάνειμι. ἐχόντων γὰρ τούτων ταύτῃ καὶ πάσης ἰδέας λόγων συνισταμένης διὰ τῶν προειρημένων, ἀκριβῶς μὲν διὰ πάντων τῶν ἑνὸς εἴδους οἰκείων[81] εἰργασμένον λόγον, οἷον ἐννοίας, μεθόδου,[82] λέξεως καὶ τῶν λοιπῶν, σφόδρα χαλεπὸν, μᾶλλον δὲ ἀδύνατον εὑρεῖν παρά τινι τῶν
81 ἀρχαίων· τῷ[83] δὲ πλεονάζειν τοῖς οἰκείοις[84] ἑκάστης ἰδέας τὸ τοιόνδε ἢ τοιόνδε ἕκαστον αὐτῶν εἶναι συμβέβηκεν. ἐξαίρω μέντοι τοῦ λόγου τὸν ῥήτορα. οὐ γὰρ κατὰ ταὐτὰ ἐκείνοις μιᾷ τινι τῶν προειρημένων πλεονάσας ἰδέᾳ καὶ αὐτὸς, ἀλλὰ μέρει μέν τινι, μᾶλλον δὲ εἴδει μιᾶς πλείονι[85] χρησάμενος τῶν λοιπῶν, λέγω δὴ[86] τῇ περιβολῇ· διότι[87] δὲ τοῦτο πεποίηκεν, ἐν τῷ περὶ μεγέθους ἡμῖν καὶ τῆς περιβολῆς αὐτῆς ἀκριβῶς λελέξεται· ἀλλ' ὅπερ ἔλεγον, τούτῳ[88] γὰρ, ὃ δὴ πολλοστόν ἐστι μέρος ἢ εἶδος ἰδέας μιᾶς, πλείονι χρησάμενος τῶν λοιπῶν, τοῖς δὲ ἄλλοις ἅπασιν ἑκάστῳ τὸ κατ'[89] ἀξίαν μείμας, καὶ τὰ μὲν[90] ὑψηλὰ σφόδρα καὶ λαμπρὰ τῶν νοημάτων μεθό-

78 Vind. τὰ παραδείγματα. 79 Vind. γένοιτο. 80 Vind. πρόκειται. 81 Ald. εἰκείων. Vind. Mon. οἰκεῖον. Port. οἰκείων. 82 Vind. μεθόδων, λέξεων. 83 Ald. Mon. τό. Port. Vind. τῷ. 84 Mon. ἰδίοις. 85 Vind. πλέονι. 86 Port. δέ. Mon. om. 87 Vind. διατί. 88 Vind. τοῦτο. 89 Mon. πρός. 90 μὲν Vind. om.

δοις τισὶν ἢ σχήμασιν ἤ τινι τῶν ἄλλων καθαιρῶν, τὰ δ' αὖ λεπτὰ καὶ μικρὰ διὰ τῶν αὐτῶν τούτων ἐγείρων [91] τε καὶ ὀρθῶν, καὶ [92] ἕκαστα τῶν ἄλλων κατὰ [93] ταῦτα μιγνὺς τοῖς οὐκ οἰκείοις οὐδὲ ἰδίοις αὐτῶν μέρεσι, καὶ καταποικίλλων οὕτω τὸν λόγον αὐτοῦ πάντα πεποίηκεν ἁρμόττειν αὐτοῖς, καὶ τὸ ὅλον ἓν εἶναι, πασῶν αὐτῷ [94] δι' ἀλλήλων ἡκουσῶν τῶν ἰδεῶν· ὥστ' ἐξ ἁπάντων τῶν καλῶν ἓν τοῦτο κάλλιστον ἀπειργάσθαι εἶδος [95] λόγων, τὸ Δημοσθενικόν.

Ἀκριβῶς μὲν οὖν, ὅπερ εἶπον, οὐκ ἦν εὑρεῖν παρ' οὐδενὶ τῶν ἀρχαίων τὸ τοιοῦτον, ὅ τι καὶ φύσει δήπουθεν ἁμάρτημά ἐστι, τὸ μονοειδῆ καὶ μὴ ποικίλον ἐργάζεσθαι τὸν [97] λόγον· πλεονάζειν δὲ ἔφην ἄλλον κατ' ἄλλο τι, καὶ ταύτῃ συμβαίνει [98] τὸ τοιόνδε ἢ τοιόνδε αὐτῶν ἑκάστῳ τὸν λόγον γίνεσθαι. τό γε μὴν πλεονάζειν λέγω οὐ τὸ τοῖς πλείοσι χρῆσθαι τῶν ἐμποιούντων [99] ἰδέαν ἑκάστην, οἷον μεθόδῳ, σχήματι, συνθήκῃ, ἀναπαύσει καὶ τοῖς τοιούτοις. [1] (τάχα μὲν γὰρ καὶ τοῦτο ἂν εἴη τι) ἀλλ' ὅγε λέγω τοιοῦτόν ἐστι, τὸ τοῖς κυριωτάτοις [2] ἰδέας ἑκάστης μάλιστα χρῆσθαι. τοῦτο γὰρ καὶ τὴν ἰδέαν ὡς ἐπὶ τὸ πλεῖστον ποιεῖ· καὶ τὸ πλεονάζειν

---

ταῦτα

91 Vind. ἐγείρων καὶ διορθῶν, ἕκαστα τῶν ἄλλων κατὰ πάντα μιγνὺς τοῖς οὐκ οἰκείοις οὐδὲ οἰκείοις αὐτῶν μ. 92 καὶ Mon. om. 93 Ald. Port. Mon. καὶ ταῦτα. Par. ad marg. γρ. καὶ ταῖτα μιγνύς· καὶ οὕτω· καὶ ἕκαστα τῶν ἄλλων κατὰ ταῦτα μιγνύς. 94 Ald. Port. αὐτῷ. Vind. αὐτῶν. 95 Mon. Vind. εἶδος ἀπειργάσθαι λ. [Mon. λόγον τὸν Δημοσθενικόν.] sed rasurae et correctionis signa apparent. 96 τὸ Vind. om. 97 Vind. τὸν om. Tum habet πλ. δ' ἔφην. 98 Ald. Port. συμβαίνειν, Vind. Mon. συμβαίνει. 99 Vind. εὖ ποιούντων.

1 Mon. λοιποῖς. Vind. ἀναπαύσει, τοῖς τοι. 2 Mon. τῆς κυριωτάτης, nota dativi pluralis manu rec. superducta. Tum Vind. ἑκάστης ἰδέας.

τοῦτ' ἦν, τὸ τοῖς κρατίστοις [3] χρῆσθαι τοῦ εἴδους. ἔστι δ' ὅτε εἰ ταῦτα παραλείποι [4] τις, τοῖς ἄλλοις χρώμενος ἅπασιν, εἰ καὶ πλεονάζει [5] κατ' ἐκεῖνα· ἀλλὰ γοῦν ἧττον ἂν τυγχάνοι [6] τοῦ εἴδους ὁ λόγος ἐκείνου οὗπερ ἦν οἰκεῖα οἷς ἐχρήσατο.[7] περὶ τοίνυν τῆς δυνάμεως λεκτέον ἂν εἴη τῶν ποιούντων, ὡς ἔφαμεν, τὰ εἴδη τοῦ λόγου.

Ἔστιν οὖν πρῶτον μὲν καὶ ἰσχυρότατον [8] ἁπανταχοῦ ἡ ἔννοια, μετὰ δὲ ταύτην ἡ λέξις. τὸ σχῆμα δὲ τρίτον, λέγω τὸ τῆς λέξεως· ἐπεὶ τό γε τῆς ἐννοίας, ὅπερ ἦν ἡ [9] μέθοδος, τέταρτον λέγω, οὐ κατὰ δύναμιν τῶν ἐν δεινότητι. ἐκεῖ γὰρ κινδυνεύει τὰ πρῶτα ἀποφέρεσθαι, ὡς ἐν τῷ [10] περὶ δεινότητος ἔσται φανερώτερον. συνθήκη δὲ καὶ ἀνάπαυσις ἔστω τελευταῖα. γένοιτο δ' ἂν ἴσως ποτὲ καὶ οὐ τελευταῖα, καὶ μάλιστα ἐν τῇ ποιήσει. χωρὶς μὲν γὰρ θατέρου θάτερον μικρὰ ἂν ἦ οὐδὲν πρὸς εἶδος λόγου συμβάλλοιτο. [11] μετ' ἀλλήλων μέντοι καὶ τοῦ ῥυθμοῦ πολλὰ καὶ οὐ μικρά. καὶ τάχα ἂν ἡμῖν παῖδες μουσικῶν ἀμφισβητήσειαν, εἰ μὴ καὶ πρὸ τῆς ἐννοίας θετέον [12] αὐτά. δύνασθαι γὰρ φήσουσι τὸν ῥυθμὸν καὶ καθ' ἑαυτὸν χωρὶς ὅλως ἐνάρθρου φωνῆς, ἡλίκα [13] οὐδεμία λόγων ἰδέα· καὶ γὰρ ἡδίους [14] ποιῆσαι τὰς ψυχὰς ὑπὲρ ἅπαντα πανηγυρικὸν λόγον εἶναί φασι [15] τοὺς

---

3 Vind. κυριωτάτοις. 4 Par. παραλείπει. 5 Vind. πλείονα. 6 Mon. τυγχάνει. Vind. τυγχάνῃ. tum Ald. ἴδους. 7 Ald. οὗπερ οὐκ ἦν ἴδια οἷς ἐχρ. Port. Mon. Vind. οὗπερ ἦν οἰκεῖα οἷς ἐχρ. [Vind. οἷς οὐκ ἐχρήσ.] 8 Mon. ἰσχυρότερον. tum Vind. τῶν ἁπανταχοῦ. 9 ἡ Ald. Mon. om., est in Port. Vind. Locus sq. οὐ κατὰ δύναμιν — ἀποφέρεσθαι legitur in Bekkeri Anecd. p. 151. ubi κινδυνεύει explicatur per προτετίμηται, προκέκριται. 10 Vind. τοῖς. 11 Vind. Mon. συμβάλοιτο. 12 θετέον Vind. om. 13 Ald. Mon. ἡνίκα. Port. Vind. ἡλίκα. 14 Ald. ἡδίας. sq. τὰς ex Vind. recepi, Ald. Port. Mon. om. 15 Mon. φασὶν ἐπιτηδείους τοὺς ῥυθμ.

ῥυθμοὺς ἐπιτηδείους· καὶ τοὐναντίον αὖ λυπηρὰς, ὡς οὐδεμία ἐλεεινολογία. δύνασθαι δὲ καὶ θυμὸν κινῆσαι μειζόνως ἢ πάντα σφοδρὸν καὶ καταφορικὸν λόγον· ὅλως δὲ περὶ πάντων ἐφεξῆς οὕτως ἡμῖν ἴσως ἂν ἐρεσχελήσωσιν.[16] ἡμεῖς δὲ οὐ διοισόμεθα πρὸς αὐτούς· ἀλλ' ἔστω μὲν, εἰ βούλοιτό τις, πρῶτον, εἰ δὲ βούλοιτο τελευταῖον ἢ μέσον τῇ δυνάμει τῶν προειρημένων ὁ ῥυθμός. ἐγὼ δὲ ὁποῖοί τινές εἰσιν ἑκάστης ἰδέας οἰκεῖοι, καθ' ὅσον ἐγχωρεῖ λέξει πεζῇ χωρὶς τοῦ περιάδειν προσαρμόσαι τινὰ ῥυθμὸν, τοῦτο δείξειν φημί· καὶ εἴ γε δύναιντο κἀνταῦθα οἱ ῥυθμοὶ, ὅσα κἀν τῇ ἄλλῃ μουσικῇ, κεῖσθωσαν πρῶτοι. εἰ δὲ μὴ τοσοῦτον δύναιντο, τετάξονται ἡμῖν ὅπως ἂν, οἶμαι, καὶ δυνάμεως ἔχωσι. φημὶ γὰρ, ἔστι[17] μὲν οὖ καὶ ὁ ῥυθμὸς πολὺ συνεισήνεγκε τῷ[18] τοιόνδε γίνεσθαι τὸν λόγον, ἀλλὰ μὴ τοιόνδε, οὐ μὴν τοσοῦτόν γε ὁπόσον[19] ἐκεῖνοί φασι. μικρὰ δὲ ἀναλαβόντες περὶ ἁπάντων τῶν προειρημένων, ὡς[20] ἐν κεφαλαίῳ, ἐπ' αὐτὸν ἤδη τὸν[21] περὶ τῶν ἰδεῶν λόγον χωρήσομεν. τίνα μὲν γάρ ἐστι τὰ τὰς ἰδέας ποιοῦντα τοῦ λόγου, καὶ ποία τις ἡ τούτων δύναμις,[22] κἀκ τίνων[23] ὁ Δημοσθενικὸς λόγος συνέστηκε, καὶ δι' ἣν αἰτίαν τοῦτον προχειρίσασθαι δεῖν τὸν ἄνδρα κρίνομεν, εἴρηται. ἐπεὶ δὲ χωρὶς μὲν αὐτὴν καθ' αὑτὴν[24] οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν[25] ἐξειργασμένην ἰδέαν διαρκῶς, πλὴν εἰ[26] τὸ ἑκάστου ἔργον ἰδέαν λέγοι τις, οἷον Πλατωνικὴν ἢ[27] Δημοσθενικήν. ἀλλ' ἐπειδὴ αὐτὴν μὲν καθ' ἑαυτὴν, ὅπερ ἔφην, σεμνότητα, ἤ τι τῶν ἄλλων ἀδύνατον παρά τινι τῶν ἀρ-

16 Mon. Vind. ἐρεσχελήσωσιν. Ald. Port. ἐρεσχελίσωσιν. 17 Vind. ὡς ἔστι. 18 Vind. τὸ γίνεσθαι τοιόνδε. 19 Vind. ὅσον. 20 ὡς Vind. om. 21 Vind. τὸν λόγον τὸν περὶ τῶν ἰδ. 22 Mon. δύναμις τούτων. 23 Vind. τίνος. 24 Mon. καθ' ἑαυτήν. Vind. καὶ καθ' ἑαυτήν. 25 Mon. οὐδὲ μίαν. 26 Mon. πλὴν εἰ μή. 27 Ald. Port. ἢ καί. Mon. Vind. καὶ om.

χαίων εὑρεῖν ἦν [28] διηνεκῶς, μίξιν δὲ οὔτε λόγου οὔτε ἄλλου τινὸς τῶν πάντων οἷόν τέ ἐστι γνῶναι καλῶς ἤ τοι ποιήσασθαι, μὴ πρότερον αὐτὰ ἕκαστα ἐξ ὧν ἡ κρᾶσις γέγονεν ἢ γένοιτο ἄν, ἐπιγνόντα, οἷον λευκοῦ καὶ μέλανος φύσιν, ἐξ ὧν τὸ φαιὸν, εἰ κραθείη, γίνεσθαι πέφυκεν· ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, [29] ἀνάγκη πάντων τούτων ἀπαλλαγέντας, τῶν κατ' ἄνδρα λέγω, Πλάτωνος, Δημοσθένους, Ξενοφῶντος, τῶν ἄλλων ἁπάντων, ἐπὶ τὰ ἐξ ἀρχῆς ἰέναι, οἱονεὶ [30] στοιχεῖα λόγου, καὶ περὶ ἑκάστου χωρὶς διαλαβεῖν. ῥᾴδιον γὰρ τοῖς γε ἐντεῦθεν ὁρμωμένοις καὶ περὶ τῶν [31] καθ' ἕνα γνῶναι, καὶ εἰπεῖν, τὰς ἀκριβεστάτας μίξεις αὐτῶν καταθεωμένοις, ἐάν τέ τις τοὺς ἀρχαίους, ἐάν τε καὶ τῶν νεωτέρων τινὰς ἐξετάξειν καὶ ζηλοῦν βούληται. οὐκοῦν ἐφ' ἃ προὐθέμεθα ἐξ ἀρχῆς. ἐλθόντες λέγομεν τὰς ἰδέας, ἐξ ὧν ἔφην τὸν Δημοσθενικὸν συγκεῖσθαι λόγον. τὰς δὲ ὑποβεβηκυίας αὐταῖς ἢ καὶ συμπληρούσας [33] αὐτὰς ἰδέας ἰδόντες εὐκρινές τι ἂν περὶ ἑκάστης λέγοιμεν. ἦσαν δὲ δήπουθεν αἵδε, σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. περὶ τοίνυν [34] τούτων λεκτέον, καὶ πρῶτόν γε σαφηνείας καὶ τῶν ἰδεῶν, αἵ ποιοῦσιν αὐτήν. θαυμάζειν δὲ οὐ χρή, ἐάν τινες ἰδέαι κοινωνοῦσαι κατά τι ἑτέραις [35] εὑρίσκωνται οἷον ἢ κατ' ἔννοιαν ἢ κατὰ λέξιν ἤ τι ἕτερον, ὥσπερ ἡ καθαρότης τῇ ἀφελείᾳ, κατά τε ἄλλα τινὰ, καὶ κατὰ τὸ τῆς ὀρθότητος σχῆμα κεκοινώνηκεν. [36] οἷον, Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς δι-

28 ἦν Mon. om. 29 ἔχει Ald. Par. Mon. Vind. om. Par. γρ. οὕτως ἔχει. ita Port. — Par. τοῦτ' οὕτως. 30 Vind. οἷον. 31 τῶν Ald. om., est in Mon. Vind. Port. 32 Vind. προεθέμεθα. 33 Ald. συλπληρούσας. 34 Vind. τούτων τοίνυν. mox ante σαφηνείας in Par. manus rec. inseruit περί. 35 Mon. Par. ἕτερον. in Par. manu rec. supra lin. αις. Vind. κατὰ ἕτερον. 36 οἷόν Mon. om. — in Mid. p. 533.

δάσκων. καὶ γὰρ καθαρὸν τοῦτο καὶ ἀφελές. καὶ πάλιν ἡ τραχύτης καὶ ἡ ἀκμὴ κοινὰς ἔχουσι τὰς ἐννοίας. αἱ γὰρ ἐπιτιμήσεις οὖσαι τραχύτητος ἴδιαι ποιοῦσι τὴν ἀκμήν, ὅτε κώλῳ καὶ σχήματι μακρῷ ἐξαγγελθεῖεν. [37] οὕτω δὲ δήπουθεν καὶ λαμπρότητι ἡ ἀκμὴ κοινωνοῦσα εὑρίσκεται. ἀλλ' οὐ χρὴ τοῦτο θαυμάζειν. τῷ μὲν γὰρ ὅλῳ ἑκάστη ἰδέα ἑτέρα τῶν ἄλλων εὑρίσκεται. μέρη δέ τινα, οἷον διαφορὰς οὐσίας τινὸς ἔχειν ἑτέραις τὰ αὐτὰ [38] ἰδέαν ἡντιναοῦν οὐ κεκώλυται. ὥσπερ ὁ ἄνθρωπος τῷ μὲν ὅλῳ ἕτερόν [39] ἐστι τῶν ἄλλων ζώων, τῷ [40] δὲ εἶναι θνητὸν πολλοῖς κοινωνεῖ, καὶ τῇ τοῦ λογικοῦ δὲ διαφορᾷ κοινωνεῖ δήπου τοῖς θεοῖς. [41]

Καὶ τοῦτο κατ' ἀρχὰς εὐθὺς διωρίσαμεν, ὡς εἰσὶ τῶν ἰδεῶν τινες, αἳ κατά τι κεκοινωνήκασιν ἑτέραις. ἀλλὰ περὶ μὲν τούτων ἄλις. ἐπὶ δὲ τὸν περὶ [42] σαφηνείας ἤδη λόγον ἰτέον, ἣν δὴ καὶ πρώτην ἐθέμεθα, διότι καὶ παντὶ λόγῳ τούτου δεῖ μάλιστα, τῆς σαφηνείας, ἧπερ ἐναντίον ἐστὶ δήπουθεν ἡ ἀσάφεια, ᾗ ὑποβέβηκε τὸ καθαρὸν καὶ εὐκρινές.

---

37 Vind. εὑρεθείη. supra lin. ἐξαγγελθείη. 38 Mon. τὰς αὐτάς. Vind. διαφ. οὔσας τινὰς ἔχειν ἑτέραις τὰς αὐτάς. Par. ad marg. γρ. διαφ. οὔσας τινὰς ἔχειν τὰς αὐτὰς ἰδέαν ἥντινα οὐ κεκώλυται. ib. γρ. διαφ. οὐσίας τινὸς ἔχειν ἑτέρας τὰς αὐτὰς ἰδέαν ἡντιναοῦν οὐ κεκώλ. Par. 2918. διαφ. οὔσας τινὰς ἔχειν ἑτέραις τὰ αὐτά. Planud. p. 460. v. 12. γράφεται καὶ οὕτως· οἷον διαφορὰς οὐσίας τινός. τὰ γὰρ μέρη ἑκάστης ἰδέας ὥσπερ συστατικαὶ διαφοραί τινος εἴδους εἰσίν. 39 Vind. ἕτερόν τι. 40 Ald. τό. Port. Mon. Vind. τῷ. tum Vind. δ' εἶναι. 41 Mon. τῷ θεῷ. 42 Ald. τὸν τῆς σαφ. Vind. Mon. τὸν περὶ σαφ. Port. τὸν περὶ τῆς σαφ.

## Cap. II.

### ΠΕΡΙ ΣΑΦΗΝΕΙΑΣ,[1] Η ΥΠΟΒΕΒΗΚΕ ΤΟ ΚΑΘΑΡΟΝ ΚΑΙ ΕΥΚΡΙΝΕΣ.

Σαφήνειαν τοίνυν λόγου ποιεῖ εὐκρίνεια καὶ καθαρότης. γίνεται δὲ καθαρὸς μὲν λόγος ἅπασι σχεδὸν τοῖς προειρημένοις, ἐννοίᾳ, μεθόδῳ, λέξει καὶ τοῖς λοιποῖς. εὐκρίνεια δὲ τὸ μὲν πλεῖστον ἔχει περὶ τὴν μέθοδον· τάχα δ' ἄν τι καὶ τῶν ἄλλων εὐκρίνειαν ποιοίη·[2] ἀλλὰ πρῶτόν γε περὶ καθαρότητος λεκτέον, ἧ πάλιν ἐναντίον ἐστὶν ἡ περιβολὴ κατά τι, οὐ γὰρ κατὰ πάντα· περὶ ἧς ἐν τῷ περὶ μεγέθους καὶ ἀξιώματος λόγῳ λέξομεν.

---

## Cap. III.

### ΠΕΡΙ ΚΑΘΑΡΟΤΗΤΟΣ.[1]

Ἔννοιαι τοίνυν εἰσὶ καθαραὶ αἱ κοιναὶ πάντων καὶ εἰς ἅπαντας ἀνελθοῦσαι ἢ δόξασαι ἀνελθεῖν, σαφεῖς ἀφ' ἑαυτῶν οὖσαι καὶ γνώριμοι καὶ μηδὲν ἔχουσαι βαθὺ μηδὲ περινενοημένον, οἵα ἦν καὶ ἡ προειρημένη· οἷον,
83 Σαννίων[2] ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων. καὶ πάλιν· λέγονται οἱ τριάκοντα χρήματα δανείσασθαι παρὰ Λακεδαιμονίων[3] ἐπὶ τοὺς ἐν Πειραιεῖ· καὶ ὅσαι τοιαῦται. χρὴ δὲ αὐτὰς καθ' ἑαυτὰς[4] ὁρᾶν τὰς ἐννοίας ταύτας, ἀλλὰ μὴ ὧν ἕνεκα παρελήφθησαν·[5] ἐπεὶ ἄλλο τι ὑπονοήσομεν

---

1 Vind. περὶ σαφ. λόγου. nihil ultra. 2 Ald. Vind. ποιεῖ. Port. Mon. ποιοίη.

1 Ald. titulum om. Mon. Jo. Sicel. περὶ καθαρότητος ἢ καθαρῶν ἐννοιῶν. Vind. περὶ ἐννοιῶν καθαρῶν. Port. περὶ καθαρότ.
2 In Mid. p. 533. 3 Vind. Λακεδαιμονίων. — in Lept. p. 460.
4 Vind. αὐτάς. 5 Ald. παρελείφθ. Port. Mon. Vind. παρελήφθ.

εἶναι αὐτὰς, καὶ οὐ καθαρὰς, καί τοι ὅτι μάλιστα καθαρωτάτας οὔσας, εἰ καθ' ἑαυτὰς [6] θεωροῖντο. αὗταί γε μὴν σχεδὸν καὶ πάντη εἰσὶν ἕνεκά γε τῆς ἐπιβολῆς καθαραί. οἷον, [7] ἀδελφὰς ἔχομεν γυναῖκας ἐγώ τε καὶ Σπουδίας οὑτοσί. καὶ πάλιν, κοινωνός εἰμι τοῦ δανείσματος τούτου, ὦ ἄνδρες [8] Ἀθηναῖοι. καὶ ὅλως πολλὰ ἐν ἰδιωτικοῖς καθαρῶν ἐννοιῶν ἐστι παραδείγματα· [9] οὐκ ὀλίγα δὲ καὶ [10] ἐν τοῖς δημοσίοις.

Μέθοδος δὲ καθαρότητος σχεδὸν μία. γίνεται γὰρ μάλιστα καθαρὸς ὁ [11] λόγος, ὅταν ψιλὸν τὸ πρᾶγμά τις ἀφηγῆται ἢ ἄρχηταί γε ἀπ' αὐτοῦ ψιλοῦ [12] τοῦ πράγματος καὶ μηδὲν ἔξωθεν συνεφέλκηται. οἷον [13] γένος εἶδει προσλαβὼν ἢ ὅλον μέρει ἢ ἀόριστον ὡρισμένῳ ἢ κρίσιν δικαστῶν ἢ ποιότητα πράγματος ἢ τὴν πρὸς ἕτερον διαφορὰν ἤ τι τοιοῦτον. περιβάλλει γὰρ ἅπαντα ταῦτα. καί εἰσιν ἔννοιαι [14] περιβολῆς αὗται, ἥ ἐστιν ἐναντία καθαρότητι. περιβάλλει δὲ καὶ ὅσα φύσει παρακολουθεῖ τοῖς πράγμασιν, εἰ προσλαμβάνοιντο· οἷον, τόπος ἢ [15] πρόσωπον ἢ χρόνος ἢ τρόπος ἢ αἰτία ἤ τι τοιοῦτον. ἀπηλλάχθαι οὖν δεῖ [16] τούτων ἁπάντων τὸν καθαρὸν λόγον κατὰ τὴν μέθοδον, ἤ τοι παντάπασίν γε, ἢ οὕτως ὥστε μηδὲν τούτων πρὸ αὐτοῦ τοῦ πράγματος τετάχθαι, ἐπεὶ καὶ ταῦτά τις προσλαμβάνων [17] ἤ τινα

---

6 Ald. Mon. αὐτάς. Port, Vind. ἑαυτάς. 7 in Spud. initio. 8 ἄνδρες Vind. om. — in Dionysodor. init. 9 Ald. καὶ ὅλως καθαρὰ ἐν ἰδιωτικοῖς πολλά εἰοι παραδείγματα, lectionem receptam habent Port. Vind. Mon. 10 Mon. δὲ οὐδέ. Post δημοσίοις in Mon. titulus: περὶ μεθόδου καθαρότητα ἐργαζομένης. Vind. περὶ μεθόδου καθαρότητος. 11 ὁ Mon. Vind. om. 12 Ald. τοῦ ψιλοῦ τοῦ πρ. Port. Mon. Vind. primum τοῦ om. 13 Vind. ἤ. 14 Vind. ἔνοιαι. 15 Vind. ἢ χρόνος, ἢ πρόσωπον. 16 Mon. τούτων ἁπάντων δεῖ. 17 Ald. Mon. προλαμβ. Port. Vind. προσλαμβ.

τούτων ὅμως δύναται ποιεῖν φαίνεσθαι καθαρὸν τὸν [18] λόγον διὰ τῶν ἄλλων, ἃ δὴ τὴν καθαρότητα ποιεῖ· οἷον σχημάτων, λέξεων καὶ τῶν λοιπῶν· καί τις τοιαύτη ἐστὶ μέθοδος καθαρότητος. δόξει μὲν γὰρ λέγειν καθαρῶς, οὐ μὴν ὡς [19] ἀληθῶς γε ἐρεῖ· περιβάλλει δὲ οὐδὲν ἧττον· καὶ τοῦτο ἰδεῖν ἐστι παρὰ τῷ ῥήτορι μάλιστα. ἐπεὶ καὶ τὸ, ὑβρισθεὶς, ὦ δικασταὶ [20] καὶ παθὼν ὑπὸ Κόνωνος τουτουὶ τοιαῦτα, καὶ τὰ ἑφεξῆς· τά τε προειρημένα παραδείγματα σχεδὸν πάντα ἕνεκα μὲν τῆς ἐπιβολῆς καθαρῶς εἰσῆκται· ἀπὸ γὰρ αὐτῶν ἦρκται ψιλῶν τῶν πραγμάτων, καὶ φαντασίαν ἔχει καθαρότητος καὶ ἰδιωτισμοῦ, τὰ δὲ μετὰ ταῦτα ἐφ' ἑκάστῳ ῥηθέντα περιβολὴν ἐποίησε λελῃθυῖαν. δῆλον οὖν ἐκ τούτων, ὅτι καὶ φαινόμενός [21] τις λόγος ἐστὶ καθαρὸς, οὐ μὴν ὡς ὄντως γε [22] τοιοῦτος· μεθόδου καθαρᾶς καὶ τὸ ἀφηγηματικῶς, ἀλλὰ μὴ ἄλλως πως εἰσάγειν τὰ πράγματα. μέθοδος γάρ τις, οἶμαι, καὶ ἡ ἀφήγησις, ἀλλ' οὐ σχῆμά, ὡς οἴονταί τινες, ἐπεὶ καὶ [23] ἐν πολλοῖς σχήμασιν ἀφηγήσαιο ἄν. καὶ γὰρ ὀρθώσας καὶ πλαγιάσας καὶ μερίσας καὶ συμπλέξας καὶ ὅλως πολλοῖς σχήμασιν ἀφήγησις γίνεται. οὐ μὴν ἃ γε ὄντως ἐστὶ σχήματα, σχήμασιν ἄλλοις τισὶ γίνεσθαι πέφυκεν. εἴη ἂν οὖν ἴσως μέθοδός τις καὶ ἡ ἀφήγησις. εἴτε δὲ μέθοδος, εἴτε σχῆμα, εἰδέναι δεῖ, ὡς χρήσιμον τοῦτο τῇ καθαρότητι. ἀλλ' ἐννοίας μὲν καὶ μεθόδους τῆς [24] καθαρότητος ταύτας εὑρίσκομεν. [25]

---

18 τὸν Mon. Vind. om. 19 Ald. Vind. Mon. ὥστε. Port. ὡς. sq. γε Vind. om. 20 Port. ὦ ἄνδρες δικασταί. ex Dem. in Con. init. Mon. ὦ Ἀθηναῖοι. 21 Vind. φαινόμενός ἐστιν λόγος καθ. 22 ὡς ὄντως γε Par. om. ad marg. γρ. οὐ μὴν ὄντως γε ὁ τοιοῦτος μεθόδου καθαρᾶς. Vind. ὡς ὄντως γε τοιοῦτος om. Mon. ὄντος. Port. ὡς ὄντως γε ὢν τοιοῦτος. 23 καὶ Vind. om. 24 τῆς Mon. Vind. om. 25 Sequitur in Vind. Mon.

Λέξις δὲ καθαρὰ ἡ κοινὴ καὶ εἰς πάντας [26] ἥκουσα καὶ μὴ τετραμμένη [27] μηδ' ἀφ' ἑαυτῆς οὖσα σκληρὰ, ὡς τὸ ἀταρπός· οἷον, [28]

Προσέβη τρηχεῖαν ἀταρπόν.

καὶ τὸ ἐσθίων κατέφαγε, [29] καὶ τὸ ἐκνενευρισμένοι, [30] καὶ τὸ πεπρακὼς ἑαυτὸν, [31] καὶ τὸ περικόπτων [32] καὶ λωποδυτῶν τὴν Ἑλλάδα καὶ ἁρπάζων. ταῦτα γὰρ, [33] καὶ τὰ τοιαῦτα ἐναργῆ μέν ἐστι καὶ μέγεθος ἔχοντά πως, οὐ μὴν καθαρά. διὸ τοῖς πολλοῖς αὐτῶν καὶ σαφηνισμοῦ τινος δεῖ, ὡς τῷ ἐκνενευρισμένοι ἐδέησε [34] τοῦ, περιῃρημένοι χρήματα, συμμάχους, εἰς σαφήνειαν. πολὺ δὲ τὸ καθαρὸν τῆς λέξεως παρ' Ἰσοκράτει. [35] Σχῆμα δὲ καθαρότητος ἡ ὀρθότης. οἷον, [36] ἐγὼ γὰρ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι. δεῖ δὲ, ὅπερ ἔφην καὶ μικρῷ πρότερον, αὐτὰ ἕκαστα ἐφ' ἑαυτῶν ὁρᾶν περὶ ὧν ὁ λόγος, ὥσπερ κἀνταῦθα ὁρᾷν τὸ σχῆμα δεῖ μόνον εἰ [37] καθαρὸν, ἀλλὰ μὴ τὰ ἐφεξῆς εἰρημένα. οὐ γὰρ εἴασεν ἐκεῖνα μεῖναι τὸν λόγον ἀφ' [38] ἑαυτοῦ καθαρόν. τοιαῦτα δ' [39] ἐστὶ καὶ τὰ προειρημένα, τὸ Σαν- 83

---

titulus: περὶ λέξεως καθαρᾶς. 26 Mon. Vind. ἅπαντας. 27 Ald. etiam in Schol. T. V. p. 468. τετραμμένους, tum Vind. μηδὲ ἀφ'. 28 Od. ξ, 1. 29 apud Demosthenem non inveniri. In scholiis T. V. p. 468. not. 58. legitur; τὸ κατεσθίων ἐπὶ ζώων, quod retuli ad Or. II. in Aristog. p. 782. Etiam sq. locus ex Phil. III. minus accurate ex memoria laudatur. 30 Ol. III. p. 37. 31 de fals. leg. p. 345. 373. 32 Phil. III. p. 116. 33 Vind. Mon. ταῦτα γὰρ πάντα. Par. γρ. ταῦτα πάντα καὶ τὰ τ. 34 Ald. Port. ἐκνενευρισμένοι ἐδέησε γάρ. Vind. Mon. γὰρ om. — Ἐκνενευρ. de exsectis reip. nervis interpretatur Valck. vide Gregor. Cor. p. 53. Schaef. 35 In Mon. sequitur tit. περὶ σχήματος. in Vind. περὶ σχήματος καθαρότητος. 36 in Timocr. p. 701. 37 Vind. ὡς. 38 Ald. Port. Mon. ἀφ'. Vind. ἐφ'. 39 Mon. δέ ἐστι.

νίων ἐστὶ, καὶ τὸ, ἀδελφὰς ἔχομεν γυναῖκας, καὶ τὰ λοιπά. ἡ οὖν ὀρθότης τὸ σχῆμα ὅσον ἐφ' ἑαυτῷ καθαρόν· τεκμήριον δὲ, εἰ γὰρ πλαγιάσαις, κἂν ἀφηγῇ, πάντως περιβαλεῖς· [40] ἐννοίας γὰρ ἄλλας ἐφέλκονται οἱ πλαγιασμοί. ὥσπερ δὲ ὁ πλαγιασμὸς τῇ ὀρθότητι σχῆμα ἐναντίον, οὕτως ἡ περιβολὴ τῇ καθαρότητι, εἶδος ὅλον εἴδει ὅλῳ [41] ἐναντίον. ἐκεῖθεν δὲ ἔσται δῆλον ὃ λέγω. τὸ γὰρ, ἦν Κανδαύλης, [42] καὶ τὸ, Κροῖσος ἦν, καὶ τὰ τοιαῦτα, οὕτω μὲν εἰσφερόμενα κατ' ὀρθότητα καὶ καθαρὸν ποιεῖ τὸν λόγον καὶ σαφῆ. εἰ δὲ πλαγιάσαις, οὐ τοιαῦτα ἔσται· οἷον, Κροίσου ὄντος, καὶ Κανδαύλου ὄντος, εἰ λέγοις. [43] ταραχὴ γάρ τις εὐθὺς ἐγγίνεται, διὰ τὸ δεῖν πάντως ἐπακολουθῆσαί τι ἕτερον νόημα. καὶ ἡ περιγραφὴ τῆς ὅλης ἐννοίας μακρὰ καὶ οὐ πάνυ ἔσται [44] σαφής. οἷον, Κροίσου ὄντος Λυδοῦ μὲν γένος, παιδὸς δ' Ἀλυάττεω, [45] τυράννου δὲ ἐθνέων [46] τῶν ἐντὸς Ἅλυος ποταμοῦ· ὁρᾷς πῶς ἔτι κρέμαται ἡ διάνοια; καὶ μᾶλλόν γε οἶμαι τοῦτο [47] γενήσεσθαι, εἰ καὶ τὰ [48] ἐφεξῆς τις τῷ αὐτῷ σχήματι ἐξαγγείλειεν. [49] οὐ μὴν ἔν γε τῇ ὀρθότητι τοῦτο ἦν, ἀλλὰ κατὰ [50] βραχὺ αἱ ἔννοιαι διανεπαύοντο ἐφ' ἑαυτῶν περιγραφόμεναι· οἷον, Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, [50] τύραννος δὲ ἐθνέων. ὅλως οὖν πᾶν ὅπερ ἀπήλλακται περιβολῆς σχῆμα, [52] καθαρὸν ποιεῖ τὸν λόγον. Αὐτίκα τὸ, [53] ἐπειδὴ γὰρ οὐ

---

40 Mon. περιβολεῖς. 41 Mon. ὅλῳ λόγου. Par. γρ. λόγων. 42 Herod. I. 7. et 6. 43 Ald. Port. Mon. λέγεις. Vind. λέγοις. tum Ald. διὰ τὸ δεῖ. 44 Vind. τις ἔσται. Par. ἔσται om., ad marg. γρ. καὶ οὐ πάνυ τι ἔσται σαφής. 45 Ald. Port. Mon. Ἀλυάτεω. Vind. Ἀλυάττεω. tum Ald. Port. Ἅλυος. 46 Mon. Vind. ἐθνέων. 47 Vind. τοῦτο οἶμαι. 48 τὰ Vind. om. 49 Vind. ἐξαγγείλει. Par. ad marg. γρ. ἐξαγγείλαι. 50 Par. ad marg. γρ. ἀλλὰ καὶ κατὰ βραχέα. ita Vind. [Ald. διανεπάυαντο.] 51 Edd. codd. Ἀλυάτεω. 52 Vind. τὸ σχῆμα. 53 In Mid. p. 518.

καθεστηκότος χορηγοῦ, καὶ τῇ ἐννοίᾳ καὶ τῷ σχήματι περιβεβλημένον, ἐὰν[54] θελήσῃς τοῖς σχήμασι τῆς[55] καθαρότητος μεταβαλεῖν, τὸ μὲν κατ᾽ ἔννοιαν αὐτοῦ περιβεβλημένον οὐκ ἀφαιρήσεις,[56] τὸ μέντοι κατὰ τὰ ἑπόμενα καὶ πάνυ· οἷον, τρίτον ἔτος τουτὶ ἡ Πανδιονὶς φυλὴ[57] χορηγὸν οὐκ εἶχε. παρῆν δὲ ἡ ἐκκλησία. ὁ δὲ ἄρχων ἐπεκλήρου τοὺς αὐλητάς. λόγοι οὖν ἐγίγνοντο[58] καὶ λοιδορίαι. καὶ ὅλως πάντα ὁμοίως περιγράφων, εἰ λέγοι τις τὰ ἐννοήματα σαφέστερόν τε καὶ οὐ περιβεβλημένον οὐδὲ ἔχοντά τι μέγεθος καὶ τόνον, ὅσον[59] ἐπὶ τῇ λέξει καὶ τοῖς περὶ ταύτην, ποιήσει τὸν λόγον. θαυμάζειν δὲ οὐ χρὴ τὸν τρόπον τῆς διδασκαλίας τοῦτον, εἰ πρὶν διδάξαι τι περὶ τῆς περιβολῆς[60] ὡς πρὸς εἰδότας περὶ αὐτῆς διαλέγομαι·[61] οὐ γάρ ἐστιν ἑτέρως διδάξαι τι περὶ τούτων, οὐδὲ εἰ ἑτέρωθέν ποθεν ἠρξάμεθα, ἀλλὰ μὴ καθάπερ νῦν ἀπὸ τῆς σαφηνείας. σχεδὸν γὰρ ἅπασαι[62] αἱ ἰδέαι τῶν λόγων δι᾽ ἀλλήλων εὑρίσκονταί τε καὶ γίνονται καταφανεῖς, ἤ τοι[63] κατὰ ἀφαίρεσιν καὶ χωρισμὸν, ὥσπερ ἐνταῦθα πεποιήκαμεν· οἷον ὅτε[64] ἐλέγομεν, ὅτι σχήματά ἐστι καθαρὰ, ὅσα τῶν τῆς περιβολῆς ἐστιν ἀπηλλαγμένα· ἢ κατὰ πρόσθεσιν, ὥσπερ ὅτε ἔφαμεν σαφήνειαν ὑπ᾽ εὐκρινείας γίνεσθαι καὶ καθαρότητος, καί τοι μηδὲν εἰρηκότες πω[65] περὶ τούτων. λελέξεται δὲ ἡμῖν[66] ἐν τῷ δέοντι καὶ περὶ τῆς περιβολῆς. ἀλλὰ νῦν ἡμῖν[67] ἐκεῖσε ἐπανιτέον. ἐναν-

---

54 Vind. ἄν. 55 Vind. τοῖς. 56 Vind. Mon. ἀφαιρήσῃ. 57 φυλὴ Vind. om. 58 Ald. Port. Mon. ἐγίνοντο. Vind. ἐγίγνοντο. 59 Mon. καὶ ὅσον. 60 Par. παραβολῆς. 61 Vind. διαλέγοιμαι. tum Ald. ἑτέρος. 62 Mon. πᾶσαι. 63 Ald. Mon. εἴτοι. Port. Vind. ἤτοι. 64 Vind. ὅτ᾽ ἐλ. 65 Vind. πω om. 66 Mon. ἡμῖν δηλαδή. Par. γρ. λελέξεται ἡμῖν δηλαδή. 67 ἡμῖν Mon. om.

τίον γὰρ καθαρότητος καὶ τὸ ὑπερβατόν.[68] φεύγειν οὖν ἐν αὐτῇ καὶ τοῦτο δεῖ.[69]

Μετὰ δὲ τὸν περὶ σχημάτων[70] λόγον τῆς καθαρότητος ὁ περὶ τῶν κώλων εἴη ἄν. δῆλον δὲ ἀπὸ τῶν προειρημένων, ὁποῖα εἶναι καὶ ταῦτα δεῖ, ὅτι μικρὰ καὶ κομματικὰ καὶ καθ' ἑαυτὰ ἀπαρτίζοντα τὰς ἐννοίας. τὰ γὰρ μακρὰ τῶν κώλων καὶ αἱ περίοδοι οὐ καθαροῦ λόγου.[71] Συνθήκη δὲ καθαρὰ πρῶτον μὲν ἡ ἁπλῆ καὶ μηδὲν περὶ συγκρούσεως τῶν φωνηέντων μικρολογουμένη· ἐπιμελὲς γὰρ[72] τοῦτό γε καὶ λόγου κεκαλλωπισμένου μᾶλλον ἢ ἁπλοῦ τε καὶ καθαροῦ· ἔπειτα ἡ λογοειδεστέρα·[73] οἷον, ἰαμβική τις ἢ τροχαϊκή· ἧττον γὰρ ἡ τοιαύτη διῄρται·[74] ὥσπερ τὸ, ἐγὼ γὰρ, ὦ Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι.[74] οὐ δεῖ δὲ τὸ ἀκριβὲς ἀπαιτεῖν ἐνταῦθα· οὐδὲ γὰρ οἷόν τε. ἀλλ' ἐξαρκεῖ τὸ[76] τέως μάλιστα καὶ κατ' ἀρχὰς τῶν κώλων τοιούτους εἶναι τοὺς πόδας, καὶ τὸ πλείους κατὰ τὴν ὅλην σύνθηκην τοῦ λόγου τοὺς τροχαίους καὶ ἰάμβους τῶν δακτύλων τε καὶ ἀναπαίστων, ἢ τῶν τοιούτων ἥττους εὑρίσκεσθαι. καὶ γὰρ ὅλως δεῖ μεμίχθαι τινὰς αὐτοῖς καὶ ἑτέρους πόδας, ἵνα μὴ τελέως ἔμμετρος ὁ λόγος γένηται·[77] ἀλλ' ἔχῃ μέν τι[78] καὶ μέτρου, λέγω[78*] δὴ τοῦ φυ-

---

68 Ald. Vind. ὑπέρβατον. Port. Mon. ὑπερβατόν. 69 Sequitur in Mon. tit. περὶ κώλων in Vind. περὶ κώλων καθαρῶν. 70 Vind. σχήματος. 71 Sequitur tit. in Mon. περὶ συνθήκης, in Vind. περὶ συνθ. καθαρᾶς. 72 Vind. γὰρ ἤδη. 73 Ald. λογοδεστέρα. corr. Port. Vind. Mon. In Mon. supra lin. πεζοφανεστέρα. 74 Par. γρ. διῄρηται. 75 καὶ φιλαπεχθήμονι Vind, Mon. om. — in Timocr. p. 701. 76 Par. γρ. ἐξαρκείτω. 77 Vind. γίνηται, tum Ald. ἔχει. Mon. Vind. ἔχῃ. 78 Vind. μέν τοι. 78* Ald. καὶ λέγω δή. Port. Mon. Vind, λέγω δὲ. scripsi λέγω δή.

φυσικοῦ, μὴ μέντοι παντάπασιν μέτρον ᾖ. τὸν γάρ τοι ῥυθμὸν τὸν ἐν τῷ λόγῳ τῷ πεζῷ, ὃν ἡ ποιὰ συνθήκη ποιεῖ μετὰ τῆς ἀναπαύσεως, οὐδὲν ἄλλ' ἢ μέτρον τε καὶ μὴ μέτρον εἶναι δεῖ, καὶ μέτρον δηλαδὴ τοιόνδε μὲν κατὰ τόδε τὸ [79] εἶδος τοῦ λόγου, τοιόνδε δὲ κατὰ τόδε· ὥσπερ ἐνθάδε ἰαμβικὸν ἢ τροχαϊκὸν εἶναι δεῖ· τὸ γοῦν, οὗτος [80] ἀστρατείας ἐάλω καὶ κέχρηται συμφορᾷ, βραχεῖαν μὲν ἔχει σύγχυσιν [81] τοῦ μέτρου, ἐν τῷ ἀστρατείας τῆς ἂς συλλαβῆς μακρᾶς οὔσης· τοῦτο δὲ εἴ τις παρεμυθήσατο, [82] καθαρὸν εὑρίσκει τὸ μέτρον τροχαϊκὸν τετράμετρον καταληκτικόν· ἀλλὰ περὶ μὲν συνθήκης τοσαῦτα [83] τῆς ἐν καθαρότητι.

Ἡ δὲ ἀνάπαυσις δῆλον [84] κἀκ τῶν προειρημένων ὡς οἰκεία τις εἶναι τῇ συνθήκῃ κατὰ [85] ἀνάγκην ὀφείλει, ἱστᾶσα τὸν λόγον ἐν ἰαμβικῷ τινι ἢ τροχαϊκῷ μέρει τοῦ [86] λόγου, καὶ καταλήξει τινὶ ἢ [87] τροχαϊκῇ, ἢ ἰαμβικῇ, ὅσαι εἰσὶ καταλήξεις τροχαϊκῶν τε [88] καὶ ἰαμβικῶν μέτρων, ἵνα δὴ καὶ ῥυθμὸς τοιοῦτος γένηται· μεταξὺ γὰρ (ὅπερ ἔφην) εἶναι [89] δεῖ τὸν ἐν πεζῷ λόγῳ ῥυθμὸν μέτρου τε τοῦ [90] φύσει καὶ μὴ μέτρου. ἀλλ' ἀκριβεῖ μέν, ὅπερ ἔφην, λόγῳ τοιαύτην εἶναι δεῖ [91] τὴν ἀνάπαυσιν τῆς καθαρότητος. εἰδέναι μέντοι χρή, ὅτι πάντα ταῦτα, [92] ἡ συνθήκη ἡ κατὰ τοὺς πόδας, (οὐ γὰρ ἥ γε ἑτέρα) καὶ ἔτι ἡ ἀνάπαυσις, τό τε ἐξ ἀμφοῖν τούτοιν ἀποτελούμενον [93] ὁ

79 τὸ Ald. Mon. om., est in Port. Vind. 80 in Mid. p. 533. 81 Par. ad marg. γρ. βραχεῖαν μὲν ἔχει τὴν σύνθεσιν τοῦ λόγου. 82 Par. γρ. παραμυθήσαιτο. 83 Vind. ταῦτα. Post καθαρότητι in Mon. Vind. tit.: περὶ ἀναπαύσεως. 84 Mon. δήλη. 85 Vind. Mon. κατ' ἀνάγκην. Mon. ὀφείλει om. 86 τοῦ Vind. om. 87 ἢ Mon. Vind. om. 88 Mon. Vind. τε μέτρων καὶ ἰαμβ. 89 Ald. Mon. εἶναι. Port. Vind. εἰδέναι. 90 τοῦ Ald. Vind. om., est in Port. Mon. 91 δεῖ Mon. om. 92 Vind. ταῦτα πάντα. 93 Ald. ἐν τελούμενον. Port. Mon. ἀπο-

ῥυθμὸς, καὶ περ οὕτως ὄντα δυσχερῆ καὶ εἰς τοσοῦτον ἀκριβολογηθέντα ἡμῖν, ὅμως βραχέα σφόδρα συλλαμβάνει πρὸς καθαρότητα· συλλαμβάνει γε μήν τι, εἰ καὶ βραχύ. ταὐτὸν δὲ συμβαίνει σχεδὸν [94] καὶ ἐπὶ τῶν ἄλλων ἰδεῶν, λέγω τῶν πλείστων, εἰ καὶ μὴ πασῶν. ὃ καὶ κατ' ἀρχὰς εὐθὺς, ὅπου καὶ τῶν μουσικῶν ἐμνήσθην, διεμαρτυράμην, ὅτι ἔλαττον [95] τῶν ἄλλων, ἃ δὴ ποιεῖ τὰ τῶν λόγων εἴδη, ἰσχύουσιν ἐν αὐτοῖς [96] αἵ τε ἀναπαύσεις καὶ οἱ ῥυθμοὶ καὶ νὴ Δία γε καὶ αἱ κατὰ τοὺς πόδας συνθῆκαι. τὴν γὰρ ὅλην δύναμιν τῶν ἰδεῶν αἵ τε ἔννοιαι ἔχουσι καὶ αἱ λέξεις μέθοδοί τε καὶ κῶλα καὶ σχήματα. δύναται μέντοι τι [97] ποιῆσαι καὶ ῥυθμὸς καὶ ἀνάπαυσις καὶ συνθήκη. ἐν δὲ ἐνίαις τῶν ἰδεῶν καὶ πολὺ δύναται ταῦτα· ὥσπερ ἀμέλει ἐν τῷ κάλλει καὶ τῷ κεκαλλωπισμένῳ λόγῳ. δῆλον [98] δὲ ἔσται τοῦτο ἀκριβῶς, ὅτε περὶ κάλλους λέγοιμεν. ἐν μέν τοι ποιήσει καὶ πάνυ [99] πολὺ ἰσχύει ταῦτα, συνθήκη καὶ ῥυθμὸς καὶ ἀνάπαυσις, καὶ περὶ τούτου [100] γε οὐδὲν πλέον ἡμᾶς δεῖ ζητεῖν. δῆλον γὰρ αὐτὸ νομίζω πᾶσιν εἶναι. περὶ μὲν οὖν [101] καθαρότητος ἀρκεῖ τοσαῦτα.

---

## Cap. IV.

### ΠΕΡΙ ΕΥΚΡΙΝΕΙΑΣ.

Ἡ δὲ εὐκρίνεια ἔχει μέν τινα καὶ φύσει σαφηνείας

---

τελούμ. Vind. τελούμενον. 94 Vind. σχεδὸν συμβαίνει. 95 Ald. ἔλλαττον. 96 Mon. αὐταῖς. 97 τι Ald. om., est in Port. Mon. Vind. 98 Vind. καὶ δῆλον δέ. 99 πάνυ Vind. om. 100 Mon. παρὰ τοῦτό γε οὐδὲν ἡμᾶς δεῖ πλέον ζ. Vind. ἡμᾶς πλέον δεῖ ζ. — Post πᾶσιν εἶναι sequitur in Mon. σύνοψις καθαρότητος, quam vide T. VII. p. 81. Ultima verba: περὶ μὲν οὖν καθαρ. ἀρκεῖ τοσαῦτα ad frontem capitis IV. habet. 101 οὖν Ald. Codd. om., habet Port.

ἐργαστικά· τό γε μὴν πλεῖστον σχεδὸν ἐπίκουρός ἐστι τῆς καθαρότητος πρὸς ὅπερ ἐκείνη ποιεῖν βούλεται. ἡ [1] μὲν γὰρ βούλεται ποιεῖν [2] σαφῆ τὸν λόγον, ἡ καθαρότης· ἡ δὲ εἴ τι πάσχοι ὑπεναντίον αὐτῇ [3] κατ' ἀνάγκην τινά, αἱ δὴ πολλαὶ [4] περὶ τοὺς λόγους εἰσὶ διαμαρτίαι, διορθοῦται ἡ εὐκρίνεια. καὶ τὸ πλεῖστόν γε, ὅπερ ἔφην, ἔχει περὶ τὴν μέθοδον. τό τε [5] γὰρ τάξαι τί πρῶτον καὶ τί δεύτερον ἀπαιτεῖν χρὴ τοὺς δικάζοντας, εὐκρινείας ὄν, μέθοδος οἶμαί τίς ἐστιν. οὐ γὰρ εἰ καὶ δεινῶς τι ποιεῖ, ὅταν λέγῃ, τίνων [6] προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν, καὶ ὅτι πρῶτον μὲν ὧν ἀπήγγειλεν, εἶτα ὧν ἔπεισε, καὶ τὰ [7] ἑξῆς, οὐ τοῦτο νυνὶ σκεπτέον, ἀλλ' ὅτι διὰ δεινότητα συγχεῖν [8] μέλλων τὰ πράγματα καὶ ἀναστρέφειν τὴν [9] τάξιν τὴν ἐν αὐτοῖς ὅμως τῷ γε ὡς αὐτὸς εἰπεῖν ἐβούλετο, προσήγαγε σαφήνειαν διὰ τῆς μεθόδου. τῷ [10] δὲ μὴ τόδε τοῦδε πρῶτον εἰπεῖν, εἰ καὶ τῇ τάξει πρῶτον ἦν, ἀλλὰ τόδε, πολλάκις καὶ [11] σαιρέστερον ὁμοῦ καὶ δεινότερον ἐποίησε [12] τὸν λόγον. ὥσπερ τό, δεῖ δὲ ἡμᾶς [13] πρῶτον

---

1 Ald. Vind. Mon. εἰ. Port. ἢ. 2 Ald. σαφῆ ποιῆσαι. Port. Vind. ποιεῖν σαφῆ. Mon. σαφῆ ποιεῖν. 3 Port. ad marg. γρ. αὐτῇ. 4 Vind. αἱ δὴ περὶ τοὺς λ. πολλαί εἰσιν ἁ. Mon. αἳ δὴ π. περὶ λόγους εἰσὶν ἁμαρτίαις. 5 Jo. Sicel. litt. λϑ'. p. 178. τινὲς παρέλκειν εἶπον ἐνταῦθα τὸν τε σύνδεσμον. ἐν δὲ ἐνίοις τῶν βιβλίων ἀντὶ τοῦ τε συμπλεκτικοῦ τὸν δὲ παραπληρωματικὸν εὗρον. — v. sq. Ald. διακάζοντας. 6 de fals. leg. p. 342. 7 Ald. Mon. τῶν. Port. Vind. τά. 8 Mon. μέλλων συγχεῖν. 9 τὴν Ald. om., est in Port. Vind. Mon. — tum Vind. τὴν ἑαυτοῖς, ὅμως τόγε, ὡς αὐτ. 10 Vind. τόδε μὴ τόδε τοῦδε πρώτου ἐστι, εἰ κ. τ. λ. πρῶτον ἦν τὸ ἀπήγγειλεν, ἀλλά. εἰπεῖν 11 Vind. καὶ om. 12 Mon. τὸν λόγον ἐποίησεν. 13 Ald. ἡμᾶς. Mon. Vind. ὑμᾶς. Port. ex Dem. c. Aristocr. p. 623. ἀνάγκη δ' ἐστὶ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι.

86 ἁπάντων ἀκοῦσαι καὶ μαθεῖν, τί πότ' ἐστι τὸ Χερρόνησον [14] ὑμᾶς ἀσφαλῶς ἔχειν πεποιηκός· καὶ ὅτι ἡ πρὸς ἀλλήλους τῶν Θρᾳκῶν διαφορά. ἦ γὰρ ἂν ἀσαφὲς αὐτῷ τὸ κατασκευαζόμενον ἔμεινεν, εἰ Χαρίδημον πρῶτον διέβαλλεν, [15] ὅτι κατασκευάζει Κερσοβλέπτῃ τὴν ἀρχήν· εἶθ' οὕτως ἐπήγαγε τὸ, [16] τί πότ' ἐστι τὸ Χερρόνησον ὑμᾶς ἔχειν ἀσφαλῶς πεποιηκός· νῦν δὲ τοῦτο ἐκείνου προθεὶς εὐθὺς καὶ ἐν προοιμίοις, ὅτι ἐστὶν αὐτῷ ἡ σπουδὴ [18] ὑπὲρ τοῦ Χερρόνησον ἔχειν αὐτοὺς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, καὶ μετὰ ταῦτα πάλιν [19] εὐθὺς κατ' ἀρχὰς τοῦτο σαφηνίσας, διὰ τοῦ κατασκευάσαι τὴν ἀσφάλειαν εἶναι τῆς κτήσεως [20] ἐν τῇ τῶν Θρᾳκῶν διαφορᾷ, εὐκρινῆ τε καὶ σαφῆ πεποίηκε τὸν λόγον. εἰ δ' ὅτι καὶ δεινὸν, [21] ἑτέρου λόγου. ὅπερ μὲν οὖν ἔφην, εὐκρίνεια τὸ πλεῖστον ἐν τοίτοις ἐστίν. οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν ἄλλων γίνεται λόγος εὐκρινής. [22] Καὶ εἰσὶν ἔννοιαι μὲν εὐκρινεῖς, αἱ καταστατικαὶ πᾶσαι καὶ εἰς ἀρχὴν ἀνάγουσαι τὸν λόγον, οἷον, ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε [23] τὰ πράγματα ὑμᾶς ὑπομνῆσαι, [24] ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε· [25] καὶ αἱ διατυποῦσαι [26] τὰ μέλλοντα ῥηθήσεσθαι καὶ τὴν ἐν αὐτοῖς τά-

---

14 Edd. Codd. Χερόννησον. h. l. et infra. Tum Ald. Vind. ἡμᾶς. Port. Vind. ὑμᾶς. 15 Vind. διέβαλεν. 16 Vind. ὅ τι ποτέ ἐστι. 17 Ald. Mon. ἡμᾶς. Port. ὑμᾶς. Vind. om. 18 Mon. Vind. ἡ σπουδὴ αὐτῷ. 19 πάλιν Vind. om. 20 Ald. Mon. κτίσεως. Port. Vind. κτήσεως. tum Ald. διαφρᾷ. 21 Vind. δεινότερον, ἄλλου λόγου. 22 Sequitur in Mon. titulus: περὶ ἐννοιῶν. 23 Mon. εἶχε τοὺς χρόνους. — pro cor. p. 230. 24 Vind. ὑπομν. ὑμᾶς. 25 Ald. θεωρῆται. corrigit marg. Vict. Mon. Vind. 26 Par. ad marg. χρ. καὶ οὕτω· καὶ γὰρ διατυ-

ξιν· οἷον, δίκαιον δέ ἐστιν ἴσως ἐμὲ τρία ὑπεσχημένον ὑμῖν ἐπιδείξειν, [27] ἓν μέν, ὡς παρὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται, δεύτερον δέ, ὡς ἀσύμφορόν ἐστι τῇ πόλει, τρίτον δέ, ὡς ἀνάξιός ἐστι Χαρίδημος, τούτου [28] τυχεῖν, ὅ- τι βούλεσθε, [29] τοῦτο πρῶτον διδάσκειν ὑμᾶς. εἶτ' ἐπήγαγεν, ὅτι περὶ τοῦ παρανόμου βούλεσθε πρῶτον; τοῦτο τοίνυν ἐροῦμεν. πολλάκις δὲ διεμαρτυράμην τοῦτο, ὡς οὐδὲν δεῖ κατηγορεῖν τῶν λεγομένων, εἰ καὶ ἄλλο τί ἐστιν ἅμα τῇ εὐκρινείᾳ· καὶ γὰρ ἐνταῦθα πολὺ τὸ τῆς δεινότητος. ἀλλ' οὐ περὶ ταύτης νῦν. καὶ μὴν καὶ αἱ συμπληρώσεις ταῖς [30] ἐννοίαις καὶ ταῖς μεθόδοις εὐκρινῆ ποιοῦσι τὸν λόγον, τὰ μὲν ἀναπαύουσαι τὰ παρελθόντα, τῶν δὲ ῥηθησομένων πάντως ἔχουσαι κατασκευάς τινας, ἀφ' ὧν εἰς ἀρχὴν ὁ λόγος ἀνάγεται. οἷον, ἓν μὲν τοίνυν πολίτευμα τοῦτο [31] τοιοῦτον τοῦ νεανίου τούτου· ἕτερον δὲ ἀναμιμνήσκεσθε· εἶτα [32] ἀρχὴν ἔλαβεν ὁ λόγος· οἷον, ὅτε γὰρ Πύθωνα [33] Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ τὰ ἑξῆς. καὶ πάλιν, οὐ τοίνυν [34] μόνον μὴ Λεύκων ἀδικηθῇ δεῖ σκοπεῖν, ἀλλὰ καὶ εἴ τις ἄλλος. εὖ μὲν ἐποίησεν ὑμᾶς, [11] καὶ τὰ ἑξῆς· καὶ πολλὰ τούτου παραδείγματα. ἔννοιαι μὲν οὖν εἰσιν [35] εὐκρινείας αὗται.

---

ποῦσι τὰ μέλλοντα ῥηθήσεσθαι. ita Mon. Vind. 27 Mon. δείξειν. Vind. ἐπιὑποδείξειν. c. Aristocr. p. 626. 28 τούτου τυχεῖν Mon. om. 29 Ald. βὀύλεσθαι. h. l. et paullo post. Port, Mon. Vind. βούλεσθε. tum Mon. πρῶτον τοῦτο. Vind. τούτων πρῶτον. 30 Mon. κατά τε τὰς ἐννοίας, κατά τε τὰς μεθόδους. — v. 15. Port. παρασκευάς. 31 Mon. πολ. τοιοῦτο. omisso τοῦτο. pro cor. p, 272. 32 Mon. εἶτ' ἀρχ. 33 Ald. Πύθονα — Βιζάντιον. Vind. τὸ Βυζ. 34 In Lept. p. 469. 35 εἰσιν Mon. om. Post αὗται in eodem sequitur tit. περὶ μεθόδου.

Μέθοδοι δὲ [36] εὐκρινείας αἵ τε προειρημέναι, καὶ ἔτι τὸ κατὰ φύσιν τῶν [37] πραγμάτων χρῆσθαι τῷ λόγῳ, τὰ πρῶτα τιθέντας [38] πρῶτα, καὶ τὰ δεύτερα δεύτερα, καὶ τὰ ἄλλα ὁμοίως, ὅπερ ἐστὶ πολὺ παρὰ τῷ Ἰσοκράτει, οὐ μὴν δεινοῦ γε τύπου ταῦτα, οὐδὲ Δημοσθενικοῦ. διόπερ ὡς ἑτέρως ὁ ῥήτωρ ποιῶν τά γε εὐκρινοῦντα τὴν σύγχυσιν αὐτῶν παραλαμβάνει· καθάπερ ὀλίγῳ πρότερον ἐδείξαμεν. συμβαίη δ' ἂν ἴσως ποτὲ καὶ τὸ τὴν οὖσαν τάξιν τοῖς πράγμασι φυλάττειν δεινότητος εἶναι. φανερὸν δὲ ποιήσομεν ἀκριβῶς [39] τοῦτο ἐν τῷ περὶ μεθόδου δεινότητος.

Ἔτι κατὰ φύσιν τῶν πραγμάτων ἐστὶν εὐκρινὲς τὸ τὰς ἀντιθέσεις πρώτας τῶν λύσεων τιθέναι. καὶ τοῦτο ὁ μὲν Ἰσοκράτης σχεδὸν ἀεὶ ποιεῖ, οὐ μὴν ὅ γε ῥήτωρ ἀεὶ, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων ἕκαστον τῇ τάξει τίθησιν, ὅπως ἂν αὐτῷ λυσιτελῇ, πρῶτον ἢ τελευταῖον ἢ μέσον, οὕτω καὶ τὰς ἀντιθέσεις λύει, τοτὲ μὲν προτιθεὶς τὰς λύσεις αὐτῶν, τοτὲ δὲ ἐπάγων, ἔστι δ' ὅτε μέσας τῶν λύσεων ἐκείνας τιθείς. ὁ δὲ περὶ ἀντιθέσεων εἰσαγωγῆς [40] λόγος ἐν τῷ περὶ μεθόδου δεινότητος ἡμῖν ἀκριβῶς ῥηθήσεται. ἀλλὰ μέθοδοι μὲν εὐκρινείας αὗται.

Λέξις δὲ εὐκρινὴς ἥπερ καὶ καθαρά. [41] Σχήματα μὴν εὐκρινείας τὸ κατ' ἄθροισιν ὡρισμένον, οἷον, ἐνταῦθα [42] δύο εἴρηκε, τόδε καὶ τόδε. οὔτε γὰρ ἀπήτησεν ὁ ἀκούων πλείονα τῶν δύο, καὶ τὸ δεύτερον πρόοιδε [43] ῥηθησόμενον· ὥστε ἀφ' οὗπερ κατ' ἄθροισιν ἔλεγε, προδιηυκρίνει· [44] τοιαῦτα δὲ σχήματα καὶ [45] ὁ μερισμὸς

---

36 Mon, Vind. μέθοδοι δ' αἵ τε προειρ, sine εὐκρινείας. 37 Vind, Mon, τὴν τῶν. 38 Vind, τιθέντα. 39 ἀκριβῶς Vind. om. 40 Ald. Codd, ἀντιθέσεως εἰσαγωγῶν, Port. ἀντιθέσεων εἰσαγωγῆς. 41 Sequitur in Mon. tit. περὶ σχημάτων. 42 Vind. ἐνταυθοῖ, 43 Mon, προοῖδε. Vind, προεῖδε, 44 Ald. Vind. προδιευκρίνει, et paullo inferius προδιευκρίνηται, Port.

καὶ ἡ ἀπαρίθμησις. τὸ [46] μὲν γὰρ ἐφέλκεσθαι ἄλλα νοήματα περιβάλλει τὸν λόγον· τὸ δ' εὐθὺς ἀρχομένου τοῦ λέγοντος ἐμφαίνεσθαι τοῖς ἀκούουσιν, ὅτι ἕπεται καὶ ἄλλο τι νόημα, προδιηυκρίνηται τὸ πᾶν· ἄν τε γὰρ εἴπῃ πρῶτον [47] μὲν τόδε, ὅτι καὶ δεύτερόν τι ἐρεῖ, προεπί- 5
στανται· [48] ἐάν τε τὸ, ἔδει μέν, ὦ ἄνδρες [49] Ἀθηναῖοι, τοὺς λέγοντας, καὶ τὰ ἑξῆς, ἀναμενοῦσιν [50] ὁμοίως, ἕως ἂν ἀνταποδῷ τὸν δὲ [51] σύνδεσμον. εὐκρινείας οὖν καὶ ταῦτα.

Ἔτι κατὰ [52] σχῆμα εὐκρινὴς γίνεται ὁ λόγος, ὅταν 10
ὁ λέγων οἷον ἑαυτὸν ἐρωτῶν εἶτα ἀποκρίνηται κατὰ διάστασίν τινα· ὥσπερ ἐν τοῖς τοιοῖσδε· τίνος [53] οὖν ἕνεκα ταῦτα λέγω; καὶ πάλιν, [54] πῶς οὖν; καὶ πάλιν διὰ τί δέ; [55] καὶ τὰ τοιαῦτα. πολλοῖς τοιούτοις ἐν τῷ κατὰ Ἀριστοκράτους τὸ παράνομον ἐξετάζων κέχρηται 15
ἀναγκαίως. σαφηνείας γὰρ μάλιστα κατ' ἐκεῖνο τὸ χωρίον δεῖ τῷ λόγῳ. καὶ μὴν καὶ αἱ ἐπαναλήψεις μάλα χρήσιμοι πρὸς εὐκρίνειαν καὶ σαφήνειαν. ἐπειδὰν γάρ τι προσθῇς [56] σχῆμα τῶν ἐφελκομένων ἕτερον νόημα, εἶτ' ἀναγκασθῇς [57] ἐπεμβαλεῖν ἄλλα τινὰ νοήματα πρὶν ἀπο- 20
δοῦναι τὸ ἀκόλουθον, ἀνάγκη ἐπαναλαβεῖν καὶ διευκρινῆσαι, ἵνα μή σοι ἀσαφὴς καὶ συγκεχυμένος γένηται ὁ λόγος, [58] ὥσπερ εἴωθε ποιεῖν καὶ ὁ Δημοσθένης· οἷον,

---

Mon. προδιηυκρ. 45 καὶ Vind. om. 46 Port. τῷ μὲν — τῷ δ' εὐθύς. 47 Mon. ὅτι πρῶτον. 48 Vind. Mon. προεπίστανται. 49 ἄνδρες abest ab Ald. Vind., est in Port. Mon. — de Cherson. initio. 50 Mon. Vind. ἀναμένουσιν. 51 δὲ Ald. om., est in Port. Mon. Vind. 52 Ald. Vind. ἔτι καὶ κατὰ τὸ σχ. Mon. καὶ om. Port. ἔτι κατὰ σχ. 53 Phil. I. p. 40. infra. 54 καὶ πάλιν πῶς οὖν Mon. om. 55 δὲ Vind. om. 56 Ald. Port. Mon. προσθῇς. Vind. προθῇς. 57 Ald. ἀναγασθῇς (sic) ἐπιβαλεῖν. Port. Mon. Vind. ἀναγκ. ἐπεμβ. 58 Mon. ὁ λόγος γίνηται.

τὸ μὲν[59] οὖν τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; φησὶν,[60] ὅτι διὰ[61] τὸ καὶ τό· καὶ[62] πολλὰ εἰπὼν κατασκευαστικὰ τῆς προτάσεως οὐκ ἐπήγαγεν εὐθὺς τὸ ἑξῆς νόημα, τὸ[63] ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, ἀσαφὴς γὰρ ἂν οὕτως ὁ λόγος, τῆς ἀκολουθίας μὴ φαινομένης, ἐγένετο. ἐπαναλαβὼν οὖν καὶ πρῶτον εἰπὼν τὸ, ταῦτα μὲν οὖν παραλείψω, εἶθ' οὕτως ἐπαγαγὼν τὸ, ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, εὐκρινῆ καὶ σαφῆ πεποίηκε τὸν λόγον. πάλιν[64] ἐν τῷ κατ' Αἰσχίνου, τίνος[65] οὖν, φησὶν, ἕνεκα ταῦτα λέγω; ἑνὸς μέν, ὦ Ἀθηναῖοι, μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ μου, θαυμάζῃ. εἶτα πολλὰ ἐπεμβαλὼν καὶ μεστώσας τὸν λόγον ἀναγκαίως τῇ ἐπαναλήψει κέχρηται, ἵνα διευκρινήσῃ. πρώτου μὲν οὖν τούτου, καὶ μάλιστα οὗπερ εἶπον ἕνεκα, ταῦτα διεξῆλθον· δευτέρου δὲ τίνος[66] καὶ οὐδὲν ἐλάττονος ἢ τούτου. πολλὰ[67] τούτου παραδείγματα ἔχεις παρὰ τἀνδρί.[68] ταῦτα καὶ περὶ σχημάτων εὐκρινείας.[69]

Κῶλα μέν τοι καὶ συνθῆκαι ἀναπαύσεις[70] τε καὶ

---

59 Ol. II. p. 18. 60 φησὶν Vind. om. 61 διὰ Vind. Mon. om. 62 καὶ Vind. om. 63 τὸ Vind. om. 64 Mon. καὶ πάλιν. 65 Port. ex Dem. de fals. leg. p. 348. τοῦ χάριν δὴ ταῦθ' ὑπέμνησα πρῶτα νῦν ὑμᾶς καὶ διεξῆλθον τούτους τοὺς λόγους; ἑνὸς μέν ὦ ἄνδρες Ἀθ. [etiam Mon. ὦ ἄνδρες Ἀθ.] 66 Ald. Port. Mon. Vind. δέ τινος. Par. ad marg. εὕρηται καὶ δευτέρου δὲ τίνος, ut Dem. p. 349. Tum Ald. Mon. οὐδενός. Port. Vind. οὐδέν. 67 Vind. καὶ πολλά. 68 Vind. τῷ ἀνδρί. 69 In Mon. sequitur tit. περὶ κώλων καὶ συνθήκης καὶ ἀναπαύσεως καὶ ῥυθμοῦ. 70 Vind. καὶ ἀναπ.

ῥυθμοὶ εὐκρινείας οἱ αὐτοί εἰσι [71] καὶ καθαρότητος. καὶ περὶ μὲν σαφηνείας τοσαῦτα. καὶ γινώσκειν γε [72] χρὴ, (διϊσχυρησαίμην [73] γὰρ ἂν) ὅτι λόγος σαφὴς μὴ ταῦτα ἢ τούτων τι ἔχων οὐκ ἂν γένοιτο, [74] λέγω τῶν ἤτοι τὴν καθαρότητα ποιούντων ἢ τὴν εὐκρίνειαν. ἐναντίον δὲ εὐκρινείας σύγχυσις, ἣ δὴ γίνεται, ὅταν χωρὶς τῶν ποιούντων [75] εὐκρίνειαν περιβάλλῃ τις καὶ μεστὸν ποιῇ τὸν λόγον, ἥπερ [76] καὶ κακία ἐστὶ λόγου. οὐ γὰρ ἥ γε ἁπλῶς [77] ἀσάφεια κακία ἂν εἴη λόγου, ἐπεὶ αἵ γε ἐμφάσεις, οἷον, [78] οἱ δὲ συνειπόντες ὅτου δή ποτε ἕνεκα (ἐῶ γὰρ τοῦτό γε) καὶ τὰ ἐσχηματισμένα τῶν ζητημάτων, οὐ σαφῶς λέγει τὰ πράγματα, καὶ οὐ κατὰ κακίαν φήσομεν προάγεσθαι δήπου, οὐδὲ [79] εἶναι τοῦ λόγου κακίαν. λεκτέον δ' ἂν εἴη μετὰ ταύτην περὶ μεγέθους λόγου· δεῖ γὰρ τῷ σαφεῖ μεγέθους τινὸς καὶ ὄγκου. παράκειται γὰρ τῷ σφόδρα σαφεῖ τὸ εὐτελές καὶ τὸ [80] ταπεινὸν, ὃ δὴ ἐναντίον ἐστὶ τῷ μεγέθει.

---

## Cap. V.

### ΠΕΡΙ ΑΞΙΩΜΑΤΟΣ ΤΟΥ ΛΟΓΟΥ ΚΑΙ ΜΕΓΕΘΟΥΣ. [1]

Μετὰ δὲ [2] τὸν περὶ σαφηνείας λόγον ἀκόλουθον ἂν εἴη περὶ μεγέθους εἰπεῖν λόγου, διότι καὶ ἀναγκαῖόν ἐστι τῷ σαφεῖ μέγεθός τε [3] προσεῖναι πάντως καὶ ὄγκον τινὰ καὶ ἀξίωμα. παράκειται γὰρ τῷ σφόδρα σαφεῖ τὸ

---

71 Vind. Mon. εἶσι καθαρότητι. 72 γε Vind. om. 73 Mon. διϊσχυρησαίμην. 74 Mon. γένοιται. 75 Port. τοιούτων. 76 Port. ὅπερ. 77 Vind. ἁπλῆ. 78 pro cor. p. 232. 79 Vind. οὐδὲ γὰρ εἶναι. 80 τὸ Vind. om.

1 Mon. περὶ μεγέθους καὶ ἀξιώματος τοῦ λόγου. 2 δὲ Vind. om. 3 Port. τι.

88 εὐτελές, ὃ δὴ καὶ ἐναντίον ἐστὶ τῷ μεγέθει. ὅπερ, οἶμαι, καὶ ὁ ῥήτωρ ἐπιγνοὺς διὰ μὲν τὸ πάντως δεῖν σαφῆ τὸν πολιτικὸν εἶναι λόγον διόλου κέχρηται τοῖς ποιοῦσι τὴν σαφήνειαν· διὰ δὲ τὸ κινδυνεύειν ἕνεκα ταύτης ἐκπίπτειν αὐτῷ τὸν λόγον εἰς τὸ εὐζωνότερον κατέμιξεν [4] αὐτῇ τὰ ποιοῦντα τὸ μέγεθος, καὶ διαφερόντως πεπλεόνακε τῇ περιβολῇ. ἀλλὰ διότι μὲν ταύτῃ πεπλεόνακεν, αὐτίκα ἐν τῷ λόγῳ τῷ περὶ αὐτῆς εἰρήσεται· νυνὶ δὲ ἀναγκαῖόν ἐστι δήπουθεν πρῶτον περί τε αὐτοῦ τοῦ [5] μεγέθους καὶ τῶν ποιουσῶν ἰδεῶν τὸ μέγεθος εἰπεῖν, ὧν δὴ μία ἐστὶ καὶ ἡ περιβολή, ἵνα μὴ συγχέηται ἡμῖν ὁ λόγος. μέγεθος τοίνυν καὶ ὄγκον λόγου καὶ ἀξίωμα ποιοῦσιν ἰδέαι αἵδε· σεμνότης, περιβολή, [6] τραχύτης, λαμπρότης, ἀκμή, καὶ ἔτι ἡ σφοδρότης, βραχεῖ τῳ διαλλάττουσα τῆς τραχύτητος, ὡς ἐν τῷ λόγῳ τῷ περὶ αὐτῆς ἔσται φανερόν. τούτων δὲ ἡ μὲν σεμνότης ἐφ' ἑαυτῆς ἐστι καὶ ἡ περιβολή· αἱ δὲ ἄλλαι πᾶσαι συμπλέκονταί τε, καὶ πάλιν οὐ συμπλέκονται κατά τι πρὸς ἀλλήλας, μέρεσί τισι κοινωνοῦσαι, καὶ πάλιν ἑτέροις κεχωρισμέναι· διὸ περὶ μὲν τῆς σεμνότητος ἤδη λελέξεται, περὶ δὲ τῶν λοιπῶν μετὰ τὰ περὶ ταύτης, ἡ δὲ περιβολὴ ἐφ' ἑαυτῆς μέν ἐστιν, ὥσπερ ἔφην, ἐν ὑστέρῳ δὲ ὁ περὶ αὐτῆς εἰρήσεται λόγος, διὰ τὸ πλειονάζειν μὲν ἐν [7] αὐτῇ τὸν ῥήτορα, τὴν δὲ αἰτίαν ἡμᾶς, δι' ἣν ταύτῃ πλείονι χρῆται κατὰ τὸν ὄγκον, ἄλλως μὴ δύνασθαι γνῶναι, πρὶν ἂν [8] περὶ τραχύτητός τι μαθεῖν καὶ λαμπρότητος, ἀκμῆς τε καὶ σφοδρότητος· [9] ἀλλὰ πρώτου γε περὶ σεμνότητος, ἣ τάχα [10] ἂν ἐναντίον εἴη ἀφέλεια, περὶ ἧς ἐν τῷ περὶ ἤθους λέξομεν.

---

4 Vind. κατέμιξε τῇ σαφηνείᾳ αὐτῇ. Par. γρ. αὐτῇ τῇ σαφηνείᾳ. 5 τοῦ Mon. om. 6 Ald. Mon. καὶ περιβ. Port. Vind. καὶ om. 7 ἐν Port. om. 8 ἂν Mon. om. 9 καὶ σφοδρότητος Mon. om. 10 Mon. τάχ' ἄν. Vind. ἂν om.

## Cap. VI.

### ΠΕΡΙ ΣΕΜΝΟΤΗΤΟΣ. [1]

Ἔννοιαι τοίνυν εἰσὶ [2] σεμναὶ μάλιστα μὲν αἱ περὶ θεῶν, ὡς περὶ θεῶν λεγόμεναι. [3] ἐπεὶ τὸ

[4] Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἦν παράκοιτιν

καὶ ὅσα τοιαῦτα, οὐχ ὡς περὶ θεῶν εἴρηται· διὸ πόρρω μοι δοκεῖ σεμνότητος εἶναι καὶ [5] κατὰ τὴν ἔννοιαν· πλέον δὲ μετέχειν ἡδονῆς καὶ γλυκύτητος. ἀνθρωποπαθῶς γάρ, καὶ τὸ ὅλον εἰπεῖν, ποιητικῶς λέλεκται. τὸ πλεῖστον [6] δὲ ἡδονῆς ἡ ποίησις, οἶμαι, στοχάζεται, περὶ θεῶν δὲ ὡς περὶ θεῶν τὰ τοιαῦτα λέγεσθαι φημί. οἷον, ἀγαθὸς [7] ἦν. ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος· καὶ πάλιν, βουληθεὶς γὰρ [8] ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φαῦλον [9] δὲ μηδὲν εἶναι κατὰ δύναμιν. καὶ πάλιν, παραλαβὼν γὰρ ὁ θεὸς πᾶν ὅσον ἦν ὁρατὸν, οὐχ ἡσυχίαν ἄγον, [10] ἀλλὰ κινούμενον πλημμελῶς, καὶ ἀτάκτως, καὶ ὅλως πολλὰς ἂν εὕροις τοιαύτας ἐννοίας παρὰ τῷ Πλάτωνι. καὶ γὰρ αὗται εἰσιν ἐκ τοῦ Τιμαίου. παρὰ μέντοι τοῖς ῥήτορσιν ἥκιστα. ἐπεὶ καὶ τὰ ἐν Δηλιακῷ Ὑπερίδου [11] ποιητικῶς μᾶλλον καὶ μυθικῶς εἴρηται, τὸ δὲ αἴτιον οὐχὶ νῦν ἀνάγκη λέγειν.

Τὰς μέν τοι μετά γε τὰς τοιαύτας, οἷον δευτέραν ἢ τρίτην σεμνότητος ἐχούσας τάξιν ἐννοίας, καὶ μάλα ἂν εὕροις παρὰ τῷ Δημοσθένει καί τινας αὐτῶν παρὰ

---

1 Vind. περὶ ἐννοιῶν σεμνῶν. 2 Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τὸ εἰσί. 3 Vind. λεγόμεναι ὡς περὶ ἰδεῶν. 4 Il. ξ., 346. 5 καὶ Port. om. 6 Mon. τὸ δὲ πλεῖστον δέ. 7 Plat. Tim. p, 29. loci sqq. ibidem p. 30. 8 Vind. μὲν γάρ.

9 Mon. φλαῦρον. 10 Vind. ἄγων. 11 Vind. τοῦ Ὑπ. marg. Vict. Harpocrat. in Lex. citat Hyperiden ἐν Δηλιακῷ.

τοῖς ἄλλοις· ἀλλὰ πρῶται μὲν, ὅπερ ἔφην, [12] καὶ μάλιστά εἰσιν ἔννοιαι σεμναὶ [13] αἱ περὶ θεῶν ὡς περὶ θεῶν λεγόμεναι, καθάπερ εἴρηται· δεύτεραι δὲ μετ' ἐκείνας σεμναὶ αἱ περὶ τῶν θείων ὡς ὄντως [14] πραγμάτων. οἷον ὡρῶν φύσεις εἰ ἐξετάζοι τις, ὅπως τε καὶ καθ' ἃς αἰτίας [15] γίνονται, καὶ τὴν τοῦ παντὸς περιφορὰν καὶ φύσιν ἢ κινήσεις γῆς ἢ θαλάττης, εἰ ζητοίη τις ὅπως γίνονται, ἢ σκηπτῶν φορὰς ἢ ὅλως τὰ τοιαῦτα. ταῦτα δὲ εἰ μὲν οὕτως ἐξετάζοιτο κατὰ τὰς αἰτίας, σεμνὸν μόνον, οὐ μὴν καὶ πολιτικὸν δύναται ποιεῖν τὸν λόγον· ποῦ γὰρ ἂν εἴη πολιτικὸν τὸ, ὁ ἥλιος [16] ἀπελαυνόμενος τὴν χειμερινὴν ὥραν, καὶ τὰ ἑξῆς εἰρημένα παρὰ τῷ Ἡροδότῳ; ἢ πάλιν [17] παρὰ τῷ Πλάτωνι τόδε, οἷον, ἥ γε τοῦ παντὸς περιοδος κυκλοτερὴς οὖσα
89 καὶ τὰ γένη πάντα συμπεριειληφυῖα [18] σφίγγει
15 πάντη καὶ κενὴν χώραν οὐδεμίαν ἐᾷ λείπεσθαι. διὸ δὴ πῦρ μὲν εἰς πᾶν διελήλυθεν, ἀὴρ δὲ δεύτερον, [20] ὡς λεπτότητι δεύτερος [21] ἔφυ· καὶ τὰ ἄλλα [22] ταύτῃ, καὶ τὰ ἑξῆς· ποῦ δ' αὖ λόγου πολιτικοῦ τὸ ζητεῖν ὅπως κινεῖται γῆ, καὶ ὅτι ἐπικλύσει [23] ἢ ὑπονοστήσει ὕδατος, ἢ πάλιν περὶ σκηπτῶν φορᾶς, ἢ τὰ τοιαῦτα. ταῦτ' [24] οὖν, ὅπερ ἔφην, εἰ μὲν οὕτως ἐξετάζοιτο, σεμνὸν μόνον, οὐ

---

vide in ἀγοράσαι. 12 Ald. ἔφη. 13 σεμναὶ Ald. Mon. om., est in Port. Vind. 14 Ald. Mon. ὄντων, Port. Vind. ὄντως. 15 αἰτίας Mon. om. 16 Herod. II. 97. 17 Par. γρ. ἢ πάλιν τὸ παρὰ τῷ Πλ. ita Vind. — v. 14. γε Port. om. 18 Ald. συμπεριηληφυῖα. Port. ex Plat. Tim. p. 58 recepit: ἡ τοῦ παντὸς περ., ἐπειδὴ συμπεριέλαβε τὰ γένη, κυκλοτερὴς οὖσα, καὶ πρὸς αὐτὴν πεφυκυῖα βούλεσθαι ξυνιέναι, σφίγγει πάντα. 19 Port. εἰς πάντα διελήλυθε μάλιστα. 20 Port. δευτέρως. 21 Ald. Vind. Mon. δεύτερον. Port. δεύτερος. 22 Mon. Vind. τἄλλα. 23 Ald. ἐπὶ κλύσει et mox σκεπτῶν. 24 Vind. ταῦτα. v. 23. Port. οὕτως μετὰ τοῦ αἰτίου·

μὴν καὶ [25] πολιτικὸν ποιεῖ τὸν λόγον. διὸ καὶ μετὰ τὰς πρώτας σεμνότητος ἐννοίας εὐθὺς εἰσιν αὗται δεύτεραι. εἰ μέν τοι κατὰ ἔκφρασιν αὐτῶν τῶν λεγομένων λέγοι τις αὐτά, ἀλλὰ μὴ τὰς αἰτίας ζητῶν, καθ' ἃς γίνεται, πολιτικὸν ὁμοῦ καὶ σεμνὸν ποιεῖ τὸν λόγον. ὡς ὁ Ἀριστείδης ἀντιλέγων τῷ [26] Καλλιξένῳ συμβουλεύοντι μὴ θάπτειν τοὺς δέκα στρατηγοὺς, ἐπειδὴ ἀνῃρέθησαν μιᾷ [27] ψήφῳ. χειμῶνος γὰρ ἔκφρασιν πεποίηται εἰς ἀπολογίαν τὴν ὑπὲρ αὐτῶν. οἷον, σκηπτὸς ἦν, ὦ Καλλίξενε, σκηπτὸς ὁ ταῦτα κωλύσας, οὔτε λόγῳ ῥητὸς, οὔτε [28] ἔργῳ φορητός. ἄρτι μὲν γὰρ συνιούσης τῆς ναυμαχίας ὤδινεν ἡ θάλασσα καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρὸς, [29] καὶ τὰ ἑξῆς.

Τρίτη δὲ σεμνότητος ἐννοιῶν τάξις ἡ [30] περὶ πραγμάτων, ἃ δὴ φύσει μέν ἐστι θεῖα, τὸ πλεῖστον δὲ [31] ἐν ἀνθρώποις θεωρεῖται. οἷον, εἰ λέγοι τις περὶ ψυχῆς, ὅτι ἀθάνατος, ἢ [32] περὶ δικαιοσύνης ἢ σωφροσύνης ἢ τῶν τοιούτων διεξίοιμεν, ἢ περὶ τοῦ βίου παντὸς, ἢ τί νόμος, ἢ τί φύσις, ἢ τὰ τοιαῦτα· οἷον, ὅτι νόμος [33]

---

25 καὶ Vind. om. 26 Vind. Mon. ἐν τῷ Καλλ. — Vide T. IV. p. 737. 27 Vind. Mon. τῇ μιᾷ. 28 Vind. οὔτ' ἔργῳ. Mox pro ὤδινεν, in quo edd. et codd. consentiunt, Wernsdorf. ad Himer. Ecl. XXXVI. p. 308. parturienti mari obstetricantem manum criticam praestiturus scribit: ᾤδηνεν, intumuit, ab οἰδάνομαι [οἰδαίνω potius], oblitus, formam οἰδήσω solam in usu esse, vide Buttm. Grammat. amplior. T. II. p. 194. 29 Jo. Sicel. T. VI. p. 215. τὸ δὲ λαμπρὸς ἢ ἀντὶ τοῦ σφοδρὸς ἢ ἀντὶ τοῦ μέγας· καὶ τάχα σφοδρὸς θέλει ἡ γραφή. 30 Par. ad marg. γρ. καὶ οὕτως· εἰ [ita Mon. Vind.] περὶ πραγμάτων, ἃ δὴ φύσει μέν ἐστι θεῖα, τὸ πλεῖστον δὲ ἐν ἀνθρώποις θεωρεῖται, λέγοι τις, οἷον εἰ περὶ ψυχῆς. consentit Vind. 31 Port. δ' ἐν. 32 Mon. εἰ. 33 c. Aristog. I. p. 774. §. 16. — οἷον ὅτι Vind.

ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, καὶ τὰ ἑξῆς. καὶ πάλιν, ὅτι ἐστὶν [34] ὁ μὲν νόμος κοινὸν καὶ τεταγμένον καὶ ταὐτὸν ἐν [35] πᾶσιν· ἡ φύσις δὲ ἄτακτον [36] καὶ κατ' ἄνδρα ἴδιον τοῦ ἔχοντος. καὶ, πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ βίου ὁ [37] θάνατος. καὶ, πᾶς [38] ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται. Ἁπλῶς δὲ εἰπεῖν πάντα ὅσα ἐκ τῶν καθόλου καὶ γενικῶς λέγεται, σεμνὰς ἔχει πως τὰς ἐννοίας, καὶ μάλιστα εἰ μέμων [39] ἐπὶ τοῦ καθόλου τις διὰ παντὸς αὐτὰ ἐργάζοιτο. εἰ γὰρ προσλάβοι τὸ κατ' εἶδος, ἄλλο τι ποιεῖ. οἷον, πονηρὸν, ὦ ἄνδρες [40] Ἀθηναῖοι, πονηρὸν ὁ ψυχοφάντης ἀεὶ καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιόν ἐστι, [41] τοῦτο δὲ καὶ φύσει κίναδος [42] τἀνθρώπιόν ἐστιν. ἕτερον γάρ τι [43] πεποίηκε προσλαβὼν τὸ κατ' εἶδος. ἐκ γὰρ τῶν [44] καθόλου καὶ τοῦ ἐπὶ μέρους συντεθέντων [45] ὅ τε πολιτικὸς καὶ ὁ περιβεβλημένος λόγος, οὐ μὴν αὐτὸ [46] τοῦτο εἰπεῖν ὁ σεμνὸς γίνεται.

Τετάρτην γε μὴν σεμνότητος ἔχουσι [47] δύναμιν ἔννοιαι, αἱ περὶ ἀνθρωπίνων μὲν κατὰ μόνας πραγμάτων,

---

Mon. om. 34 ἐστὶν Mon. om. Vind. ὅτι ὁ μὲν νόμος ἐστὶ κοινόν. — ibid. §. 15. 35 Ald. ἐν πασιν. Port. Mon. Vind. ἐν om. 36 Port. addit; καὶ ἀνώμαλον. — Mox Port. ἄνδρα ἕκαστον. Mon. ἄνδρα τοῦ ἴδιον ἔχοντος. 37 ὁ Ald. Codd. om., habet Port. — pro cor. p. 258. 38 Port. ἅπας ex Dem. in Aristog. p. 774. 39 Vind. Mon. μόνον. 40 Ald. Vind. ἄνδρες om., est in Port. Mon. — pro cor. p. 307. 41 Ald. Codd. φιλαιτιόν ἐστι. Port. ἐστι om. 42 Ald. κίναιδος, Port. Codd. κίναδος. Corrigit etiam Paul. Leopardus. Emendat. L. XX. c. 10. Tum Mon. τἀνθρώπειον. 43 Ald. τοι. Port. Mon. Vind. τι. 44 Vind. τοῦ. 45 Vind. συνθέτων. 46 Vind. αὐτός. 47 Mon. ἔχουσιν ἔννοιαι δύναμιν.

μεγάλων δὲ καὶ ἐνδόξων· οἷον, τὸ περὶ τῆς ἐν Μαραθῶνι μάχης ἢ τῆς ἐν [48] Πλαταιᾶσιν ἢ τῆς ἐν Σαλαμῖνι ναυμαχίας εἴτις λέγοι, καὶ τοῦ Ἄθω καὶ τοῦ Ἑλλησπόντου καὶ τῶν τοιούτων. εἰ δέ τι ταύταις καὶ μυθικὸν, ὡς παρὰ τῷ Ἡροδότῳ, σεμνὸν ἅμα ἡδονῇ ἔποιτο, οἷον, ὁ Ἴακχος, καὶ τὰ τοιαῦτα, ἑτέρου λόγου. ἀλλ' ἔννοιαι μὲν αὗται σεμνότητος.

Μέθοδοι δὲ σεμναὶ αἱ κατὰ ἀπόφανσιν καὶ χωρὶς ἐνδοιασμοῦ ἐξ ἀφηγήσεως λεγόμεναι. ὡς γὰρ εἰδότας ἀκριβῶς δεῖ λέγειν καὶ μετ' [50] ἀξιώματος, ἀλλ' οὐκ ἐνδοιάζοντας, ὅτε τούτου φροντίζοιμεν, τῆς διαρκοῦς λέγω [51] σεμνότητος, ἀλλὰ μὴ ἄλλου τινός. τὸ γὰρ, εἴτε [52] ἥρωες ἦσαν, εἴτε θεοὶ, σεμνὸν ὄν, πλέον ἔχει τοῦ πολιτικοῦ τε καὶ πιθανοῦ κατὰ τὴν ἐνδοίασιν. καὶ μὴν καὶ αἱ ἀλληγορικαὶ μέθοδοι, ὅτε διαρκοῖεν, σεμνὸν ποιοῦσι τὸν λόγον, ὡς ἐν τῷ, ὁ μὲν δὴ μέγας ἡγεμὼν [53] ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων φέρεται, [54] καὶ τὰ ἑξῆς. λέγω δὲ τοῦτο, εἰ μὴ ἐκών τις διὰ τῶν εὐζώνων καὶ εὐτελῶν τινος ἀλληγορίᾳ. τότε γὰρ οὐκέτι σεμνὸν, ἄλλης δέ τινος ἐννοίας ποιεῖ τὸν λόγον, καὶ σχεδὸν τῆς εὐτελοῦς. καὶ μὴν καὶ τὸ δι' ἐμφάσεων μυστικῶς τι καὶ τελεστικῶς ἐν ταῖς σεμναῖς [55] τῶν ἐννοιῶν ὑποσημαίνειν, μεθόδου σεμνῆς· ὡς γὰρ αὐτοὶ μὲν εἰδότες, οὐκ ὄντες δὲ οἷοί τε λέγειν εἰς τοὐμφανὲς αὐτὰ, ἐνδεικνύμεθα διὰ τῆς μεθόδου ταύτης μέγεθός τι [56] καὶ σεμνότητα ἐννοίας. ὥσπερ ὁ Πλάτων ὅταν λέγῃ, τὸ ὄντως ὂν, καὶ ἀγαθὸς ἦν, [57] καὶ τὰ τοιαῦτα. ἤδη δέ που

48 Vind. ἐν om. 49 Vind. Mon. ὁ om. Herod. VIII. 65. 50 Vind. μετὰ ἀξ. 51 Mon. Vind. λέγω τῆς διαρκοῦς σεμν. In Mon. sequitur tit. περὶ μεθόδου. 52 Vind. εἴθ' ἥρωες. — in Aristocr. p. 643. 53 ἡγεμὼν Vind. om. — Plat. Phaedr. p. 246. e. 54 Port. ex Platone, πρῶτος πορεύεται. 55 Vind. σεμ
ναῖς. 56 Vind. τε. 57 Plat. Tim. p. 29.

καὶ ἀνέπτυξε τὴν μέθοδον ταύτην εἰπών, [58] ὅτι τόδε τι εὑρεῖν τε χαλεπὸν, καὶ εὑρόντα εἰς πάντας λέγειν ἀδύνατον. ἀλλ' ἐπὶ μὲν τῶν φύσει σεμνῶν ἐννοιῶν χρήσιμοι πρὸς αὔξησιν σεμνότητος καὶ αἱ τοιαῦται μέθοδοι. ἐν δὲ ταῖς πολιτικωτέραις οὐκέτι αἱ ἐμφάσεις σεμνότητος, ἑτέρου δέ τινος ἐργαστικαί. μέθοδοι μὲν οὖν [59] αὗται σεμνότητος καὶ ἔννοιαι.

Λέξις δὲ σεμνὴ πᾶσα μὲν ἡ πλατεῖα καὶ διογκοῦσα κατὰ τὴν προφορὰν τὸ στόμα, ὥστε [60] στομφάζειν, καὶ ὅπερ ἐπιτηδεύουσί τινες, τοῦτο ἀναγκάζεσθαι ποιεῖν τῇ φύσει τῶν λέξεων αὐτῶν. τοιαῦται δὲ καὶ ἄλλαι μέν τινες, ἐξαιρέτως δὲ αἵ τε τῷ ᾰ καὶ τῷ ω̆ πλείστῳ [61] χρώμεναι, ὡς που καὶ ὁ Πλάτων τὴν οἰωνιστικὴν φησιν [62] ᾠωνιστικὴν ἀπονομάσαι [63] τινὰς ἀποσεμνύνοντας τὸ ω̆. καὶ περὶ τοῦ ᾰ λέγοιτ' ἄν τι τοιοῦτον. ὁ γὰρ Θεόκριτος ἀχθόμενόν τινα πεποίηκε δωριαζούσαις [64] γυναιξὶ, διὰ τὸ πλατύνειν τὴν φωνὴν [65] τῷ ᾰ τὰ πλεῖστα χρωμένας. μάλιστα δὲ τὰ στοιχεῖα [66] ταῦτα τὸ ω̆ καὶ τὸ ᾰ διαίρει τε καὶ διογκοῖ [67] τὸν λόγον, εἰ κατὰ τὰς τελευταίας συλ-

λαβὰς

58 Port. ex Tim. p. 28. τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρ. 59 οὖν Vind. om. Post ἔννοια Mon. habet titulum: περὶ λέξεως. Vind. περὶ λέξεως σεμνῆς. 60 Mon. Vind. ὥστε οἷον. 61 Ald. Mon. πλεῖστον. Port. Vind. πλείστῳ. 62 Ald. φησι. Mon. post ᾠωνιστικὴν ponit. — Phaedr. p. 244. d. 63 Port. ὀνομάσαι. 64 Port. Vind. Dresd. collatus ad hunc locum a Naekio, Addit. ad Chöril. Sam. p. 273. δωριζούσαις. — Theocr. Id. XV. 88. 65 τὴν φωνὴν h. l. ponit Mon. Port. — Par. 1983. διὰ τὸ πλατύνειν, τῷ ᾰ τὸ πλεῖστον χρωμένας, τὴν φωνην (sic). Vid. Bast. ad Gregor. Cor. p. 330. Ald. Vind. Dresd. διὰ τὸ πλατύνειν, τῷ ᾰ τὰ πλεῖστα (Dresd. πλεῖστων sic) χρωμένας, τὴν φωνήν. 66 Vind. στοιχεῖα τὸ ω̆ καὶ τὸ ᾰ ταῦτα. 67 Ald. Mon. διογκεῖ h. l. et infra p. 225. v. 9.

λαβὰς εἴη [68] τῶν λέξεων. οἷον, ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς. [69]

Δεύτεραι δὲ σεμνότητος λέξεις καὶ [70] αἱ διὰ τοῦ ō στοιχείου κατὰ μόνας εἴς τι μακρὸν καταλήγουσαι, οἷον, Ὀρόντης, καὶ αἱ ταῖς μακραῖς τε καὶ διφθόγγοις πλεονάζουσαι, καὶ αἱ τὰ τελευταῖα ἐν ταύταις ἔχουσαι, πλὴν τῆς ει διφθόγγου. καὶ εἰ καθ' αὑτὸ δὲ τὸ ῑ τιθοῖτο, ἥκιστα σεμνὴν ποιεῖ τὴν λέξιν πλεονάσαν. [71] συστέλλει γὰρ μᾶλλον καὶ σεσηρέναι ποιεῖ, διογκοῖ δὲ αὐδαμῶς τὸ στόμα. καὶ μὴν καὶ αἱ τροπικαὶ λέξεις σεμναὶ καὶ διωγκωμέναι. [72] κίνδυνος δὲ ἐν [73] ταύταις οὐ μικρὸς περὶ τὴν χρῆσιν. αἱ μὲν γὰρ μετρίως ἔχουσαι ποιοῦσι τὸν λόγον σεμνὸν, οἷον, τὴν [74] ἀγαθὴν προβαλλομένους ἐλπίδα, ἀντὶ τοῦ τὰ [75] ἀγαθὰ ἐλπίζοντας; ὁρᾷς ὅτι διὰ τὸ σφόδρα ἔχειν μετρίως τὸ προβαλλομένους οὐδὲ ἐμφαίνεται ἡ τροπή; αἱ μετρίως [76] μὲν οὖν ἔχουσαι τοιαῦταί εἰσιν. εἰ δὲ ὑπερβαίεν τι τοῦ μετρίου, τραχύνουσι τὸν λόγον. οἷον, αἱ δὲ πόλεις [77] ἐνόσουν. διὸ καὶ ἐξηγήσεως αὐτῷ ἐδέησε. τὸ γὰρ, τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων, καὶ τὰ ἑξῆς τοῦ ἐνόσουν ἐστὶν [78] ἐξηγητικά. εἰ δὲ ἐπὶ πλέον [79] ὑπερβαίεν αἱ τροπαὶ, σκληρότερον ποιοῦσι τὸν

---

68 Mon. Vind. Dresd. εἴη συλλαβάς. — 69 Mon. addit: πτηνὸν ἅρμα. — Plat. Phaedr. p. 246. e. 70 καὶ Mon. om. 71 Ald. πλεονάζουσαν. Vind. πλεοναάσασαν. Mon. Port. πλεονάσαν. 72 Ald. Codd. διογκωμέναι. Port. Tzetz. διωγκ. 73 Mon. δ' ἐν. 74 pro cor. p. 258. 75 τὰ Mon. Vind. om. Tzetz. ἀντὶ τὰ ἀγ. 76 Mon. μετρίως γοῦν ἔχ. Tzetz. μετρίως μὲν ἔχ. Articulum Tzetz. et Dresd. om. — mox Tzetz. τοῦ μετρίου τι. 77 pro cor. p. 241. — v. 20. pro πράττειν Dresd. προστάττειν, de qua confusione vide Schaef. App. ad Dem. T. I. p. 876. 78 Mon. Vind. εἰσὶν. 79 Mon. Dresd. ἐπὶ πλέον ὑπερβαίεν. Ald. Port. ὑπερβαῖεν ἐπὶ πλέον.

λόγον. ὥσπερ καὶ [80] τὸ ἐκνενευρισμένοι, καὶ τὸ [81] πεπρακὼς ἑαυτὸν, καὶ τὸ λωποδυτῶν [82] τὴν Ἑλλάδα. περαιτέρω δὲ τούτων εἰ προέλθοιεν, καὶ παχύτερον καὶ σχεδὸν εὐτελέστερον [83] αὐτὸν ποιοῦσι. παράδειγμα τούτου Δημοσθενικὸν μὲν οὐκ ἂν λάβοις, οὐδὲ γάρ ἐστι. παρὰ δὲ τοῖς [84] ὑποξύλοις τουτοισὶ σοφισταῖς πάμπολλα εὕροις ἄν. τάφους [85] τε γὰρ ἐμψύχους τοὺς γύπας λέγουσιν, ὧνπερ εἰσὶ μάλιστα ἄξιοι, καὶ ἄλλα τοιαῦτα [86] ψυχρεύονται πάμπολλα. ἐκτραχηλίζουσι δ' [87] αὐτοὺς αἵ τε τραγῳδίαι, πολλὰ τούτου ἔχουσαι [88] παραδείγματα, καὶ ὅσοι τῶν ποιητῶν τραγικώτερόν πως προαιροῦνται, ὥσπερ ὁ [89] Πίνδαρος. ἀλλ' ὑπὲρ μὲν τούτων [90] οὕτω χρωμένων τῷ λόγῳ, τῶν τραγῳδοποιῶν λέγω [91] καὶ Πινδάρου, τάχ' [92] ἂν ἔχοιμέν τι λέγειν· οὐ τοῦ παρόντος δὲ ὂν καιροῦ εἰς τὸ δέον ἀναβαλήσομαι. ὑπὲρ μέντοι τῶν [93] ἐν πολιτικῷ λόγῳ τοιαύταις χρωμένων τραχύτησιν [94] οὐδεμίαν ἀπολογίαν εὑρίσκω. [95]

Ἔτι δὲ σεμνὴ λέξις ἥ τε ὀνομαστικὴ καὶ αὐτὰ τὰ ὀνόματα. ὀνομαστικὴν [96] δὲ λέγω τήν τε [97] ἀπὸ τῶν ῥη-

80 Vind. καὶ om. — Ol. III. p. 37. 81 de fals. leg. p. 345. 82 Port. λωποδυτεῖν. Phil. III. p. 116. 83 Ald. εὐτελεύτερον. Mon. αὐτὸν εὐτελέστερον. Schol. in Par. τὸ δὲ εὐτελέστερον ἀντὶ τοῦ ἰδιωτικὸν, ἄμεινον δὲ ἀσαφέστερον. — 84 Vind. τοῖς om. tum Mon. τούτοις. 85 Longin. Sect. III. §. 2. ταύτῃ καὶ τὰ τοῦ Λεοντίνου Γοργίου γελᾶται, γράφοντος, „Ξέρξης ὁ τῶν Περσῶν Ζεὺς," καὶ, „Γύπες ἔμψυχοι τάφοι." Fragmentum hoc ad Gorgiae epitaphium pertinere statuunt Weberus in ephemerid. scholasticis a. 1827. p. 589. not. 29. Foss. de Gorg. Leont. p. 68. 86 Mon. τινά. 87 Mon. δέ. 88 Vind. ἔχουσαι τούτου. 89 ὁ Vind. om. 90 Ald. τοῦ τῶν. Port. τοῦ om. Mon. Vind. marg. Vict. τούτων. 91 Ald. Mon. δὲ λέγω. Port. Vind. δὲ om. 92 Vind. τάχα. 93 Ald. τὸν τῶν. Vind. Port. τὸν om. 94 Mon. παχύτησιν. 95 Vind. εὑρήσεις. 96 Ald. ὀνομαστική. 97 τε Vind. om.

μάτων εἰς ὀνόματα πεποιημένην, καὶ τὴν διὰ μετοχῶν καὶ [98] ἀντωνυμιῶν καὶ τῶν τοιούτων. ὡς ἐλάχιστα γὰρ ἐν σεμνότητι δεῖ χρῆσθαι τοῖς ῥήμασιν, ὥσπερ ὁ Θουκυδίδης. σχεδὸν μὲν γὰρ [99] διόλου βούλεται ποιεῖν τοῦτο, καταφανῶς δὲ αὐτὸ ἐν τῇ τῆς στάσεως ἐκφράσει τῶν Κερκυραίων πεποίηκε· πλὴν γὰρ τοῦ ἐνομίσθη [1] τἄλλα πάντα σχεδόν ἐστιν ὀνόματά τε καὶ ὀνομαστικά. οἷον, τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρεία [2] φιλεταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπὴς, [3] τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὰ ἑξῆς. εἰ δέ τι ἐν τούτοις καὶ σκληρότητος ἢ τραχύτητος ὕπεστιν, ἑτέρου λόγου. τοιοῦτόν ἐστι 91 καὶ τὸ παρὰ τῷ Δημοσθένει ῥηθέν τε ὁμοῦ καὶ θεωρηθὲν ὑπ' αὐτοῦ. λέγω τὸ, οὐ γὰρ τὰ ῥήματα τὰς [4] οἰκειότητας ἔφη βεβαιοῦν, εἶτα [5] ἡ θεωρία, μάλα σεμνῶς ὀνομάζων. λέξεις μὲν οὖν αὗται σεμναί. [6]

Σχήματα δὲ σεμνὰ ἅπερ καὶ καθαρὰ, ἡ ὀρθότης λέγω καὶ εἴ τι τοιουτότροπον. καὶ μὴν καὶ αἱ ἐπιχρίσεις, εἴτε ἔννοιαί τινες, εἴτε σχήματα εἶεν, σεμναί. [7] οἷον, λόγῳ [8] δὲ δὴ τὸν λειπόμενον κόσμον ὅ τε νόμος προστάττει ἀποδοῦναι, καὶ χρή. καὶ ὁ ῥήτωρ, [9] ὀρθῶς καὶ καλῶς βουλευόμενοι. πάντα γὰρ τὰ τοιαῦτα ἀξιωματικὰ καὶ σεμνά. αἱ δὲ μετ' ἐνδοιάσεως ἐπιχρίσεις ἠθικαὶ, ἀλλ' οὐ σεμναί. οἷον, δεῖ [10] δέ με, ὡς ἔοικε, καίπερ οὐ φιλολοίδορον ὄντα. καὶ ὅλως

98 Vind. τέ καί. 99 γάρ Vind. Mon. om. tum Mon. δι' ὅλου.

1 Thuc. III. 82. 2 Mon. Vind. ἀνδρεία. Ald. Port. ἀνδρία. tum Mon. φιλεταῖρος. 3 Edd. Codd. ἀπρεπής. Thuc. εὐπρεπής. 4 Vind. τά. — pro cor. p. 237. 5 Mon. Vind. εἶθ' ἡ. 6 Vind. σεμναὶ αὗται. — In Mon. sequitur titulus: περὶ σχημάτων. Vind. περὶ σχημ. σεμνῶν. 7 Vind. σεμνά. 8 Ald. Vind. λέγω. Port. Mon. λόγῳ. tum Vind. δὲ δεῖ. — Plat. Menex. c. 5. 9 pro cor. p. 258. 10 pro cor. p. 269.

πᾶσα ἐνδοίασις ἠθικώτερον ποιεῖ τὸν λόγον. δεῖ γὰρ ἀποφαίνεσθαι τὸν μέλλοντα ἀξίωμά τι τῷ [11] λόγῳ προστιθέναι καὶ σεμνότητα. οἷον, οὐκ ἦν τοῦ [12] πρὸς ἡμᾶς πολέμου πέρας οὐδ' [13] ἀπαλλαγὴ Φιλίππῳ. ἐὰν γὰρ εἴπῃς, [14] οὐκ ἦν, οἶμαι, πέρας, καὶ τὰ ἑξῆς, ἦθος ποιεῖς. καὶ μὴν καὶ τὸ εἰς τὴν αὐτοῦ γνώμην ἀναφέρειν τι τῶν ῥηθησομένων ἀξιωματικὸν καὶ σεμνόν. οἷον, βούλομαι τόδε εἰπεῖν. καὶ ὁ Θουκυδίδης, [15] Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων. ἥκιστα δὲ αἱ ἀποστροφαί τε καὶ ὑποστροφαὶ λόγου σεμνοῦ ἢ καθαροῦ. τοὐναντίον γὰρ καὶ διαφθείρουσι [16] καὶ καθαιροῦσιν αὐτοῦ τὸ σεμνὸν αὗται, καὶ πάλιν αὖ τὸ καθαρὸν, διακόπτουσαί [17] τε ὡσαύτως κατὰ τὰς ἐπεμβολὰς, καὶ ἀναχαιτίζουσαι τὸ ἄφετον αὐτοῦ καὶ ἐλεύθερου, καὶ πρὸς τὸ κοινότερον καὶ πολιτικώτερον ἄγουσαι. [18] καθάπερ τὸ, κἂν μεγάλην [19] πόλιν οἰκῶσι κἂν μικρὰν, μεταξὺ τοῦ, ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται, πεποίηκε τεθέν. [20] οὐ γὰρ ὅμοιον ἦν, εἰ οὕτως εἶπεν, ὡς προείρηται, ἢ κατὰ τὴν ὑποστροφὴν διακόψας· οἷον, ἅπας ὁ τῶν ἀνθρώπων βίος, κἂν μεγάλην πόλιν οἰκῶσι κἂν μικρὰν, φύσει καὶ νόμοις διοικεῖται. ἀλλὰ τοῦτο μὲν γοργὸν ἅμα τῷ πολιτικῷ καὶ σεμνόν ἐστιν, ἐκεῖνο δὲ καθαρῶς σεμνὸν ἂν ἦν, καὶ ἀμιγές. δεῖ οὖν, εἰ μὲν διόλου μέλλει σεμνὸς ἡμῖν ὁ λόγος μένειν, ἐκείνως, ἀλλὰ

---

προς
11 τῷ Mon. om. Par. περιτιθέναι. 12 Vind. τοῦτο πρός.
η
13 Vind. οὐδέ. 14 Vind. εἴποις. 15 I. 9. 16 Mon. Vind. καὶ καθαιροῖσιν αὐτοῦ καὶ διαφθ. 17 Ald. διαφθείρουσι. Mon. διακόπτουσί γε. Port. διακόπτουσαί τε. Vind. τὸ καθαρὸν ὡσαύτως διακόπτουσαί τε. 18 Mon. ἄγουσι. 19 Vind. κἂν πόλιν οἰκῶσι μεγάλην. c. Aristog. I. p. 774. 20 Vind. τὸ τεθέν. tum Vind. Mon. οὐ γὰρ ὅμ. ἦν οὕτως εἰπεῖν — διακόψαντα. etiam Ald. διακόψαντα. Port. διακόψας.

μὴ οὕτως αὐτὸν ἐργάζεσθαι. εἰ δὲ τοὐναντίον, ὡς ἑτέρως δηλαδή.[21]

Κῶλά γε μὴν σεμνὰ, ἅπερ καὶ καθαρὰ, λέγω τὰ βραχύτερα. ὥσπερ γὰρ ἀφορισμοὺς αὐτὰ εἶναι δεῖ. οἷον, ψυχὴ πᾶσα[22] ἀθάνατος, τὸ γὰρ[23] ἀεικίνητον ἀθάνατον. καὶ,[24] νόμος ἐστὶν εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δὲ ἀνθρώπων φρονίμων, καὶ τὰ ἑξῆς. γένοιτο δ' ἂν που καὶ μακρότερον ἐν σεμνότητι κῶλον κατ' ἀνάγκην τινά.[25]

Συνθῆκαί γε μὴν σεμναὶ αἱ τῆς μὲν συγκρούσεως ἕνεκα τῶν φωνηέντων μὴ μικρολογούμεναι,[26] τῷ δὲ ὅλῳ δακτυλικαί τε οὖσαι καὶ ἀναπαιστικαὶ, παιωνικαί[27] τε καὶ ἔστιν ὅτε ἰαμβικαὶ, σπονδειακαί τε καὶ[28] μᾶλλον. διὸ καὶ αἱ ἐξ ἐπιτρίτων ἁρμόττουσι[29] τῷ σεμνῷ. τροχαϊκαὶ μέν τοι καὶ ἰωνικαὶ ἐναντίαι σεμνότητι.[30] τεκμήριον δὲ τούτου πεποίηκεν ἐναργὲς ὁ διαφθείρας τόδε[31] τὸ ἔπος,

Σείων Πηλιάδα[32] μελίην κατὰ δεξιὸν ὦμον.

---

21 Sequitur tit. in Mon. περὶ κῶλων. in Vind. περὶ κώλων σεμνῶν. Vind. incipit: κῶλα δὲ σεμνά. 22 Port. πᾶσα ψυχή. Plat. Phaedr. p. 245. c. 23 γὰρ Vind. om. 24 c. Aristog. I. p. 774. 25 In Mon. sequitur tit.: περὶ συνθήκης. in Vind. περὶ συνθηκῶν σεμνῶν. 26 Ald. Port. Mon. μικρολογούμεναι. Vind. μακρολ. 27 Mon. παιονικαί. 28 καὶ Vind. om. tum Mon. διὸ καὶ οἱ ἐξ. ἐ. Vind. αἱ om. 29 Port. ἁρμόζουσι. 30 Par. σεμνότητι. 31 Vind. τοῦτο τὸ ἔπος. Innuitur Sotades in Iliade, cfr. Hephaest. p. 21. Gaisf. Eustath. ad Il. *A*. p. 10. μόνου δὲ τοῦ τὰς δύο βραχείας ἀντὶ μιᾶς νοιεῖσθαι ὀλίγα εἰσὶ τὰ παραδείγματα. προφέρεται γοῦν ἐν τοῦ Σωτάδα ἐν τῷ· σείων μελ. Πηλ. δ. κ. ὦμον, ὃ καὶ παρὰ Ἑρμογένει κεῖται. τὸ γὰρ λι καὶ τὸ ᾰ ὡς μία λογίζονται βραχεῖα συλλαβὴ πρὸς ἀπαρτισμὸν ποδὸς τοῦ ἀπὸ μείζονος Ἰωνικοῦ. 32 Ald. Port. constanter Πηλειάδα. Mon. Vind. Πηλιάδα. p. 230. v. 4. Ald. πιλειάδα. — Il. χ, 133.

καὶ διὰ τῆς ἐναλλαγῆς τῶν λέξεων ἀπὸ τοῦ δακτυλικοῦ ἐπὶ τὸ ἰωνικόν τε [33] καὶ τὸ συγγενὲς τῷ ἰωνικῷ τροχαϊκὸν μεθαρμόσας αὐτὸ οὕτως·

Σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον,

δύο γάρ εἰσιν ἐνταῦθα ἰωνικαὶ συζυγίαι, καὶ μετὰ ταῦτα τὸ ἰθυφαλλικὸν καλούμενον μέτρον, ἐκ τριῶν συγκείμενον τροχαίων, [34] δι' ὧν ἐκλάσθη πᾶς ὁ ῥυθμὸς βιασθεὶς πρὸς τὸ ἐναντίον ἐλθεῖν δακτυλικοῦ [35] καὶ σεμνότητος. καὶ ἐπ' ἄλλων δ' ἂν ἴδοις οὐκ ὀλίγων ὁμοίως ταὐτὸν γινόμενον, [36] μόνων τῶν λέξεων καὶ τοῦ ῥυθμοῖ μεταγόντων αὐτὰ εἰς πολὺ τοὐναντίον. οἷον,

Ὡς ὁ [37] πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.

εἰ γὰρ μεταθείης τὰς λέξεις, ποιήσεις αὐτὸ τροχαϊκὸν ἐπίμικτον κατὰ ταῦτα·

Ὡς ὁ πρόσθ' ἵππων τανυσθεὶς [38] κεῖτο καὶ δίφρου,
Αἱματοέσσης κόνιος δεδραγμένος βεβρυχώς.

ὅμοιον γὰρ τούτῳ [39] ἐκεῖνο·

Ἔνθ' [40] οἱ μὲν ἐπ' ἄκραισι [41] πυραῖς νέκυες ἔκειντο.
Ξένης [42] ἐπὶ γαίης, ὀρφανὰ τείχεα προλιπόντες,

92

---

33 τε Vind. om. 34 Ald. Vind. τροχαϊκῶν. Port. Mon. τροχαίων. 35 Mon. δακτύλου. — tum Vind. καὶ ἐπὶ ἄλλων δὲ ἄν. 36 Vind. γιγνόμενον. 37 Ald. Port. ὣς ὅ. Il. ν, 392. cfr. Dionys. de comp. p. 50. Schaef. 38 Ald. Port. Mon. ἵππων καὶ δίφρου κεῖτο ταν. Vind. ἵππων ἔκειτο καὶ δίφ. ταν. Schol. T. VII. litt. ξά. ἰστέον, ὅτι καθὸ μὲν ἐπίμικτον τροχαϊκὸν εἶπεν, ἥμαρτεν Ἑρμογένης. οὐ γὰρ ἐνδέχεται τοῦτο γενέσθαι. καθὸ δὲ τροχαϊκὸν, ὡς γραφικὸν γέγονε πταῖσμα· συγκέχυται γὰρ τὸ μέτρον. δεῖ οὖν ἄνευ προσθήκης καὶ ἀφαιρέσεως μεθαρμόσαι τὰ ἔπη οὕτως·

ὡς ὁ πρόσθ' ἵππων τανυσθεὶς κεῖτο καὶ δίφρου.

ita disponit etiam Sicel. litt. ξ'. 39 Ald. Port. Mon. τοῦτο ἐκείνῳ. Mon. γὰρ om. Vind. γὰρ τούτῳ ἐκεῖνο. 40 ἔνθ' Mon. αι om. 41 Mon. ἄκραις. Vind. ἄκροισι. 42 Vind. Mon. γῆς

Ἑλλάδος ἱερῆς, καὶ μυχὸν ἑστίης πατρῴης,
Ἥβην τ' ἐρατεινήν, [43] καὶ καλὸν ἡλίου πρόσωπον,

καὶ πάλιν,

Ἀλλ' ἔχον ὥστε τάλαντα χυτὴ χερνῆτις ἀληθὴς, [44]
Ἧτε σταθμὸν ἔχουσα καὶ εἰρίον ἀμφὶς ἀείρει,
Ἰσάζουσ', ἵνα παισὶν ἀεικέα μισθὸν ἄροιτο.

εἰ γὰρ μεταμειφθεῖεν κἀνταῦθα αἱ λέξεις, ἔσται τετράμετρον. [45]

Περὶ δὲ ἀναπαύσεως σεμνῆς ὁ αὐτὸς λόγος, ὅσπερ [46] ἦν ἡμῖν καὶ περὶ καθαρότητος. δεῖ γὰρ ἱστασθαι τὸν λόγον ἐπί τινος τῶν οἰκείων ποδῶν τῇ σεμνότητι. χωρὶς μέν τοι καταλήξεως, ἵνα μὴ εἰς τροχαῖον [47] ἐμπέσῃ ἡ βάσις, μηδ' ἁρπασθῇ ὁ ῥυθμὸς, ἀλλὰ βεβηκὼς ᾖ· [48] μάλιστα δ' ἂν βεβήκοι, εἰ πρῶτον μὲν εἰς ὄνομα καταλήγοι ἢ [49] ὀνομαστικόν τι, μὴ ἔλαττον ὂν τριῶν συλλαβῶν, οἷον, εἰς τουτονὶ τὸν ἀγῶνα. [50] ἔπειτα εἰ [51] πλείους εἶεν κατὰ τὴν ἀνάπαυσιν αἱ μακραὶ τῶν συλλαβῶν, ἵνα δισπόνδειος [52] ἤ τις τῶν ἐπιτρίτων, πλὴν τοῦ τετάρτου, τὴν βάσιν ποιῇ. οἷον, ἅπας [53] ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται. διαφερόντως δὲ σεμνὴν ἔχει τὴν βάσιν ὁ ῥυθμὸς, εἰ ἡ ἀνάπαυσις καταλήγοι [54] ἢ παραλήγοι τότε [55] στοιχείῳ τινὶ πλατεῖ καὶ διογκοῦντι κατὰ τὴν προφορὰν τὸ στόμα,

---

ἐπὶ ξένης, ὀρφανὰν αἶαν πρόλιπ. [Ald. προλειπόντες sic] versum sq. Ald. Mon. Vind. om., recepit Port. vide Dion. de comp. p. 52. 43 Mon. ἐρατεινόν. Ald. ἐρατινήν. 44 Ald. ἁλῆτις. Il. μ, 433. 45 Mon. τετραμμένον. Vind. τετριμμένον. vide Dion. l. l. p. 48. — Sequitur in Mon. tit. περὶ ἀναπαύσεως, in Vind. περὶ ἀναπ. σεμνῆς. 46 Ald. ὅπερ. 47 in Mon. supra lin. τρόμβον. 48 Vind. εἴη. 49 Vind. ἢ εἰς ὄν. 50 pro cor. initio. 51 Mon. δ' εἰ. 52 Ald. σπονδεῖος. Port. Mon. Vind. δισπόνδειος. tum Vind. ἤ τις. 53 c. Aristog. I. p. 774. 54 Vind. καταοι οι
λήγει ἢ παραλήγει. 55 Port. Vind. τό γε.

καθάπερ ἔφην ὀλίγῳ πρότερον ἐν τῷ περὶ λέξεως σεμνῆς. ἐκ δὲ τῶν προειρημένων δῆλος ἂν εἴη καὶ ὁ ῥυθμὸς ὁποῖος.[56]

Εἰδέναι μέντοι χρή, ὅτι εἰ καὶ δι' ὅλων ἓξ[57] ἐπιτρίτων ἢ δακτυλικῶν ἢ τινῶν τοιούτων ὁ λόγος συντεθείη, αἱ δὲ ἀναπαύσεις μὴ καταλήγοιεν[58] οὕτως, ὥστε καὶ τὰ ἑφεξῆς ἔχειν τοὺς οἰκείους πόδας τῇ σεμνότητι, οἱ ῥυθμοὶ οὐκέτι γίνονται σεμνοί. ταὐτὸ δὲ[59] τοῦτό φημι καὶ περὶ πάσης ἰδέας. εἰ γὰρ καὶ συντεθείη τις λόγος δι' ὠντινωνοῦν ποδῶν, οἳ δὴ ποιοῦσιν εἶδος ὁτιοῦν λόγου,[60] αἱ δὲ ἀναπαύσεις μὴ δι' αὐτῶν πληρουμένων γίνοιντο, λέγω τῶν ποδῶν ἁρμοττόντων[61] τῇ ἰδέᾳ, ἀλλὰ μεταξὺ διακόπτοιντο οἱ πόδες, μεθίστανται οἱ ῥυθμοί, καὶ μᾶλλον ἑτέρου τινὸς εἴδους οἰκεῖοι εὑρίσκονται, ἢ οὗπερ οἱ πόδες ἦσαν, δι' ὧν ὁ πᾶς[62] λόγος συνέκειτο.

## Cap. VII.

## ΠΕΡΙ ΤΡΑΧΥΤΗΤΟΣ.

Τῶν ποιουσῶν[1] μέγεθος λόγου καὶ ὄγκον ἔφην μετὰ[2] σεμνότητα ποιεῖν τὴν τραχύτητα. μετ'[3] οὖν τὸν περὶ σεμνότητος λόγον ἔποιτ' ἂν λέγειν περὶ τραχύτητος. ἡ τραχύτης τοίνυν καὶ νὴ Δία γε ἡ λαμπρότης[4] θεωροῦνται μὲν καὶ καθ' ἑαυτὰς ἑκατέρα, ὥσπερ καὶ ἡ σεμνότης· εἰσὶ δὲ καὶ τῆς ἀκμῆς ἐργαστικαί, ὥσπερ ὑποβεβηκυῖαι αὐτῇ. οὐ μὴν[5] ἐν ἅπασί γε αὐτῇ δι' ὧν γίνον-

56 Sequitur in Mon. tit. περὶ ῥυθμοῦ. 57 ἓξ Port. om. 58 Ald. καταλήγειεν. 59 δὲ Port. om. Mon. ταὐτὸν δέ φημι τούτῳ. 60 Ald. Vind. λόγων. Port. Mon. λόγου. 61 Port. τῶν ἁρμ. Mon. Vind. ἁρμ. τῇ ἰδέᾳ om. 62 Mon. ὁ πᾶς ὁ λόγος.

1 Par. γρ. τῶν ποιούντων. ita Mon. Vind. 2 Mon. μετὰ τήν. 3 Vind. μετὰ οὖν. 4 Ald. λαλπρότης. 5 οὐ μὴν ἐν ἅπασί γε αὐτῇ Ald. om., recepi ex Port. Mon. — Vind. οὐ μὴν δι' ἅπασί γε αὐτήν.

ται ὑποβεβήκασιν· οἷον, ἐννοίᾳ, μεθόδῳ, λέξει, καὶ τοῖς λοιποῖς. ἀλλά τινα μὲν αὐτῶν ἐστιν ἴδια, τινὰ δὲ καὶ τῆς ἀκμῆς συνεργά·[5*] οἷον, ἔννοιαι μὲν καὶ λέξεις τραχεῖαι γένοιντ'[6] ἂν καὶ ἀκμαῖαι. κῶλα δὲ τραχέα οὐκέτι[7] ἀκμαῖα. πάλιν σχήματα μὲν καὶ κῶλα λαμπρὰ ποιεῖ καὶ[8] ἀκμήν, οὐ μὴν ἔννοιαί γε λαμπραὶ ποιοῦσιν ἀκμήν. διὰ τοῦτο τοίνυν οὐχὶ προτάξαντες τὴν ἀκμήν, εἶτα ὡς διὰ τῆς λαμπρότητος καὶ τραχύτητος γινομένην δείκνυμεν, καθάπερ τὴν σαφήνειαν ἐδείκνυμεν, ὅτι εὐκρίνειά τε ποιεῖ καὶ καθαρότης, ἀλλ' ἰδίᾳ περὶ ἑκάστης λέγομεν αὐτῶν τά τε ἄλλα,[9] καὶ ὅτι οὐ μόνον διὰ τούτων ἡ ἀκμή, ἀλλὰ καὶ διά τινων σφοδρότητος ἰδίων γίνεται· ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ φανεῖται. ὥστε ἀναγκαῖον χωρὶς περὶ ἑκάστης εἰπεῖν, καὶ πρῶτόν γε περὶ τῆς τραχύτητος, ἧ δὴ ἐναντίον ἐστὶ γλυκύτης· ὁ γὰρ τραχὺς λόγος πικρός τε καὶ ἄγαν ἐπιτιμητικός[10] ἐστιν. ἀλλὰ περὶ μὲν γλυκύτητος καὶ ἡδονῆς ἐν τῷ περὶ ἀφελείας ἡμῖν λελέξεται, νυνὶ δὲ λέγοιμεν ἂν περὶ τῆς τραχύτητος.[11]

Ἔννοιαι τοίνυν εἰσὶ τραχεῖαι[12] πᾶσαι αἱ τῶν μειζόνων[13] προσώπων ἐπιτίμησιν ἔχουσαι ἀπό τινος τῶν ἐλαττόνων προσώπων ἀπαρακαλύπτως· ὥσπερ τὸ, εἴπερ τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, ἀλλὰ[14] μὴν ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε· καὶ τὸ, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρ-

---

5* Mon. ἐργαστικά. 6 Vind. γένοιντο. 7 Vind. οὐκέτ' ἀκμ. 8 καὶ Mon. om. 9 Mon. ἄλλα γὰρ οὐ μόνον, sine καὶ ὅτι. Vind. τά τε γὰρ ἄλλα γὰρ καὶ οὐ μόνον. 10 Par. τι ἐπιτιμηκός. ad marg. γρ. πικρός τε ἅμα καὶ ἄγαν ἐπιτιμητικός ἐστιν. 11 In Mon. sequitur tit. περὶ τραχύτητος ἐννοιῶν. in Vind. περὶ ἐννοιῶν τραχύτητος. 12 Vind. τραχύτητος. 13 Ald. μειζώνων. 14 Mon. καὶ μή. Vind. καὶ τοῖς. omisso μή. — de Halon. p. 88.

μακρον ἄλλα τοιοῦτον ἐοίκαμεν [15] ἀνθρώποις. καὶ πάλιν ἐν [16] ταῖς ἐπιστολαῖς, εἰ δὲ τὸ περιφανὲς ἀξίωμα τῆς βουλῆς ἢ τὸν Ἄρειον πάγον προσβλέπετε, τῆς Ἀριστογείτονος [17] κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε. [18] καὶ, ὑμεῖς δὲ [19] ἐκγενευριαμένοι καὶ περιῳρημένοι [20] χρήματα, συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες, φησὶν, εἰ θεωρικὰ ἢ βοΐδια πέμψουσιν ὑμῖν εἰς τὰς ἑορτάς. καὶ πάλιν, παντάπασιν [21] γὰρ ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δεινά. ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθε, καὶ τὸ, οὗτοι [22] σωφρόνων, οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν. τουτὶ δὲ ἤδη τῇ μεθόδῳ καὶ λειότερον [23] γέγονεν. ἐν γὰρ τῷ καθόλου εἴρηται, καὶ οὐχ ἁπλῶς ἐπετίμησε· [24] πλὴν ἥ γε ἔννοια τραχεῖα. τοῖς δὲ κώλοις ἄμφω τὰ [25] τελευταῖα ταυτὶ παραδείγματα καὶ ἀκμῆς οὐ πόρρω· ὡς ἐν τῷ περὶ ἀκμῆς ἔσται φανερόν· οὐ μὴν τά γε πρῶτα τοιαῦτα ἦν παραδείγματα, ἀλλὰ καθαρῶς τραχέα. δυσχερὲς δὲ παρὰ τῷ Δημοσθένει καθαρὰν εὑρεῖν τραχύτητα. διὸ καὶ ἐφιλοτιμήθημεν τῶν φανεισῶν μηδεμίαν παραλι-

---

15 Ald. ἐοίκατε μέν, lectio ex duabus conflata, altera ἐοίκαμεν, altera ἐοίκατε, vid. Reisk. ad h. l. Mon. Vind. μέν om. Port. ἐοίκαμεν. — Phil. IV. p. 153. 16 Ald. Mon. εἰς ἐπιστολάς. Port. ἐν ταῖς ἐπιστολαῖς. Vind. ἐν ἐπιστολαῖς. 17 Ald. Ἀριστογείτωνος. — Ep. III. p. 1485. 18 Vind. ἐγκαλύψατε. 19 Port. ὑμεῖς δὲ ὁ δῆμος. ex Ol. III. p. 37. 20 Ald. περιειρημένοι. 21 de fals. leg. p. 411. 22 Ald. οὗτι. Port. Godd. οὕτοι. — Ol. III. p. 34. 23 Ald. τελειότερον. Port. Codd. λειότερον. ita infra: λειότερόν πως γέγονε. 24 Vind. ἐπετίμησεν, πλὴν ἥγ' ἔνν. 25 Vind. Mon. ἄμφω ταυτὶ τὰ τελ.

πεῖν.[26] δυσχερὲς δὲ εὑρεῖν, διότι πανταχοῦ αὐτὰς ὁ ἀνὴρ τῷ[27] συμπλέκειν τισὶ καὶ ταῖς μεθόδοις λειοῖ. ἐπεὶ καὶ τοῦτο, ὃ καὶ αὐτό[28] ἐστιν ἐν ἐπιστολαῖς, τὸ γὰρ τοιούτῳ τοῦτον κεχρῆσθαι τὸν τρόπον ἐμοὶ μὲν ἂν εὖ οἶδ' ὅτι συμφορὰ φανείη, κακία δὲ οὐδεμία, ὑμετέρα δὲ ἀγνωμοσύνη,[29] τραχὺ μέν ἐστι τῇ ἐννοίᾳ, μεθοδευθὲν δὲ οὕτω καὶ συμπλακὲν τῷ πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸ[30] λειότερόν πως γέγονε. καί τοι καὶ τὸ ἐπαγόμενον ἔχει τι τραχύτητος· ἔστι δὲ τὸ, ἢν τῷ μεταγνῶναι λύσατε.[31] καὶ μὴν καὶ τὸ, ὦ (τί ἂν εἰπὼν μήτε ἁμαρτάνειν[32] δοκοίην, μήτε ψευσαίμην;) λίαν ὀλίγωροι, οὔτε τοὺς ἄλλους οὔτε ὑμᾶς αὐτοὺς αἰσχύνεσθε, ἐφ' οἷς Ἀριστογείτονα ἀφήκατε, ἐπὶ τούτοις Δημοσθένην ἐκβεβληκότες; τοιοῦτόν ἐστιν, οἷον ἔχειν τινά τε[33] διόρθωσιν καὶ μετρίαν λειότητα κατὰ τὴν διαπόρησιν· ὅλως τε τοιούτων μὲν[34] παραδειγμάτων οὐκ ἀπορήσεις, λέγω τῶν ἐχόντων τινὰ διόρθωσιν· πολλὰ γάρ ἐστι τοιαῦτα καὶ παρὰ τῷ ῥήτορι[35] καὶ παρὰ τοῖς ἄλλοις. καθαρῶς[36] δὲ τραχύτητα παρά γε τούτῳ δυσχερὲς εὑρεῖν. πάνυ γὰρ τῷ τοιούτῳ σπανίως χρῆται, πλὴν εἰ μή[37] τις οἴοιτο ταὐτὸν εἶναι σφοδρότητά τε[38] καὶ τραχύτητα. ἀλλ' ὅπη μὲν ἀλλήλων ταῦτα διαφέρει, μικρὸν ὕστερον φανεῖται. παραδείγματα δὲ

26 Ald. παραλειπεῖν. 27 Vind. Mon. τῷ τε συμπλ. 28 Vind. ὁ αὐτῷ. — Ep. II. p. 1469. 29 Ald. ἀγνομοσύνη. 30 Ald. Port. Mon. μεθ' ἑαυτό. Vind. μετ' αὐτό. 31 Mon. λύσετε. 32 Mon. ἁμαρτεῖν. Ep. III. p. 1483. 33 Ald. Port. τέ τινα. Mon. Vind. τινά τε διόρθ. Sqq. καὶ μετρίαν — διόρθωσιν Vind. om. 34 μὲν Mon. om. 35 marg. Vict. „ut illud in τῷ περὶ στεφ. [p. 281.] πλὴν πολύ τι σκότος, ὡς ἔοικεν, ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας. 36 Mon. καθαράν. 37 Par. γρ. πλὴν εἴ γέ τις. Mon. πλὴν εἴ τις. 38 Ald. Mon. Vind. γε. Port. τε.

τῆς ἀπαραμυθήτου τραχύτητος παρὰ μὲν τῷ ῥήτορε καὶ πάνυ, ὡς ἔφην, ἐστὶ [38]* σπάνια· ὁ δὲ Ἀριστογείτων σοι ἄφθονα παρέξεται νὴ Δία, εἰ βούλοιο καὶ παρ' ἐκείνου λαβεῖν παραδείγματα. [39] πολλὰ δὲ τοιαῦτα [40] καὶ παρὰ τῷ Δεινάρχῳ. ἀλλὰ περὶ μὲν ἐννοιῶν τῶν ποιουσῶν [41] τὸν τοιοῦτον λόγον τοσαῦτα.

Μέθοδος δὲ τραχύτητος μία, τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς κατ' ἐπιτίμησιν, ἀλλὰ μὴ ἄλλως πως μηδὲ συμπλέκοντα τοῖς λειαίνουσι τὴν τραχύτητα εἰσάγειν τὰς τοιαύτας τῶν ἐννοιῶν. παραδείγματα δὲ αὐτῆς αἱ μικρῷ πρότερον ῥηθεῖσαι καθαρῶς εἶναι τραχύτητες. τραχεῖαι γὰρ ἔννοιαι τραχέως ἐκεῖ καὶ μεθωδεύθησαν. [42] λέξις δὲ τραχεῖα ἡ τετραμμένη καὶ ἀφ' [43] ἑαυτῆς σκληρά· οἷόν ἐστι καὶ τὸ κατάπεπατημένον [44] φορεῖτε, καὶ τὸ, ἐκλέλυσθε, ὦ Ἀθηναῖοι, [45] καὶ ἀναπεπτωκότες κάθησθε. καὶ τὸ ἐκνενευρισμένοι [46] καὶ τὸ, κατεσθίων [47] κατέφαγε· καὶ τὸ, διορωρυγμένοι [48] κατὰ πόλεις· καὶ τὸ, περικόπτων [49] καὶ λωποδυτῶν τὴν Ἑλλάδα, καὶ ὅσα τοιαῦτα. αὗται μὲν οὖν διὰ τὸ τετράφθαι εἰσὶ τραχεῖαι· ἀφ' ἑαυτῶν δὲ σκληραὶ αἱ τοιαῦται· οἷον, ἀταρπὸς, ἔμαρπτεν, ἔγναμ-

---

38 Vind. ἐστὶν, ὥς ἔφην, σπάνια. Mon. ἐστὶν, ὅπερ ἔφην, σπ. 39 Mon. τὰ παραδ. 40 Vind. ταῦτα. 41 Vind. ποιησῶν τοιοῦτον τὸν λ. Post τοσαῦτα Mon. habet titulum: περὶ μεθόδου. Vind. περὶ μεθ. τραχύτητος. 42 Ald. μεθοδεύθησαν. Sequitur tit. in Mon. περὶ λέξεως. in Vind. περὶ τραχείας λέξεως. 43 Vind. καὶ ἡ ἀφ'. 44 de Halon. p. 88. 45 Mon. ὦ ἄνδρες Ἀθ. καὶ τὸ ἀναπεπτ. Port. ex or. de fals. leg. p. 411. recepit: παντάπασι μὲν γαρ, ὦ ἄνδρες Ἀθ., ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δεινά. 46 Ol. III. p. 37. 47 Port. ἐσθίων. fort. ex or. c. Aristog. p. 782. 48 Vind. διωρυγμένοι. Phil. III. p. 119. διορωρύγμεθα. 49 Port. περικόπτειν καὶ λωποδυτεῖν. — Phil. III. p. 116.

ψε,[50] καὶ ὅσα τοιαῦτα. ἔχει δέ τι τοιοῦτον καὶ τὸ περικόπτωμαι καὶ τὸ ἐκνενευρισμένοι, εἰ καὶ[51] μὴ τοσοῦτον, ὅσον αἱ προειρημέναι. ἀλλὰ λέξεις μὲν αὗται τραχεῖαι.[52]

Σχήματα δὲ τραχέα μάλιστα μὲν τὰ προστακτικά· οἷον, τῆς Ἀριστογείτονος[53] κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε. ἔπειτα δὲ[54] τὰ κατ' ἐρώτησιν ἐλεγκτικά. οἷον, εἶτα Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾷν, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτο[55] οὐχὶ φυλάξεσθε; καὶ πάλιν, οὐχ 94 ὁρᾶτε,[56] ὡς ἐναργὲς καὶ σαφὲς τούτων παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; καὶ πάλιν, βουλεύεσθε, ὦ Ἀθηναῖοι,[57] Θηβαίους ἔχοντες ἐν νήσῳ;[58] καὶ τὰ ἑξῆς. εἰ γὰρ ἀφέλοι[59] τις τῆς ἐννοίας ταύτης τὴν μέθοδον καὶ τὸ παράδειγμα εἶναι, προηγουμένως δὲ λέγειν αὐτό τις θείη τὸν Δημοσθένην ἢ τινα ἕτερον, καὶ καθ' ὑποκειμένου, ἀλλὰ μὴ ὡς εἰπόντος τινὸς ἀναμιμνήσκοντα, σφόδρα ἔσται τραχεῖα[60] καὶ διαφερόντως γε κατὰ τὰ σχήματα. δέχεται μέντοι ἡ τραχύτης κατὰ δεύτερον καὶ τρίτον λόγον σχεδὸν ἅπαντα τὰ σχήματα, ὥσπερ, οἶμαι, καὶ ἄλλαι[61] ἰδέαι. ἀλλὰ τά γε οἰκεῖα αὐτῆς ταῦτα.[62]

Κῶλα δὲ τραχέα τὰ βραχύτερα[63] καὶ ἃ μηδὲ κῶ-

---

50 Vind. ἔγναψεν. — v. 2. Port. περικόπτειν. 51 Mon. εἰ μὴ καὶ τοσοῦτον. 52 Sequitur tit. in Mon. περὶ σχημάτων. in Vind. περὶ τραχέων σχημ. 53 Dem. Ep. III. p. 1485. 54 δὲ Mon. om. 55 Mon. τοῦτο αὐτό. tum Par. φυλάξασθε. — c. Aristocrat. p. 656. 56 de fals. leg. p. 425. 57 Port. βουλεύεσθε, ἔφη, Θηβ. — de Chers. p. 108. 58 Mon. ἐννήσων. 59 Vind. ἀφέλοιτό τις. 60 Vind. τραχέα. 61 Port. αἱ ἄλλαι. 62 Sequitur in Mon. tit. περὶ κώλων. in Vind. περὶ κώλων τραχέων. 63 Mon. βαρύτερα. Vind. κῶλα δὲ βραχέα τὰ βραχύτ. tum Par. ad marg.

λα, κόμματα δὲ καλεῖν ἄμεινον. οἷον, οὐκ ἐμβησόμεθα; οὐκ ἔξιμεν; [64] οὐκ ἐπὶ τὴν ἐκείνου πλευσούμεθα; [65] καὶ πάλιν, πότε οὖν, ὦ ἄνδρες [66] Ἀθηναῖοι, πότε ἃ χρὴ πράξομεν, [67] ἐπειδὰν τί γένηται; ἐπειδὰν νὴ Δία [68] ἀνάγκη τις ᾖ; [69] νυνὶ δὲ τί χρὴ τὰ γινόμενα ἡγεῖσθαι; [70]

Συνθήκη δὲ τραχεῖα ἡ συγκρούσεις τε φωνηέντων [71] ἔχουσα, καὶ ἐξ [72] ἀνοικείων ἑαυτοῖς [73] καὶ ἀνακολούθων ποδῶν συγκειμένη, ὡς μηδαμῇ προσβάλλειν [74] τινὰ ἦχον μέτρου, μηδ' ἔχειν τινὰ ἡδονὴν κατ' αὐτὴν τὴν συνθήκην, μηδ' ὅλως εὐρυθμίας ἔμφασιν, ἀλλ' εἶναι μᾶλλον οἷον ἄῤῥυθμόν [75] τινα καὶ δύσηχον, τραχύνουσαν τὴν ἀκοήν. ποιεῖ [76] δὲ μάλιστα τοῦτο ἡ ἀνάπαυσις ἡ ποιά, [77] ὥσπερ κἀν ταῖς ἄλλαις ἰδέαις ἔφαμεν, ὅτι ἡ ἀνάπαυσις ἡ ποιὰ μετὰ τῆς συνθήκης τῆς ποιᾶς τὸν ῥυθμὸν ἀπεργάζεται. [78]

Ἡ οὖν ἀνάπαυσις ἡ ἐν τῇ τραχύτητι κατὰ τοὺς πόδας,

---

γρ. ἃ μηδὲ κῶλα καλεῖν ἄμεινον. 64 Ald. ἔξειμεν. Vind. ἔμιξεν. Port. Mon. ἔξιμεν. 65 Ald. πλευσκούμεθα. Port. Mon. πλευσούμεθα. Vind. πλευσοίμεθα. hunc locum apud Demosthenem non invenio. 66 ἄνδρες Ald. Vind. om., est in Port. Mon. — Phil. I. p. 43. 67 Port. marg. Vict. πράξετε. 68 Ald. Mon. νὴ Δι' Port. Vind. νὴ Δία. 69 Ald. Codd. ἦν. Port. ξῇ. tum Mon. Vind. νῦν δέ. 70 Vind. ἡγεῖσθε. Sequitur in Mon. tit. περὶ συνθήκης. in Vind. περὶ συνθήκης τραχείας. 71 Vind. τῶν φωνηέντων [Ald. φονηέντων]. 72 ἐξ Ald. om., habet Port. marg. Vict. Mon. Vind. 73 Ald. Port. Vind. ἑαυτῆς. Mon. marg. Vict. ἑαυτοῖς. 74 Port. προβάλλειν. 75 Vind. Mon. ἄρυθμον. 76 Ald. ποιεῖν. Port. Mon. Vind. ποιεῖ. tum Mon. δὲ τοῦτο μάλιστα. 77 Par. ἐν ἄλλοις οὐκ ἔστιν ἡ ποιά. 78 Ald. ἀπεργάζεσθαι. In Mon. sequitur tit. περὶ ἀναπαύσεως.

ὥσπερ καὶ ἡ συνθήκη, ἀνακόλουθος ἔστω, νῦν μὲν ἐπὶ τοῦδε, νῦν δὲ [79] ἐπὶ τοῦδε τοῦ ποδὸς ἀναπαυομένου τοῦ κώλου. καὶ γίνεται οὕτω τραχὺς καὶ ὁ ῥυθμὸς, καὶ δύσηχός τις ὁ λόγος, [80] καὶ οἷον μηδὲ ῥυθμός τις ὤν. ταῦτα δὲ ποιεῖ καὶ τὰν ἐν σφοδρότητι ῥυθμόν· ἀλλ' ἤδη γε περὶ [81] πάσης σφοδρότητος λεκτέον, ἵνα καὶ ὅπη [82] διαφέρει τῆς τραχύτητος ἐπιγνῶμεν. ἀντίκειται δὲ ταύτῃ πάντως μὲν καὶ ἡ γλυκύτης, καθάπερ καὶ τῇ τραχύτητι· ἰδίως δὲ καὶ τῇ [83] σφοδρότητι ἐναντίον ἡ ἐπιείκεια, περὶ ἧς καὶ αὐτῆς ἐν τῷ περὶ ἠθῶν λελέξεται.

## Cap. VIII.

### ΠΕΡΙ ΣΦΟΔΡΟΤΗΤΟΣ.

Ἡ δὲ σφοδρότης ἐννοίας μὲν [1] ἔχει καὶ αὐτὴ τὰς ἐπιτιμητικὰς, καὶ ἐλεγκτικὰς, καθάπερ ἡ τραχύτης· ἀλλ' ἡ μὲν τραχύτης κατὰ μειζόνων προσώπων, καὶ αὐτῶν δὲ [2] τῶν δικαστῶν ἢ ἐκκλησιαστῶν γίνεται, ὡς ἐδείξαμεν. ἡ δὲ σφοδρότης κατὰ ἐλαττόνων [3] προσώπων, οἷον κατὰ τῶν ἀντιδίκων, ἢ καθ' ὧν ἂν [4] καὶ οἱ ἀκούοντες δέξαιντο ἡδέως. ἤτοι [5] καὶ μειζόνων μὲν προσώπων, ἐχθρικῶν δὲ καὶ πολεμίων, οἷον, εἰ κατὰ Φιλίππου [6] λέγοι ὁ Δημοσθένης, ὅτι βάρβαρος, ὄλεθρος Μακε-

79 Port. δ' ἐπί. 80 Vind. τις ὅλος. 81 Vind. καὶ περὶ πάσης. Par. γρ. αὐτῆς. 82 Mon. ὅπη γε. Vind. διαφέρῃ. 83 καὶ τῇ Mon. om. καὶ Vind. om.

1 μὲν Mon. om. 2 τε Mon. om. tum Tzetz. ἢ τῶν ἐκκλ. 3 Vind. ἐλασσόνων. 4 ἂν Ald. om., est in Port. Mon. Vind. Tzetz. 5 ἤτοι καὶ μειζόνων — — πολεμίων ex Tzetz. recepi, abest ab edd. et codd. 6 Mon. Vind. οἷον κατὰ Φίλ. εἰ λέγοι. Tzetz. οἷον κατὰ Φιλ. λέγει.

δών,[7] καὶ τῶν τοιούτων. καὶ ταύτη γε πρῶτόν διαφέρει τραχύτητος ἡ σφοδρότης κατ' ἔννοιαν. διὸ καὶ φανερωτέρας [8] ἔχει τὰς κατηγορίας αὐτή, [9] σχεδὸν λοιδορίας οὔσας, ὥσπερ ἐν τῷ λεγομένῳ κοινῷ τόπῳ. ἐπιδέχεται γὰρ τὰ πρόσωπα ταῦτα τὸ [10] τοιοῦτον εἶδος, ἐκεῖνα δὲ οὐκέτι, λέγω τὰ τῆς τραχύτητος. παράδειγμα [11] σφοδρότητος σχεδὸν μὲν ἅπας ὁ κατὰ Ἀριστογείτονος τοῦ Δημοσθένους λόγος, ἐπιφανέστερον δ' αὐτοῦ [12] τοῦτο, οὗτος οὖν αὐτὸν ἐξαιτήσεται ὁ φαρμακὸς, ὁ λοιμὸς, ὃν οἰωνίσαιτ [13] ἄν τις μᾶλλον ἰδὼν, ἢ προσειπεῖν βούλοιτο; πολλὰ δ' ἄν τις καὶ ἀπὸ τῶν ἄλλων αὐτοῦ λόγων λάβοι τοιαῦτα. οἷον, ἔπειτα ὦ κατάρατε [14] καὶ γραμματοκύφων. καὶ πάλιν, [15] ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεύς· καὶ πάλιν, [16] τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις; καὶ, σοὶ μὲν γὰρ [17] ἦν ὁ πατὴρ κλέπτης, εἴπερ ἦν ὅμοιός σοι. καὶ ὅλως, ὅπερ ἔφην, μυρία τούτου καὶ ἐν δικανικοῖς καὶ ἐν συμβουλευτικοῖς ἐστι παραδείγματα. ἀλλ' ἔννοιαι μὲν αὗται σφοδρότητος. εἰ δέ τις αὐτὰς καὶ τραχείας ὀνομάζειν βούλοιτο, ἢ πάλιν τὰς τραχείας σφοδράς, οὐδέν ἐμοί γε διοίσει· πλὴν, ὅτι [18] γε διαφέρουσιν ἀλλήλων, καὶ ὅτι πλέον ἔχει τι ἡ [19] σφοδρότης τῆς τραχύτητος. καὶ ὡς

οὐκ

---

7 Phil. III. p. 119. 8 Par. γρ. σφοδροτέρας. 9 Tzetz. αὕτη. sqq. λοιδορίας οὔσας — κοινῷ τόπῳ om. 10 τὸ Mon. om. 11 Vind. παραδείγματα. 12 Mon. δ' αὖ. Vind. δὲ αὖ. 13 Vind. οἰωνίσετ' ἄν. tum Vind. Mon. τις ἰδὼν μᾶλλον. c. Aristog. I. p. 794. 14 pro cor. p. 297. 15 ibid. p. 269. 16 ib. p. 268. 17 γὰρ Vind. om., tum Vind. Mon. κλέπτης ὁ πατήρ. — Phil. IV. p. 151. 18 Vind. ὅγε. 19 ἡ Ald. om., est in Port. Mon. Vind.

οὐκ ἂν δύναιο σφοδρότητι χρῆσθαι ἐπὶ τοῦ μείζονος ἢ κατὰ σὲ προσώπου, πλὴν εἰ οἱ ἀκούοντες ἡδέως δέχοιντο, δῆλον ἐκ τούτων, καὶ ὅτῳ μικρὸν αἰσθήσεως τῆς περὶ τοὺς [20] λόγους μέτεστι.

Μέθοδος δὲ σφοδρότητος σχεδὸν ἡ αὐτὴ, ἥπερ καὶ τραχύτητος. τὸ γὰρ ἀπαρακαλύπτως καὶ φανερῶς, ἔτι τε ψιλῶς, ἀλλὰ μὴ συμπλέκοντά τισι [21] τῶν ἀνειμένων ἐννοιῶν λέγειν τὰς τοιαύτας ἐννοίας, [22] μηδ' ἄλλως πως, σφοδροῦ λόγου. παραδείγματα δὲ αὐτοῦ τὰ προειρημένα πάντα. [23]

Καὶ μὴν καὶ λέξις σφοδρά, ἥπερ ἦν καὶ τραχεῖα· ἐνταῦθα δὲ καὶ ποιεῖν ὀνόματα ἴσως ἐγχωρεῖ τραχέα, ὥσπερ ὁ ῥήτωρ ἐποίησε [24] τὸ ἰαμβειοφάγος, καὶ τὸ γραμματοκύφων, καὶ εἴ τι τοιοῦτον· ἐν τραχύτητι δὲ οὐχ εὗρον ὄνομα οὕτω πεποιημένον. καὶ ταύτῃ ἂν οὖν [25] ἴσως διαφέροι [26] ἡ σφοδρότης τῆς τραχύτητος. [27]

Σχῆμα δὲ σφοδρὸν τὸ κατὰ ἀποστροφήν. οἷον, παρά σοι κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν. [28] καὶ ἡ ἐρώτησις δὲ ἡ τοῦ ὑποκειμένου προσώπου ἀποστροφή ἐστι, καὶ ἔχει πρὸς τῇ σφοδρότητι καὶ ἐλεγκτικόν τι· διὸ καὶ τὰ τοιαῦτα σχήματα ἐπὶ τῶν οὐκ ἐπι-

---

20 τοὺς Ald. Mon. om., est in Port. Vind. Post μέτεστι Mon. habet titulum: περὶ μεθόδου. Vind. περὶ μεθόδου σφοδρότητος. 21 Vind. τι. 22 Par. ad marg. ἐν ἄλλοις τὸ ἐννοίας οὐ πρόσκειται. 23 In Mon. sequitur titulus: περὶ λέξεως. in Vind. περὶ λέξ. σφοδρᾶς. 24 Vind. ἐποίησεν. tum Ald. Par. Mon. ἰαμβιοφάγος. Par. ad marg. γρ. δὲ καὶ ἰαμβοφάγος. ita Vind. — Port. ἰαμβειοφάγος, ut Dem. pro cor. p. 274. 25 οὖν Vind. om. 26 Ald. Vind. διαφέρει. Port. Mon. διαφέροι. sq. τῆς Mon. om. 27 In Mon. sequitur tit. περὶ σχήματος. in Vind. περὶ σχήματος σφοδροῦ. 28 Ald. Par. αὐτόν. Par. ad marg. ἄλλοι, καὶ σὺ προὐξένεις αὐτῶν, δηλονότι ὁ πρόξενος ἦς. ita Port. marg. Vict. Mon. Vind. — pro cor. p. 252.

δεχομένων [29] ἀντίῤῥησιν παραλαμβάνεται. οἷον, ἀλλὰ τί ἐχρῆν, Αἰσχίνη, ποιεῖν τὴν πόλιν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν αὐτῷ κατασκευαζόμενον Φίλιππον; πότερον ἐχρῆν αὐτὴν, [30] Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει, καὶ τὰ ἑξῆς. σφοδρὸν σχῆμα καὶ τὸ δεικτικόν· οἷον, ὁ βάσκανος οὗτος ἰαμβειοφάγος.[31] καὶ πάλιν, ὁ γὰρ τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας, καὶ τάδε, φησὶ, καὶ τάδε ποιήσας, εἶτ' ἐπήγαγε τὴν δεῖξιν, οὗτός ἐστιν ὁ τὰ Θηβαίων νῦν ὀδυρόμενος πάθη. φανερὸν δὲ ἐκ τούτων, ὅτι καὶ κατὰ τὰ σχήματα ἡ σφοδρότης διαφέρει τῆς τραχύτητος, οὐ [32] μόνον κατὰ τὰς ἐννοίας καὶ κατὰ [33] τὰς λέξεις, ὡς προείρηται. καὶ μὴν ἴσως καὶ κατὰ τὰ κῶλα διαφέρει. σφοδρὰ μὲν γὰρ καὶ τὰ [34] μηδὲ κῶλα, κόμματα δὲ, ἃ καὶ ἡ τραχύτης ἔχει. πλέον γε μὴν γίνεται τὸ σφοδρὸν ἐν ἐκείνοις, ἃ μηδὲ κόμματά ἐστιν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον [35] καὶ κατ' ὄνομα ἀναπαύει τὸν λόγον οἷον, ὁ φαρμακὸς,[36] ὁ λοιμὸς; καὶ πάλιν,[37] ἀλλὰ

---

29 Vind. οὐ δεχομένων ἀ. προσλαμβάνεται. 30 Mon. αὐτὴν ἐχρῆν. Vind. αὐτὴν, Αἰσχίνη, ἐχρῆν. — Hermogenes e memoria recitans consarcinavit duos locos diversos, quorum alter τί ἐχρῆν, Αἰσχίνη, ποιεῖν pro cor. p. 246. fine, alter: πότερον ἐχρῆν αὐτὴν ibid. initio legitur. — Vict. marg. „accommodatum quoque exemplum in Dem. περὶ στεφ. [p. 382.] οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἁλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων. 31 pro cor. p. 274. Locus sq. ibid. p. 239. 32 Mon. Vind. καὶ οὐ. 33 κατὰ Mon. Vind. om. Post προείρηται Mon. habet titulum: περὶ κώλων. 34 Vind. τὰ οἷον μηδέ. Par. ad marg. γρ. οἷον. 35 Vind. ὡς ἐπὶ πλεῖστον κατὰ ὀνόματα. 36 c. Aristog. I. p. 794. 37 pro cor. p. 269.

μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεύς, καὶ ὅσα τοιαῦτα.[38]

Περὶ δὲ συνθήκης σφοδρᾶς ἢ ἀναπαύσεως ἢ ῥυθμοῦ οὐδὲν δεῖ πάλιν διεξιέναι. δῆλα γὰρ τὰ τοιαῦτα πάντως μέν που καὶ ἀπὸ τῶν προειρημένων, οὐ μὴν ἀλλὰ κἂν τῷ περὶ τραχύτητος ἱκανῶς εἴρηται. τὰ αὐτὰ γὰρ περὶ τούτων κἀνταῦθα κἀκεῖ.

Ἕπεται τῷ περὶ τραχύτητος καὶ σφοδρότητος ὁ περὶ λαμπρότητος λόγος, ἢ πάλιν ἀντίκειται τρόπον μέν τινα καὶ πᾶς ὁ κατὰ γοργότητα προϊὼν λόγος, ἰδίως δὲ εἰπεῖν λαμπρότητος[39] ἐναντίον ἐστὶ τὸ κομματικὸν καὶ διαλεκτικὸν καὶ ὅλως τὸ ἀγωνιστικὸν εἶδος τῶν λόγων. ἀλλὰ[40] περί γε τῆς λαμπρότητος ἤδη λεκτέον.

---

## Cap. IX.

### ΠΕΡΙ ΛΑΜΠΡΟΤΗΤΟΣ.

Μετὰ τὸν περὶ σεμνότητός τε καὶ τραχύτητος λόγον, ἔτι τε σφοδρότητος, ἀναγκαῖον εἰπεῖν περὶ λαμπρότητος. τῶν γὰρ ποιουσῶν τὸ μέγεθός τε καὶ τὸ ἀξίωμα τοῦ λόγου[1] ἰδεῶν ἐν τοῖς μάλιστά ἐστιν ἡ λαμπρότης. τά τε γὰρ ἄλλα ἀναγκαία ἡ ἰδέα τῷ ἀξιωματικῷ λόγῳ, καὶ ὅτι δεῖ τῷ σεμνῷ τε καὶ τραχεῖ καὶ σφοδρῷ προσεῖναί τι πάντως καὶ φαιδρότητος, ἵνα μὴ πάντως[2] αὐστηρὸς ᾖ· φαιδρότητος[3] δὲ οὐ τῆς ἐν ὡραϊσμῷ, ἣ δὴ[4] γλυκύ-

38 Sequitur titulus in Mon. περὶ συνθήκης καὶ ἀναπαύσεως καὶ ῥυθμοῦ. in Vind. περὶ συνθήκης σφοδρᾶς καὶ τῶν ἄλλων.
39 Vind. λαμπρότητι. 40 Mon. Vind. ἀλλά γε περὶ τῆς.

1 Mon. Vind. τῷ λόγῳ. 2 Vind. πάντη. 3 Par. Planud. p. 499. ἡ φαιδρότης δέ. Schol. φαιδρότητος πάλιν ὤφειλεν εἰπεῖν, ἀλλὰ διὰ τὴν παλιλλογίαν οὐκ ἔφη. Man. rec. correxit φαιδρότητος. 4 δὴ Mon. om.

τητός τε καὶ ἀφελείας ἐστὶν, οὐδὲ τῆς κατ' ἐπιμέλειαν συνθήκης κάλλος ἐχούσης τι. καίπερ γὰρ [5] ὂν κομμωτικὸν τοῦτο καὶ πλεονάζον [6] παρὰ τῷ ῥήτορι, ὅμως λε-
96 πτόν ἐστι καὶ οὐκ ἔχει διαρμα οὐδὲ μέγεθος. οὔκουν ταύτης δεῖ τῆς φαιδρότητος τῷ μεγέθει, ὡς καθ' αὑτὸ, ἀλλὰ τῆς ἀξιωματικῆς. ταύτην δὲ ποιεῖ ἡ λαμπρότης, περὶ ἧς ῥητέον. περὶ γὰρ τοῦ ἐναντίου εἴδους τῇ λαμπρότητι κἀν τῷ περὶ σφοδρότητος εἰρήκαμεν, ὅτι ἐστὶ τὸ κομματικὸν [7] καὶ διαλεκτικὸν καὶ ὄντως ἀγωνιστικὸν εἶδος τοῦ λόγου, καὶ ὅλως τὸ γοργόν. [8]

Γίνεται τοίνυν λόγος λαμπρὸς κατὰ ἔννοιαν μὲν, ὅταν πεποίθησιν ἔχῃ τινὰ ὁ λέγων ἐφ' οἷς ἂν λέγῃ, διὰ [9] τὸ ἔνδοξα εἶναι, ἢ διὰ τὸ καλῶς πεπρᾶχθαι αὐτῷ, ἢ διὰ τὸ χαίρειν τοῖς λεγομένοις τοὺς ἀκούοντας, ἢ καὶ διὰ πάντα ταῦτα. ὅλως τε ἐπὶ τοῖς διαπρεπέσι τῶν ἔργων, καὶ ἐφ' οἷς ἐστι λαμπρύνεσθαι ὡς ἀληθῶς, ὅπερ φησὶ Ἡρόδοτος ἐλλάμψασθαι, [10] ἐπὶ τούτοις ἐστὶ καὶ [11] ἡ λαμπρότης. οἷον, [12] οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ, ἀλλ' ἐὰν βούλῃ τὸν ἐμὸν τειχισμὸν, καὶ τὰ ἑξῆς. καὶ πάλιν, αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν [13] τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων, τοῦτο τὸ ψήφισμα τὸν τότ' [14] ἐπισχάντα τῇ πόλει κιν-

---

5 γὰρ Mon. om. 6 Vind. πλεονάζων. 7 Ald. κομμωτικόν. Port. Vind. Mon. κομματικόν. 8 Sequitur in Mon. tit. περὶ ἐννοιῶν. 9 Port. ἢ διά. tum Vind. ἔνδοξον. 10 Herod. I. 32. 11 Ald. Mon. ἐστὶ μέν. Vind. ἐστὶ καί. Port. ἐστὶν ἡ λαμπ. 12 pro cor. p. 325. 13 καὶ ἀπιστίαν Mon. om. — pro cor. p. 291. 14 Ald. τὸν τότε ἐπιστ. Mon. Vind. τὸν τότ' ἐπ. Port.

δυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος. καὶ πάλιν, ταῦτα [15] ἐποίουν οἱ ὑμέτεροι πρόγονοι. ταῦθ' ὑμῶν [16] οἱ πρεσβύτεροι, οἱ Λακεδαιμονίους, [17] καὶ τὰ ἑξῆς. καὶ πάλιν, ὑμεῖς τοίνυν, ὦ ἄνδρες [18] Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναργαν, τὴν Βοιωτίαν ἅπασαν, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, ἐξήλθετε εἰς Ἀλίαρτον. πολλὰ καὶ [19] τοῦ τοιούτου λόγου παραδείγματα ἐν τῷ περὶ [20] τοῦ στεφάνου, διὰ τὸ φύσει ἀξιωματικὸν τοῦ λόγου [21] καὶ λαμπρόν· ἀλλ' ἔννοιαι μὲν αὗται καὶ αἱ τοιαῦται λαμπραί. [22]

Μεθοδεύσεις δὲ λαμπρῶς, ὅταν προηγουμένως εἰσάγῃς τὰς ἐννοίας, ὅταν ὡς θαῤῥῶν μετὰ ἀξιώματος, ἀλλὰ μὴ ἐνδοιάζων· ὅταν ὡς [23] ἀφηγούμενος καὶ μὴ διακόπτων τὰς ἀφηγήσεις, εἴ σοι τούτου μέλει, τῆς διαρκοῦς λέγω λαμπρότητος. ἐπεὶ τὸ, αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα [24] κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος· τοῦτο λαμπρὸν ἅπαν ὂν, [25] εἶτα διακοπὲν καὶ μεταξὺ τῶν δύο κώλων προσλαβὸν, [26]

---

τὸν τότε τῇ πόλει περιστάντα. 15 Vind. ταῦτ' ἐποίουν. tum Port. Vind. ἡμέτεροι. — pro cor. p. 258. 16 Port. ἡμῶν. 17 Mon. Λακεδαιμονίοις. 18 ἄνδρες Vind. om. — pro cor. p. 258. 19 Ald. Mon. δὲ καί. Port. Vind. δέ om. 20 Mon. οὐ οὐ ὑπέρ. 21 Vind. τὸν λόγον. sq. καὶ Ald. Mon. om., est in Port. Vind. 22 Sequitur in Mon. tit. περὶ μεθόδου. 23 ὡς Vind. Mon. om. 24 Mon. περιστάντα τῇ πόλει. 25 Mon. ὂν ἅπαν. [Ald. λαλπρόν]. 26 Mon. προσλαβών. Vind. προσλαβὸν τὸ, τά.

τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων, ἐνεποδίσθη κατὰ τὴν μέθοδον πρὸς τὸ ἄγαν εἶναι λαμπρὸν, οὐ γὰρ ὅμοιον δήπουθεν ἦν [27] ἀπολελυμένως εἰπεῖν, ὥσπερ καὶ τὸ παράδειγμα ἐθήκαμεν, ἢ διακόψαντα ἐκείνως· οἷον, αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ ἀπιστίαν καὶ μῖσος τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων, τοῦτο τὸ ψήφισμα, καὶ τὰ ἑξῆς. τοιοῦτόν ἐστι καὶ τὸ, πλεονέκτημα, ὦ ἄνδρες [28] Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ. παρὰ γὰρ [29] τοῖς Ἕλλησιν, οὐ τισὶν, ἀλλὰ πᾶσι. διέκοψε γὰρ καὶ οὐκ εἴασε φανῆναι τοῦ λόγου τὸ ἄγαν λαμπρὸν τῇ διακοπῇ καὶ ὑποστροφῇ.

Ἔτι [30] μεθόδου λαμπρᾶς καὶ τὸ τὰ ἔνδοξα ἐνδοξοτέρως λέγειν, ὥσπερ ἐκεῖνο εἴρηται [31] τὸ, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τὰ ἑξῆς. τοῦτο γὰρ παράδειγμα μὲν ἔνδοξον οἷον, ὀρθῶς οὖν συνεβούλευσα [32] ὑπὲρ ἐλευθερίας τῶν Ἑλλήνων κινδυνεύειν, οὕτω γὰρ ἐποίουν καὶ οἱ ἐν Μαραθῶνι προκινδυνεύσαντες· ὁ δὲ εἰς ἄρκον αὐτὸ ἀναγαγὼν ἐνδοξότερον αὐτὸ [33] ἐποίησε καὶ λαμπρόν· οὐχ [34]

---

27 Par. ad marg. γρ. ἦ ἀπολελυμένως. 28 ἄνδρες Ald. Vind. om., est in Port. Mon. — pro cor. p. 245. 29 γὰρ et punctum post Φιλίππῳ Ald. Port. Mon. om., habet Vind. 30 Vind. ἔστι δὲ μεθ. 31 Ald. Port. ἐκεῖνος τό. Mon. Vind. ἐκεῖνο εἴρηται τό. — pro cor. p. 297. Vix alius oratoris locus magis, quam hic celebratus est. vide Taylor. Praef. ad Or. pro cor. 32 Edd. Codd. ἐβούλευσα. Reisk. ad Dem. p. 297. v. 11. corr. συνεβούλευσα. — Sq. καὶ Vind. om. Par. γρ. οἱ ἐν Μαρ. τῶν Ἑλλήνων προκινδυνεύσαντες. 33 αὐτὸ Mon. om. 34 Ald. οὐκ.

ἥμαρτον ταῦτα συμβουλεύσας, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας [35] καὶ τὰ ἑξῆς.

Λέξεις δὲ λαμπραὶ, αἵπερ ἐλέγοντο εἶναι καὶ σεμναί. Σχήματα δὲ λαμπρὰ, ὅσα καὶ εὐειδῆ· οἷον αἱ ἀναιρέσεις· ὡς τὸ, οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' [36] ἐπὶ τούτοις, καὶ τὰ ἑξῆς. καὶ πάλιν αἱ ἀποστάσεις. οἷον [37] αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ [38] κατάστασις πρώτη, καὶ τὰ ἑξῆς. ὅλως δὲ τὰ ἀσυνδέτως εἰσαγόμενα, εἰ μακρὰ εἴη τὰ κῶλα, ποιεῖ λαμπρὸν 97
τὸν λόγον, κἂν ἀκμαῖος ᾖ ταῖς ἐννοίαις. [39] καὶ γὰρ ἡ 10
ἀκμὴ, περὶ ἧς αὐτίκα λέξομεν, τοῖς τῆς λαμπρότητος σχήμασί τε καὶ κώλοις γίνεται μεθ' ὅσων ἄλλων πέφυκε γίνεσθαι. εἰδέναι μέντοι χρὴ, ὅτι ἐὰν μετὰ καταστάσεως εἰς ἀρχὴν ἀναγάγῃς [40] τὸν λόγον ὀρθώσας, κἂν 15
ἀποστήσῃς, ἧττον γίνεται λαμπρὸς, εἰ μὴ πλαγιάσεις εὐθὺς, ἤ τι ἕτερον [41] σχῆμα περιβλητικὸν ἐπαγαγὼν κατ' ἀνάγκην [42] μακρὰν ἀποτείνῃς ῥῆσιν, οὐκ ἐχούσης ἀνάπαυσιν τῆς ἐννοίας, καὶ κατὰ τοῦτο γινομένου [43] πως τοῦ λόγου λαμπροῦ· οἷον, ὑμεῖς τοίνυν, Λακεδαι- 20
μονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ ἑξῆς. εἰ γὰρ μὴ ἐπλαγίασεν εὐθὺς ἐν τῷ, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ κατ' ἀνάγκην περιέβαλεν ἀπὸ τοῦ πλαγιασμοῦ, ἐπέμεινε δὲ τῇ ὀρθώσει, καθαρὸς ἂν μᾶλλον ἐγένετο ὁ λόγος, καὶ οὐ 25

---

35 προκινδυνεύσαντας Vind. om. Post ἑξῆς in Mon. sequitur tit. περὶ λέξεως, et post σεμναὶ tit. περὶ σχημάτων. 36 Ald. Vind. οὐδέ. Port. Mon. οὐδ'. 37 οἷον Vind. om. 38 καὶ κατάστ. πρώτη Mon. Vind. om. 39 ταῖς ἐννοίαις Vind. om. Port. transponit: ταῖς ἐννοίαις, κἂν ἀκμαῖος ᾖ. 40 Vind. ἀνάγῃς. 41 Vind. ὕστερον ἕτερον. 42 Mon. ἀνάγκην τινά. 43 Vind. γενομένου.

λαμπρός. τεκμήριον δὲ τούτου, τὸ, λέγονται χρήματα [44] οἱ τριάκοντα δανείσασθαι παρὰ Λακεδαιμονίων ἐπὶ τοὺς ἐν Πειραιεῖ. [45] καίπερ γὰρ ἀσυνδέτως εἰσαχθὲν ὅμως διὰ τὸ ἐπιμεῖναι τῇ ὀρθότητι καθαρὸν μὲν καὶ ἁπλοῦν ἔμεινε, λαμπρὸν δὲ οὐδαμῶς. Ἔτι καὶ ταύτῃ διαφέρει [46] τὰ τοιαῦτα τῶν λαμπρῶν, ὅτι αἱ μὲν λαμπρότητες οὐ μᾶλλον πραγμάτων εἰσὶν ἀφηγήσεις, ἢ ποιότητές τε πραγμάτων καὶ αὐξήσεις. ὁ δὲ καθαρὸς λόγος σχεδὸν ἐναντίος ὢν τῷ λαμπρῷ ὅμως ταῖς μὲν ἀποστάσεσι καθάπερ ἐκεῖνος εἰσάγεται, μετὰ μέν τοι ὀρθότητος διαρκοῦς, [47] καὶ πραγμάτων τινῶν ἀφήγησιν ἔχει, ἀλλ᾽ οὐκ αὔξησίν τινα τούτων, οὐδὲ ποιότητα, ὅπερ ἐστὶ τῆς λαμπράτητος. τοιοῦτόν ἐστι καὶ τὸ, [48] Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὶς διδάσκων. καὶ τὸ, [49] λέγεταί ποτε ἐπὶ τῆς παλαιᾶς ἐκείνης εὐδαιμονίας Ἀλκιβιάδης. [50] καὶ τὸ, [51] λέγονται χρήματα οἱ τριάκοντα δανείσασθαι, καὶ ὅσα τοιαῦτα. ἀλλὰ σχήματα μὲν ταῦτα λαμπρότητος. [52]

Κῶλα δὲ τὰ μέλλοντα ποιήσειν τὸν λόγον λαμπρὸν μακρότερα εἶναι δεῖ, καὶ τούτου παραδείγματα πάντα ὅσα κἀν τῷ περὶ ἐννοιῶν λαμπρότητος εἰρήκαμεν. Συνθῆκαι [53] δὲ λαμπραὶ, μάλιστα μὲν αἱ σεμναὶ, περὶ ὧν εἴρηται· χρῆσθαι μὴν ἔστιν ὅτε οἷόν τε καὶ τροχαϊκαῖς συνθήκαις. [54] καὶ οὐδέν γε βλάπτεται ὁ λαμπρὸς λό-

---

44 Mon. χρήματα om. — in Lept. p. 460. 45 Par. γρ. ἐν Πειραιεῖ καὶ τὰ ἑξῆς. ita Vind. 46 Ald. διαφέροι. 47 Vind. διαρκεῖ. 48 In Mid. p. 533. 49 ibid. p. 561. 50 Mon. Ἀλκ. γενέσθαι. 51 In Lept. p. 460. 52 Sequitnr tit. in Mon. περὶ κώλων. in Vind. περὶ λαμπρῶν κώλων. 53 συνθῆκαι δὲ — — εἴρηται Mon. om. Titulum ponit: περὶ ἀναπαύσεως. 54 Mon. Vind. ἀναπαύσεσι.

γος τῇ συνθήκῃ ταύτῃ, μόνον εἰ ἡ ἀνάπαυσις γένοιτο σεμνή.[55] τὸν γὰρ ῥυθμὸν αἱ τοιαῦται ἀναπαύσεις, μακρῶν τῶν λόγων[56] γινομένων, ποιοῦσι σεμνόν τε καὶ λαμπρὸν, κἂν ἐκ τροχαϊκῶν συγκείμενος ᾖ. ἀλλὰ περὶ μὲν λαμπρότητος τοσαῦτα. Περὶ δὲ ἀκμῆς λέγειν ἂν εἴη[57] ἑπόμενον, ᾗ πάλιν ἐναντίον ἐστὶν εἶδος[58] δηλαδὴ κατὰ μὲν τὰς ἐννοίας, ὅσαι σφοδρότητί τε καὶ τραχύτητι[59] ἐναντιοῦνται, κατὰ δὲ τὰ λοιπά, ὅσα τῇ λαμπρότητι.

## Cap. X.

### ΠΕΡΙ ΑΚΜΗΣ.

Ὅπως μὲν ἡ σεμνότης καὶ μετ' ἐκείνην ἡ τραχύτης ἥ τε σφοδρότης καὶ ἔτι ἡ[1] λαμπρότης αὐταὶ καθ' ἑαυτὰς γίνονται καὶ τῷ λόγῳ μέγεθος σὺν ἀξιώματι καὶ ὄγκῳ προστιθέασιν, ἱκανῶς ἡμῖν ἐν τοῖς[2] ἔμπροσθεν εἰρημένοις μετὰ τὸν περὶ σαφηνείας δέδεικται λόγον· ἕποιτο δ' ἂν τῷ περὶ τραχύτητός τε καὶ σφοδρότητος καὶ ἔτι τῷ τῆς λαμπρότητος ἀναγκαίως ὁ περὶ ἀκμῆς λόγος, ᾗ κατὰ μὲν τὰς ἐννοίας ἐναντιοῦται πάλιν ὅσα τῇ[3] σφοδρότητι καὶ τῇ τραχύτητι· κατὰ δὲ τὰ λοιπά, ὅσα[4] τῇ λαμπρότητι. λέγειν δὲ περὶ ἀκμῆς ἕπεται μετὰ τὰ προειρημένα ἀναγκαίως τά τε ἄλλα, καὶ ὅτι διὰ τούτων πως γίνεσθαι πέφυκεν ἡ ἀκμή, ὡς ἐνεδειξάμεθα καὶ

55 Sequitur in Mon. tit. περὶ συνθήκης, subjunctis iis, quae not. 53. omissa sunt: post haec tit. περὶ ῥυθμοῦ. 56 Vind. τῶν κώλων γενομένων. 57 Vind. Mon. ἂν εἴη λέγειν. 58 Vind. Mon. εἰδός ἐστι. Mon. δηλαδὴ om. 59 Par. τραχύτητιοῦνται. manu rec. supra lin. ἐναντι.

1 ἡ Ald. Mon. Vind. om., est in Port. 2 Mon. τοῖς λεγομένοις ἔμπροσθεν. 3 Mon. Vind. τῇ τε σφ. 4 Par. ὅσαι. Vind. Mon. ὅσα καὶ λαμπρ.

τοῦτο κατ' ὀλίγον μέν πως καὶ ἐν τῷ περὶ τραχύτητος, δείξομεν δὲ καταφανέστερον ἐνταῦθα ἀναγκαίως ἐν τῷ περὶ αὐτῆς λόγῳ τῆς ἀκμῆς. μᾶλλον δὲ [5] εὐθὺς ἐξ ἀρχῆς φανερὸν ἔσται. Ἔννοιαι μὲν γὰρ ἀκμῆς καὶ ἔτι μέθοδοι αἱ αὐταὶ, αἵπερ ἦσαν τῆς τε τραχύτητος καὶ τῆς [6]
98 σφοδρότητος. Λέξεις δὲ αἵ τε αὐτῶν τούτων τῶν ἰδεῶν καὶ ἔτι αἱ τῆς λαμπρότητος μεμιγμέναι. οἷον, νόσημα γὰρ, ὦ ἄνδρες [7] Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα καὶ χαλεπὸν καὶ πολλῆς τινος εὐτυχίας καὶ τῆς παρ' ἡμῶν [8] ἐπιμελείας δεόμενον. ἡ γὰρ τροπὴ τραχέος οὖσα καὶ σφοδροῦ λόγου, ἡ, νόσημα γὰρ, ἑτέρως πως διῆρται, [9] ὡς ἐν λαμπρότητι. καὶ οὐ μᾶλλον τραχύτητα ἐνταῦθα ἐμφαίνει, ἢ λαμπρότητα. περὶ δὲ τῶν τοιούτων ὀνομάτων ἱκανῶς οἶμαι ἐν τῷ περὶ σεμνότητος ἡμῖν εἰρῆσθαι. [10]

Καὶ μὴν καὶ σχήματα ἀκμαστικὰ, ὅσα καὶ ἐν λαμπρότητι καὶ σφοδρότητι. κατὰ μὲν γὰρ λαμπρότητος σχῆμα ἀκμὴ γέγονεν, ὡς ἐν τῷ, ἐξέστητε, ὦ ἄνδρες [11] Ἀθηναῖοι, τῆς τάξεως, ἐφ' ἧς ὑμᾶς [12] οἱ πρόγονοι κατέλιπον. καὶ πάλιν, [13] πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίπ-

---

5 Vind. δ' εὐθύς. Post ἔσται in Mon. sequitur tit. περὶ ἐννοιῶν καὶ μεθόδων. in Vind. περὶ ἐννοιῶν ἀκμῆς. 6 τῆς Mon. om. Sequitur tit. περὶ λέξεως. 7 Ald. Vind. ἄνδρες om., est in Port. Mon. de fals. leg. p. 424. 8 Vind. ὑμῶν. 9 Ven. 433. ἑτέρως πως διήρηται ἐν λαμπρότητι, ἢ διῆρται. T. VII. p. 1008. ἡ. εἰ μὲν διήρηται ἔχει, ἀντὶ τοῦ οὐχ ὡς ἐν τραχύτητι κομματικὴ ἐστιν ἡ φράσις, ἀλλὰ κατὰ μείζονα κῶλα διήρηται, ἅπερ ἔγνωμεν λαμπρότητος οἰκεῖα. εἰ δὲ διῆρται ἔχοι, ὅτι διαρμα καὶ ὄγκον ὁ λόγος εἶχε διὰ μακροτέρων τῶν κώλων ἐξενεχθείς. 10 Sequitur tit. in Mon. περὶ σχημάτων. 11 ἄνδρες Ald. Vind. om. h. l. et v. 21., est in Port. Mon. — Phil. IV. p. 143. 12 Ald. Mon. ἡμᾶς. Port. Vind. ὑμᾶς. 13 pro. cor. p. 245.

πω. ἐξ ἀποστάσεως γὰρ εἰσῆκται. κἀκεῖνα δὲ τοιαῦτα, μή [14] μοι σωζέσθω, μηδ' ἀπολλύσθω μηδεὶς ὃν ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα βούληται. καὶ τὸ, [15] πολλὰ ἂν ἔχοιεν εἰπεῖν Ὀλύνθιοι [16] νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο. καὶ ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἑξῆς [17] προθύμους εἶναι· ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. ταῦτα δὲ καὶ πλέον ἔχει τι. οὐδὲ γὰρ ἐξ ἀποστάσεως εἰσῆκται, ὥσπερ τὸ, πλεονέκτημα, ὦ ἄνδρες [18] Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ, καὶ τὸ, ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἀλλ' ἀπροσδοκήτως ἐξ ἐπεμβολῆς. διὸ καὶ μειζόνως ἐκλάμπει, καὶ πλέον ἔχει τὸ φαιδρὸν ἡ ἀκμή. κυρίως γὰρ τοῦτ' ἂν ἀπόστασις εἴη. ἐὰν δὲ καταστήσας εἰς ἀρχὴν ἀναγάγῃς [19] τὸν λόγον, ἧττον ἐμφαίνεται τὸ ἀποστατικόν. οἷον, τοσοῦτον ὑπειπών, [20] πλεονέκτημα, ὦ ἄνδρες [21] Ἀθηναῖοι, καὶ τὰ ἑξῆς. προσδοκήσασι γὰρ [22] ἐνταῦθα ἡ ἀπόστασις ὤφθη· ἐκεῖ δὲ οὐ [23] πάνυ τι τὸ ἀποστατικόν. οἷον, νὴ Δία, [24] ἔδει γὰρ τὸ καὶ τὸ γίνεσθαι, καὶ τὸ μὴ γενέσθαι, πολλὰ [25] ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι, καὶ τὰ ἑξῆς. ἀλλ' ὅπερ ἐλέγομεν, κατὰ μὲν λαμπρότητος σχήματα οὕτως ἀκμὴ γίνεται. κατὰ δ' αὖ σφοδρότητα [26] αἱ ἀποστροφαὶ δηλονότι καὶ οἱ ἔλεγχοι ποι-

14 de fals. leg. p. 436. 15 Phil. III. p. 128. 16 Vind. Ὀλ. εἰπεῖν. tum Port. τότε εἰ προΐδοντο. 17 Vind. εὐθύς. — ibid. p. 128. 18 Ald. Mon. Vind. ἄνδρες h. l. et v. sq. om., est in Port. 19 Mon. Vind. ἀνάγῃς. 20 Ald. εἰπειπών. Port. Vind. ὑπειπών. 21 ἄνδρες. Ald. Mon. Vind. om., est in Port. 22 Mon. γὰρ ἡμῖν. 23 οὐ Vind. om. 24 Port. νὴ τὸν Δία, et τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι ex Phil. III. p. 128. 25 Vind. πολλ' ἄν. 26 Mon. σφοδρότητος.

οἶεν [27] ἂν τὴν ἀκμήν. οἷον τὸ, πάτερον ἐχρῆν αὐτὴν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν [28] ἀξίαν τὴν ἑαυτῆς ἐν τῇ Θετταλῶν, καὶ τὰ ἑξῆς. καὶ πάλιν, οὐ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, [29] Αἰσχίνη, δεῖ, οὔ, ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. οὐ δεῖ δὲ θαυμάζειν, εἴ πού τις ἀποστροφὴ, καί τοι λεγόντων ἡμῶν σφοδρότητος εἶναι σχῆμα, [30] ὅμως καὶ ἦθος ἔχει τι, ὥσπερ καὶ [31] τὸ, καί μοι μηδὲν ὀργισθῇς, οὐδὲν γὰρ ἐρῶ σε φλαῦρον. [32] μεθωδεύθη γὰρ οὕτως, [33] ὥστε μὴ δόξαι πικρῶς λέγεσθαι διὰ τὴν ὑπόληψιν τοῦ προσώπου τοῦ Λεπτίνου καὶ μηδέν τε ἧττον ἔχειν [34] τὴν σφοδρότητα. ἐμφαίνεται γὰρ καὶ ἐν τῷ ἤθει. ὅτι δὲ καὶ ἦθος ποιεῖν σφοδρότητα οὐδὲν κωλύει, αἱ εἰρωνεῖαι δηλοῦσι πᾶσαι. οἷον, πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων [35] τὰ πράγματα ἔχει; καὶ πάλιν, τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε, [36] καὶ μυρί' [37] ἄλλα. κἀκεῖνα μέντοι ἠθικῶς ἅμα καὶ σφοδρῶς εἴρηται· τὸ, σὺ δὲ [38] ὅμοιος, Αἰσχίνη; ὁ δὲ ἀδελφὸς ὁ σός; ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστὲ, καὶ τὰ ἑξῆς. ἀλλὰ σχήματα μὲν ἀκμῆς ταῦτα, τὰ δὲ ἄλλα πάντα ἁπλῶς τὰ αὐτὰ ἔχει τῇ λαμπρότητι, οἷον κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμούς. καὶ περὶ μὲν ἀκμῆς τοσαῦτα.

Ἀπορήσειε δ' ἄν τις ἐκ τούτων εἰκότως, ποιόν τί ἐστι τὸ, μέχρι [39] τούτου Λασθένης φίλος ὠνομάζε-

---

27 Ald. ποιεῖεν. Vind. ἄν om. 28 Vind. τὴν ἑαυτῆς ἀξίαν. — pro cor. p. 246. 29 Mon. ἔχοντα om. Vind. Αἰσχίνη om. — de fals. leg. p. 421. 30 Vind. τὸ σχῆμα. 31 καὶ Vind. om. 32 Vind. φαῦλον. — in Lept. p. 488. 33 Mon. οὕτος. 34 Mon. ἔχει. 35 Dem. Ol. III. p. 35. τῶν νῦν. etiam Tiberius p. 19. Boiss. τούτων. 36 Ald. addit: ἡ μήτηρ. Port. Mon. Vind. om. — pro cor. p. 270. 37 Mon. μυρία. 38 Port. δ' ὅμοιος. Vind. δὲ ὅμως. — pro cor. p. 248. 39 pro

το Φιλίππου, καὶ τὰ ἑξῆς· καὶ τὸ, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος [40] σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ τὰ ἑξῆς. καὶ ὅσα τοιαῦτα, πότερον ἀκμαστικά, ἢ λαμπρά, ἢ τὸ συναμφότερόν ἐστιν, ὃ καὶ μᾶλλον. φαίη μὲν [41] οὖν ἄν ὅτι, καθάπερ ἐδιδάξαμεν ἐν τῷ περὶ λαμπρότητος, καὶ ἐνταῦθα πάλιν ἐν τῷ περὶ ἀκμῆς, πάντως τῇ ἀκμῇ λαμπρότητος ἴδια πολλὰ πρόσεστιν, [42] οἷον τὰ κῶλα μακρὰ ὄντα, [43] καὶ οἱ ῥυθμοὶ καὶ τὰ ἑξῆς τούτων. πολλαχοῦ δὲ καὶ τὴν λέξιν ἔφαμεν, καὶ τὸ μέγιστον, τὰ ἀποστατικὰ τῶν σχημάτων· ὥστε [44] εἰ λέγοιμεν ταῦτα μεμίχθαι ἐξ 99 ἀμφοῖν, ἔκ τε λαμπρότητος καὶ ἀκμῆς, τὸ, μέχρι τούτου Λασθένης, καὶ τὰ τοιαῦτα, εἰς ταὐτὸν ἐμπίπτειν, καὶ μηδὲν ἧττον ἀποφαίνεσθαι [45] αὐτὰ ἀκμαστικά, εἴ γε ἡ ἀκμὴ πάντως ἔχει [46] πολλὰ τῶν ἰδίων λαμπρότητος. αἵ τε γὰρ ἔννοιαι τούτων, οἷον τὸ, μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, καὶ πάλιν τὸ, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων [47] ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ ὅσα τοιαῦτα, σφοδρά [48] πως εἶναι δοκεῖ, κατὰ προσώπων λεγόμενα, ὅπερ ἴδιον ἀκμῆς, τά τε σχήματα αὐτὰ καὶ τὰ κῶλα ὄντα λαμπρὰ μετ' ἐκείνων [49] τῶν

---

cor. p. 241. 40 Ald. εἰκεῖνος. — pro cor. p. 248. 41 Par. γρ. φαίη μὲν οὖν ἄν τις. ita Mon. Vind. 42 Ald. πρόσεστι. 43 μακρὰ ὄντα Ald. om., est in Port. Mon. Vind. Post ῥυθμοὶ in Ald. Mon. Vind. additur: λαμπρὰ ὄντα, Port. om. 44 Mon. ὥστ' εἰ. 45 Ald. ἐμφαίνεσθαι. Port. Mon. Vind. ἀποφ. 46 Ald. πάντως ἔχει ἡ ἀκμή. Port. Vind. ἡ ἀκμὴ π. ἔχει. Mon. ἡ ἀ. ἔχει π. 47 καὶ κατασκευάζων ἐπ. ἐπὶ τὴν Ἀττ. Vind. om. 48 Ald. Mon. Vind. σφόδρα. Port. σφοδρά. tum Vind. Mon. δοκοῦσι. 49 Par. ἐν ἄλλοις οὕτως· μετ' ἐκείνων τῶν ἐννοιῶν τὴν ἀκμὴν ποιεῖ· τὸ δὲ τῆς τραχύτητος οἰ πρόσκειται. ita Vind. Mon. In Mon. manu rec. ad marg. τῶν τῆς τραχύτητος.

τῆς τραχύτητος ἐννοιῶν τὴν ἀκμὴν ποιεῖ. ὥστε καὶ φαίη τις ἄν τί χρὴ λέγειν, ὅτι μέμικται λαμπρότης ἐνταῦθα καὶ ἀκμή, φύσει [50] δέον ἀεὶ ταῦτα μεμίχθαι, ὅτε ἀκμαῖος λόγος εἴη; ἀλλ᾽ εἰδέναι χρή, ὅτι πρῶτον μὲν ἐνταῦθά φαμεν ἀκμὴν καὶ λαμπρότητα συνεληλυθέναι, οὐχί γε τραχύτητα [51] ἢ σφοδρότητα ὁμοῦ λαμπρότητι γεγενῆσθαι, [52] ἃ ποιεῖ τὴν ἀκμήν· οὐ γὰρ ἀκμὴ καὶ λαμπρότης συνελθοῦσαι ἀκμὴν ποιοῦσιν, ἀλλ᾽ ἔννοιαι τραχεῖαι καὶ σφοδραὶ καὶ μέθοδοι τοιαῦται, λέξει καὶ κώλοις λαμπρότητος καὶ εἴ τινι ἑτέρῳ κραθεῖσαι, ποιοῦσι τὴν ἀκμήν. διὸ οὐδὲ [53] ἀντακολουθοῦσιν ἀλλήλαις· ἀλλ᾽ ἡ μὲν ἀκμὴ πάντως ἔχει τι καὶ λαμπρότητος, οὐ μὴν ἥ γε λαμπρότης ἔχει τι ἀκμῆς· [54] εἰ μή τις ἐρίζων βιαίως λέγοι [55] ταῦτα, ἃ ἦν ἴδια λαμπρότητος, τὴν μακροκωλίαν λέγω καὶ τὰ ἀποστατικὰ σχήματα, καὶ εἴ τι ἕτερον, διὰ τὸ ἐπ᾽ ἀμφοῖν εὑρίσκεσθαι ἰσάζειν, καὶ μηδὲν μᾶλλον ἐντεῦθεν ἐκεῖσε, [56] ἢ ἐκεῖθεν ἐνθάδε μετενηνέχθαι. [57] ἀλλὰ ταῦτα μέν ἐστι σαφὴς λῆρος· [57*] φανερὰ γὰρ ταῦτά γε καὶ τῇ αἰσθήσει ψιλῇ, ὡς ἴδια [58] μέν ἐστι λαμπρότητος· ἀκμὴ δὲ οὐδ᾽ [59] ἔχει γενέσεως ὑπόστασιν καθ᾽ ἑαυτήν, ἀλλ᾽ ἡ μίξις τῶν ἀπὸ τῆς τραχύτητος ἢ σφοδρότητος καὶ τῶν ἀπὸ τῆς λαμπρότητος ποιεῖ τὴν ἀκμήν· διὸ, καθάπερ ἔφην, [60] οὐδὲ ἀντακολουθοῦσιν. ὅπερ μὲν γὰρ ἀκμαῖον ᾖ, πάντως [61] καὶ λαμπρόν ἐστι, καὶ εἴ τι σφο-

50 Vind. φύσει δέον ὂν ταῦτα μεμίχθαι, ὅτε ἀκμ. ὁ λόγος. Mon. φύσει δὲ δέον ταῦτα ἀεὶ μεμ. 51 Par. τραχύτητα καὶ σφοδρότητι ὁμοῦ λαμπρότητα. 52 Mon. γενέσθαι. 53 Vind. οὐδ᾽ ἀντακ. 54 Vind. καὶ ἀκμῆς. 55 Ald. λέγει. Port. Mon. Vind. λέγοι. tum Mon. ταῦτα δ᾽ ἦν ἴδια. 56 Vind. ἐκεῖ. 57 Ald. Port. Mon. μετηνηνέχθαι. Vind. μετενην. 57* Mon. λῆρος σαφής. 58 Ald. Port. Par. ὡς ἰδία μέν ἐστιν ἡ λαμπρότης. Par. γρ. ὡς ἴδια μέν ἐστι τῆς λαμπρότητος. ita Vind. Mon. omisso τῆς. 59 Vind. οὐδέ. Mon. οὐκ. 60 Mon. ἔφαμεν. 61 Mon.

δρόν γε ἢ τραχὺ ἢ συναμφότερον. οὐ μὴν ὅ τι ἂν ᾖ τρα-
χύ γε [62] ἢ σφοδρόν ἢ λαμπρὸν, ἀνάγκη τὸ [63] αὐτὸ καὶ
ἀκμαῖον εἶναι· ἔχει γὰρ ταῦτα καθ' [64] ἑαυτὰ ὑπόστασιν
καὶ χωρὶς τῶν ἑτέρων. δύναται μέντοι τις οὕτω λέγειν,
ὅτι οἷόν τέ ἐστιν ἀπὸ ταύτης τῆς ἐννοίας, οἷον τῆς τρα- 5
χείας ἢ σφοδρᾶς ἀκμὴν ποιῆσαι, ἢ πάλιν ἀπὸ τούτου τοῦ
κώλου, οἷον τοῦ λαμπροῦ, ὁμοίως [65] ἀκμὴν ποιῆσαι· οὐ
μὴν ἴδιά γε ταῦτα ἀκμῆς. πρὸς οὖν τοὺς ταῦτα τιθεμέ-
νους ἀκμὴν εἶναι, ἐπείπερ ἔφην ταῦτα [66] συνεληλυθέναι,
ἀκμὴν καὶ λαμπρότητα, πρῶτον μὲν, ὅπερ εἶπον, ὑπο- 10
ληπτέον, ὅτι οὐκ ἐξ ἀκμῆς καὶ λαμπρότητος ἡ ἀκμὴ γί-
νεται, ἀλλ' ἐξ ὧν εἴρηται· ἔπειτα, ὅτι ταῦτα, τὸ μέχρι
τούτου Λασθένης λέγω, καὶ τὸ, ἀλλ' ὁ τὴν Εὔ-
βοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ τὰ τούτων [67]
ἑξῆς, ὅσα τε αὐτοῖς ἐστιν ὅμοια, μεμίχθαι λέγω [68] διό- 15
λου ἀρξάμενα ἀπὸ τῶν ἐννοιῶν. καὶ γὰρ λαμπραί εἰσι
καὶ σφοδραὶ ἔννοιαι [69] καὶ μᾶλλόν γε λαμπραὶ, εἴ τις
σὺν ἐπιστήμῃ αὐτὰς θεωροίη. σκεψώμεθα δὲ ποίας [70]
ἐννοίας ἔφαμεν εἶναι λαμπράς· αἷς πέποιθεν ὁ λέγων
δηλονότι· οὐκοῦν ἐνταῦθα βουλόμενος συστῆσαι ὁ ῥήτωρ, 20
ὅτι εἰ τῆς Φιλίππου μερίδος ἡ πόλις ἐγένετο, οὐκ ἂν συν-
ήνεγκεν, ἐπιστώσατο μὲν αὐτὸ καὶ κατὰ πόλεις, ἐκ Θετ-
ταλῶν τετραδαρχουμένων, καὶ ἐκ τῶν ἄλλων· οἷον, καὶ
γὰρ εἰ μὲν ὡς ἐκράτησε Φίλιππος, ᾤχετο [71] εὐ-
θέως ἀπιὼν καὶ μετὰ ταῦτα ἦγεν ἡσυχίαν, μη- 25
δένα μήτε τῶν ἑαυτοῦ συμμάχων μήτε τῶν ἄλ-
λων Ἑλλήνων ἀδικῶν, ὅμως ἦν ἄν τις κατὰ

παντελῶς. tum Vind. καὶ ἤτοι σφοδρ. 62 Mon. τε. 63 τὸ Mon. Vind. om. 64 Mon. καὶ καθ'. 65 ὁμοίως Vind. om. 66 Mon. Vind. ἄμφω. 67 τούτων Port. om. Mon. τούτοις. 68 Par. γρ. μεμ. λέγουσι διόλου. 69 Mon. αἱ ἔννοιαι. 70 ποίας γάρ. 71 Vind. ὤχετ' εὐθέως ἀ. καὶ μετὰ ταῦτ' ἦγεν ἡσ. μ. μ. τῶν ἑαυτῶν συμμ. — pro cor. p. 246.

τῶν οὐκ[72] ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος, μέμψις καὶ κατηγορία, εἰ δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, καὶ τὰ ἑξῆς. συνέστησε μὲν οὖν αὐτὸ καὶ κατὰ πόλεις, ὥσπερ ἔφην, καὶ κατὰ ἔθνη. συνιστὰς[73] δὲ αὐτὸ καὶ ἀπὸ τῶν κατ' ἄνδρα, οὐδείς, φησὶ, τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν χρήματα ἀναλίσκει. εἶτ' αὖ πάλιν συστῆσαι[74] θέλων ἔχει παραδείγματα σαφῆ καὶ πολλὰ καὶ γνώριμα πᾶσι· διὸ καὶ πεποιθήσει λέγων ἐλλαμπρύνεται τῷ λόγῳ. καὶ οὐκ οἶδά γε, εἴ τι[75] τοῦ λόγου παράδειγμα τούτου λαμπρότερον ἔχομεν, τοῦ, μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, καὶ τὰ ἑξῆς, εἰς τοσοῦτον[76] μῆκος τῶν κώλων προελθόντων, ἅτε τῇ ἐννοίᾳ[77] πεποιθότως χρωμένου τοῦ ῥήτορος, καὶ τῶν ἐπαναφορῶν διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι θαυμαστὸν κάλλος ἐργασαμένων. ἀκριβέστερον δὲ[78] καὶ περὶ τούτου ἐν τῷ περὶ κάλλους ἡμῖν λελέξεται· ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανιτέον, ὅτι λαμπρὰ μὲν διὰ ταῦτα ἡ ἔννοια. οὐ γὰρ Εὐθυκράτους καὶ Λασθένους καὶ τῶν ἄλλων προδοτῶν προὔκειτο δῆθεν[79] αὐτῷ κατηγορεῖν, ἀλλὰ συστῆσαι τὸ προκείμενον.[80] λαμπρὰ μὲν οὖν διὰ ταῦτα, σφοδρά γε μὴν δηλονότι διὰ τοῦτο, ὅτι κατὰ προσώπων δοκεῖ λέγεσθαι τῶν προδοτῶν. καί τοι οὐχὶ τοιοῦτον ἁπλῶς

---

72 οὐκ inserui jubente Victorio Varr. Lectt. L. XI. c. 13. p. 165. Uncis inclusit Bekker. in Demosth. 73 Mon. συνιστᾷ. — pro cor. p. 241. 74 Vind. τοῦτο συστῆσαι. 75 Vind. εἴ τι τούτου παράδ. λαμπρ. 76 Mon. Vind. τοσοῦτόν τι μῆκος. tum Vind. λόγων. supra lin. κώλων. 77 Par. γρ. τῇ ἐννοίᾳ πεποιθότως χρωμένου τοῦ ῥήτορος καὶ ταῖς ἐπαναφοραῖς, διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι θαυμαστὸν κάλλος ἐργασαμένου. 78 Mon. Vind. δὲ περὶ τούτων. 79 Vind. δήπουθεν. 80 Mon. Vind. τὸ προειρημένον. — v. 22. Ald. σφόδρα.

πλῶς εἶναι δεῖ τὸν κατὰ προδότου λόγον, ἀφηγηματικὸν καὶ ἧττον ἔχοντα τὸ σφοδρόν. ὅμως γε μὴν ἔχει τι τῆς[81] σφοδρότητος καὶ οὗτος.[82]

Καὶ αἱ μὲν ἔννοιαι τοιαῦται, καθ' ἃς καὶ μόνας[83] τάχα ἄν τις ἐνταῦθα φαίη μεμίχθαι τὴν λαμπρότητα καὶ τὴν ἀκμήν. τὰ δ' ἑξῆς δῆλα μὲν ὡς[84] πάντως ἐστὶν ἴδια λαμπρότητος. καὶ ὡς, εἴπερ λαμπρὰ ἡ ἔννοια, (ὥσπερ καὶ ἔστι λαμπρὰ, καθάπερ καὶ[85] ἐδείκνυμεν) ἐκείνης[86] ἂν εἴη καὶ ταῦτα, μέθοδος λέγω καὶ σχῆμα καὶ τἆλλα πάντα. διὰ δὲ καὶ τὸ τὴν ἀκμὴν ἀπὸ[87] τούτων συνίστασθαι ἀνάγκη φάσκειν ἐνταῦθα κοινὰ αὐτῶν γεγενῆσθαι καὶ τὰ τοιαῦτα.[88] τοιοῦτον δὲ καὶ τὸ, ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος·[89] τοῦ γὰρ, ὅτι τὴν εἰρήνην λέλυκε Φίλιππος, τὰ λεγόμενα πάντα συστάσεις εἰσὶ[90] καὶ πίστεις, αἷς πεποιθὼς ὡς γνωρίμοις καὶ φανεραῖς ἐλλαμπρύνεται. ἀλλ' ὅμως ἐνταῦθα πλέον τὸ ἀκμαῖόν ἐστιν, ὥσπερ ἐκεῖ πλέον ἦν τὸ λαμπρόν. φανερῶς γὰρ[91] ἐνταῦθα λέγει κατὰ προσώπου, καὶ οὐχ ὡς ἐκεῖ ἀφηγεῖται, καὶ οὐ κατηγορεῖ· ἔτι μέντοι καὶ διὰ τοῦτο πλεονάζειν τῇ ἀκμῇ δοκεῖ, ὅτι σχήματι κέχρηται ἐλεγκτικῷ[92] πρὸς τὸν Αἰσχίνην, λέγω τῇ ἐρωτήσει, ὅπερ ὂν σφοδρότητος ἡ μὲν ἀκμὴ δέχεται, ἡ λαμπρότης δὲ οὔ. καὶ μὴν καὶ τὸ μὴ ἁπλῶς εἰς μῆκος ἀπολελύσθαι τὰ κῶλα, ἀλλ' εἶναι μὲν τὸ ὅλον ἓν, δοκεῖν δὲ κεκόφθαι ταῖς συμπλοκαῖς καὶ γεγενῆσθαι κομματικὸν, οὔτε λαμπρότητος ὂν οὔτε ἀκμῆς,

---

81 τῆς Mon. Vind. om. 82 Mon. οὕτω. Vind. οὗτως. 83 Mon. μόνος τάχ. ἄν τις. Vind. τάχ' ἄν τις ἐνταῦθα φαίη τὴν λαμπρότητα μεμίχθαι. 84 ὡς Mon. Vind. om. 85 καὶ Mon. Vind. om. 86 Vind. ἐκείνης μὲν οὖν καὶ ταῦτα, μέθοδον λέγω. Mon. μέθοδον δὲ λέγω. 87 Mon. καὶ ἀπό. 88 Mon. Vind. καὶ ταῦτα. 89 Vind. addit: σφετεριζόμενος. 90 εἰσὶ καὶ πίστεις Port. om. 91 Vind. δὲ ἐντ. λέγει κατὰ τοῦ προσ. 92 Mon. ἐλεγκτ. κέχρηται.

σφοδρότητος δὲ μᾶλλον, τῷ τὴν σφοδρότητα τῆς μὲν λαμπρότητος ἀπηλλάχθαι πάντη, τῇ δὲ ἀκμῇ κατά τι κοινωνεῖν, ἀκμαιότερον μᾶλλον ἢ λαμπρότερον [93] πεποίηκε φαίνεσθαι τὸν λόγον. εἰ δὲ καὶ περιβεβλημένως, μᾶλλον δὲ μεστῶς [94] προήχθη, τοῦτο πάλιν ἑτέρου λόγου. ταῦτα περὶ ἀκμῆς. Ἔποιτο δ' ἂν εἰπεῖν ἤδη καὶ περὶ τῆς περιβολῆς. αὕτη γὰρ λοιπὴ τῶν ποιουσῶν τὸ μέγεθος ἰδέα καταλέλειπται, [95] ἥπερ ὅτι ἐναντία ἦν ἡ καθαρότης, ἐν τῷ περὶ σαφηνείας εἰρήκαμεν.

---

## Cap. XI.

### ΠΕΡΙ ΠΕΡΙΒΟΛΗΣ ΕΝ ΤΑΥΤΩι [1] ΚΑΙ ΜΕΣΤΟΤΗΤΟΣ.

Μετὰ τὸν περὶ σαφηνείας λόγον ὑποθέμενοι περὶ μεγέθους εἰπεῖν καὶ ὄγκου καὶ ἀξιώματος τοῦ ἐν λόγῳ ἔφαμεν τοῦτο ποιεῖν σεμνότητά τε καὶ τραχύτητα καὶ ἔτι αὖ σφοδρότητα, λαμπρότητά τε καὶ ἀκμὴν καὶ τελευταῖον ἐπὶ πᾶσι [2] τὴν περιβολήν. οὐκοῦν περὶ τῶν ἄλλων ἁπασῶν εἰπόντες ἰδεῶν, αἳ τὸ μέγεθος ἐποίουν, ἀναγκαίως ἂν ἤδη λέγοιμεν καὶ περὶ τῆς περιβολῆς. τά τε γὰρ ἄλλα ἀξία σπουδῆς ἡ περὶ αὐτῆς ἐπιστήμη, ὅτι τε [3] ἐξαίρει τὴν ὑπτιότητα, καὶ ὅτι πλείονι [4] ταύτῃ τῶν ἄλλων ἰδεῶν ἁπασῶν, καθ' ἃς λόγου [5] μέγεθος γένοιτ' ἂν, ὁ ῥήτωρ κέχρηται. ἀλλὰ τὴν μὲν αἰτίαν, δι' ἣν οὕτω πεποίηκεν ἐκεῖνος, ὕστερον λέξομεν. οὐ γὰρ ἐγχωρεῖ νυνὶ λέγειν πρὶν

---

93 Ald. Port. λαμπρόν. Mon. Vind. λαμπρότερον. 94 Vind. μεστός. 95 Mon. Vind. καταλείπεται.

1 ἐν ταὐτῷ καὶ μεστότ. Vind. om. 2 Ald. πᾶσιν. sq. τὴν Mon. om. 3 ὅτι τε ἐξ. τὴν ὑπτιότητα Par. Vind. om. Par. ad marg. γρ. ὅτε τε ἐξαίρει τὴν ὑπτιότητα, καὶ ὅτι πλείονι ταύτῃ τῶν ἄλλ. ἰδεῶν. 4 Ald. Par. πλεῖστον. Port. Mon. Vind. Par. ad marg. πλείονι. 5 Vind. μέγεθος λόγου.

περὶ αὐτῆς τι λέγειν [6] τῆς περιβολῆς. περὶ αὐτῆς δ' ἂν ἤδη ταύτης εἴη λεκτέον· ὅτι δ' ἐναντίον αὐτῇ ἡ καθαρότης, ἐν τῷ περὶ σαφηνείας εἴρηται λόγῳ. [7] 101

Γίνεται τοίνυν περιβολὴ κατ' ἔννοιαν μέν, ὅταν ἤτοι ἔξωθέν τι προσλαμβάνῃς τούτῳ, [8] περὶ οὗ ὁ λόγος, οἷον, γένος εἴδει, πονηρὸν, ὦ ἄνδρες [9] Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ, τοῦτο δὲ καὶ φύσει κίναδος [10] τἀνθρώπιόν ἐστιν· ἢ ἀόριστον ὡρισμένῳ· οἷον, πολλὰ μὲν οὖν ἔγωγ' [11] ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου, δύο [12] δὲ, ὦ Ἀθηναῖοι, καὶ μεγάλα· ἢ ὅλον μέρει. οἷον, ἀλλ' ὅλης [13] οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν. οὐ γὰρ ἡ ἀκρόπολις γένος, οὐδ' ὁ ἐκ δεξιᾶς τῆς Ἀθηνᾶς τόπος εἶδος τῆς ἀκροπόλεώς ἐστιν, οὐδὲ [14] ἀόριστόν τι καὶ ὡρισμένον, ἀλλ' ὅλον καὶ μέρος, καὶ προσείληπται τῷ μέρει τὸ ὅλον. ποιεῖ δὲ καὶ τὸ κατ' ἄθροισιν προσλαμβανόμενον ἔξωθεν, εἰ καὶ μὴ προσληφθείη τὸ ἀόριστον, ὅμως περιβολήν τινα. οἷον, δύο καὶ [15] μεγάλα, ἓν μὲν τόδε, ἕτερον δὲ τόδε. καὶ πάλιν, [16] τρία γὰρ τὰ μέγιστα ὀνείδη κτᾶται, φθονερούς, ἀχαρίστους, ἀπίστους εἶναι δοκεῖν. καὶ πάλιν ἐνταῦθα δύο εἴρηκεν, ἓν μὲν τόδε, ἕτερον δὲ τόδε. πολλὰ [17] παρὰ τῷ ῥήτορι καὶ τούτου καὶ τῶν ἔμπροσθεν εἰρημένων τὰ παραδείγματα.

---

6 Vind. προδιδάξαι. 7 λόγῳ Vind. om. 8 Vind. τούτου. 9 ἄνδρες Ald. Vind. om., est in Port. Mon. — pro cor. p. 307. 10 Ald. Mon. κίναιδος. Port. Vind. κίναδος. 11 Ald. ἔγωγε. Port. Mon. Vind. ἔγωγ'. — pro cor. init. 12 Vind. δ' ὦ. Port. δὲ ὦ ἄνδρες Ἀθ. 13 de fals. leg. p. 428. 14 Vind. οὐδ' ἀόρ. 15 Vind. δὲ καί. 16 in Lept. p. 460. 17 Vind. πολλὰ παραδείγματα καὶ τούτου παρὰ τῷ ῥήτ. omissis

Εἰδέναι δὲ χρή, ὡς αἱ τοιαῦται προσλήψεις καὶ εὐκρινείας εἰσὶν, οὐ περιβολῆς μόνον ποιητικαί. κατὰ μὲν γὰρ τὸ προειδέναι τοὺς ακούοντας περὶ ὅσων ἀκούσονται, ποιεῖ τὴν εὐκρίνειαν. καθὸ δὲ ἔξωθεν [18] προσείληπται, πέρι-
5 βάλλει. θαυμάζειν δὲ οὐ χρὴ, εἰ δοκοῦσά [19] πως ἡ εὐκρίνεια τῇ περιβολῇ ἐναντιοῦσθαι διὰ τοῦ αὐτοῦ [20] πράγματος δύναται γίνεσθαι, οἷον διὰ τῆς τοῦ κατ' ἄθροισιν προσλήψεως. οὐ γὰρ οὕτως ἐστὶν ἐναντία τὰ τῶν λόγων εἴδη, καθάπερ ἄλλα τινὰ, ὡς μὴ δύνασθαι συνυπάρχειν,
10 οἷον, ὥσπερ τὸ θερμὸν τῷ ψυχρῷ, ἢ ὁ θάνατος τῇ ζωῇ, ἢ ἡ [21] νὺξ τῇ ἡμέρα, ἢ ὅσα τοιαῦτα· ἀλλὰ τοὐναντίον [22] πέφυκε δύνασθαι συνυπάρχειν τὰ ἐναντία ταῦτα. καὶ τότε μᾶλλον θαυμαστὸς ὁ λόγος γίνεται, ὅταν διὰ τῶν ἐναντίων ἰδεῶν εὖ κεκραμένος περαίνηται· [23] δυσχερὴς δὲ
15 ἡ μίξις, καὶ σχεδὸν οὐδεὶς οὕτω καλῶς οὐδὲ τῶν ἀρχαίων αὐτῇ κέχρηται, ὡς ὁ ῥήτωρ μετά γε Ὅμηρον. πῶς γὰρ οὐ δυσχερὲς μῖξαι καθαρότητα μὲν περιβολῇ, καὶ τῷ περιττῷ καὶ μεστῷ τὴν σαφήνειαν, σεμνότητι δὲ τὸ λεπτὸν, καὶ τὴν χάριν τῷ διηρμένῳ [24] πρὸς μέγεθος, σφο-
20 δρότητι δὲ τὴν ἀφέλειαν, καὶ τῇ τραχύτητι τὸ μεθ' ἡδονῆς; ἔνθα δὲ τόλμης [25] δεῖ, κάλλος καὶ τὸ κεκοσμημένον ἅμα πιθανότητι, λαμπρότητι δὲ τὸ γοργόν τε καὶ ἀγωνιστικὸν καὶ οἷον εὔζωνον χωρὶς εὐτελείας καὶ ταπεινότητος; τῷ δὲ [26] ἀκμαίῳ πάλιν τὸ πιθανὸν, καὶ τὸ τοῦ ἀληθοῦς

---

καὶ τῶν ἔμ. εἰρ. 18 Ald. ἔξοθεν. 19 Mon. ἡ δοκοῦσά πως εὐκρ. 20 Mon. Vind. ταὐτοῦ. 21 Ald. Mon. ἡ om., est in Port. Vind. 22 Vind. τοὐν. μέν. sq. δύνασθαι Mon. om. τὰ ἐναντία Vind. om. 23 Mon. περαίνεται. 24 Vind. διηρημένῳ. 25 Schol. T. VII. p. 1022. δοκεῖ πταῖσμα εἶναι γραφικόν· ἔδει γὰρ εἰπεῖν, ἔνθα δὲ δεῖ του ἀμελοῦς· ἐναντίον γὰρ κάλλει, ὡς αὐτῷ δοκεῖ, τὸ ἀμελές. ἴσως δὲ τόλμαν ἂν λέγοι πάλιν τραχύτητα καὶ σφοδρότητα, τολμηρὸν γὰρ τὸ κατὰ μειζόνων λέγειν προσώπων. cf. Jo. Sicel. p. 303. 26 δὲ Mon. om.

καὶ ἐνδιαθέτου ἐμφαντικόν, ὅσα τε ἄλλα τῶν εἰδῶν τοῦ λόγου τῆς ἐναντίας ἀλλήλοις δοκεῖ πως εἶναι φύσεως; τούτου γὰρ οὐκ οἶδ' [27] εἴ τι γένοιτ' ἂν ἐν λόγῳ χαλεπώτερον· ἄλλως [28] τε καὶ τούτοις ἅπασιν, αὐτοῖς τε ἑκάστοις καὶ ταῖς μίξεσιν αὐτῶν εἰ μέλλοι τις εἰς δέον χρῆσθαι. [29] ἀλλὰ ταῦτα μὲν ἀκριβῶς δεῖξαι καὶ διὰ παραδειγμάτων, ἑτέρου δεῖται καιροῦ, τοῦ [30] περὶ μεθόδου δεινότητος, ὅτε λέγοιμεν. νῦν δὲ εἰς τοσοῦτον εἰρήσθω, τοῦ μηδένα θαυμάζειν, ὃ δὴ σμικρότατόν ἐστιν ἐν αὐτοῖς, εἰ [31] περιβολὴ δύναται διὰ τοῦ αὐτοῦ γίνεσθαι καὶ εὐκρίνεια. σχεδὸν γὰρ ταῦτα οὐδὲ [32] ἐναντία ἐστὶν, ἀλλὰ καὶ ἀναγκαῖον ἀεὶ τοῖς περιβλητικοῖς ἅπασιν ὅτε αὐξηθείη [33] καὶ μεστὸν ποιεῖ τὸν λόγον, παρεῖναί τι τῶν εὐκρινούντων, ὡς ἂν μὴ συγχέοιτο μηδ' ἀσαφὴς ὁ λόγος γίνοιτο, [34] ὅπερ καὶ ἐν τῷ περὶ εὐκρινείας ἐδείξαμεν.

Ἐπάνειμι δὴ πάλιν [35] ἐξ ἀρχῆς ἐπὶ τὸν τῆς περιβολῆς λόγον. ἤτοι γὰρ (ὅπερ ἔφην) ὅταν προσλάβῃ τις τῶν ἔξωθέν τι, περιβολὴν ποιεῖ [36] κατ' ἔννοιαν, ὡς ἐδείξαμεν, ἢ ὅταν μὴ ψιλὰ λέγῃ τὰ πράγματα, μηδὲ καθ' ἑαυτὰ, ἀλλὰ μετὰ τῶν παρακολουθούντων, οἷον, τόπου, χρόνου' αἰτίας, τρόπου, προσώπου, καὶ ἔτι [37] γνώμης τοῦ προσώπου, πάντων τε ἁπλῶς [38] τῶν τοιούτων. οἷον, ὑπεσχόμην χορηγήσειν. πότε; τρίτον ἔτος [39] τουτί. ποῦ;

---

27 Vind. οἶδα. tum Ald. ἔτι. Port. Vind. Mon. εἴ τι. 28 Par. ἐν ἄλλοις οὐκ ἔστι τὸ ἄλλως. 29 Vind. χρήσεσθαι. Par. χρήσασθαι. 30 Mon. τοῦ τὰ περί. 31 Mon. Vind. εἰ ἡ περιβολὴ δύναται διὰ ταὐτοῦ καὶ εὐκρίνεια γίνεσθαι. Par. ad marg. γρ. ἡ περιβολὴ εἰ δύναται διὰ ταὐτοῦ γίνεσθαι. 32 Mon. οὐδ' ἐναντ. 33 Port. αὐξηθῇ. 34 Vind. γένοιτο. 35 Vind. λοιπόν. 36 Vind. ποιεῖ κατ' ἔννοιαν μὲν περιβολήν. 37 καὶ ἔτι γνώμης τοῦ προσ. Ald. Mon. om., est in Port. Vind. 38 Mon. ἁπλῶς τε πάντων. 39 Mon. ἔτος τουτὶ τὸ τρίτον. — in Mid. p. 519.

ἐν τῇ ἐκκλησίᾳ, διὰ τί; οὐ καθεστηκότος χορη-
102 γοῦ καὶ διὰ τοῦτο λόγων καὶ λοιδοριῶν γινομέ-
νων.[40] πῶς ὑπέσχου; ἐθελοντής. τίς ὤν; οὐ[41] πά-
νυ πλούσιος. μανία γὰρ ἴσως ἐστὶν, ἔφη, τὸ πα-
ρὰ[42] δύναμίν τι ποιεῖν. τοῦτο δέ[43] ἐστι τῆς τοῦ
προσώπου προσλήψεως[44] ἴδιον· τίνι γνώμῃ; διὰ φιλοτι-
μίαν. προηγουμένως μὲν οὖν κατ'[45] ἔννοιαν ἀπὸ τού-
των γίνεται περιβολή. Δύναται δὲ καὶ αὔξεσθαι ἕκαστα[46]
τούτων καὶ μᾶλλον ποιεῖν ἐμπερίβολον[47] τὸν λόγον κατ'
ἔννοιαν,[48] καὶ ἐξ ἑτέρων. οἷον, ὑπεσχόμην χορηγήσειν
πένης ὤν. τοῦτο μὲν ἦν τοῦ προσώπου ψιλόν. ηὔξηται
δὲ πῶς;[49] πρῶτον μὲν ἀπὸ τῆς πρὸς ἕτερον διαφορᾶς,
οἷον, μηδενὸς ὑπισχνουμένου. εἶτα ἄλλη αὔξησις, μηδὲ
τῶν πλουσίων. εἶτα ἑτέρα, μηδὲ[50] τῶν ἄλλων λειτουρ-
γιῶν ἀτελὴς μεμενηκὼς, ἀλλὰ πολλὰ λελειτουργηκὼς, καὶ
ἐν ἐπιδόσεσι[51] καὶ ἐν τριηραρχίαις. καὶ ὅλως[52] καθ'
ἕκαστον ἐθέλων αὔξειν εὕροις ἂν πολλὰ καὶ ἐνθυμήμα-
τα καὶ παραδείγματα, καὶ ὡρισμένα καὶ ἀόριστα· οὐ γὰρ
μόνον ἀπὸ τῶν προειρημένων περιβάλλοι[53] τις ἂν, ἀλλὰ
καὶ ἐπιχειρῶν πανταχόθεν· οἷον, ἀπὸ τοῦ ὁμοίου, ἀπὸ
τοῦ ἐναντίου, τοῦ γένους, τοῦ εἴδους, τοῦ ὅλου· ἔτι ἀπὸ
τοῦ μείζονος, ἴσου, ἐλάττονος. ταῦτα δὲ ἴσως οὐδὲ προς-
λήψεις εἰσὶν, ἀλλὰ πίστεις μᾶλλον, τὰ διὰ τούτων ἐν-

---

40 Vind. marg. Vict. γινομένης. 41 οὐ Port. om. 42 Mon. παρὰ τὴν δύν. — in Mid. p. 536. 43 Vind. δ' ἐστί. 44 Vind. λήψεως. 45 Vind. κατὰ ἔνν. 46 Mon. ἕκαστον. 47 Par. Vind. καὶ μᾶλλον ποιεῖν ἐν τῇ περιβολῇ κατ' ἔννοιαν τὸν λόγον. Par. ad marg. γρ. ἐμπερίβολον ποιεῖν κατ' ἔννοιαν τὸν λόγον. 48 Mon. κατ' ἔννοιαν τὸν λόγον. 49 Par. ad marg. στίζεται καὶ, ηὔξηται δέ πως. Vind. αὔξεται. 50 Vind. καὶ οὐδέ. [Ald. λιτουργιῶν.] 51 Mon. Vind. ἐπιδόσει. 52 Vind. ὅλ
ἄλλως. 53 Mon. περιβάλλει.

θυμήματα λέγω καὶ παραδείγματα γινόμενα, καὶ δεῖται λόγου τοῦ περὶ πίστεως.

Ἔτι περιβάλλει κατ᾽ ἔννοιαν καὶ τὸ μὴ αὐτὰ τιθέναι μόνα τὰ πραχθέντα, ἀλλὰ καὶ τὰ ἐκβάντα ἄν, εἰ μὴ τοῦτο ἐγένετο, καὶ ἃ [54] δέον τινὰ πρᾶξαι παρῆκεν· [55] ὡς εἰ λέγοιμεν ὅτι πάντα τὰ ἄλλα [56] ἀφεὶς καὶ ὑπεριδὼν [57] ἐπέραινεν ἐφ᾽ οἷς ἐμισθώθη, ἀλλὰ κατ᾽ ἔννοιαν μὲν οὕτω γίνεται περιβολή. [58]

Μέθοδοι δὲ ποιοῦαι περιβολὴν αἵδε· τὸ ἀναστρέφειν τὰ πράγματα καὶ τὰ δεύτερα [59] πρῶτα λέγειν, εἶτα ἀναγκάζεσθαι ἐπιβάλλειν [60] τὰ πρῶτα, καὶ τῷ σχήματι χρῆσθαι τῷ κατ᾽ ἐπεμβολήν· οἷον, ἀλλ᾽ ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς ἐπὶ τοὺς ὅρκους, ἧσπερ εἰσὶν αἱ νῦν εὐθῦναι· εἶτ᾽ ἐπενέβαλε τὰ πρῶτα, οὔτε μικρὸν οὔτε μέγα οὐδοτιοῦν εὑρημένοι [61] τῶν ὑπὸ τούτου, ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, λεχθέντων καὶ προσδοκηθέντων, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, προσῆμεν [62] τῇ βουλῇ. τὸ γοῦν ἀναστρέφειν τὰ πράγματα περιβάλλει κατὰ μέθοδον. ἵν᾽, ὅπερ ἔφην, ἤτοι [63] ἀναγκάζηται ἐπεμβάλλειν, ὡς ἐνταῦθα, ἢ ἐπισυνάπτειν ἀναγκαίως τὰ πρῶτα, οἷον, ἀλλ᾽ ἐν τῷ πανδοκείῳ τῷ πρὸ τοῦ

---

54 ἃ Ald. Par. Mon. om., est in Port. Vind. — Par. ad marg. γρ. καὶ ἃ δέον τινὰ πρᾶξαι, ὅτι παρῆκεν. 55 Ald. Mon. Vind. ὅτι παρῆκεν. Port. ὅτι om. Sq. ὡς Mon. Vind. om. 56 Vind. τἄλλα πάντα. — pro cor. p. 277. 57 Vind. Mon. παριδών. 58 In Mon. sequitur tit. περὶ μεθόδων. 59 Par. καὶ τὰ πρῶτα δεύτερα λέγειν, εἶτ᾽ ἀναγκάζ. ad marg. γρ. καὶ τὰ δεύτερα πρῶτα. 60 Vind. ἐπεμβάλλειν. 61 Vind. εὑράμενοι τῶν ὑπὸ τούτου λεχθέντων, ὅτε τ. εἰρ. ἐποιεῖσθε, λεχθέντων. — de fals. leg. p. 346. 62 Ald. Port. Par. Mon. προσῆμεν. Par. γρ. πρόσιμεν. ita Vind. scr. προσῆμεν. 63 Mon. Vind. ἀναγκάζηται ἤτοι.

Διοσκουρείου [64] (εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω) ἐνταῦθα ἐγίνοντο [65] οἱ ὅρκοι· καὶ μέχρι μὲν δὴ τούτου ἐπεμβολή τις γέγονεν ἡ τοῦ, εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω· τὸ δὲ [66] ἑξῆς ἐπισυνῆπται, καὶ κατὰ τοῦτο δὲ [67] πεποίηκε τὴν περιβολήν. οἷον, ὅτε δεῦρ' ἤδη τὸ στράτευμ' ἄγων ἐβάδιζε Φίλιππος. εἶθ' ὕστερον ἡ ποιότης καὶ αὐτὴ περιβάλλουσα μετὰ αὐξήσεως· οἷον, αἰσχρῶς, ὦ ἄνδρες [68] Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν. εἰ δέ τι καὶ τῷ δι' ἐπικρίσεως εἰπεῖν τὴν ποιότητα πεποίηκεν ὁ ῥήτωρ ἕτερον, ἄλλου λόγου, ἐπεὶ καὶ τὸ ἐπεμβληθὲν ἐν ἀρχῇ, τὸ, εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω, οὐ μόνον περιβολὴν ἐποίησεν, ἀλλὰ καὶ γοργότητα ὁμοῦ διακόψαν τὸν λόγον, καὶ ἀληθινοῦ πως τύπου δοκεῖ [69] εἶναι. ἀλλ' οὐ νῦν περὶ τούτου. τό τε οὖν [70] ἀναστρέφειν τῶν πραγμάτων τὴν τάξιν, μέθοδος περιβολῆς, ὡς εἴρηται, καὶ τὸ τὰς κατασκευὰς τῶν προτάσεων καὶ τὰς πίστεις τάς τε τούτων αὐξήσεις πρώτας τιθέναι τῶν προτάσεων αὐτῶν, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου· μερικῆς γὰρ οὔσης ἐν αὐτῷ προτάσεως, [71] τῆς, ὅτι συμφέροντα ἔθηκα νόμον τὸν περὶ τριηραρχιῶν, καὶ κατασκευαζομένης ταύτης ἔκ τε τοῦ παῦσαι τοὺς πένητας ἀδικουμένους, καὶ τοῦ κωλῦσαι τοὺς πλουσίους ἀπὸ μικρῶν ἀναλωμάτων ἀτελεῖς γινομένους, καὶ τὴν πόλιν ὑστερίζουσαν τῶν καιρῶν, σκόπει πῶς εἰσάγει τὰς κατασκευὰς, καὶ τὰς αὐξήσεις

64 Ald. διοσκουρίου. Vind. Port. διοσκουρείου. Mon. διοσκορείου. 65 Vind. ἐγένοντο. idem sq. καὶ om. — de fals. leg. p. 390. 66 Vind. δ' ἑξῆς. 67 δὲ Vind. om. 68 Ald. Vind. ἄνδρες om., est in Port. Mon. 69 Vind. δοκεῖ τύπου εἶναι. 70 οὖν Ald. om., est in Port. Mon. Vind. 71 Vind. τῆς προτάσεως.

τῆς προτάσεως, πρώτας αὐτῆς ἐκείνης. ὁρῶν γὰρ, φησὶ,[72] τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γινομένους, τοὺς δὲ μέτρια ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντα ἀπολλύντας; ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον, καὶ τὰ ἑξῆς. πολὺ δὲ[73] ἐνταῦθα καὶ τὸ τῆς δεινότητος, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ δείξομεν.[74] ὅμοιον δὲ τούτῳ καὶ τὸ, εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες[75] Ἀθηναῖοι, λέγειν· τοῦ γὰρ προοιμίου ἡ μὲν πρόταsις, ὅτι δεῖ καὶ νεωτέρου ὄντος καὶ πρώτου λέγοντος ἀνέχεσθαι· αἱ δὲ ταύτης κατασκευαὶ, ὅτι μηδὲν οἱ πρεσβύτεροι τῶν δεόντων εἰρήκασιν ἐπὶ πολλῶν ἐκκλησιῶν, καὶ εἴ τινες ἄλλαι· ἃς δὴ κατασκευὰς προὔταξε τῆς προτάσεως. οὗ τοὐναντίον Ἰσοκράτης ἐν τῷ Ἀρχιδάμῳ ποιήσας ἧττόν τε[76] ἐμπερίβολον καὶ πόρρω δεινότητος πεποίηκε τὸν λόγον. οἷον, ἴσως[77] ὑμῶν τινες θαυμάζουσιν, ὅτι τὸν ἄλλον ἅπαντα χρόνον τοῖς τῆς πόλεως νόμοις ἐμμεμενηκὼς, καὶ τὰ ἑξῆς· ἀλλὰ μέθοδοι μὲν αὗται, καθ' ἃς περιβάλλεται λόγος.[78]

103

Λέξις δὲ καθ' ἑαυτὴν ἰδία περιβολῆς, ὥσπερ ἦσαν ἄλλαι τινὲς ἴδιαι τῶν ἄλλων ἰδεῶν,[79] οὐκ ἔστι κατά γε ἐμὲ, εἰ[80] μή τις τὰς ἰσοδυναμούσας ἑτέραις λέξεσι διὰ τὸ ἐκ παραλλήλου δύνασθαι τίθεσθαι περιβολῆς ἰδίας λέγοι· οἷόν ἐστι καὶ τὸ, τί ἐροῦμεν; καὶ[81] τὸ, τί

---

72 pro cor. p. 260. 73 Mon. Vind. δή. 74 Par. λέξομεν. 75 Ald. Vind. ἄνδρες om., est in Port. Mon. tum Ald. Mon. σκοπεῖν. Port. Vind. λέγειν. — Phil. I. init. 76 Vind. τ' ἐμπερ. 77 Is. Archid. init. 78 Vind. ὁ λόγος. In Mon. sequitur tit. περὶ λέξεως. 79 ἰδεῶν Vind. om. 80 Par. γρ. πλὴν εἰ μή τις. Mon. consentit. Vind. πλὴν εἴ τις. 81 Port. δεί

φήσομεν; καὶ τὸ, ἃ ἐγὼ προορώμενος, ὦ [82] Ἀθηναῖοι, καὶ λογιζόμενος γράφω ψήφισμα. [83] καὶ τὸ εἰσὶ κρίσεις καὶ ἀγῶνες, πικρὰ [84] καὶ μεγάλα ἔχοντες [85] τὰ ἐπιτίμια, καὶ τὸ, ὅτι [86] τότε μὲν ὁ δῆμος δεσπότης καὶ κύριος ἦν ἁπάντων τῶν ἀγαθῶν, καὶ ὅλως μυρία ἐστὶ τούτου γε [87] παρὰ τῷ ῥήτορι τὰ παραδείγματα· ἃ καὶ ἐξετάζοντές τινες, ὡς ἂν ἐξετάσαιεν αὐτοὶ [88] τοὺς λόγους, εἰρήκασι περιβολῆς εἶναι ἴδια. ἀλλ᾽ ἡμεῖς τό γε ἡμῖν δοκοῦν περὶ τούτων [89] εἰρήκαμεν. πλεονασμὸν μὲν γὰρ ἴσως ἔχει τινὰ καὶ ἤτοι ἔλεγχον ἢ αὔξησιν ἢ σαφήνειαν ἤ τι τῶν τοιούτων, περιβολὴν δὲ εἰ καὶ ἐμφαίνει, ἀλλ᾽ οὖν οὐ κατὰ τὴν λέξιν. οὐδεμία μὲν γὰρ λέξις αὐτὴ καθ᾽ ἑαυτὴν ἔχει περιβολήν· τῇ δὲ πρὸς ἀλλήλας οἶμαι συμπλοκῇ καὶ τὴν ἔμφασιν τοῦ περιβεβλῆσθαι ποιοῦσιν· [90] οὔκουν περιβλητικὸν τὸ, τί ἐροῦμεν, οὐδὲ τὸ, [91] τί φήσομεν, οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων αὐτὸ καθ᾽ αὐτὸ [92] οὐδέν, ἀλλ᾽ ἡ ἐκ παραλλήλου θέσις αὐτῶν πεποίηκεν ἴσως τινὰ ἔμφασιν περιβολῆς. τοῦτο δὲ [93] οὐχὶ λέξεως δήπουθεν, ἀλλ᾽ ἴσως μεθόδου, ἐπεὶ καὶ ἐννοίας ὅλας ἐκ παραλλήλου τίθεμεν, ὅταν ἐπιμένωμεν. ἀλλ᾽ οὐκ οἶμαι τοῦτο [94] εἶναι περιβολῆς ἴδιον, δεινότητος δὲ μᾶλλον τῆς κατὰ μέθοδον. ταῖς γὰρ ἐπιμοναῖς ἐφ᾽ ὧν ἰσχύομεν πραγμάτων χρώμεθα, ὡς ὁ ῥήτωρ ἐν τῷ περὶ

---

ἤ, τί φήσομεν; 82 Port. ὦ ἄνδρες Ἀθ. pro cor. p. 234. 83 Vind. τὸ ψήφισμα. 84 Ald. Mon. Vind. μικρά. marg. Vict. Port. πικρά. — pro cor. p. 229. 85 Port. ἔχουσαι. 86 Port. ὅτι om. Mon. τότε om. — Ol. III. p. 36. 87 γε Vind. om. Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τό γ ε. tum Ald. ῥήτωρι. 88 Ald. αὐτό. tum Vind. Mon. εἰρήκασιν εἶναι περ. ἴδ. 89 Port. τούτου. — Sq. μὲν Mon. Vind. om. 90 Ald. ποιοῦσι. tum Vind. οὐκοῦν. 91 Port. ἤ sine τό. 92 Mon. ἑαυτό. 93 Vind. δ᾽ οὐχί. 94 Ald. τούτων. Port. Vind. τοῦτο. Mon. τοῦτο περιβολῆς εἶναι.

τοῦ [95] στεφάνου, πότερον, φησὶ, τὴν πόλιν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν [96] ἀξίαν τὴν ἑαυτῆς, καὶ τὰ ἐξῆς. ταύτῃ γὰρ τῇ ἐννοίᾳ πλέον ἢ τετράκις ἐν τῷ αὐτῷ τόπῳ κέχρηται, καὶ τὸ μέγιστον διὰ τοῦ αὐτοῦ [97] σχήματος, λέγω δὴ [98] τοῦ κατ' ἐρώτησιν ἐξ ἀποστροφῆς. διὰ γὰρ τὸ ἔνδοξον τῆς ἐννοίας ἐπιμένει καὶ δεινῶς ἐπίκειται τῷ ἐχθρῷ, ταῖς συνεχέσιν ἐρωτήσεσιν οὐδὲ [99] ἀναπνεῖν ἐῶν. ἐν οἷς μὲν οὖν [1] ἂν ἰσχυρίζεσθαι δύνηται, τοῦτο ποιεῖ· ἐν οἷς δ' ἂν ἀσθενὴς ὁ λόγος ᾖ, ὡς ἑτέρως. ἅπαξ γὰρ καὶ δι' ἐλαχίστων εἰπὼν ἀπαλλάσσεται, φανεῖται δὲ τοῦτο ἐν τῷ περὶ δεινότητος. ταῖς οὖν [2] ἐπιμοναῖς, ἐφ' ὧν ἰσχύομεν πραγμάτων χρώμεθα, καὶ τοῦτο ἦν μεθόδου δήπουθεν· ὥστε εἴη [3] ἂν καὶ τὸ, τί ἐροῦμεν, καὶ τὸ, [4] τί φήσομεν, μέθοδός τις, ἣν οὐ φαῦλον συγχωρῆσαι ποιεῖν περιβολήν. [5] καὶ ἔστω ἐν τῷ περὶ μεθόδου περιβολῆς, καὶ [6] ἡ ἐπιμονή. καίτοι οὐ πανταχοῦ, ἔνθα ἂν εὑρεθείη, περιβολὴν ποιεῖ· [7] ἀλλ' οὖν συγχωρείσθω [8] διά τε τὰ προειρημένα, καὶ [9] τὸ, τί ἐροῦμεν, ἢ τί φήσομεν, λέγω, καὶ ἔτι τὰ τοιαῦτα. οἷον, καίτοι ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκὼς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ. καὶ γὰρ ἐνταῦθα ὁμοίως [10] περιττεύει τὸ ἕτερον κῶλον ἐκ παραλλήλου τεθὲν, ὥσπερ ἐκεῖ ἡ λέξις. [11]

---

95 τοῦ Mon. om. tum Vind. πότερον, φησὶν, ἐχρῆν. 96 καὶ τὴν ἀξίαν Port. om. — — tum Ald. Vind. τὴν αὐτῆς. Port. Mon. τὴν ἑαυτῆς. — pro cor. p. 246. 97 Vind. Mon. ταυτοῦ. 98 Port. Vind. δὴ om. 99 Vind. οὐδ' ἀν.

1 οὖν Ald. Mon. om., habet Port. Vind. 2 Ald. ταῖς δὲ. Vind. Mon. ταῖς τε. Port. ταῖς. 3 Mon. ἄν εἴη. 4 Port. ἢ τί φησ. Vind. καὶ τί φήσ. 5 Vind. τὴν περιβ. 6 καὶ Vind. om. 7 Mon. ποιεῖ περιβ. Vind. ποιεῖ τὴν περιβ. 8 Mon. Vind. συγκεχωρήσθω. 9 καὶ Vind. om. 10 Par. ὁμοῦ. ad marg. γρ. ὁμοίως περιττεύει τὸ ἢ τί φήσομεν. 11 Se-

Σχήματα δὲ περιβλητικὰ πρῶτα μέν εἰσι [12] καθό-
104 λου πάντα τὰ ἐφελκόμενα δευτέρας ἢ καὶ τρίτας ἐννοίας,
πρὸς δὲ τούτοις ἕτερα ἄττα, [13] περὶ ὧν καθ' ἕκαστον
ἐροῦμεν. καὶ πρῶτον μὲν περὶ τῶν οὐ δυναμένων στῆσαι
τὰς ἐννοίας αὐτὰς ἐφ' ἑαυτῶν, ὅπερ δὲ [14] ἔφην, ἐφελκο-
μένων ἑτέρας ταῖς πρώταις, λέξομεν. ἔστι τοίνυν ἥ τε
ἀπαρίθμησις τοιαύτη, οἷον, πρῶτον μὲν τόδε, δεύτερον δὲ
τόδε. τοῦτο δὲ καὶ εὐκρινείας καὶ ἀφελείας ἐστὶν, εἰ σύν-
εγγυς λάβοι τὴν ἀνταπόδοσιν. τὸ γὰρ διὰ μακροῦ περι-
βλητικόν. εἰ δὲ καὶ ἐξ ἐπαναλήψεως γίνοιτο, ἕνεκα μὲν
τῆς ἐπαναλήψεως εὐκρινῆ ποιεῖ τὸν λόγου· τὴν δὲ περι-
βολὴν διὰ τὸ διὰ μακροῦ ἀποδεδόσθαι πάντως ἔχει. οἷ-
ον, [15] πρῶτον μέν, ὦ Ἀθηναῖοι, [16] ἵνα μηδεὶς
ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ [17] μου, θαυ-
μάζῃ· εἶτα πολλὰ εἰπὼν ἐξ ἐπεμβολῆς ἐπανέλαβε πάλιν,
πρώτου μὲν τούτου καὶ μάλιστα οὗπερ εἶπον
ἕνεκα, ταῦτα διεξῆλθον. εἶθ' οὕτως ἀπέδωκε τὸ
ἀναγκαῖον ὡς [18] ἑπόμενον τῷ σχήματι· οἷον, δευτέρου
δὲ τίνος, καὶ τὰ ἑξῆς. ἥ τε οὖν ἀπαρίθμησίς ἐστι
σχῆμα περιβλητικὸν καὶ τὰ ἐοικότα ταύτῃ, τό τε [19] ἀπ-
αριθμητικὸν λέγω, οἷον, πρῶτον μέν, ὦ [20] Ἀθηναῖ-
οι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις ὅσην
εὔνοιαν, καὶ τὰ ἑξῆς, ἔπειθ' ὅπερ ἐστὶν ὑπὲρ ὑ-
μῶν· [21] καὶ τὸ κατὰ προτίμησιν λεγόμενον, οἷον, μά-
λιστα μὲν [22] εἵνεκα τοῦ νομίζειν συμφέρειν

---

quitur in Mon. tit. περὶ σχήματος. 12 Mon. Vind. ἐστί. 13 Ald. Port. ἄττα. Vind. ἑτεραττα sine accentu. scr. ἄττα. 14 δὲ Ald. Mon. om., habet Port. Vind. 15 Vind. οἷον om. Tum Port. ἑνὸς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστα καὶ πρώτου ex or. de fals. leg. p. 348. 16 Mon. ὦ ἄνδρες Ἀθ. 17 Mon. ἀκούοι. 18 ὡς Vind. om. 19 Ald. τότε. 20 Port. ὦ ἄνδρες Ἀθ. — pro cor. init. 21 Tzetz. ἡμῶν. 22 Ald. Mon. μὲν οὖν. Port. Vind. οὖν om. — in Lept. init. — tum

τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου. Ἐφέλκεται ἐννοίας καὶ τὰ καθ' ὑπόθεσιν σχήματα, καὶ μάλιστα, εἰ [23] μετὰ μερισμοῦ τις ὑποτίθοιτο. οἷον, εἰ μὲν γὰρ ἐνταῦθ' [24] ἦν ἤδη τὰ πράγματα, Αἰσχίνη, ὥστε μηδ' αἰσθανομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ γέγονεν; εἶτ' ἐξ ἀνάγκης ἐπηκολούθησε τὸ, εἰ δὲ παρὰ τὸ προαισθέσθαι [25] κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ὅτε [26] μέντοι τις ἄνευ μερισμοῦ ὑποθετικῷ σχήματι [27] χρήσαιτο, πάντως μὲν ἐρεῖ τι κατ' [28] ἀνάγκην ἐφεπόμενον ἕτερον νόημα, οὐ μὴν ὁμοίως ποιήσει περιβολήν. οὐ γὰρ ὡσαύτως ἐμφαίνεται, ὅτι κατ' ἀνάγκην ἠκολούθησεν, ὥσπερ ἐν τῷδε· εἰ γὰρ τὸ κωλῦσαι τὴν πόλιν μετὰ τοῦ [29] κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην ἐπεπράκειν ἐγὼ Φιλίππῳ· εἶτα τὸ ἑπόμενον ἐξ ἀνάγκης, σοὶ τὸ μὴ [30] σιγῆσαι λοιπὸν ἂν ἦν. Ἐφέλκονται νοήματα [31] καὶ οἱ πλαγιασμοί· οἷον τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου κατὰ [32] τόδε καὶ τόδε· εἶτα τὸ ἐφελκόμενον, ὑμεῖς μὲν οὕτω διέκεισθε. περιβέβληται δὲ τοῦτο μειζόνως οὐ μόνον κατὰ τόδε τὸ σχῆμα, ἀλλὰ καὶ κατ' [33] ἔννοιαν καὶ κατὰ μέθοδον καὶ κατ' ἄλλα σχήματα πλεί-

---

Vind. Tzetz. τῇ πόλει om. — Tzetz. Χαυρίου. 23 Tzetz. ὅτι. lege ὅτε. tum Ald. Port. ὑποτιθοῖτο. Mon. Tzetz. ὑποτίθοιτο. Vind. ὑπόθοιτο. 24 Mon. Tzetz. ἐνταῦθα. — de fals. leg. p. αισθ 354. 25 Par. προέσθαι. 26 Ald. Mon. Vind. ὅτι. Port. ὅτε. 27 Ald. τῷ σχήμ. Port. Mon. Vind. τῷ om. 28 Ald. Tzetz. κατά. Port. Mon. Vind. κατ'. 29 τοῦ Vind. om. — pro cor. p. 232. sed Hermogenes e memoria scribens mutavit. 30 Ald. Port. Vind. μὴ τό. Mon. τὸ μή. sq. ἂν Port. om. 31 Vind. τὰ νοήματα. 32 Port. πολέμου οὐ δι' ἐμὲ, καὶ τὰ ἑξῆς. — pro cor. p. 230. 33 Vind. κατὰ ἔνν.

ονα, οἷον, τὸ ἐξ ἐπεμβολῆς, τὸ, οὐ δι' ἐμὲ, οὐ γὰρ ἤγωγε.[33*] καὶ τὸ ἀπαριθμητικὸν, οἷον, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, καὶ ἄλλα συχνά. ἀλλ' οὖν ἅ γε πλαγιασμὸς πλεῖστον ἔχει τῆς περιβολῆς, ὥσπερ κἀν τῷδε· πολλῶν,[34] ὦ Ἀθηναῖοι, λόγων γινομένων ὀλίγου δεῖν[35] καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ ἑξῆς, καὶ πάλιν, ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ τῇ Πανδιονίδι[36] φυλῇ καὶ τὰ ἑξῆς· ὅλως τε μυρία τούτου παραδείγματα παρὰ τῷ ῥήτορι, καὶ καθόλου τῆς περιβολῆς· οὐ γάρ ἐστιν ὅ τι[37] μὴ περιβέβληται τῶν τούτου. λέγω δὲ εἰ μὴ κομματικόν τις ἀπολαβὼν λέγοι, ὡς[38] ἀπερίβλητόν τε καὶ καθαρὸν εἴη. ὥσπερ τὸ, Σαννίων[39] ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων. οὗτος ἀστρατείας ἁλῶ. ἀλλὰ τὸ διαρκὲς εἰ θεωροίη, ἐπεὶ εὐθὺς ἐνταῦθα τὸ κέχρηται συμφορᾷ, ποῦ ἐστι[40] καθαρὸν, πλὴν τοῦ κώλου; καὶ ὅλως τά γ'[41] ἐφεξῆς ἅπαντα πῶς οὐ περιβεβλημένα; μυρία τοίνυν (ὅπερ ἔφην) παρὰ τῷ ῥήτορι τὰ παραδείγματα τῆς περιβολῆς· ὅπου γε καὶ ἐν ἰδιωτικοῖς οὐδὲν ἧττον πλεονάζει τῇ ἰδέᾳ ταύτῃ, ἔνθα καὶ μᾶλλον οἶμαι δεῖ τῆς καθαρότητος, διὰ τὸ ἐν ἤθει τὸ πλεῖστον αὐτῶν εἶναι· τὸ δ' αἴτιον τοῦ πλεονάζειν αὐτὸν τῇ περιβολῇ (καὶ γὰρ ἐπηγγειλάμην ἐρεῖν ἐν τῷ περὶ αὐτῆς λόγῳ) ὅτι μεγέθους μὲν αὐτῷ μέλει καὶ ἀξιώματος. τῶν δὲ ἄλλων ἰδεῶν, αἳ ποιοῦσι τὸ μέγεθος τῶν τοῦ ῥήτορος λόγων, ἐν μὲν ἰδιωτικοῖς σχεδὸν οὐδεμία πλὴν σφοδρότητος ἁρμόττει, καὶ ταύτης οὐ καθαρᾶς, ἀλλὰ μετά τινος παραμυθίας, τῶν δὲ ἄλλων οὐδεμία. οὔτε[42] γὰρ τραχύτητι οὔτε σεμνότητι οὔτε λαμπρότη-

---

33* Port. δὴ ἔγωγε. 34 Port. ὦ ἄνδρες Ἀθ. — Phil. III. init. 35 Port. δεῖ. 36 Mon. *Πανδιονίδῃ*. — in Mid. p. 518. 37 τι Mon. om. 38 ὡς ἀπερίβλ. — εἴη Mon. om. 39 In Mid. p. 533. 40 Vind. ἔτι. 41 Ald. Port. Mon. τά τ'. Vind. τά γε. 42

τι οὔτε ἀκμῇ χρήσαιτο [43] ἄν τις ἀκριβῶς ἐν ἰδιωτικοῖς· σφοδρότητι μέν τοι ἔστιν ὅπου, καὶ ταύτῃ μετὰ [44] ἤθους τινὸς, ὡς ἐν τῷ, ἀλλ' ὦ χαλεπώτατε Βοιωτὲ, [45] δύναται [46] χρῆσθαι. καὶ εὕροις ἂν τούτου πολλὰ παραδείγματα. ἡ μέν τοι περιβολὴ ἡδυνήθη ἁρμόσαι σχεδὸν διόλου καὶ τοῖς ἰδιωτικοῖς, ὡς αὐτὸ δήπου δείκνυσι τὸ ἔργον, ἐν δὲ τοῖς δημοσίοις τῶν ἀγώνων δύνανται μέν πως καὶ αἱ λοιπαὶ τῶν ποιουσῶν τὸ μέγεθος ἰδέαι διὰ τὸ μέγεθος τῶν πραγμάτων συμπαραλαμβάνεσθαι, καὶ μάλιστα εἰ τὸ λέγον πρόσωπον ἀξίωμα ἔχει, [47] ὡς ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· καὶ εἰ καθόλου λέγοιτο, καὶ [48] εἰ ἐνδέχοιτο ἐπιφοράν· ἀκμὰς γὰρ τότε μάλιστα ἐγχωρεῖ ποιεῖν, ὡς ἐν τοῖς κατὰ Φιλίππου. οὐ μὴν οὐδὲ [49] ἐνταῦθα ἐκείναις μᾶλλόν ἐστι πλεονάσαι· οἷον, σεμνότητι ἢ τραχύτητι ἢ σφοδρότητι ἢ λαμπρότητι ἢ ἀκμῇ, ὥσπερ τῇ περιβολῇ. τοῦτ' οὖν τὸ αἴτιον τοῦ πλεονάζειν τὸν ῥήτορα ταύτῃ παρὰ τὰς ἄλλας, ἅτε τὴν ἄκραν ἐπιστήμην ἔχοντα περὶ τοὺς λόγους. ἀλλ' ὅθεν ἐξέβημεν, πάλιν ἐπανιτέον, ἐπὶ τὰ σχήματα τῆς περιβολῆς. Ἐφέλκεται γὰρ νοήματα καὶ τὸ ἐπιτρέχον καλούμενον σχῆμα ἐκ τοῦ παρασυναπτικοῦ· οἷον, ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκ ἔτ' ἦν ὑπόλοιπος [50] οὐδεμία, διὰ τὸ προκατακεχρῆσθαι, καὶ τὰ ἑξῆς. ἔτι ἐφέλκονται νοήματα καὶ αἱ ὑποστάσεις· οἷον, ἐξήλεγξα [51] τὸν Φίλιππον φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνιστα-

---

Vind. οὐδέ. 43 Vind. χρήσαιτ' ἄν. 44 Ald. Port. Vind. καὶ ταῦτα κατά. Port. ad marg. γρ. καὶ ταύτῃ μετά. ita Mon. — tum Ald. τοινός. 45 Ald. Βιωτέ. Vind. Βοιωτων. — c. Boeot. περὶ τοῦ ὀνόμ. p. 1004. 46 Port. δύνασθαι omisso χρῆσθαι. 47 Vind. ἔχοι 48 Mon. λέγοιτο ἢ ἐνδ. Par. καὶ om. ad marg. γρ. εἰ ἐνδέχοιτο. γρ. καὶ εἰ ἐνδέχοιτο. 49 Vind. οὐδ' ἐντ. 50 Ald. ὑπόλιπος. — de fals. leg. p. 389. 51

μένους ὁμολογεῖν. καὶ πάλιν, ὅσην [52] εὔνοιαν ἔχων ἐγὼ διατελῶ, τοσαύτην ὑπάρξαι μοι, καὶ τὰ τοιαῦτα· ἔτι ἐφέλκονται νοήματα καὶ οἱ μερισμοί· οἷον, ἃ μὲν οὖν [53] πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγὼ, διεκωλύθη, ταῦτα ἐρῶ. ἐπεὶ δὲ πολὺ τὸ σχῆμά ἐστι τὸ τοῦ μερισμοῦ σχεδὸν ἐν παντὶ [54] λόγῳ, οὐ μόνον ἐν τῷ Δημοσθενικῷ, ἄξιόν τι καὶ [55] πλεῖον εἰπεῖν περὶ αὐτοῦ. Μερισμὸς γὰρ πᾶς ἔμφασιν μὲν πάντως ἔχει περιβολῆς διὰ τὸ ἐφέλκεσθαί τι, ἤτοι δὲ φανερὰν ἔχει [56] τὴν περιβολήν, ἢ μέχρι μὲν ἐμφάσεως περιέβαλεν, [57] ἕτερον δέ τι ἐποίησε. διὰ μακροῦ μὲν γὰρ ὅτε ἀπολαμβάνοι [58] τὴν ἀνταπόδοσιν, περιβάλλει πάντως. οἷον, τὸ [59] μὲν οὖν τὴν Φιλίππου ῥώμην διεξιέναι καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, μέχρι τοῦ, [60] ἃ δὲ καὶ χωρὶς τούτων ἔνι· ἐνταῦθα γὰρ ἡ ἀνταπόδοσις. τοῦτο δὲ τὸ παράδειγμα καὶ μεστὸν, οὐ μόνον περιβεβλημένον ἐστίν. ἔστι γὰρ ἡ μεστότης οὐδὲν ἄλλ' ἢ περιβολὴ πλεονάσασα ἐν ἑαυτῇ, [61] ὥσπερ ἂν εἴ τις λέγοι περιβολὴ περιβεβλημένη· μικρὸν δὲ ὕστερον σαφέστερον περὶ αὐτῆς ἐροῦμεν, καὶ μετ' ἐναργεστέρων παραδειγμάτων· ἀλλ' οὖν ὅ γε μερισμὸς διὰ μακροῦ μὲν ἔχων τὴν ἀνταπόδοσιν περιβάλλει τὸν λόγον, ὡς ἐλέγομεν· δι' ἐλαχίστου δὲ γοργὸν ποιεῖ. οἷον, ἑσπέρα μὲν γὰρ ἦν· ἦκε δ' ἀγγέλων [62] τις ὡς τοὺς πρυτάνεις, ὡς [63] Ἐλά-

---

pro cor. p. 272. 52 ibid. init. 53 ibid. p. 245. 54 Vind. παντὶ τῷ λόγῳ. 55 καὶ Vind. om. 56 Mon. ἔχοι. 57 Vind. περιέλαβεν. 58 Mon. ἀπολαμβάνει. 59 Ol. II. p. 18. 60 Mon. τούτου. 61 Vind. αὐτῇ et mox μικρὸν δ' ὕστ. 62 Edd. codd. ἀγγέλων. — pro cor. p. 284. 63 ὡς

Ἐλάτεια κατείληπται. καὶ πάλιν, εἶτα [64] κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί. εἰ μέντοι κατὰ συζυγίαν παραληφθείη, καὶ καλὸν ὁμοῦ καὶ ἐπιμελῆ τὸν λόγον ἐποίησεν. οἷον, παρὰ μὲν γὰρ τὰς τῶν [65] χορηγιῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις γίνεται. παρὰ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας πάντα τὸν χρόνον ἡ σωτηρία τῇ πόλει. δύο γὰρ κῶλα συντεθέντα δύο κώλοις ἑτέροις συνεζευγμένοις, ὥσπερ ἐν στροφῇ καὶ ἀντιστρόφῳ, [66] τὴν ἀνταπόδοσιν ἔχει. ἐνταῦθα δὲ τὸ κάλλος καὶ αἱ παρισώσεις ἐποίησαν, οὐ μόνον ὁ κατὰ συζυγίαν μερισμός. Ἔτι δὲ [67] οἱ μερισμοὶ ποιοῦσι μεστὸν τὸν [68] λόγον, ὅταν [69] αὐτοὶ αὑτοῖς ἐπεμβάλλωνται. [70] οἷον, εἰ μὲν περὶ καινοῦ τινος πράγματος, ὦ [71] Ἀθηναῖοι, καὶ τὰ ἑξῆς. πρὶν γὰρ ἀνταποδοῦναι, ἐπενέβαλεν [72] ἕτερον μερισμόν· εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν [73] ἦγον· εἰ δὲ μή, τότ' ἂν καὶ αὐτὸς 106 ἐπειρώμην ἃ γινώσκω λέγειν. εἶθ' ὕστερον ἡ ἀνταπόδοσις· [74] ἐπειδὴ δὲ ὑπὲρ ὧν πολλάκις εἰρήκασιν οὗτοι, συμβαίνει καὶ νυνὶ σκοπεῖν. μεσιὸς οὖν ἐγένετο διὰ τοῦτο ὁ λόγος. ὅταν τε οὖν αὐτοὶ ἑαυτοῖς ἐπεμβάλλωνται [75] οἱ μερισμοὶ, μεστότητα ποιοῦσι, καὶ ὅταν ἀλλήλων ἐξηρτημένοι ὦσιν. οἷον, τοῦτο [76] τοίνυν τὸ ψήφισμα τῷ μὲν ἑνὶ τῷ Κερσο-

---

Ἐλ. κατείληπται Mon. Vind. om. 64 pro cor. p. 230. 65 Port. ἐπὶ τῶν. — in Lept. p. 465. 66 Par. ad marg. γρ. ὥσπερ ἐν στροφῇ καὶ ἀντιστροφῇ. 67 Vind. δ' οἱ. 68 τον Mon. om. 69 Ald. Port. Mon. ὅταν τε. Vind. τε om. 70 Ald. ἐπιβάλλονται. Port. ἐπιβάλλωνται Mon. Vind. ἐπεμβάλλωνται. 71 Port. ὦ ἄνδρες Ἀθ. — Phil. I. init. 72 Vind. ἐπενέβαλλεν. 73 ἄν Mon. om. 74 Par. γρ. ἡ ἀπόδοσις. 75 Ald. ἐπεμβάλλονται. praec. ἑαυτοῖς Mon. Vind. om. 76

βλέπτῃ συμπράττοντι τὴν ἀρχὴν Χαριδήμῳ ἀσφάλειαν διδὸν,[77] τοῖς δὲ τῶν ἑτέρων βασιλέων στρατηγοῖς φόβον καὶ δέος, μή τινα αἰτίαν ἔχωσι, παριστάν·[78] εἶτα πρὶν ἀπολῦσαι τὴν διάνοιαν ἐπισυνῆψεν, ἐξαρτήσας τοῦ προτέρου ἄλλον μερισμὸν, τοὺς μὲν ἀσθενεῖς, τὸν δ' ἕνα[79] ὄντα ἰσχυρὸν καθίστησι. μεστὸν οὖν ἐποίησε τὸν λόγον. ὅλως οὖν ἡ μεστότης γίνεται, ὅταν σχήματα περιβλητικὰ δι' ἀλλήλων πλεονάσῃ κατὰ[80] ἐπεμβολὴν, ἢ κατὰ ἐξάρτησιν, ὡς προείρηται. ἢ εἰ[81] καὶ ἑτέροις περιβλητικοῖς ἕτερα τοιαῦτα οὑτωσί πως συμπλακείη,[82] οἷον μερισμῷ τῷ καθ' ὑπόστασιν, ἢ ἄλλῳ[83] τῳ ἄλλο τοιοῦτον ἐπεμβληθὲν ἢ ἐξαρτηθὲν, ὡς ἐδείξαμεν ὀλίγῳ ἔμπροσθεν. ἔστι γὰρ ἡ μεστότης οὐδὲν ἄλλ'[84] ἢ πλεονάσασα περιβολή. τὰ γὰρ ποιοῦντα τὴν περιβολὴν, εἰ πλείονα παραληφθείη κατὰ[85] ταὐτὸν, οἷον ἐπεμβολαὶ καὶ τὰ τοιαῦτα, μεστὸν ποιοῦσι τὸν λόγον. μεγάλης δὲ εὐτονίας καὶ δυνάμεως ἐν τοῖς τοιούτοις ἐστὶ τὸ σαφῶς καὶ μὴ συγκεχυμένως εἰπεῖν. τῷ ῥήτορι δὲ πολὺ τούτου[86] τὸ περιόν. ταῦτα περὶ τε μερισμοῦ καὶ μεστότητος.

Ποιεῖν δὲ ἔφαμεν περιβολὴν σχήματα οὐ μόνον τὰ ἐφελκόμενα ἕτερα νοήματα,[87] ἀλλὰ καὶ ἄλλα ἄττα,[88]

---

Port. τὸ τοίνυν ψήφ. τουτὶ τῷ μὲν ἡγουμένῳ τῶν Κερσοβλέπτου πραγμάτων ἀσφ. — c. Aristocr. p. 654. 77 Ald. διδόναι. Port. διδοῦν. Mon. Vind. διδόν. 78 Ald. Port. Codd. παριστᾶν. 79 Par. γρ. τὸν δὲ ἕνα ὄντα. 80 Vind. κατ' ἐπ. 81 εἰ Ald. Port. om., est in Mon. Vind. — Par. ad marg. γρ. εἰ καὶ ἑτ. περιβλ. 82 Ald. Port. Mon. συμπλακῇ. Vind. συμπλακείη. 83 Mon. ἄλλο τι ἄλλῳ τοιούτῳ. Vind. ἄλλο τι ἄλλῳ τοιοῦτον. 84 Par. ἄλλ' om., ad marg. γρ. ἄλλ' ἢ πλεον. 85 Ald. μετά. Port. περί. Mon. Vind. Par. κατά. Par. ad marg. παραληφθείη τὰ κατ' αὐτόν. 86 Vind. τούτου πολύ. 87 Par. γρ. ἐννοήματα. 88 Vind. ἄλλάττα [sic]. Ald. ἄλλα ἄττα.

περὶ ὧν ἀνάγκη καὶ αὐτῶν εἰπεῖν. τό τε οὖν κατὰ [89] ἄρσιν καὶ θέσιν περιβάλλει, τέλειον ποιοῦν τὸν λόγον. οἷον, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα· [90] εἶτα ἡ θέσις, ἀλλ' ὡς τῶν φυλαξόντων τοὺς ἄλλους. τοῦτο τὸ σχῆμα οὐκ ἔθεμεν ἐν τοῖς ἐφελκομένοις ἄλλα νοήματα, ὅτι καὶ [91] καθ' ἑαυτὴν ἡ ἀναίρεσις δύναται τίθεσθαι, καὶ οὐκ ἀναγκαίως αὐτῇ ἕπεται ἡ θέσις· οἷον, οὐ δι' ἐμὲ, οὐ γὰρ δὴ [92] ἔγωγ' ἀπολιτευόμην πω τότε, πρῶτον μὲν ὑμεῖς οὔπω διέκεισθε· οὐδὲν γὰρ ἐπηκολούθησε θετικὸν τῇ ἀναιρέσει. τό τε οὖν κατ' ἄρσιν καὶ θέσιν περιβάλλει σχῆμα, τέλειον ποιοῦν τὸν λόγον, καὶ τὸ ἐξ ἀναιρέσεως συμπλεκτικόν. περιουσιαστικὰ γὰρ τὰ οὕτω προφερόμενα [93] νοήματα δοκεῖ πως εἶναι· οἷον, οὐ μόνον τόδε, [94] ἀλλὰ καὶ τόδε. οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκοι τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω. [95] καὶ μὴν καὶ τὸ κατὰ ἀναστροφὴν λεγόμενον σχῆμα σφόδρα ἐμπερίβολον· οἷον, εἰ γὰρ [96] ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, καὶ τὰ ἑξῆς. καὶ πάλιν, ὃ γὰρ οἷς [97] ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων, καὶ τὰ ἑξῆς. ἡ δὲ ἐπεμβολὴ καὶ ὅλως τὸ πρὶν ἀναπαῦσαι τὴν ἔννοιαν ὑποστρέφειν καὶ ἐπεμβάλλειν ἑτέρας ἐννοίας, ὅτι περιβολῆς ἴδιον, ἱκανῶς καὶ ὀλίγῳ ἔμπροσθεν ἐν τῷ περὶ μεστότητος καὶ ἐν τῷ περὶ καθαροῦ λόγου, καὶ ὅλως ἐν πλείοσιν εἰρήκαμεν. καὶ παραδείγματα δὲ αὐτοῦ τεθείκαμεν οὐκ ὀλίγα. εἰδέναι μέντοι χρὴ, ὅτι [98] αἱ τοιαῦται ἐπεμβολαὶ

89 Vind. Mon. κατ' ἄρσιν. 90 Ald. Vind. ἡμέτερα. Port. Mon. ὑμέτερα. — de fals. leg. p. 344. 91 καὶ Mon. om. 92 δὴ Ald. Mon. om., habet Port. Vind. tum Vind. ἔγωγε. — pro cor. p. 230. 93 Vind. περιφερόμενα. 94 Vind. τάδε. 95 Mon. ὑπολαμβάνων. — Ol. I. init. 96 Ol. I. p. 77. 97 Phil. III. p. 115. 98 Mon. Vind. ὅτι αὗται αἱ ἐπεμβολαί.

καὶ ὑπτιότητα ἐξαιροῦνται τὴν ἐν ταῖς ἀφηγήσεσι, διακόπτουσαι τὸν λόγον καὶ ποιοῦσαι κατ᾽ αὐτὸ τὸ διακόψαι γοργότερον· οἷον, τοῦ[99] γὰρ Φωκικοῦ συστάντος πολέμου· εἶτα διέκοψε τὴν ἀφήγησιν ἐπεμβαλὼν τὸ, οὐ δι᾽ ἐμὲ, οὐ[1] γὰρ ἔγωγ᾽ ἐπολιτευόμην πω τότε. εἶτα ἦκε πάλιν ἐπὶ τὴν ἀφήγησιν· πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, καὶ τὰ ἑξῆς· τοιοῦτόν ἐστι καὶ τὸ, ἔστι τοίνυν[2] οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησι. καὶ ὅλως, εἴ γε βραχεῖαι εἶεν αἱ ἐπεμβολαὶ, ἀλλὰ μὴ μακραὶ, μᾶλλον γοργὸν, ἢ περιβεβλημένον ποιοῦσι τὸν λόγον. οἷον, τοῦτ᾽ ἐκεῖνον,[3] ὅπερ καὶ ἀληθὲς ὑπάρχει, ψεῦλον φαίνεσθαι. ὁρᾷς πῶς[4] εὐκίνητος καὶ γοργὸς ὁ λόγος ἐστίν; ἐγένετο δὲ διὰ τὴν ἐπεμβολὴν τὴν[5] οὖσαν βραχεῖαν, ὅπερ καὶ ἀληθὲς ὑπάρχει· οὐ μὴν ἀπήλλακταί γε πάντη
107 περιβολῆς· οὐδὲ[6] αὖ οὕτως, ὥσπερ οἰδ᾽[7] ὅτε μακραὶ εἶεν αἱ ἐπεμβολαὶ, ἀπηλλάχθαι γε ἐῶσι τὸν λόγον γοργότητος· καί τοι μᾶλλον τότε ποιοῦσαι περιβολὴν, ἢ γοργότητα. καὶ τὰ[8] μὲν κατὰ τὰς ἐννοίας καὶ μεθόδους καὶ σχήματα, καὶ εἴπερ ἄρα λέξεις[9] γένοιντ᾽ ἄν, ὡς ἐδείξαμεν, περιβολῆς, διαρκῶς ἀποδέδεικται.

Κῶλά γε μὴν ἢ συνθήκας ἢ ἀναπαύσεις ἢ ῥυθμοὺς οὐκ ἔχομεν ἴδια περιβολῆς εἰπεῖν. πάντα τε γὰρ[10] κῶλα, ὡς ἔπος εἰπεῖν, καὶ πάντας δέχεται ῥυθμοὺς τοὺς[11] ἐν πάσαις ἰδέαις καὶ πάσας συνθήκας καὶ πάσας ἀναπαύσεις. διότι καὶ τὴν περιβολὴν ἐκεῖναι δέχονται πᾶσαι,

---

99 pro cor. p. 230. 1 Vind. οὐδὲ γὰρ ἔγωγε. Port. δὴ ἔγωγ᾽. 2 de fals. leg. p. 344. 3 Ol. II. p. 19. 4 Ald. Mon. πως. Port. Vind. πῶς. 5 τὴν Mon. Vind. om. 6 Mon. Vind. οὐδ᾽ οὕτως. 7 Vind. οὐδέ. 8 Par. γρ. καὶ τὰς μὲν ἐννοίας. 9 Ald. λέξεις γένοιτ᾽ ἄν. Port. λέξεις γένοιντ᾽ ἄν. Vind. λέξις γένοιτ᾽ ἄν. 10 Mon. καί. 11 τοὺς Vind. om.

πλὴν ἴσως τῆς καθαρότητος· ἐξίσταται γὰρ αὐτῆς ἡ καθαρότης εἰ περιβληθείη. καὶ ὅλως, ὅπερ ἔλεγον κἀν τῷ περὶ αὐτῆς, ἐναντία ἐστὶ τῇ περιβολῇ· διὸ καὶ κατὰ πολλὰ ἀπὸ τῶν ἐναντίων ἀλλήλαις γίνονται ἥ τε περιβολὴ καὶ ἡ καθαρότης, εἰ καὶ μὴ κατὰ [12] πάντα. εἰ δὲ [13] ἐγχωρεῖ κατ' ἔννοιαν περιβάλλοντα τοῖς ἄλλοις καθαρὸν ποιεῖν τὸν λόγον, ἢ τὸ ἀνάπαλιν, οὐ δεῖ θαυμάζειν. ἔστι γὰρ καὶ καθαρῶς δοκοῦντα λέγειν περιβάλλειν ταῖς ἐννοίαις, τὰ παρακολουθοῦντα πάντα ἐξετάζοντα· καὶ τοὐναντίον αὖ περιβεβλημένως δοκοῦντα λέγειν καθαρὸν ἐκφέρειν τὸ νόημα [14] καὶ ψιλόν. καὶ τοῦτο οἶμαι σαφῶς ἐν τῷ περὶ καθαρότητος ἡμῖν δεδεῖχθαι.

## Cap. XII.

### ΠΕΡΙ ΕΠΙΜΕΛΕΙΑΣ ΚΑΙ ΚΑΛΛΟΥΣ.

Μετὰ τὸν περὶ σαφηνείας τε καὶ ἀξιώματος τοῦ κατὰ μέγεθος λόγον ἀκόλουθον ἂν εἴη λέγειν περὶ ἐπιμελείας τε καὶ κάλλους τοῦ κατ' αὐτόν. δεῖ γὰρ τῷ [1] σαφεῖ τε καὶ ὄγκον ἔχοντι καὶ ἀξίωμα λόγῳ πάντως καὶ κάλλους τινὸς καὶ εὐρυθμίας, εἴπερ μὴ ὡς ἀγλευκής τις γενήσεσθαι μέλλοι. τούτῳ δ' ὅτι μὲν ἐναντίον ἐστὶ τὸ ἀμελὲς καὶ ἄῤῥυθμον [2] καὶ κατὰ σύνταξιν εὐτελές, δῆλον. εἰ δέ που καὶ τὸ τοιοῦτον χρήσιμον, ὥσπερ ἐν τραχύτητί τε καὶ σφοδρότητι, ἑτέρου λόγου. ἀλλὰ περὶ κάλλους [3] λεκτέον καὶ τῆς ἐπιμελείας. Κάλλος μὲν [4] τοίνυν τὸ ἐν λόγῳ κυρίως μὲν εἴη [5] ἂν τὸ ἐκ πάντων τῶν ποι-

12 κατὰ Vind. om. 13 Mon. Vind. δ' ἐγχ. 14 Vind. Mon. ἐννόημα.

1 Ald. τό. 2 Edd. Codd. ἄρυθμος. 3 Vind. Mon. κάλλους τε. 4 μὲν Vind. om. 5 Ald. οἴη.

οὐντων τὰς ἰδέας αὐτοῦ πάσας, οἷον, ἐννοιῶν, μεθόδων, λέξεων καὶ τῶν λοιπῶν, εὐάρμοστον καὶ σύμμετρον μετά τινος ἐμφαινομένης δι' ὅλου τοῦ λόγου ποιότητος ἤθους μιᾶς πρεπούσης τῇ ἰδέᾳ, καθάπερ ἐν [6] σώματι χρῶμα. λέγω δὲ ταὐτὸν εἴτε κατὰ μίαν αὐτῶν ἑκάστην ἐργάζεσθαί τις προαιροῖτο, [7] εἴτε καὶ πάσας μιγνὺς, ὡς πεφύκασι μίγνυσθαι, τὸν ποικίλον τε καὶ Δημοσθενικὸν καὶ ὄντως [8] πολιτικὸν μετιὼν λόγον, εἴτε καί τινας αὐτῶν τισι συναρμόττειν. ἐπειδὴ γὰρ [9] καθόλου τὸ κάλλος ἐστὶ συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας, δι' ὧν λόγος [10] τις γίνεται, εἴτε ἰδεῶν ὅλων μιγνυμένων εἰς ταὐτὸν, εἴτε καὶ τῶν συμπληρούντων ἑκάστην ἰδέαν (ταῦτα γὰρ οἷον μέλη καὶ μέρη ἐστὶν αὐτοῦ), δεῖ δήπουθεν, εἰ μέλλοι [11] καλὸς ἔσεσθαι, ἄν τε ποικίλος, ἄν τε μονοειδὴς ᾖ, συμμετρίαν ἔχειν τούτων, ὅ ἐστιν εὐαρμοστίαν, καί τινα ἐπανθεῖν αὐτῷ οἷον εὔχροιαν, τὴν ἐμφαινομένην διόλου μίαν τοῦ ἤθους ποιότητα, ἣν δὴ καὶ φύσει τινὲς χρῶμα λόγου ὀνομάζουσι. καὶ [12] τοῦτό ἐστι τὸ κάλλος, ὅ μοι δοκεῖ καὶ ὁ Πλάτων [13] εἰπεῖν, φάσκων δεῖν ἔχειν τὸν λόγον κεφαλήν τε καὶ ἄκρα καὶ μέσα πρέποντα ἀλλήλοις τε καὶ τῷ ὅλῳ σώματι, ἀλλὰ μὴ χύδην ἕκαστα βεβλῆσθαι, εἰ καὶ καλὰ εἴη καθ' ἑαυτά· [14] οὐ γὰρ δύνασθαί

---

6 ἐν Mon, om. 7 Ald. προαιρεῖτο. Port. προαιροῖ, Vind. προαιροῖτο. 8 Mon. Vind. ὡς ὄντως. 9 Tzetz. δέ. — Ad rem cfr. Schol. Theocrit. VIII. 72. κάλλος γάρ ἐστι συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας. Clem. Al. Paedag. III, 11. p. 291. 29. συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας. Strom. IV. 26. p. 638, 20. τὰ δὲ μέλη καὶ μέρη πρὸς τὸ καλὸν οὐ πρὸς ἡδονὴν εὖθετα. Protrept. p. 8, 12. εἴ πως οἷόν τε κἂν παρὰ μέρος ἢ μέλος τὸν ἄνθρωπον ὑγιᾶναι. Alia vide apud Boisson. ad Aristaen. p. 211. sq. 10 Vind. δὲ λόγος. Tzetz. δὴ λόγ. 11 Ald. Port. Vind. μέλοι. Mon. marg. Vict. Tzetz. μέλλοι. 12 Ald. ὀνομάζουσιν. εἰ καί. Port. Mon. Vind. Tzetz. εἰ om. 13 Phaedr. p. 264. c. 14 Vind. αὐτά.

ποτε οὕτω γενέσθαι καλὸν λόγον.[15] καὶ τοῦτο αἰτιᾶταί γε τοῦ Λυσίου ἐρωτικοῦ, ὡς ταῖς ἐννοίαις οὐκ εὐαρμόστως αὐτοῦ χρησαμένου, οὐδὲ τῇ τάξει. οὐ μὴν τὰς ἐννοίας γε αὐτὰς αἰτιᾶται, οὐδὲ τὴν λέξιν, ἐπεὶ ταῖς γε ἐννοίαις καὶ αὐτὸς χρῆται[16] ταῖς αὐταῖς. τὴν δ' αὖ λέξιν καὶ πάνυ ἐπαινεῖ, σφόδρα[17] εὖ φάσκων, τοῖς τε ὀνόμασι καὶ τοῖς ῥήμασι τὸν λόγον ἀποτετορνεῦσθαι, καὶ οὐκ ἀγενῶς[18] εἰρῆσθαι τὸ ἐπιὸν τῷ ῥήτορι· ἀλλὰ περὶ μὲν Λυσίου καὶ 108
τοῦ Λυσίου λόγου, εἴτ' οὖν παντὸς, εἴτε καὶ αὐτοῦ μόνου τοῦ ἐρωτικοῦ, τανῦν ἀναβεβλήσθω, ἐπὶ δὲ τὸ προτεθὲν ἐπανιτέον. κάλλος γὰρ λόγου κυρίως μὲν ὃ προείρηται εἶναι λέγοιτ' ἄν. ἐπεί δέ ἐστί τινα[19] ἃ δὴ[20] σαφῶς ἐκπρέπει[21] τῶν ἄλλων πολλάκις ἐν τῷ λόγῳ, οἷον κόσμος τις ἐπικείμενος ἔξωθεν κομμωτικὸς,[22] ᾧ μόνῳ καὶ τὸ[23] τοῦ κάλλους τινὲς τοῦ ἐν λόγῳ ἀπέδοσαν ὄνομα, καὶ περὶ οὗ καὶ Ἰσοκράτης φησὶν, ὅτι τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ποιεῖ. περὶ παρισώσεων

15 Tzetz. τὸν λόγον. tum Vind. καὶ τοῦτό γε αἰτ. τοῦ. 16 Vind. χρῆταί γε. 17 Vind. πάνυ ἐπαινεῖ σφόδρα· εὖ φάσκ. ὁ 18 Ald. Mon. ἀγεννῶς. Port. Vind. ἀγενῶς. Mox Vind. ἐπιων. Male interpres reddit τὸ ἐπιὸν, sequentia: est potius: quidquid primum in buccam venit: Koen. ad Greg. Cor. p. 198. Schaef. 19 Sicel. p. 325. ἐπεὶ δ' ἐστί τινα μέχρις ἐνταῦθα ἡ ἀπόδοσις τοῦ μὲν ἐκταθέντος ταῖς ἐπεμβολαῖς καὶ μεστοῦ γενομένου λόγου. τὸ ἐπεὶ δὲ ἀπόδοσίς ἐστιν. Ad hunc Hermogenis locum spectare censeo Eustathium ad Il. Σ. 101. sqq. ἢ τοίνυν ἀπλήρωτος μεμένηκεν, ὡς ἐρρέθη, ὁ ἐπεὶ σύνδεσμος, καὶ οὕτω χωλεύει ὡς ἀναπόδοτος ὁ λόγος, ὁποῖόν τι καὶ ὁ Κίλιξ ῥήτωρ ἡ ἐν τῷ περὶ ἰδεῶν παρασημειοῦται κ. τ. λ. 20 Vind. δεῖ. 21 Ald. ἐκτρέπει. Port. Mon. Vind. ἐκπρέπει. 22 Ald. Vind. κομμοτικῶς. Port. κομμωτικός. Mon. κομματικὸς, ὃ μόνος. cfr. Hemsterh. ad Aristoph. Plut. p. 398. sq. ed. Lips. 23 Port. τῷ. Vind. τὸ τοῦ καλλ. τοῦ ἐν λόγῳ τινές.

καὶ τοιούτων τινῶν λέγων ταῦτ' εἴρηκεν ἐν Παναθηναϊκῷ. [24] Φαίνεται δὲ οὐκ ὀλίγῳ καὶ τούτῳ χρησάμενος ὁ Δημοσθένης, καὶ ἀναγκαῖον ὂν οὐδενὸς ἧττον τῶν τε προειρημένων ἰδεῶν τοῦ λόγου καὶ τῶν ῥηθήσεσθαι μελλουσῶν, ἐπειδὴ [25] ταῦτα οὕτως ἔχει, δεῖ δὴ καὶ περὶ τούτου τοῦ κάλλους εἰπεῖν.

Εἰδέναι οὖν χρὴ πρῶτον, ὅτι τὸ τοιοῦτον κάλλος περὶ τὴν λέξιν μόνην ἐστὶ καὶ τὰ ἑπόμενα τῇ λέξει, σχήματα λέγω καὶ κῶλα, συνθήκας τε καὶ ἀναπαύσεις, καὶ τὸ ἐκ τούτων γινόμενον, τοὺς ῥυθμούς. Ἔννοιαι δὲ αὐταὶ καθ' ἑαυτὰς, ἢ μέθοδοί τινες τοῦ τοιούτου κάλλους οὐκ εἰσὶ, πλὴν εἴ τις [26] λέγοι τὴν δριμύτητα, περὶ ἧς ὀλίγῳ [27] ὕστερον ἐροῦμεν, ὅτε περὶ ἀφελείας τε καὶ γλυκύτητος λέγομεν. ἀλλὰ πρῶτόν γε περὶ τῶν λέξεων, περὶ γὰρ [28] τῶν ὁμολογουμένων πρῶτον [29] λεκτέον.

Λέξις τοίνυν καλὴ πᾶσα, ἥπερ καὶ καθαρά. αἱ γὰρ τραχεῖαι καὶ τροπικαὶ ἐναργεῖς μὲν εἶεν ἂν, καὶ ἴσως καὶ ἄλλο τι, ὥσπερ καὶ τὸ, [30] ἐμὲ γοῦν, ὦ ἄνδρες [31] Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ἐλάνθανε· καὶ τὸ, [32] ἐκμενευρισμένοι, καὶ ὅσαι τοιαῦται. καλαὶ δὲ, ὡς ἐν τοιούτῳ κάλλει οὐκ εἰσί. ταῦτά τοι καὶ ὁ [33] Ἰσοκράτης μάλιστα κάλλους πεφροντικὼς ἥκιστα ἐχρήσατο ταῖς τροπικαῖς. πλεῖον δὲ τὸ [34] τῆς ἐπιμελείας καὶ τοῦ κάλλους ἔχουσιν αἱ μικραὶ τῶν λέξεων, καὶ δι'

---

24 Panath. init. — tum Vind. καὶ τούτῳ δὲ οὐκ ὀλίγῳ χρησάμενος ὁ Δημ. φαίνεται. 25 Vind. ἐπεὶ δὲ ταῦθ' οὕτως ἔχει. 26 Par. ad marg. γρ. πλὴν εἰ μή τις λέγοι. 27 Mon. ὀλίγον. 28 γὰρ et sq. πρῶτον Mon. om. 29 Vind. πρώτως. In Mon. sequitur tit. περὶ λέξεων. 30 Vind. ὥσπερ καί με γοῦν. Mon. ὥσπερ τὸ, καί μέ γοῦν. 31 ἄνδρες Ald. Vind. om., habet Port. Mon. — de fals. leg. p. 545. 32 Vind. τὸ om. Mon. καὶ ἡ. Ol. III. p. 37. 33 ὁ Vind. om. 34 Mon. πλεῖον δὲ τοῦ κάλλους καὶ τῆς ἐπιμελείας.

ὀλίγων συγκείμεναι συλλαβῶν· οἷον, περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς [35] ἐμοῦ δεῖ.

Σχήματα δὲ καλὰ καὶ [36] ἐκπρεπῆ ποιεῖ τὸν κόσμον, καὶ σαφῶς τὸ κεκαλλωπίσθαι ἐνδείκνυται, αἵ τε παρισώσεις, αἵπερ καὶ πλεονάζουσι παρὰ τῷ Ἰσοκράτει· εἰσὶ δὲ καὶ παρὰ τῷ ῥήτορι, οὐ μὴν τοσαῦταί γε οὐδὲ τοιαῦται. μάλιστα δ' ἐκεῖναι παρ' αὐτῷ σπάνιαι, ὅσαι τὸ καθ' αὑτὰς ἀκριβὲς ἔχουσιν. οἷόν ἐστι καὶ τὸ, τῇ τε [37] πόλει βοηθεῖν οἴεται δεῖν καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι [38] ποιεῖν. τοιαύτην γὰρ παρίσωσιν καὶ οὕτως ἐπιτετηδευμένην οὐδεμίαν εὑρεῖν ἑτέραν [39] ἔχομεν παρά γε τῷ ῥήτορι. ἀλλὰ τὴν μὲν αἰτίαν, δι' ἣν ἐνταῦθα ἐπετήδευσεν οὕτω κεκοσμημένον προσκόρως τὸν λόγον εὐθὺς ἐν [40] προκαταρκτικοῖς παραοχέσθαι, θεωροῦντες τὸν λόγον αὐτὸν τὸν κατ' Ἀνδροτίωνος εἰρήκαμεν. ὅτι δ' οὖν σπανίως χρῆται τῷ τοιούτῳ, φανερόν. οὐ μὴν ταῖς γε παρισώσεσιν αὐταῖς σπανίως· ἀλλὰ χρῆται μὲν αὐταῖς μετρίως, μετὰ μέντοι τινὸς παραμυθίας. ἤτοι [41] γὰρ διακόπτων αὐτὰς ἐξ ἐπεμβολῆς τινος τῷ λόγῳ καταμίγνυσιν, [42] ἢ ἐναλλάττων τὰς συλλαβὰς τὰς κατὰ τὸ τέλος παρισούσας [43] τὰ κῶλα, ἢ ταῖς κατὰ τὸ [44] κῶλον ἅπαν [45] παρισώσεσιν, οὐχὶ ταῖς κατὰ τὸ τέλος συλλαβαῖς ἴσαις χρώμενος, ὥσπερ ἐχρήσατο ἴσαις ταῖς [46] κατὰ τὸ τέλος συλλαβαῖς, ἐν τῷ ἅμα τῇ τε πόλει βοηθεῖν ᾤετο [47] δεῖν. καὶ οἷα μυρία τις ἂν λά-

35 Ald. Vind. ἡμᾶς. Port. Mon. ὑμᾶς. — pro cor. init. Sequitur in Mon. tit. περὶ σχημάτων. 36 Port. ἃ καί. 37 τε Mon. Vind. om. 38 Vind. πειράσομαι κἀγώ. — c. Androt. init. 39 Mon. ἑτέραν εὑρεῖν. 40 Vind. ἐν τοῖς προκ. 41 Ald. Mon. εἴτοι, Port. Vind. ἤτοι. 42 Mon. Vind. καταμίγνυσι τῷ λόγῳ. 43 Ald. Vind. παριούσας. Port. marg. Vict. Mon. παρισούσας. 44 τὸ Mon. Vind. om. 45 Vind. ὅλως. 46 Vind. Mon. ταῖς γε κατά. sq, τὸ Mon. om. 47 Mon. οἴεται.

βοι παρ' Ἰσοκράτους. οὔκουν ὁ Δημοσθένης οὕτως, ἀλλὰ κατ' ἐκείνους τοὺς τρεῖς τρόπους, ἢ διακόπτων, ὡς ἐλέγομεν, ἢ ἐναλλάττων τὰς παρισούσας συλλαβάς, ἢ κατὰ κῶλον παρισῶν ἅπαν. διακόπτει[48] μὲν οὖν τὰς παρισώσεις κατ'[49] ἐπεμβολὰς οὕτως· τὸ μὲν γὰρ πολλὰ[50] ἀπολωλεκέναι κατὰ τὸν[51] πόλεμον τῆς ἡμετέρας[52] ἄν τις ἀμελείας θείη δικαίως· τὸ δὲ μήτε[53] πάλαι τοῦτο πεπονθέναι (καὶ ἡ ἐπεμβολὴ) πεφηνέναι τέ τινα ἡμῖν[54] συμμαχίαν τούτων ἀντίῤῥοπον, ἂν βουλώμεθα[55] χρῆσθαι· εἶθ' οὕτως ἀπέδωκε τὸ ἴσον κῶλον τῷ ἐξ ἀρχῆς, τῆς παρ' ἐκείνων εὐνοίας[56]. εὐεργέτημ' ἂν ἔγωγε[57] θείην. 109 διακόπτει μὲν οὖν οὕτως κατ' ἐπεμβολήν. ἐναλλάττει δὲ τὰς συλλαβὰς τὰς κατὰ τὸ τέλος ποιούσας[58] τὰς παρισώσεις οὕτως, οἷον[59] τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων[60] τοιοῦτον ἐγένετο. εἰ γὰρ ἐκείνως εἶπε, τὸ μὲν τοίνυν Φιλίππου μὲν ἐν τῇ πρεσβείᾳ κλέμμα, τουτωνὶ δὲ[61] δωροδόκημα, σαφὴς ἂν ἦ πρὸς κάλλος ἐγένετο ἐπιβουλὴ τοῦ λόγου. διὰ[62] τοῦτο οὖν ἐνήλλαξεν. ὅμοιον τούτῳ κἀκεῖνο, τὸ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι[64] τἀληθῆ, καὶ μηδὲν ὧν προσ-

---

48 Vind. διασκόπει. 49 Vind. κατὰ ἐπεμβολάς. 50 Mon. πολλ' ἀπολ. — Ol. I. p. 12. 51 τὸν Vind. om. 52 Port. Vind. ὑμετ. tum Mon. ἄν τις θείη. 53 Vind. τὸ μηδὲ μήτε πάλαι. sqq. καὶ ἡ ἐπεμβολὴ Vind. om. 54 Port. ὑμῖν. 55 Ald. βούλομεθα [sic]. 56 Ald. εὐνείας. tum Vind. εὐεργέτημα ἄν. 57 Mon. ἐγώ. 58 Mon. παρισούσας. 59 οἷον Port. om. — pro cor. p. 236. 60 Port. addit: ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν. 61 Ald. Mon. δέ. Port. Vind. τό. 62 ἐγένετο Vind. om. 63 διὰ τοῦτο οὖν ἐνήλλαξεν Mon. om. Vind. διὰ τοῦτ' οὖν. 64 Ald. ἀκοῦσθαι. — de fals. leg. p. 343.

ετάξατε ὑμεῖς πεποιηκότα καὶ ἀνηλωκέτα τοὺς χρόνους. τὰ γὰρ παρισοῦντα εἰ κατὰ τὸ τέλος ἔθηκεν, ἐκπρεπῶς ἂν [65] ἐκεκαλλώπιστο αὐτῷ ὁ λόγος, πόρρω δὲ ἂν ἦν τοῦ πιθανοῦ· οἷον εἰ οὕτως εἶπε, μηδὲν [66] ἀληθὲς ἀπηγγελκότα καὶ τὸν δῆμον ἀκοῦσαί μου τἀληθῆ κεκωλυκότα καὶ τοὺς χρόνους κατανηλωκότα, [67] καὶ μηδὲν ὧν προσετάξατε [68] πεποιηκότα. ἔφυγεν οὖν τὸ τοιοῦτον. πολλὰ δέ ἐστιν [69] αὐτοῦ παραδείγματα, εἴ τις ἐθέλοι [70] ζητεῖν. ἐπεὶ καὶ τὸ, ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ τοῦ [71] Φιλίππου ζητοῦντος, τοιοῦτόν ἐστιν, ἀλλ' οὗτος μὲν ἔφυγε τὴν τοιαύτην παρίσωσιν, ἅτε τὴν τελείαν περὶ τοὺς [72] λόγους ἐπιστήμην ἔχων· ὁ δὲ Ἰσοκράτης οὐκ ἂν ἔφυγεν, ἀλλὰ καὶ [73] μὴ οὖσαν φύσει παρίσωσιν ἐβιάσατο ἂν γενέσθαι, διὰ τὸ μέλειν [74] αὐτῷ κάλλους μᾶλλον καὶ ἐπιμελείας, ἢ πιθανότητος καὶ ἀληθείας. ταῖς μέντοι καθ' ὅλον κῶλον [75] παρισώσεσι καὶ πάνυ χρῆται ὁ Δημοσθένης. τὰ γὰρ τοιαῦτα τοῦ κάλλους οὐκ ἀπηλλαγμένα τὸ γοργὸν οὐδὲν ἧττον ἔχει καὶ ἀληθές. οἷον, τὸ λαβεῖν [76] οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ; τρισὶ γὰρ κώλοις, καὶ δι' ὅλων ἴσοις, κομμάτιον [77] ἓν ἐπήγαγε, τὸ, παρανόμων γράφῃ. καὶ πεποίηκε κάλλος δαιμόνιον ὁμοῦ τῷ γοργῷ καὶ σφοδρῷ κατὰ τὴν ἀποστροφήν. πολλαῖς καὶ τοιαύ-

65 Vind. μὲν ἄν. 66 Port. καὶ μηδέν. 67 Port. κατηναλωκότα. 68 Mon. προσετάξατε ὑμεῖς. 69 Vind. δ' ἔστιν. 70 Ald. Mon. ἐθέλει. Port. Vind. ἐθέλοι. 71 τοῦ Vind. om. — pro cor. p. 235. 72 τοὺς Mon. Vind. om. 73 καὶ Mon. om. 74 Ald. μέλλειν. Vind. μέλλειν. Port. marg. Vict. Mon. μέλειν. 75 Vind. λόγον. supra lin. γρ. κῶλον. 76 pro cor. p. 267. 77 Vind. κόμμα τι ἕν.

ταις Ἰσοκράτης κέχρηται παρισώσεσι, πλὴν οὐ κατὰ [78] ἀποστροφήν. σχεδὸν γὰρ οὐδ' ὅλως ἐστὶ παρ' αὐτῷ τὸ σχῆμα τοῦτο. [79] γίνονται δὲ αἱ παρισώσεις καὶ κατ' ἀρχὰς καὶ κατὰ τέλος. καὶ κατ' ἀρχὰς μέν· οἷον, προσήκει προθύμως. [80] καὶ ὁ Πλάτων, [81] Παυσανίου δὲ παυσαμένου, διδάσκουσι γάρ με ἃ λέγειν οἱ σοφοί. κατὰ τέλος δὲ ὅπως αἱ παρισώσεις γίνονται, δέδεικται ἔμπροσθεν· οἷον, τῇ [82] τε πόλει βοηθεῖν ᾤετο δεῖν καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, καὶ τὰ ἑξῆς. αἵ τε οὖν παρισώσεις καλλωπίζουσιν, ὥσπερ [83] ἐλέγομεν, καὶ αἱ κατὰ κῶλον ἐπαναφοραί· οἷον, μέχρι τούτου [84] Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον. μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας. ἐπαναφέρει γὰρ ἐπὶ τὸ αὐτὸ [85] μέρος τοῦ λόγου. διαφέρει δὲ παρισώσεως τῆς κατ' ἀρχὰς τὸ σχῆμα τοῦτο, ᾗ ἐκεῖ μὲν συλλαβή ἐστιν ἡ αὐτὴ [86] ἐπ' ἀμφοῖν τοῖν κώλοιν· εἰ δὲ καὶ πλείους, ἀλλ' οὐ λόγου γίνεται [87] μέρος ὁλόκληρον. ἐνταυθοῖ δὲ ὅλη τις λέξις. καὶ ὃ μὲν ἂν ᾖ ἐπαναφορὰ, καὶ παρίσωσίς ἐστιν ἡ κατ' ἀρχάς. ὃ δ' ἂν παρίσωσις ᾖ κατ' ἀρχὰς, οὐκέτι καὶ [88] ἐπαναφορά. οὐδὲν δὲ θαυμαστὸν, εἴ τι καὶ λαμπρὸν ἢ ἀκμαῖον ἔχει τὸ προειρημένον παράδειγμα. συγγένειαν γὰρ [89] κάλλει πρὸς λαμπρότητα ἐν ἅπαντι σχεδὸν πράγματι, [90] διὰ δὲ τοῦτο καὶ πρὸς ἀκμήν. τὰ γὰρ ἀκμαῖά τε [91] καὶ ὡραῖα, καὶ σώματα, καὶ ὅ, τι βούλει, πάντως λαμπρὰ [92] καὶ καλά. οὐ μὴν τὸ ἀνάπαλιν. καλὸν γὰρ [93]

78 Vind. κατ' ἀποστρ. 79 Vind. τοῦτο τὸ σχῆμα. 80 Ol. I. init. 81 Symp. p. 185. c. 82 c. Androt. init. 83 Mon. Vind. ὅπερ. 84 pro cor. p. 241. 85 Mon. Vind. ταὐτό. 86 ἡ αὐτὴ Mon. om. — Sq. καὶ Port. om. 87 γίνεται Vind. om. 88 καὶ Mon. Vind. om. 89 Vind. γὰρ λαμπρότητι πρὸς κάλλος. 90 Par. γρ. παραδείγματι. 91 τε Vind. om. 92 Mon. καὶ λαμπρὰ καὶ καλά. Vind. καὶ καλὰ καὶ λαμπρά. 93 Mon. γάρ τι.

δύνατaί τι καὶ μὴ ἀκμαῖον εἶναι μηδὲ λαμπρόν. αἱ μέντοι ἐπαναφοραὶ εἰ κατὰ κόμματα [94] γίνοιντο, γοργὸν ποιοῦσι τὸν λόγον, ἀλλ᾽ οὐ καλόν· οἷον, προσιὼν [95] μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ. ἐνταῦθα δὲ καὶ ἡ τάχειᾶ τοῦ μερισμοῦ ἀπόδοσις τὸ γοργὸν ἐποίησεν. ἔτι καλλους ποιητικὸν τὸ τοιοῦτον [96] σχῆμα, ἡ ἀντιστροφή. ἔστι δὲ τοῦτο ἐναντίον πως τῇ ἐπαναφορᾷ, κατὰ τὸ τέλος ἐχόντων τῶν κώλων τὴν αὐτὴν λέξιν. καὶ διαφέρει γε πάλιν καὶ τοῦτο τῆς παρισώσεως τῷ αὐτῷ, ὥπερ [97] καὶ ἡ ἐπαναφορά. παράδειγμα τοῦ σχήματος· οἷον, [98] ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ᾽ ἀναλώσας λάθῃ, συναναλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. καὶ πάλιν, πράττεταί τι τῶν ὑμῖν [99] δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν οἷον [1] οὐκ ἔδει; πάρεστιν Αἰσχίνης. καὶ πάλιν, [2] πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει. πρὸς δὲ τὰς καταλλαγὰς, ἃς ἂν ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει. σπάνιον δὲ καὶ τοῦτο παρὰ τῷ ῥήτορι τὸ σχῆμα. καὶ αὐτὸ μέντοι, εἰ κατὰ κόμμα λέγοιτο, [3] γοργὸν ποιεῖ τὸν λόγον, ἀλλ᾽ οὐ καλλωπίζει· οἷον, ταξιάρχους [4] παρ᾽ ὑμῶν, ἱππάρχους παρ᾽ ὑμῶν. εἰ δὲ [5] ἔχει τι καὶ ἐναργείας κἀνταῦθα κἀν τῇ ἐπαναφορᾷ, ἑτέρου λόγου.

---

94 Mon. κόμμα. 95 de fals. leg. p. 344. 96 Vind. τοιοῦτο. 97 Vind. ὥσπερ. 98 Vind. οἷον om. — Ol. I. p. 12. 99 Ald. Port. ἡμῖν. Vind. Mon. ὑμῖν. — pro cor. p. 294.

1 Ald. Port. ὅ. Mon. Vind. οἷον. 2 Ol. I. p. 10. 3 Vind. γένοιτο. 4 Phil. I. p. 47. 5 Vind. δ᾽ ἔχει τι καὶ ἐν. κἀν τῇ ἐπαναφορᾷ κἀνταῦθα. Par. ad marg. γρ. καὶ ἐναργείας κάλλος.

Καὶ μὴν καὶ ἡ ἐπαναστροφὴ τὸ σχῆμα τῶν καλλωπιζόντων. γίνεται δὲ, ὅταν τὸ τέλος τοῦ κώλου ἑτέρου κώλου τις ἀρχὴν ποιήσηται. οἷον, οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται [6] διώκειν δι' ἐμὲ, ἐμὲ δὲ εἴπερ ἐξελέγχειν ἐνόμιζεν αὐτὸν, οὐκ ἂν ἐγράψατο. ἐμφανὲς δὲ τὸ [7] τῆς ἐπιβουλῆς γίνεται καὶ τὸ τοῦ ἐπιτηδεύματος, ὅταν τις μίαν λέξιν μερίσας τὰς τελευταίας αὐτῆς [8] συλλαβὰς ἀρχὴν τοῦ ἐπιφερομένου ποιήσηται κώλου. ὡς ὁ Θουκυδίδης, Σαμία μία ναῦς. [9] καὶ, αὐτίκα [10] βοὴ ἦν. καὶ παρὰ τῷ ποιητῇ,

Πρόθοος [11] θοὸς ἡγεμόνευε.

τὸ οὖν [12]

Τοῦδ' ἐγὼ [13] ἀντίος εἶμι καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος [14] δ' αἴθωνι σιδήρῳ.

ἐπαναστροφὴ ὖν, οὐκ ἔσθ' ὅμοιον τοῖς προειρημένοις, οὐδ' ὁμοίως ἐπιβεβουλεῦσθαι δοκεῖ, διότι μὴ συλλαβαῖς, ἀλλὰ μηδὲ λέξει, κόμματι δὲ ὅλῳ ἀντέστραπται. [15]

Ἔτι τῶν ἐπιφανῶς καλλωπιζόντων ἐστὶ μετὰ ἐναργείας καὶ τὸ κλιμακωτὸν καλούμενον σχῆμα, ὃ δὴ σπάνιον παρὰ τῷ ῥήτορι, μᾶλλον δὲ οὐδὲ σπάνιον, ἀλλ' [16] ἅπαξ ἢ δὶς εἰρημένον. ἔστι δὲ οὐδὲν ἀλλ' [17] ἢ πλεονά-

---

6 Ald. Mon. δύναιτ' ἄν. Port. Vind. δύναται. pro cor. p. 229. 7 Vind. καὶ τό. 8 Vind. αὐτῇ. 9 Port. Σαμίαν μίαν. ex Thuc. III. 16. Eustath. ad Il. *E.* p. 436. ὅρα δὲ καὶ τὸ, τοῖον οἷον, σχῆμα ὂν κάλλους ποιητικὸν, ὁμοίως τῷ, Σαμία μία ναῦς, καὶ, τλαμία μία, καὶ τοῖς τοιούτοις, ὅπερ ἐπαναστροφὴν καλοῦσιν οἱ ῥήτορες. Marg. Vict. conferre iubet Isocratis locum ex arte ipsius sumtum apud Planud. p. 469. 10 Thuc. III. 22. 11 Il. β. 758. 12 τὸ οὖν Vind. om. 13 Ald. ἐγών, — Il. υ, 371. 14 Ald. Mon. δέμας, Port. Vind. μένος. 15 Ald. Port. ἀνέστρεψεν. Mon. Vind. ἀντέστραπται. 16 Vind. ἀλλὰ ἅπ. 17 Mon. Sicel. p. 349. ἄλλο. tum Sicel. legens ἐπαναστροφὴ notat: τὴν ἐπαναστροφὴν λέγει ἀναστροφὴν,

ζουσα ἀναστροφή. οἷον, οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δὲ, οὐδ' ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ. οὐδ' [18] ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δέ. αἱ δὲ ταχεῖαι τῶν μερισμῶν ἀποδόσεις καὶ αἱ βραχυκωλίαι πεποιήκασιν εἶναι καὶ γοργὸν τὸν λόγον, ἢ εἰ [20] διὰ τὰς πολλὰς ἀναιρέσεις γέγονέ πως καὶ εὐειδὴς, ἑτέρου λόγου· καίτοι πως καὶ τὸ εὐειδές ἐστι τοῦ κάλλους ἴδιον καὶ αἱ ἀναιρέσεις [21] αὐταί. ἀλλ' εἰ καὶ μὴ ἦν ἴδιον, πολλάκις ἐμαρτυράμην ὡς τῶν χαλεπωτάτων ἐστὶν εὑρεῖν ὁτιοῦν παρὰ τῷ ῥήτορι τοιοῦτον, οἷον, ἐπιπολὺ μιᾶς ἰδέας εἶναι. ποικιλώτατος γὰρ ὁ ἀνὴρ ἁπάντων, καὶ σχεδὸν ἐν ἅπαντι μέρει τῶν ἐκείνου πάντ' [22] ἂν εὕροις. οὕτω τῇ κράσει καὶ τῇ μίξει τῶν ἰδεῶν κάλλιστα κέχρηται. διήκουσι γὰρ δι' ἀλλήλων σχεδὸν ἅπασαι παρά γε τούτῳ, [23] καὶ καθάπερ ἐκ συμφθάρσεως ἕν τι λόγου πεποιήκασιν εἶδος, τὸ κάλλιστον δὴ τοῦτο καὶ πολιτικὸν ὡς ἀληθῶς καὶ Δημοσθενικόν. περὶ δὲ τοῦ πολιτικοῦ λόγου πληρώσαντες τὸν περὶ ἰδεῶν τῶν γενικῶν λόγον ἀκριβέστερον λέξομεν.

Ἔτι κάλλους ποιητικοὶ καὶ οἱ κατὰ συζυγίαν μερισμοὶ διὰ τὰς ἰσοκωλίας, ὡς ἐν τῷ περὶ τῆς περιβολῆς ἐδείκνυμεν. καὶ τὸ ὑπερβατὸν δὲ, εἰ μὴ κατὰ παρένθεσιν γίνοιτο, ἀλλὰ καθ' ὑπέρθεσιν, κάλλος ποιεῖ· ἔστι δὲ τὸ μὲν [24] καθ' ὑπέρθεσιν ὑπερβατὸν τοιοῦτον· οἷον τὴν τοῦ διαπράξασθαι ταῦθ' ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺς, [25] δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος. τὸ δὲ κατὰ παρένθε-

εἰ μὴ σφάλμα γραφικόν ἐστι, δεόμενον εἶναι ἀπαναστροφή. ἐπαναστρέφει γὰρ καὶ τὸ τέλος τῶν προτέρων κώλων ἀρχὴν ποιεῖται τῶν δευτέρων. 18 Mon. οὐκ. — pro cor. p. 288. 19 Ald. Port. αἱ δέ. Mon. Vind. εἰ δ' αἱ. 20 Port. εἰ δέ. Ald. Mon. Vind. ἢ εἰ. 21 Mon. Vind. ἀγαιρέσεις γε αἱ αὐταί. 22 Vind. πάντα ἂν εὕροις. οὕτω καὶ κράσει καὶ μίξει. 23 Mon. τούτου. 24 μὲν Mon. om. 25 Vind. βασ. ἄλλος Μακεδ. — Ol. II. p. 22.

σιν ἐξ ἐπεμβολῆς [26] γίνεται· οἷον, τοῦτ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς [27] ὑπάρχει, φαῦλον [28] φαίνεσθαι· τί δὲ ἐργάζεται ἡ ἐπεμβολή, εἰρήκαμεν ἐν τῷ περὶ περιβολῆς. ὅτι βραχεῖα μὲν εἴπερ εἴη, γοργότητα μακροτέρα δὲ εἰ γένοιτο, περιβολήν· εἰ δὲ πλεονάσειε, μεστότητα.

Ἔτι σχήματα καλλωπίζει πως καὶ τὰ καινοπρεπῆ. οἷον, ὑμεῖς [29] δ' ὁ δῆμος. καὶ πάλιν, καὶ εἰ μηδὲ δι' ἕν ἄλλο, ἀντὶ τοῦ, εἰ καὶ διὰ μηδὲν ἄλλο. καὶ πάλιν, Θετταλοὶ [30] δὲ οὐδένα πώποτε ὄντινα οὔ. καὶ μὴν καὶ αἱ διὰ δύο ἀποφάσεων γινόμεναι καταφάσεις κάλλους ἴδιον σχῆμα. οἷον,

οὐδ' οὐκ ἐθέλοντα μάχεσθαι [31]

111 ἀντὶ [32] τοῦ θέλοντα. καὶ ὁ ῥήτωρ, ἔστι δὲ [33] οὐκ ἄδηλον τοῦθ', ὅτι Λεπτίνης. ἀντὶ γὰρ τοῦ εἰπεῖν, ὅτι δῆλόν ἐστιν, ὁ δὲ, οὐκ ἄδηλον ἔφη. Ἔτι κάλλους ἴδιον καὶ τὸ πολύπτωτον καλούμενον σχῆμα, εἰ κατὰ κῶλον ἐκφέροιτο. οἷον, αὕτη [34] τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. Τοῦτο τὸ ψήφισμα τὸν τότ' ἐπιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν, ὥσπερ νέφος, καὶ τὰ ἑξῆς. κατὰ μέντοι κόμμα, εἰ γένοιτο, πλέον ἔχει τὸ γοργόν· οὐ μὴν οὐδ' οὕτως ἀπήλλακται τοῦ κάλλους. οἷον. οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθε· ὑπὸ [35] τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε. καὶ σχήματα μὲν καλλωπίζει τὸν [36] λόγον τοσαῦτα.

Κῶ-

---

ἐπεμ
26 Vind. ὑπερβολῆς. 27 Vind. ἀληθῶς. — Ol. II. p. 19. 28 Mon. φλαῦρον. — v. 3. Port. τί γάρ. 29 Ol. III. p. 37. 30 c. Aristocr. p. 658. 31 Il. δ. 224. 32 Ald. αὐτό. 33 In Lept. init. 34 pro cor. p. 291. 35 Mon. Vind. ὑπὸ δὲ τούτ. — de fals. leg. p. 436. 36 Vind. τὸν om. Mon. καλλ. τοσαῦτα τὸν λόγον.

Κῶλα δὲ κεκαλλωπισμένα φύσει μὲν τὰ μετρίως μακρότερα, εἰ τῇ συνθήκῃ μὴ διεστήκοι [37] μηδ' εἴη σύγκρουσίς τις ἐν αὐτοῖς φωνηέντων, ἀλλὰ συνέχοιτο πάντοθεν τοῖς συμφώνοις, οἷά ἐστι καὶ τὰ Ἰσοκράτους, οὗ γε οὐ μόνον τὰ κῶλα συνέχεται τοῖς συμφώνοις, ἀλλὰ καὶ πᾶς ὁ λόγος· τοσοῦτον αὐτῷ τῆς εὐφωνίας καὶ τοῦ κάλλους μεμέληκε. ταυτὶ μὲν οὖν, ὅπερ ἔφην, ὄντως καλλωπίζει τὰ κῶλα. [37*] Δοκεῖ δέ πως κἀκεῖνα τὰ κῶλα ἐπιμέλειαν ἔχειν καί τινα κόσμον ὑφειμένον μὲν καὶ οὐ μάλα τοι [38] κομμωτικόν. ὅμως νῦν κοσμεῖ τὰ ἐξ ἐπιπλοκῆς βραχείας, ὅταν δι' ἀλλήλων ὥσπερ ἐξ ἐπεμβολῆς [39] λέγηται πεπληγμένα, τῆς ὅλης διανοίας μὴ καθ' ἕκαστον αὐτῶν πληρουμένης [40], δι' ὅλων δὲ ὡς μιᾶς. οἷον, οὐ τοίνυν μόνον [41] μὴ Λεύκωνα ἀδικηθῇ, δεῖ σκοπεῖν, ᾧ φιλοτιμίας ἕνεκα ἡ [42] περὶ τῆς δωρεᾶς σπουδὴ γένοιτ' ἄν, οὐ χρείας, ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησεν ὑμᾶς [43] εὖ πράττων, εἰς δέον δὲ νῦν γέγονεν αὐτῷ τὸ παρ' ὑμῶν λαβεῖν τότε τὴν ἀτέλειαν. καὶ πάλιν, ἔστι, δ' [44] οὐκ ἄδηλον, ὦ Ἀθηναῖοι, τοῦθ' ὅτι Λεπτίνης, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δ' ἀναξίους [45] ἀνθρώπους εὑραμένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουργίας, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. ὁρᾷς γὰρ ὅπως

37 Ald. Vind. διεστήκει Port. διεστήκη. Mon. διεστήκοι. 37* Mon. οὕτως. 38 Vind. τι. tum Port. κομματικόν. 39 Vind. ἐμβολῆς. 40 Ald. γινουμένης πληρουμένης. Port. Mon. γινουμένης om. 41 Vind. μόνον om. — in Lept. p. 469. 42 Mon. ἡ om. — tum Vind. περὶ τὰς δωρεάς. 43 Ald. Port. Vind. ἡμᾶς. Mon. ὑμᾶς. 44 Vind. ἔστι γὰρ οὐκ ἄ.. tum Port. ὦ ἄνδρες Ἀθ. — in Lept. init. 45 Mon. ἀναξ. τινάς. Vind. δὲ ἀναξ.

βραχέα ἐστὶν ἅπαντα, πλὴν τῶν τελευταίων, ἐπ' ἀμφοῖν τοῖν παραδειγμάτοιν τὰ κῶλα· καὶ ὡς αἱ ἐπεμβολαὶ οὐδ' ἐπεμβολαὶ δοκοῦσί πως εἶναι, καὶ ὥσπερ ἐξ ἀκολουθίας τινὸς ἐπεμβεβλημέναι, ἀλλ' οὐ κατακόρως ἐκφερόμεναι;[46] οὐ γὰρ ὅμοιον ἦν οὕτως εἰπεῖν, τοῦ[47] τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι· ἢ ὡς ταῦτ' ἔχει τὰ προειρημένα παραδείγματα. διόπερ ἐν ἐκείνῳ μὲν τὸ τῆς γοργότητος πλέον ἐστὶν, εἰ καὶ ἐπιμελείας ἔχει τι· ἐνταῦθα δὲ ἀνάπαλιν τὸ τῆς ἐπιμελείας πλέον, εἰ καὶ γοργότητος[48] ἔχει τι. τοῦ δὲ τοιούτου κάλλους καὶ τῆς ἐπιμελείας ταύτης πολλὰ μὲν καὶ ἄλλα ἐστὶ Δημοσθενικὰ παραδείγματα ἐν ἅπασιν αὐτοῦ τοῖς λόγοις, ὅ γε μὴν περὶ τῆς ἀτελείας σχεδὸν ἅπας ἐστὶ τοιοῦτος. πολὺ γὰρ ἐν τούτῳ τὸ ἐπιμελὲς καὶ κεκοσμημένον. τὴν δὲ αἰτίαν, δι' ἣν τοιοῦτος, αὐτὸν ἐξηγούμενοι τὸν λόγον εἰρήκαμεν.

Ἐκ μέντοι τῶν προειρημένων δῆλον δὴ[49] καὶ συνθήκης ὁποίας δεῖ τῷ περικαλλεῖ λόγῳ, καὶ, ὅτι μάλιστα μὲν τῆς[50] ἄνευ συγκρούσεως τῶν φωνηέντων, ἔπειτα τῆς μὴ πόῤῥω μέτρου τινὸς οὔσης, καὶ μέτρου γε τοῦ οἰκείου κατὰ τοὺς πόδας τῷ λόγῳ καὶ εἴδει τοῦ λόγου δηλονότι, ὅ τι[51] ἂν ἐργαζώμεθα. ἄλλο μὲν γὰρ σεμνοῦ λόγου μέτρον οἰκεῖον, ὡς ἐν τῷ περὶ σεμνότητος ἐλέγομεν, ἄλλο δὲ ἄλλης ἰδέας, ὡς καθ' ἑκάστην εἰρήκαμεν· εἴπερ δέ τινος ἄλλου, ὁ περικαλλὴς λόγος τῆς συνθήκης δεῖται. κατὰ γὰρ ταύτην τὸ πλεῖστον αὐτοῦ ἐκφαίνεται. καὶ ἡ ἐπιμέλεια καὶ ὁ κόσμος ἐνταῦθα ἐκπρεπής.[52] διόπερ δεῖ

---

46 Ald. Vind. ἐμφερόμεναι. Port. Mon. ἐκφερ. 47 Ol. II. p. 19. 48 Vind. γοργότης. 49 Vind. ἤδη. 50 τῆς Vind. om. 51 τε Vind. om. 52 Ald. Mon. εὐπρεπής. Port. Par. Vind. ἐκπρεπής. Par. ad marg. γρ. ἐκπρέπει.

μάλιστα, καλὸν ὅτε ποιοῦμεν [53] λόγον, μέτρου πλησίον εἶναι τὸν ῥυθμόν, μὴ μέντοι μέτρον ἄντικρυς, κακία γὰρ τοῦτό γε· διὰ πλειόνων δὲ μέλλων ἀκριβολογεῖσθαι περὶ τούτων παραιτοῦμαι μηδένα δυσχεραῖναι τῇ λεπτολογίᾳ. τὸν γὰρ περὶ ῥυθμῶν τι λέξοντα, καὶ ταῦτα τῶν κεκαλλωπισμένων, ἀνάγκη πλείονι τῇ ἀκριβείᾳ τε καὶ λεπτότητι χρήσασθαι. ἀλλ' ὅθεν ἐξέβην, ἐπανιτέον. Γίνεται γὰρ (ὡς ἐλέγομεν) τοιοῦτος ὁ ῥυθμὸς κατὰ τὴν συνθήκην, οἷον ἐγγὺς εἶναι τοῦ καὶ ἔμμετρόν πως τὸν λόγον φαίνεσθαι, καὶ ἦχόν τινα τοιοῦτον [54] ἀποτελεῖν, εἰ πρῶτον μὲν (ὅπερ ἔφην) μὴ συγκρούοι [55] τὰ φωνήεντα, ἔπειτα, εἰ οἱ πόδες, ἐξ ὧν σύγκειται ὁ ῥυθμὸς, οἰκείως ἔχοιεν πρὸς ἀλλήλους, καὶ μὴ ἀναρμοστοῦντες τραχύτητα ποιοῖεν. τρίτον, ὃ καὶ μέγιστον, εἰ τὰ μέρη τοῦ λόγου, δι' ὧν σύγκειται ὁ ῥυθμὸς, μὴ ἰσοσύλλαβα μηδὲ ἰσόχρονα μηδὲ ἰσότονα εἴη, ἀλλὰ τὰ μὲν ἐλαττόνων, τὰ δὲ πλειόνων, [56] καὶ συλλαβῶν καὶ χρόνων, καὶ τὰ μὲν ὀξύτονα, τὰ δὲ μὴ τοιαῦτα. καὶ εἰ δι' ἀλλήλων ποικίλως συντίθοιτο [57] ταῦτα, ὥστε μεταξὺ τῶν μακρῶν λέξεων τὰς μικρὰς, καὶ τῶν μικρῶν τὰς μεγάλας κεῖσθαι. αὕτη γὰρ μάλιστα ἐπιμελής τε καὶ κεκοσμημένου λόγου συνθήκη. Ἀναπαύσεις δὲ λόγῳ περικαλλεῖ πρέπουσιν οὐχ αἱ βεβηκυῖαι· σεμνότερον γὰρ τοῦτό γε, καὶ σεμνῷ κάλλει ἁρμόττει. οἷον, ἐκδεδυκέναι [58] τὰς λειτουργίας. σεμνὴ γὰρ ἡ ἀνάπαυσις καὶ βεβηκυῖα. ἐμέλησε γὰρ τῷ ῥήτορι τοῦ μὴ διόλου καλλωπίζειν δοκεῖν, τό γε μὴν ἐπιφερόμενον ἔχει τι τοῦ περικαλλοῦς, εἰ καὶ αὐτό πως βεβηκέναι δοκεῖ, καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. εἰς

112

---

οὖ

53 Par. ποιοῖμεν. 54 Ald. Mon. Vind. τοῦτον. Port. τοιοῦτον. 55 Ald. Port. συγκρούῃ. Mon. συγκρούοι. Vind. συγκρούοιτο. 56 Vind. πλεόνων. 57 Ald. Port. Mon. συντιθοῖτο. Vind. συντίθοιτο. 58 In Lept. init.

γὰρ βραχύτερόν τι μέρος τοῦ [59] λόγου κατέληξε. καὶ ἕνεκα μὲν τῆς ἐννοίας ἔστηκεν ὁ ῥυθμός. πεπλήρωται γάρ πως ἡ ἔννοια καὶ βέβηκε. κατὰ δὲ τὴν λέξιν οὐχ ὡσαύτως, καί τοι εἰς φωνῆεν τὸ ω καταλήγων, [60] ὅπερ καὶ αὐτὸ σεμνοῦ ἦν ῥυθμοῦ. βεβηκὼς μὲν [61] γὰρ τελέως γίνεται ῥυθμός, εἰ ἅμα τῇ ἐννοίᾳ πληρουμένῃ καὶ μέρος λόγου τι μακρὸν, καὶ εἰς μακρὰν τὴν τελευταίαν καταλήγοι συλλαβήν. οἷον, ὥστ᾽ ἐξ [62] ἁπάντων ῥᾴδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι· οὐ βεβηκὼς [63] δὲ ῥυθμὸς, ἀλλ᾽ οἷον κρεμάμενος καὶ ἀνηρτημένος, ἐξ ἐναντίας τῶν προειρημένων, ὅτε [64] τῆς ἐννοίας μὴ πεπληρωμένης πω, μεταξὺ δέ πως διαναπαυομένης, ἡ κατάληξις εἰς βραχὺ [65] μέρος γίνοιτο λόγου καὶ ἤτοι [66] γε βραχείαν ἔχει τὴν τελευταίαν, ἢ πάντως βραχείᾳ παραληγομένην. οἷον, ἐγὼ δ᾽ ὅτι μέν τινων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν τῶν ἀτοπωτάτων [67] ἐστὶν, ἐάσω, [68] καὶ πάλιν, ἔστι δ᾽ οὐκ ἄδηλον τοῦθ᾽ ὅτι Λεπτίνης. καὶ πάλιν, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ. καὶ πάλιν, δίκαιον μὲν οὐδὲν ἐρεῖ. ταῦτα γὰρ πάντα ῥυθμοί τινές εἰσιν οὐ βεβηκότες, ἀλλ᾽ ἀπηρτημένοι, ὡς εἴρηται, καὶ χρήσιμοί γε οὗτοι τῷ κεκοσμημένῳ λόγῳ. κατ᾽ αὐτὸ γὰρ τὸ μὴ βεβηκέναι καὶ εὐειδῆ ποιοῦσι τὴν ἀνάπαυ-

---

59 τοῦ Vind. om. Par. γρ. μέρος λόγου κατέληξεν. 60 Vind. καταλῆγον. 61 μέν Vind. om. — Βεβηκὼς ῥυθμὸς, rythmus firme insistens, qualis est stabilium spondeorum. Schaef. Appar. ad Dem. T. I. p. 183. 62 Ol. I. init. 63 Vind. οὐκ ἐκβεβηκώς. 64 Vind. ὅταν τῆς ἐν. μὴ πεπληρ. μεταξύ πως διαναπ. 65 Vind. βραχύ τι μέρος γίγνοιτο. 66 Ald. εἴτοι. Ald. Vind. Mon. ἤτοι. tum Mon. ἔχοι. 67 Mon. Vind. ἀδίκων. In Lept. initio, unde etiam sqq. exempla sumta sunt. 68 Marg. Vict. „Interpres [T. V. p. 521. v. 5.] falli hic docet Hermogenem, ἐάσω enim penultimam habet productam.“

σιν. τοιοῦτόν ἐστι καὶ τὸ, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ συνερεῖν. ἡ μὲν γὰρ ἔννοια βέβηκεν, ὁ ῥυθμὸς δὲ οὔ. [69] οὐδὲ γὰρ τοῦτο ὁ ῥήτωρ ἐβούλετο, ἐπεὶ τοῦ χάριν οὐκ εἶπεν, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ συνειπεῖν· [70] ἐγὼ μὲν γὰρ ἡγοῦμαι ὅτι [71] διὰ τὸ μὴ ὅμοιον ἂν γενέσθαι τὸν ἦχον, εἰς μακρὰς πάσας εἰ [72] κατέληγεν, ὅ ἐστι τοῦ βεβηκότος ῥυθμοῦ. οὐ μὴν, ἀλλ' εἴτε βεβηκὼς εἴτε μὴ ὁ τοιοῦτος εἴη ῥυθμὸς, ἵνα μὴ πάντη τῷ Διονυσίῳ, ὃς [73] δοκεῖ περὶ λέξεώς τι πεπραγματεῦσθαι, ἀντιλέγωμεν, δῆλον ὡς τοῦ κάλλους ἐστὶν ἴδιος. Ἔτι δὲ μειζόνως τὸ ἐκπρεπὲς τῆς τοιαύτης ἀναπαύσεως τοῦ ῥυθμοῦ φανερὸν γίνεται, εἰ μονοσύλλαβον εἴη τὸ τελευταῖον μέρος τοῦ λόγου. οἷον, περὶ τοῦ [74]

πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ. καὶ Θετταλοὶ [75] δὲ οὐδένα πώποτε ὄντινα οὔ. τεκμήριον δὲ ἐναργέστερον τούτου τὰ μέτρα καὶ τὰ ποιήματα. καὶ γὰρ τῶν ἐπῶν τὰ εἰς μονοσύλλαβόν τι μέρος τοῦ λόγου ἱστάμενα εὐειδέστερά πως καὶ κρουστικώτερά [76] εἰσιν, ἀλλ' οὐ σεμνότερα, οἷον,

ἐπί τ' [77] ἤλυθεν ἀμβροσίη νύξ.

καὶ

κάρη [78] τάμοι ἀλλότριος φώς.

καὶ

Ἀπόλλων [79] Ἀρτέμιδι ξύν.

καὶ ὅσα τοιαῦτα· ταῦτα περὶ τοῦ [80] ἐπιθέτου κάλλους

---

69 Vind. δ' οὔ. 70 Marg. Vict. „Dissentit interpres [ibid. v. 15.] ab Hermogene, deceptumque hic esse ostendit, neque potuisse Demosthenem dicere *συνειπεῖν*." 71 Mon. ὅτι om. 72 Port. εἰ εἰς μακράς. 73 Ald. ὥς. 74 pro cor. init. 75 c. Aristocr. p. 658. 76 Port. κρουστικότερα. 77 Ald. Mon. Vind. ἔτι δ' ἀμβρ. [Ald. νήξ.] Port. ἐπί τ' ἤλυθεν ἀμβρ. v. Od. δ. 429. 78 Il. ε, 214. 79 Od. ο, 410. 80 τοῦ Ald. Port. Mon. om., recepi ex Vind.

ἐν λόγῳ. ὁ δὲ λεγόμενος ὡραῖος λόγος καὶ ἡ ἁβροτης ου τούτου τοῦ κάλλους, τοῦ δ' ἐν γλυκύτητι μᾶλλον, ἢ ἐν ἀφελείᾳ γινομένου ἐστίν· ἐν δὲ τῷ περὶ ἐκείνων φανεῖται σαφέστερον. νυνὶ δὲ [81] ἤδη μετὰ τὸν περὶ κάλλους περὶ γοργότητος ἂν εἴη λέγειν.

81 Vind. νυνὶ δὲ ἤδη λέγειν εἴη ἂν περὶ γοργ. μετὰ τὸν περὶ κάλλ. λόγον.

# ΕΡΜΟΓΕΝΟΥΣ[1]
## ΠΕΡΙ ΙΔΕΩΝ ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ. 113

### ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ.

### Cap. I.

Καλὸς μὲν οὖν ἅμα ὄγκῳ καὶ ἀξιώματι λόγος, καὶ ἔτι σαφὴς ὅπως γίνεται, ἐν τοῖς πρὸ τούτων εἰρήκαμεν. δεῖ δὲ καὶ τῷ τοιούτῳ λόγῳ πάντως καὶ γοργότητος, ἵνα μὴ ἀργὸν αὐτῷ καὶ σαφὲς μόνον τὸ μέγεθος εἴη [2] ἢ καὶ τὸ κάλλος, ἀλλὰ καὶ γοργόν. γοργότητι γὰρ ἐναντίον τὸ ἀνειμένον καὶ ὕπτιον. ἡ τοίνυν γοργότης θεωρεῖται μὲν καὶ ἐν λέξει καὶ ἐν μεθόδῳ καὶ ἐν τοῖς λοιποῖς, πλὴν ἐννοίας· εἰ μή τις ἄρα τὰ ὀξέα τῶν νοημάτων γοργὰ λέγοι. περὶ δὲ ὀξύτητος ἐν τῷ περὶ ἀφελείας τε [3] καὶ δριμύτητος λέξομεν, καὶ ἔτι ἐν τῷ περὶ δεινότητος. Ἀλλ' ἥ γε λέξις, ὁποία ποτ' ἂν ᾖ, βραχέα συντελεῖ πρὸς γοργότητα, ἢ τὸ ἀνάπαλιν ἐναντιοῦται. ἥ τ' [4] αὖ μέθοδος ἡ ποιοῦσα τὴν γοργότητα σχεδόν ἐστι μία ὡς ἐπὶ [5] τὸ πλεῖστον, ἐπειδὴ διὰ τοῦ τμητικοῦ γίνεται τύπου· οὗτος δ' [6] ἐν τχήμασίν ἐστι καὶ κώλοις, ἐν οἷς θεωρεῖται. ἔτι μέντοι [7] καὶ συνθήκῃ καὶ ἀναπαύσει, νὴ Δία, καὶ τοῖς ῥυθμοῖς. ἔννοια δὲ (ὅπερ ἔφην) οὐκ ἔστιν οὐδεμία, ἥτις καθ' ἑαυτὴν ποι-

---

1 Titulus in Ald. Mon. Vind. περὶ γοργότητος τόμος δεύτερος. recepi titulum ex Port. 2 Vind. ᾖ omisso sq. ἢ. 3 Vind. τε om. 4 Vind. ἥτε οὖν. Sicel. ἥ τ' οὖν. 5 ὡς ἐπὶ Vind. om. 6 Vind. δὲ ἐν. 7 Vind. μέντοι, νὴ Δία, καὶ συνθ. Ald. Mon. νὴ Δία om., secutus sum Portum.

εἰ τὸν λόγον γοργὸν, πλὴν [8] εἰ τὴν ὀξύτητά τε καὶ δριμύτητα, ὡς ἔλεγον, γοργότητος ἰδίαν [9] θήσεταί τις. περὶ δὲ ταύτης, ὅπερ ἔφην, ἔν τε [10] τῷ περὶ ἀφελείας, ἔν τε τῷ περὶ δεινότητος ἡμῖν λελέξεται· νυνὶ δὲ περὶ μεθόδου τῆς ποιούσης γοργὸν τὸν λόγον λέξομεν πρῶτον, [11] σχεδὸν οὐ πόρρω τινὸς ὀξύτητός τε καὶ δριμύτητος οὐδὲ ταύτης οὔσης.

Μέθοδος τοίνυν, ὅπερ ἔλεγον, γοργότητος μία, τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις, ταῖς τε ἀντιθέσεσιν ὡσαύτως. οἷον, τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθε ἂν [12] αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. καὶ πάλιν, ναὶ [13] φησὶν, ἀλλὰ τὸ τοῦ Κεφάλου καλὸν, τὸ μηδεμίαν γραφὴν φυγεῖν. καὶ νὴ Δία, εὔδαιμόν γε. ἀλλὰ τί μᾶλλον, ὁ πολλάκις μὲν φυγὼν, καὶ τὰ ἑξῆς. καὶ πάλιν, κακοδαιμονοῦσι γὰρ Βυζάντιοι· [14] σφόδρα γε, ἀλλ' ὅμως δεῖ σῶς [15] αὐτοὺς εἶναι· συμφέρει γὰρ τῇ πόλει. ταῦτα γάρ πως εἰσι [16] καὶ ὀξέα. περὶ δὲ συνδρομῆς, εἴτε [17] συγχωρήσεως, καὶ ὅσα εἴδη αὐτῆς, καὶ ὡς δεῖ παραλαμβάνειν ἕκαστον, ἐν τῷ περὶ δεινότητος [18]

---

8 Par. ad marg. γρ. πλὴν εἰ μὴ τὴν ὀξ. ita Vind. 9 Vind. ἰδέαν. tum Par. θήσαιτό τις. ad marg. γρ. θήσεταί τις. 10 τε Vind. om. 11 Vind. πρῶτον ponit post μεθόδου. 12 ἂν Vind. om. — pro cor. p. 233. 13 ναὶ Ald. Mon. Vind. om., habet Port. ex Dem. pro cor. p. 310. 14 Ald. Βιζάντιοι, omisso γὰρ, quod recepi ex Vind. — Port. ex Dem. de Chers. p. 93. Νὴ Δία, κακοδ. γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἐννοίᾳ, [sic] πάνυ γε. 15 Port. σώους. sq. αὐτοὺς Vind. om. 16 Vind. ἐστί. 17 Par. γρ. ἤτοι συγχ. 18 Marg. Vict. „quod tamen facere oblitus est, ut interpres [T. V. p. 524. v. 3.] testatur.

ἡμῖν ἀκριβῶς λελέξεται. ἡ δὲ ἀποστροφή· οἷον, παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὔξένεις αὐτῶν, [19] δοκεῖ μέν πως εἶναι μέθοδός τις, οὐ μὴν ἔμοιγε φαίνεται, ἀλλ᾽ εἶναι μᾶλλον σχῆμα. εἴτε δὲ σχῆμα εἴτε [20] μέθοδός τίς ἐστιν ἡ ἀποστροφή, τῶν ποιούντων ἐστὶ καὶ αὐτὸ γοργὸν τὸν λόγον, καὶ μάλιστα εἰ συνεχῶς γίνοιτο. ἡ γὰρ μετάβασις, ἡ νῦν μὲν ἐπὶ τοὺς δικαστάς, νῦν δὲ ἐπὶ τὸν ἀντίδικον ἢ ὁντιναοῦν, [21] κινεῖ πως καὶ γοργὸν ποιεῖ τὸν λόγον. ἀλλὰ μέθοδος μὲν αὕτη γοργότητος ἢ καὶ μέθοδοι. Σχήματα δὲ τὰ μὲν ὁμολογουμένως ἐστὶ φύσει γοργὰ καὶ τμητικά, καὶ αὐτῆς γε ἕνεκα τῆς γοργότητος παραλαμβάνεται· τὰ δὲ τὴν συμβαίνουσαν τῷ λόγῳ πολλάκις διά τινας ἀνάγκας ὑπτιότητα ἐξαιρεῖσθαι πέφυκε. καὶ πρῶτόν γε περὶ τούτων λέξομεν.

Ἐξαιρεῖται τοίνυν ὑπτιότητα λόγου σχῆμα τὸ καθ᾽ ὑποστροφήν. καὶ ἔστι [22] σφόδρα χρήσιμον τοῦτο ἐν ταῖς ἀφηγήσεσιν. οἷον, ἔστι [23] τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον. εἶθ᾽ ὑποστροφὴν [24] ὑπέστρεψεν ἐξ ἐπεμβολῆς, ὡς τότε δημηγορῶν ἔφη. εἶτα πάλιν ἦλθεν ἐπὶ [25] τὴν ἀφήγησιν, ἐπιβουλεύοντα τοῖς Ἕλλησι. τοιοῦτόν ἐστι καὶ τὸ, τοῦ [26] γὰρ Φωκικοῦ συστάντος πολέμου. εἶθ᾽ ἡ [27] ὑποστροφή. οὐ δι᾽ ἐμέ· οὐ γὰρ [28] ἔγωγ᾽ ἐπολιτευόμην πω τότε. εἶτα πάλιν ἡ ἀφήγησις, πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε. καὶ τὰ ἑξῆς δὲ τοιαῦτά ἐστι. τοῦτο τὸ σχῆμα καταπλοκὴν τινες ὠνόμασαν. ἔτι ἐξαιρεῖται τῶν ἀφηγήσεων τὴν ὑπτιότητα καὶ τὸ ἐπιτρέχον λεγόμενον σχῆμα. οἷον,

19 Ald. αὐτόν. marg. Vict. Vind. Mon. αὐτῶν. — pro cor. p. 252. 20 Mon. εἴτε δέ. Sq. τις Mon. Vind. om. 21 Vind. ὁντινοῦν. 22 Mon. ἔτι. 23 de fals. leg. p. 344. 24 ὑποστροφὴν Mon. Vind. om. 25 Port. ad marg. γρ. εἰς. 26 pro cor. p. 230. 27 ἡ Vind. om. 28 Port. γὰρ δή. tum Vind. ἔγωγε.

ἐπειδὴ[29] γὰρ οὐ καθεστηκότος χορηγοῦ, καὶ τὰ ἑξῆς. ταὐτὸ δὲ τοῦτο καὶ περιβάλλει. αἱ δὲ ὑποστροφαὶ,
114 ἂν μὴ ὦσι μακραὶ, ἧττον περιβάλλουσι. καὶ εἰρήκαμεν τοῦτο κἀν τῷ περὶ[30] περιβολῆς· ἀλλὰ ταυτὶ μὲν ὥσπερ ἰάματά ἐστιν ὑπτιότητος, καὶ δύνανται[31] ταὐτὸν ὅπερ εὐκρίνεια ἐν σαφηνείᾳ. ἐκείνη τε γὰρ τὰ συγκεχυμένα διευκρινεῖ πρὸς σαφήνειαν, ὡς ἐδείκνυμεν ἐν τῷ περὶ σαφηνείας. ταῦτά τε τὰ σχήματα τὸν ὑπτιάζοντα λόγον ὀρθοῖ καὶ γοργὸν ποιεῖ. κατὰ τὰ αὐτὰ δὲ τοῖς περὶ τῆς[32] σαφηνείας ἔχει καὶ τὰ μέλλοντα ῥηθήσεσθαι. ὥσπερ γὰρ ἐκεῖ ἡ μὲν καθαρότης καθ' ἑαυτὴν[33] ἐποίει τὸν σαφῆ λόγον, προσεδεῖτο δὲ τῆς εὐκρινείας, εἴπου συγχέοιτο ὁ λόγος, εἰς ἐπανόρθωσιν, οὕτω κἀνταῦθα πάλιν ἐστὶ μὲν τὸ[34] ποιοῦν τὴν γοργότητα μάλιστα εἶδος λόγου τὸ τμητικόν. εἰ δέ ποτε ἐκπίπτοι[35] κατ' ἀνάγκην τινὰ εἰς ὑπτιότητα, δεῖ τῶν προειρημένων σχημάτων, ἃ δὴ πέφυκεν ὀρθοῦν καὶ διεγείρειν τὸν λόγον ἀπὸ τῆς ὑπτιότητος. τμητικὸς δὲ λόγος καὶ γοργὸς μάλιστα ἐν τοῖς σχήμασι καὶ τοῖς ῥυθμοῖς θεωρεῖται. εἰδέναι[36] δὲ χρὴ, ὅτι ὁ λόγος ὁ τμητικὸς ποτὲ μέν ἐστιν, οὐ μὴν δοκεῖ γε εἶναι τμητικός· ποτὲ δὲ δοκεῖ μὲν εἶναι τοιοῦτος, οὐ μὴν τέμνει γε ὡς ἀληθῶς τὰ πράγματα· ποτὲ δὲ ἀμφότερα καὶ τέμνει καὶ δοκεῖ τέμνειν. κείσεται δὲ αὐτοῦ καὶ παραδείγματα καθ' ἕκαστον τούτων ὀλίγῳ[37] ὕστερον, ἔνθα καὶ σαφέστερόν τι περὶ τούτων ἐροῦμεν, νῦν δὲ πρῶτον περὶ τῶν σχημάτων λέξομεν, ἃ δὴ τμητικὰ ὄντα κατ' ἀνάγκην ἐστὶ καὶ γοργά. Σχήματα μὲν οὖν τοῦ εἴδους τάδε. τὸ ἀσύνδετον κομματικόν. οἷον, προσῆλθε[38]

29 in Mid. p. 518. 30 Vind. περὶ τῆς περιβ. 31 Vind. δύναται ταὐτό. 32 τῆς Vind. om. 33 Vind. αὐτήν. 34 τὸ Port. om. 35 Ald. Port. ἐκπίπτει. Vind. Mon. ἐκπίπτοι. Mon. ποτ' ἐκπ. Vind. κατὰ ἀν. 36 εἰδέναι δὲ χρὴ — ποτὲ μέν ἐστιν Vind. om. 37 Vind. ὀλίγον. — v. sq. δὴ Port. om. 38

τῇ βουλῇ, προβούλευμα ἐγράφη. τὸ κατ᾽ ὄνομα κομματικόν. οἷον, Ἀμφίπολιν,[39] Πύδναν, Ποτίδαιαν, Μεθώνην, Παγασάς. καὶ αἱ πυκναὶ καὶ[40] δι᾽ ἐλαχίστου ἐξαλλαγαί· οἷον, τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη, καὶ τὰ ἑξῆς. οἵ τε δι᾽ ἐλαχίστου[41] μερισμοὶ τὴν ἀνταπόδοσιν ἔχοντες. οἷον, ἑσπέρα μὲν[42] γὰρ ἦν, ἦκε δ᾽ ἀγγέλλων[43] τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια[44] κατείληπται. τὸ κατ᾽ ἐπαναφορὰν κομματικόν. οἷον, ἐπὶ[45] τοὺς νόμους καλεῖς; ἐπὶ σεαυτὸν καλεῖς. τὸ κατὰ[46] ἀντιστροφὴν κομματικόν. ταξιάρχους παρ᾽ ὑμῶν, ἱππάρχους[47] παρ᾽ ὑμῶν. αἱ ταχεῖαι καὶ δι᾽ ἐλαχίστου συμπλοκαί. οἷον, καὶ σπουδαῖα νομίζων,[48] ὦ Ἀθηναῖοι, καὶ ἀναγκαῖα τῇ πόλει, περὶ ὧν βουλεύεσθε, ἐφ᾽ ἃ παρελήλυθα. καὶ ὁ Θουκυδίδης, καὶ οἱ πατέρες ὑμῶν, ὦ Λακεδαιμόνιοι,[49] καὶ ὑμῶν οἱ πρεσβύτεροι. εἰ δὲ πολλαὶ γένοιντο αἱ συμπλοκαὶ, μὴ[50] καθ᾽ ἑκάστην πληρουμένης τε καὶ ἱσταμένης τῆς διανοίας, ἀλλ᾽ εἰς μίαν ὡς[51] περιοδόν τινα πασῶν περιλαμβανομένων,[52] τοῦ μὲν τμητικοῦ οὐδὲν ἧττον[53] ἔμφασις ἔσται, τοῦ δ᾽ αὖ γοργοῦ καὶ αὐτοῦ μὲν

in Timocr. p. 703. 39 Ol. I. p. 12. 40 Ald. Mon. καὶ αἱ δι᾽ ἐλ. Port. Vind. αἱ om. 41 Ald. Mon. ἐλαχ. λόγου. Port. Vind. λόγου om. 42 μὲν Ald. Mon. om., est in Port. Vind. — pro cor. p. 284. 43 Ald. Port. Mon. ἀγγέλων. Vind. ἀγγέλλων. 44 Mon. Ἐλάτειαν. 45 Aesch. c. Ctesiph. §. 202. p. 452. Bekk. 46 Mon. κατ᾽ ἀντ. 47 Ald. Codd. ἄρχοντας. Port. ἱππάρχ. Phil. I. p. 47. 48 Vind. νομίζω. tum Port. ὦ ἄνδρες Ἀθ. περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει. omissis ἐφ᾽ ἃ παρελ. — Phil. IV. init. 49 ὦ Λακεδαιμ. Port. om. — Thuc. II, 11. 50 Ald. Port. καὶ μή. Mon. Vind. καὶ om. 51 Mon. ὡς om. 52 Mon. ἐμπεριλαμβ. 53 ἧττον Vind. om.

ἔμφασίς τις, μετρία δέ πως. περιβολὴ δὲ μᾶλλον γενήσεται, ἢ γοργότης. οἷον, ἀλλ' ὁ[54] τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ καταλαμβάνων Ὠρεὸν, καὶ[55] κατασκάπτων Πορθμὸν, καὶ τὰ ἑξῆς, μέχρι τοῦ πότερα[56] ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; ἀλλ' ἐπὶ τὸ ἐξαρχῆς ἐπανιτέον.[57]

Σχήματα μὲν γοργότητος ταῦτα, καὶ νὴ Δία τοῦ τε φαινομένου μὲν τμητικοῦ, μὴ ὄντος δὲ τοιούτου λόγου, καὶ τοῦ ἀμφότερα, φαινομένου τε καὶ τέμνοντός γε ὡς ἀληθῶς ἐν βραχέσι τὰ πράγματα. τοῦ μέντοι τέμνοντος μὲν, μὴ μέντοι γε[58] δοκοῦντος τέμνειν, οὐ ταῦτα, ἀλλ' οἵ τε πλαγιασμοὶ καὶ τὰ κατὰ συστροφὴν καὶ ὅσα τοιαῦτα. πολλὰ γὰρ δι' ἐλαχίστων ἐν ἐκείνοις λέγεται τοῖς σχήμασιν, οὐ παραδηλούντων ἡμῶν, ὅτι τέμνομεν τὰ πράγματα. παραδείγματα δὲ αὐτῶν θήσομεν ἑκάστου, ἵνα καὶ σαφὴς ὁ λόγος ᾖ. τοῦ μὲν οὖν τέμνοντος τὰ πράγματα λόγου, οὐ μὴν δοκοῦντος τέμνειν παράδειγμα. οἷον,[59] πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων, ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ ἑξῆς. τοῦτο μὲν οὖν ἐκ πλαγιασμοῦ τοιοῦτον ἐγίνετο. τοῦ δ' αὖ κατὰ συστροφὴν σχήματος ἐν τούτῳ τῷ εἴδει παράδειγμα τόδε. ὁ γὰρ Μεσσήνην[60] Λακεδαιμονίοις ἀφεῖναι κελεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς,[61] τῷ δίκαια νομίζειν ταῦτα εἶναι πεποιηκέναι

25
113

54 pro cor. p. 248. 55 καὶ κατασκ. Πορθμὸν Mon. om. 56 Port. πότερον ταῦτα πάντα ποιῶν. 57 Vind. ἰτέον. 58 γε Mon. om. 59 Vind. οἷον om. — Phil. III. init. 60 Edd. Codd. Μεσήνην. tum Vind. ἀφιέναι. — Phil. II. p. 69. 61 Ald. Port. Vind. παραδιδούς. Mon. παραδούς. tum Ald. Mon. τὸ Port. τῷ. Vind. τὸ ταῦτα δίκ. νομίζειν εἶναι.

σκήψαιτο; πολλὰ γὰρ δι' ὀλίγων ἐν ἀμφοτέροις εἴρηται, οὐ μὴν ἐμφαίνεταί γε τὸ τέμνεσθαι. παραδείγματα δὲ τοιαῦτα μυρία ἐστὶ παρὰ τῷ ῥήτορι· τοῦ δ' αὖ δοκοῦντος μὲν τέμνειν τὰ πράγματα, οὐ μὴν τέμνοντός γε ὡς [62] ἀληθῶς, ἀλλὰ τοὐναντίον καὶ περιβάλλοντος λόγου, [63] παράδειγμα τόδε. [64] ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, πότερον [65] ταῦτα ποιῶν. ἐνταῦθα γὰρ δοκεῖ μὲν πολλὰ λέγειν, καὶ νὴ Δία ταχέως ἀφ' ἑκάστου αὐτῶν ἀπαλλάττεσθαι. διὸ καὶ γοργότητά τινα ἔχει [66] ὁ λόγος καὶ τομὴν ἐμφαίνει, οὐ μὴν πολλά γε ὡς ἀληθῶς λέγει πράγματα, οὐδὲ ταχέως ἀφ' ἑκάστου αὐτῶν ἀπαλλάττεται, ἀλλὰ τοὐναντίον καὶ ἐπιμένει περιβάλλων. γένη γὰρ εἴδεσι, καὶ ὅλα μέρεσι, καὶ ἀόριστα ὡρισμένοις, καὶ ἕτερα ἄττα περιβλητικὰ προσλαμβάνων, περὶ ἑκάστου ὡς ἰδίαν ἔχοντος ὑπόστασιν ἐμφαίνει, παραδηλῶν ταῖς συμπλοκαῖς, καὶ μεταβάσεις ποιούμενος ἀπὸ [67] πραγμάτων ἐπὶ ἕτερα πράγματα. διὸ πολλὰ ἔδοξεν εἶναι, δύο ὄντα σχεδὸν τὰ πάντα. ἔστι γὰρ ἥ τε Εὔβοια καὶ τὸ Βυζάντιον· εἰ δὲ βούλει, ἔστω καὶ πλείονα. [68] οὐ μὴν τοσαῦτά γέ ἐστιν, ὅσα ἐμφαίνεται εἶναι διὰ τὰς συμπλοκάς. παραδείγματα δὲ [69] καὶ τούτου τοῦ μὴ τέμνοντος μὲν τὰ πράγματα λόγου, δοκοῦντος δὲ λέγεσθαι τμητικῶς, μυρία ἐστὶ παρὰ τῷ ῥήτορι· τοῦ δ' αὖ καὶ ὄντος τμητικοῦ λόγου, καὶ δοκοῦντος εἶναι, παράδειγμα [70] τὸ, καὶ σπουδαῖα νομίζων, [71] ὦ Ἀθηναῖοι, καὶ ἀναγ-

62 ὡς Vind. om. 63 λόγου Mon. om. 64 Vind. τό. pro cor. p. 248. 65 Ald. Port. πρότερον. marg. Vict. Mon. πότερον. Vind. om. Tum Port. ταῦτα πάντα. 66 Mon. Vind. ἔχει τινά. 67 Port. ὑπό. 68 Par. γρ. ἔστω πλείονα. ita Vind. 69 δὲ Vind. om. 70 Mon. παράδειγμα om. 71 Vind. νομίζω. tum Port. eandem, quam nota 48. lectionem habet, h. l. repetit.

καῖα τῇ πόλει, περὶ ὧν βουλεύεσθε.[72] σπάνιον δὲ τὸ τοιοῦτον παρά γε τῷ Δημοσθένει. τὰς μέν τοι αἰτίας, δι' ἃς νῦν μὲν οὕτως, νῦν δὲ ἐκείνως χρῆται τῷ λόγῳ τῷ τμητικῷ, καὶ ὡς δεῖ καὶ ἡμᾶς αὐτῷ χρῆσθαι, ἐν τῷ περὶ μεθόδου δεινότητος[73] ἐροῦμεν. ἐκείνης γὰρ ἴδιον τὸ εἰδέναι καὶ τούτοις καὶ τοῖς ἄλλοις ἅπασιν εἴδεσι,[74] πότε, καὶ ποῦ, καὶ πρὸς ὄντινα, καὶ πῶς προσήκει χρῆσθαι. ἀλλὰ[75] ἐπὶ τὸν περὶ γοργότητος λόγον πάλιν ἐπανιτέον. μέθοδον[76] μὲν γὰρ καὶ σχήματα, δι' ὧν γοργὸς ὁ λόγος γίνεται,[77] εἰρήκαμεν. ἀπὸ δὲ τῶν σχημάτων δῆλά πως καὶ τὰ ἑξῆς.

Λέξις μὲν γάρ, ὅπερ ἔφην, βραχεῖα[78] ἥτις ἂν εἴη, τοιάδε ἢ τοιάδε συντελεῖ πρὸς γοργότητα. οὐ μήν, ἀλλ' αἱ βραχεῖαί γε ἐπιτηδειότεραι. Κῶλα μὴν τοῦ λόγου τοῦ γοργοῦ πάντως εἶναι[79] βραχέα δεῖ. Συνθήκη δὲ γοργότητος ἢ ὀλιγάκις, ἢ μηδ' ὅλως ἔχουσα σύγκρουσιν ἡωνηέντων. οὐ γὰρ δὴ κεχηνέναι δεῖ τὸν[80] ὡς ἀληθῶς γοργὸν λόγον πλὴν εἰ τραχύνεσθαι δέοι. πλεονάζειν μέντοι πάντως ἐνταῦθα τοὺς τροχαίους καὶ τὰς τροχαϊκὰς συζυγίας προσήκει. καὶ τούτου γε τεκμήρια ἐναργῆ πολλὰ καὶ τῆς τραγῳδίας, ἔνθα ἐπείγεσθαι ὁ λέγων δοκεῖ, τροχαϊκῶς συντεθέντα καὶ παρὰ τῷ Μενάνδρῳ. ὁ δὲ Ἀρχίλοχος αὐτὸ καὶ σαφέστερον ἐποίησε καὶ γοργότερον. οἱ γὰρ τετράμετροι αὐτῷ διὰ τοῦτ' (οἶμαι) καὶ γοργότεροι καὶ λογοειδέστεροι τῶν ἄλλων εἶναι δοκοῦσι,[81] διότι τροχαϊκῶς σύγκεινται. τρέχει γὰρ ὡς ὄντως ἐν τούτοις ὁ

---

72 Par. γρ. βουλεύεσθε σκοπεῖσθαι. ita Vind. 73 Mon. δεινότητος μεθόδου. 74 Mon. εἴδεσιν ἅπασι. 75 Vind. ἀλλ' ἐπί. 76 Ald. Mon. μέθοδοι. Vind. μέθοδον. Port. μέθοδοι μὲν γὰρ καὶ σχ. — γίνεται, ταῦτά ἐστι περὶ ὧν εἰρήκαμεν. 77 Mon. γίνεται γοργὸς ὁ λόγος. 78 Mon. βραχέα. 79 Ald. Vind. οἶμαι. Port. Mon. εἶναι. 80 Ald. Mon. τόν γε ἀλ. Port. τὸν ὡς ἀλ. Vind. τόν γε ὡς ἀλ. 81 Vind. δοκοῦσιν.

ῥυθμός. εἰ δὲ μὴ ἀκριβεῖς οἱ τροχαῖοι παρὰ τῷ ῥήτορι ἐν ταῖς γοργότησιν εὑρίσκονται, πολλάκις διεμαρτυράμην, ὅτι ἓν [82] οὐδὲν μονοειδές ἐστιν εὑρεῖν παρ' αὐτῷ, ἀλλὰ ποικίλλει νῦν μὲν ἐννοίαις σεμναῖς γοργὸν ἤ τινα ἄλλον ἐπιθεὶς [83] ῥυθμὸν ἢ μέθοδον ἤ τι τῶν ἄλλων, νῦν δὲ τὸ ἀνάπαλιν. καίτοι τὸ, ἑσπέρα μὲν γὰρ ἦν, ἦκε δ' ἀγγέλων [84] τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται, τάχ' [85] ἂν ἔχοι τι πλέον εἰς γοργότητα, καὶ διὰ τὴν ἐπιβολὴν τοῦ ῥυθμοῦ, τροχαϊκὴν οὖσαν εὐθὺς ἐξ ἀρχῆς. Ἀνάπαυσις δὲ γοργὴ ἡ εἰς τροχαῖον φύσει καταλήγουσα καὶ μὴ βεβηκυῖα· οὐ γὰρ δύναται ὁ ῥυθμὸς γοργὸς εἶναι [86] βεβηκώς. περὶ δὲ βεβηκότων ῥυθμῶν καὶ τῶν οἱονεὶ κρεμαμένων καὶ ἀνηρτημένων ἐν τῷ περὶ κάλλους ἀκριβέστερον εἴρηται.

---

## Cap. II.

### ΠΕΡΙ ΗΘΟΥΣ.

Σαφὴς μὲν δὴ καὶ ἀξιωματικὸς καὶ ἔτι αὖ καλός τε καὶ γοργὸς ὅπως γίνεται λόγος, ἐν τοῖς πρὸ τούτων ἡμῖν δεδήλωται· ἔποιτο δ' ἂν ἐκείνοις ὁ περὶ ἤθους ἀναγκαίως. χρησιμώτατον γὰρ, εἴπερ [1] ἄλλο τι, καὶ τοῦτο δὴ τὸ ἠθικὸν εἶδος τοῦ λόγου εἰδέναι τε ὅπως γίνεται, καὶ ποιεῖν δυνάμενον τοτὲ μὲν ὅλῳ τῷ [2] λόγῳ ἀποδιδόναι τὸ τοιόνδε ἦθος, εἰ τοῦτο [3] δέοι, τοτὲ δ' αὖ καταμιγνύναι τοῖς προειρημένοις εἴδεσιν ἅπασιν, οἷον σφοδρότητι ἢ σεμνό- 116

82 ἓν Vind. om. 83 Vind. ἐπιτιθεὶς. 84 Ald. Port. Mon. ἀγγέλων. Vind. alterum λ supra lin. ponit. — pro cor. p. 284. 85 Ald. Mon. τάχα δ' ἂν ἔχει. Vind. τάχ' ἂν ἔχῃ. Port. τάχ' ἂν ἔχοι. 86 Mon. εἶναι καὶ βεβ.

1 Ald. ὑπέρ. Port. marg. Vict. Mon. Vind. εἴπερ. 2 τῷ Port. om. 3 Vind. τούτου. tum τοτὲ δὲ αὖ.

τητι ἢ κάλλει καὶ τοῖς λοιποῖς. λέγω γὰρ ἦθος νῦν οὐχ ἁπλῶς τοῦτο μόνον τὸ δι' ὅλου τοῦ λόγου ἀναγκαίως ἔχον ἐμφαίνεσθαι, καθαπερεὶ σώματος χρῶμα, ἀλλὰ καὶ τὸ ἐγκαταμίγνυσθαι πεφυκὸς πανταχοῦ, καὶ ἐν σφοδρότητι καὶ ἐν τραχύτητι καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ἐκεῖνο[4] μὲν γὰρ γένοιτο ἄν, εἰ τοῖς ὑποκειμένοις προσώποις οἰκείους καὶ πρέποντας τοὺς λόγους περιάπτοι τις· οἷον, στρατηγοῖς ἢ ῥήτορσιν ἢ τοῖς ἰδίως ὀνομασθεῖσιν ἠθικοῖς, οἷον λίχνοις ἢ δειλοῖς ἢ φιλαργύροις ἢ τοῖς τοιούτοις. καὶ μαθησόμεθά[5] γε τοῦτο, ποίᾳ[6] τινα εἴδη τίσιν ἁρμόττει προσώποις, ἐν τῷ περὶ δεινότητος. τοῦτο δὲ περὶ οὗ νυνὶ λέγομεν, αὐτό γε[7] καὶ τὰ εἴδη αὐτοῦ τε, δύναται μὲν καὶ δι' ὅλου ποτὲ λόγου παραλαμβάνεσθαι, ὥσπερ καὶ ταῦτα· οἷον σεμνότης, τραχύτης, καὶ τὰ λοιπά. δύναται δὲ[8] κατὰ τὰ αὐτὰ, καθάπερ κἀκεῖναι, καὶ μερικῶς που γίνεσθαι χρήσιμα, ὥσπερ ἐστὶ πολλάκις εὑρεῖν παρὰ τῷ ῥήτορι. σαφὲς δὲ ὃ λέγω μᾶλλον γενήσεται ἐπισκεψαμένοις τὸν λόγον τὸν περὶ αὐτοῦ. ἦθος τοίνυν ἐν λόγῳ ποιεῖ ἐπιείκεια καὶ ἀφέλεια. καὶ πρὸς τούτοις τὸ κατ' αὐτῶν ἐμφαινόμενον ἀληθὲς καὶ ἐνδιάθετον. ἡ δὲ βαρύτης ὑπόκειται μὲν ὑπὸ τὸν[9] ἠθικὸν λόγον, οὐ μὴν συμπληροῖ γε αὐτὸν, ὥσπερ ἥ τε ἀφέλεια καὶ ἡ ἐπιείκεια, τό τε ἀληθὲς καὶ τὸ ἐνδιάθετον· οὐδέ γε καθ' ἑαυτὴν δύναται θεωρεῖσθαι, ὥσπερ ἐκείνων τῶν ἰδεῶν ἑκάστη, ἀλλὰ δεῖ αὐτῇ ἀφελείας ἢ ἐπιεικείας, ἤ τινος τῶν ἄλλων ἠθικῶν τι πάντως προσεῖναι. σαφέστερον δὲ καὶ τοῦτο περὶ ἑκάστης αὐτῶν λέγοντες ἐνδειξόμεθα. καὶ πρῶτόν γε περὶ ἀφελείας. Cap.

4 Ald. Vind. ἐκεῖνος. Port. Mon. ἐκεῖνο. tum Mon. γένοιτ' ἄν. 5 Ald. Vind. μαθησώμεθα. Port. Mon. μαθησόμεθα. 6 Vind. οἷα. Ald. sq. τινὰ om. 7 Mon. τε. 8 Vind. δὲ καὶ κατὰ ταὐτά. 9 Mon. (in quo καὶ πρὸς τούτοις — — καὶ ἡ ἐπιείκεια manu rec. ad marg. adjecta sunt,) ὑπὸ τῶν ἠθικῶν λόγων.

## Cap. III.

### ΠΕΡΙ ΑΦΕΛΕΙΑΣ.

Ἔννοιαι τοίνυν εἰσὶν ἀφελεῖς[1] ἁπλῶς μὲν εἰπεῖν αἱ καθαραί. αἱ γὰρ ἁπάντων ἀνθρώπων κοιναὶ καὶ εἰς πάντας[2] ἀνθρώπους ἀνελθοῦσαι ἢ δόξασαι ἀνελθεῖν καὶ μηδὲν ἔχουσαι βαθὺ μηδὲ περινενοημένον, δῆλον ὡς ἀφελεῖς ἂν εἴησαν ἡμῖν καὶ[3] καθαραί· οἷον, ἐμὲ[4] μὲν φαῦλον ἡγεῖσθε, τουτονὶ δὲ ἄφετε. καὶ τοῦτό γε ὁμολογούμενον, ὡς αἵ γε[5] καθαραὶ ἔννοιαι πάντως ἂν εἶεν καὶ ἀφελεῖς·[6] αἵ τε αὖ ἀφελεῖς καὶ καθαραί. ἰδίως δ' ἂν λέγοιντο ἀφελεῖς αἱ τῶν ἁπλάστων ἠθῶν καὶ ὑπό τι νηπίων, ἵνα μὴ ἀβελτέρων λέγῃ τις. οἷον τὸ περὶ πραγμάτων διεξιέναι τινῶν, καὶ λέγειν αὐτὰ, μηδεμιᾶς ἀνάγκης οὔσης, μηδὲ ἐπερωτῶντός[7] τινος, ὡς τὰ πολλὰ ἔχει τῶν Ἀνακρέοντος· καὶ πάλιν τὰ Θεοκρίτου ἐν τοῖς βουκολικοῖς καὶ ἄλλων οὐκ ὀλίγων· οἷον,

> Κωμάσθω[8] ποτὶ τὰν Ἀμαρυλλίδα· ταὶ δέ μοι αἶγες
> Βόσκονται κατ' ὄρος.

καὶ τὰ ἑξῆς. ἐπεὶ δ' ἐν τῷ περὶ καθαρότητος ἡμῖν τὰ παραδείγματα ἦν πολιτικώτερα καὶ ἀγωνιστικώτερα, ὥσπερ ἴσως καὶ τὸ προκείμενον, τὸ, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τουτονὶ δὲ ἄφετε, τῶν δὲ, ὡς ἐν τῇ ἄλλῃ λογογραφίᾳ, καθαρῶν τε καὶ ἀφελῶν ἐννοιῶν οὐκ ἐπεμνήσθημεν, ἀνάγκη τι πλέον εἰπεῖν ἐνταῦθα περὶ αὐτῶν. χωρίζομεν γὰρ οὐδαμῇ, ὡς ἑτέρας τὰς καθαρὰς

---

1 Ald. Mon. ἀφελείας. Port. Vind. ἀφελεῖς. 2 Vind. εἰς ἅπαντας ἀνελθ. 3 καὶ Vind. om. Par. γρ. δῆλον ὡς ἀφελεῖς ἂν εἶεν καὶ καθαραί. 4 de fals. leg. p. 343. 5 Vind. τε. 6 Ald. ἐφελεῖς. 7 marg. Vict. „Hujuscemodi videtur illud Euripidis, cum in Phönissis induxit Antigonem metum ingentem indicantem: ἆρα πύλαι κλεῖθροις [v. 114.] 8 Ald. κομάοδω. Vind. κωμάζω. — Theocr. Id. III, 1.

οὔσας ἐννοίας παρὰ τὰς ἀφελεῖς, οὐδ' αὖ τὰς ἀφελεῖς παρὰ τὰς καθαράς. λέγω δὲ ὅτι τῶν καθαρῶν τούτων καὶ ἀφελῶν ἐννοιῶν αἱ μὲν μᾶλλον ἁρμόττουσι τῷ πολι-
117 τικῷ λόγῳ, αἱ δὲ ἧττον, αἱ δὲ οὐδ' [9] ὅλως· ἃς καὶ μᾶλλον εἴποι τις ἂν ἰδίας εἶναι τῆς ἀφελείας, ὡς προείρηται, καίπερ οὐδὲν ἧττον οὔσας καθαράς. λέγω δὲ ταύτας, αἳ καὶ παίδων γένοιντο [10] ἂν νηπίων, ὡς ἔλεγον, καὶ ἀνδρῶν ἐγγὺς ἡκόντων φρενῶν γε ἕνεκα τοῦ νηπίου, καὶ γυναίων ὡσαύτως καὶ γεωργῶν ἀγροίκων, καὶ ὅλως [11] ἀληθὲς εἰπεῖν, ἀφελῶν τε [12] καὶ ἀκάκων ἀνθρώπων· οἷον, ὡς [13] καλός μοι ὁ πάππος, ὦ μῆτερ. καὶ πάλιν, αὐτοί [14] τε πονηροί εἰσι, λέγων τοὺς Ἀσσυρίους ὁ Κῦρος, καὶ ἐπὶ πονηρῶν ἵππων [15] ὀχοῦνται. ὁρᾷς ὅσον τὸ ἀφελὲς τῆς γνώμης; καὶ μὴν καὶ τό, [16]

Ἀδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

καὶ τὰ πολλὰ τῶν βουκολικῶν (ἵνα μὴ τὰ πάντα λέγω) τοιαῦτά ἐστι. καὶ παρὰ τῷ Ἀνακρέοντι δὲ ὡσαύτως, παρά τε αὖ τῷ Μενάνδρῳ μυρία ἂν εὕροις τοιαῦτα, καὶ γυναῖκας λεγούσας καὶ νεανίσκους ἐρῶντας [17] καὶ μαγείρους καὶ παρθένους θρυπτομένας καί τινας ἄλλους. ὅλως τε διὰ τὸ ὑποπίπτειν τῷ ἠθικῷ λόγῳ πάντα τὰ τῶν τοιούτων προσώπων ἤθη, οἷον λίχνων, γεωργῶν καὶ [18] τῶν ὁμοίων, ταῦτά γε πάντα ἢ τά γε πλεῖστα αὐτῶν ὑποκεῖσθαι τῇ ἀφελείᾳ δεῖ, ἃ [19] καὶ ἰδίως ἠθικὰ καλεῖται. [20] δεῖ δὲ τοῦτο ἐπισκέφθαι, ὅτι αἱ οὕτω λεγόμεναι καθαραὶ ἔννοιαι, οὖσαι ἀφελεῖς, εἰ μέν τις [21] ἦθός τι ὑποκρί-

---

9 Vind. οὐδέ. 10 Vind. γένοιντ' ἄν. 11 Port. ὡς. 12 τε Vind. om. 13 Xen. Cyrop. I, 3. 2. 14 Port. ex Cyrop. I, 4, 19. ἀλλ' οὖν πονηροί γε φαινόμενοι. 15 Port. ἱππαρίων. 16 Theocr. Id. I, 1. 17 Vind. ἐρωτῶντας. tum Par. ad marg. γρ. οἷον καὶ παρθ. θρυπτομένας. 18 Ald. Mon. Vind. om., habet Port. 19 ἃ Vind. om. 20 Vind. καλεῖσθαι. mox Ald. ἐπισκέφθαι. 21 Vind. τοι.

νοιτο τῶν λεγομένων ἰδίως ἠθικῶν προσώπων, ἀναγκαῖαι παραλαμβάνεσθαι καὶ χρήσιμοι. αἱ δὲ ἄλλως [22] οὐκ ἐπιτήδειοι τῷ λόγῳ τῷ πολιτικῷ· ἔτι ἀφελεῖς ἔννοιαι καὶ αἱ πλησιάζειν πως δοκοῦσαι τῷ εὐτελεῖ. γίνονται [23] δὲ αὗται, ὅταν περὶ εὐτελῶν καὶ τῶν τυχόντων πραγμάτων λέγῃ τις, ὡς ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν. ἢ τὰ [24] καταχύσματα, φησὶν, κατέχεε. [25] καὶ πάλιν ἐτέρωθι· τὴν ῥοδωνιὰν [26] ἐκτίλλειν. καὶ ἐν τῇ πρὸς Εὐβουλίδην [27] ἐφέσει τὸ λέγειν, ὅτι ταινίας ἐπίπρασκεν ἐν τῇ ἀγορᾷ ἡ μήτηρ. ὅλως τε πολλὰ τοιαῦτά ἐστιν [28] ἐν ἰδιωτικοῖς, παρὰ δὲ τῷ Λυσίᾳ καὶ μᾶλλον. ἐν δὲ τοῖς δημοσίοις σπάνιά γε τὰ τοιαῦτα, καὶ μετά τινος παραμυθίας εἰσάγεται. ὥσπερ τὸ, ἄνευ τοῦ προσωπείου κωμάζειν, [29] προσλαβὼν τὸ ἐνδιάθετον· οἷον, τοῦ καταράτου Κυρηβίωνος, καὶ τὸ, ὃς [30] ἐν ταῖς πομπαῖς ἤρθη πως ἀπὸ τοῦ ἄγαν εὐτελοῦς. καὶ τοῦτο δὲ τὸ, ἀλλ' ὡς ἡ μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλισίῳ [31] τῷ πρὸς τῷ Καλαμίτῃ ἥρωϊ χρωμένη τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέτρεψέ σε. καὶ τοῦτό ἐστι μὲν τοῦ αὐτοῦ τύπου, εἰ καὶ σφοδρῶς εἰσήχθη. εὐτελὲς γὰρ τὸ πρᾶγμα, ἀλλὰ καὶ τῷ τοῖς μεθημερινοῖς εἰπεῖν γάμοις, καὶ

---

22 Vind. αἱ ἄλλως δέ. 23 Vind. γίγνονται. 24 Edd. Codd. etiam Sicel. ᾗ, scr. ᾗ ex or. c. Steph. p. 1123. 25 Ald. κατάχεε. — Port. αὐτοῦ κατέχ. 26 c. Nicostr. p. 1251. 27 p. 1309. — marg. Vict. „Accommodatum exemplum et illud est in oratione περὶ τοῦ ἐπιτριηραρχήματος. [in Polycl. p. 1225.] ἡ δὲ γῆ οὐχ ὅπως καρπόν τινα ἤνεγκεν, ἀλλὰ καὶ τὸ ὕδωρ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ, ὡς πάντες ἴστε, ἐκ τῶν φρεάτων ἀπέλιπεν, ὥστε μηδὲ λάχανον γενέσθαι ἐν τῷ κήπῳ. 28 Port. ἐστί. 29 Port. κωμάζει. ex or. de fals. leg. p. 433. τοῦ καταράτου Κυρηβίωνος, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. 30 Ald. Mon. ὡς. Port. Vind. ὅς. 31 marg. Vict. κλησίῳ. — pro cor. p. 270.

αὐτῇ τῇ σφοδρότητι καὶ τῇ εἰρωνείᾳ καὶ πᾶσι τοῖς λοιποῖς παραμυθίαν[32] ἔλαβε. καὶ μὴν καὶ τὸ, χοὺς ὄφεις[33] τοὺς παρείας θλίβων, καὶ τὰ ἑξῆς, μέχρι τοῦ ὑπο τῶν γραϊδίων οὕτω προσαγορευόμενος, τοιοῦτόν ἐστι. παραμεμύθηται δὲ τῷ καὶ αὐτὸν ὥσπερ καταγινώσκοντα τῶν εἰρημένων εἰπεῖν, ὅτι ὑπὸ τῶν γραϊδίων οὕτω προσηγορεύετο· ἐκεῖνα μέντοι διὰ τὸ ἄγαν εὐτελὲς καὶ ὠβέλησάν[34] τινες καὶ ὑπεξείλοντο, ἴσως ὀρθῶς ποιοῦντες. λέγω τὸ, κυάμους ἐφθοὺς βοῶσα[35] κατὰ πᾶν τὸ θέρος ἐπλανᾶτο, καὶ τὰ ἑξῆς, ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐν μὲν ἰδιωτικοῖς λόγοις ἴσως ἂν ἁρμόσειεν, ἐν δημοσίῳ[36] δὲ καὶ τηλικοῦτον ἔχοντι ἀξίωμα λόγῳ ἢ προσώπῳ ἢ πράγματι πῶς ἂν ἁρμόττοι;[37] τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῷ[38] κατὰ Νεαίρας ὠβελισμένον ὑπό τινων, τὸ ἀπὸ τριῶν[39] τρυπημάτων τὴν ἐργασίαν πεποιῆσθαι λέγειν. λίαν γὰρ εὐτελές ἐστι, καὶ εἰ σφοδρὸν εἶναι δοκεῖ. ἔτι ἀφελεῖς ἔννοιαι καὶ αἱ[40] ἐν τοῖς ἐπιχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων λαμβανόμεναι· οἷον, ὁ βοῦς κέρατι παίει, ὁ[41] ἵππος ὁπλῇ, ὁ κύων στόματι, ὁ κάπρος ὀδόντι. καὶ εἰ ἀπὸ τῶν φυτῶν δέ τις ἐπι-

32 Ald. παραμύθιον. Port. Mon. Vind. παραμυθίαν. 33 pro cor. p. 313. 34 Port. ὀβελίσαντές τινες ὑπεξ. — Ad rem cfr. Taylor. ad Dem. pro cor. p. 229. 35 Edd. et Codd. βοῶσα καὶ κατὰ, delevi καὶ, ut natum e sq. κατὰ, auctoritate Schaeferi Appar. ad Dem. T. IV. p. 198. — Par. γρ. κατὰ τὴν ἀγοράν Locum hunc olim in or. pro cor. p. 270. post vv. πόθεν γὰρ ἄλλοθεν lectum esse suspicatur Reisk. in commentar. ad l. l. et in ind. in Dem. s. v. κύαμος. 36 Ald. δημοσίῳ. 37 Vind. ἁρμόττει. 38 ἐν τῷ Mon. om. 39 in Par. prima manu scriptum fuisse videtur ἀποτεύων, correctum ἀπὸ τριῶν. ad marg. ἔν τισιν ἀπὸ τριῶν τρυπημάτων. vide Reisk. ind. in Dem. s. v. τρύπημα. 40 Ald. Vind. αἱ om., est in Port. Mon. 41 Vind. ἢ ὁ ἵππος. — Xen. Cyrop. II. 3, 9.

χειροίη, παραπλησίως ταὐτὸν ποιήσει. ταῦτα δὲ καὶ [42] πλέον ἔχει τι κατ' ἔννοιαν τοῦ ἀφελοῦς. ἐγγὺς γάρ [43] ἐστι γλυκύτητος. διὸ καὶ πλεονάζει παρὰ τοῖς ποιηταῖς. εἰ δὲ [44] ἔχει παρ' ἐκείνοις ταῦτα καὶ μέγεθος, οὐ δεῖ θαυμάζειν. μάλιστα μὲν γὰρ οὐ κατὰ πλῆθος, ὥσπερ ἐνταῦθα, τοῖς τοιούτοις χρῶνται παραδείγμασιν. ἓν [45] δέ τι ἀπολαβόντες λέγουσι. τοῦτο δὲ οὐκέτι ἐᾷ γενέσθαι [46] πάντη τὸν λόγον ἀφελῆ. ἔπειτα δὲ καὶ φύσει μέλει τοῖς ποιηταῖς ἀμφοτέρων, τοῦ [47] τε μεγέθους καὶ τοῦ ἡδέος. διὸ ἢ λέξεσιν ἢ σχήμασιν αὐτὸ ἐξαίρουσι, καίπερ ἴσως ὂν κατ' ἰδίαν φύσιν ἀφελὲς καὶ ἡδύ. καὶ [48] περὶ μὲν γλυκύτητος αὐτίκα λέξομεν. τὸ δὲ προειρημένον παράδειγμα καὶ μᾶλλον ἐγένετο ἀφελὲς διὰ τὸ πλεονάσαι τοῖς κατὰ μέρος, ὡς καὶ [49] μικρῷ πρότερον ἐλέγομεν. 118

Μέθοδος δέ τις αὕτη ἀφελείας, ἀλλ' οὐκ ἔννοια, τὸ πλεονάζειν τοῖς κατὰ μέρος ἐπεξιόντας. ἐπεὶ καὶ τὸ, εἰ μὴ καὶ [50] τοὺς θεριστὰς καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας, εἰ ἀφέλοι τις τὸ ἀόριστον, [51] ἐπιμείναι δὲ τοῖς κατὰ μέρος, ἀφελῆ ποιήσει τὸν λόγον· οἷον εἰ οὕτω λέγοι· εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς σκαπανέας καὶ τοὺς ἀμαλλοδέτας [52] καὶ τοὺς ποιμένας καὶ τοὺς νομέας. εἰ γὰρ οὕτως ἐπιμείναι τις τοῖς κατὰ μέρος, πάνυ ἂν ἐργάσαιτο ἀφελῆ τὸν λόγον. ἔτι ἀφελές τε καὶ ἠθικὸν κατ' ἔννοιαν καὶ τὸ δι' ὅρκων πιστοῦσθαι ὁτιοῦν, ἀλλὰ μὴ διὰ τῶν πραγμάτων. οἷον, καλῶ δὲ τοὺς θεοὺς πάντας καὶ πάσας, ὅσοι [53] τὴν χώ-

---

42 καὶ et sq. τε Vind. om. 43 Vind. γὰρ ἤδη γλυκύτητός ἐστι. 44 Vind. δ' ἔχει. 45 Ald. ἐν. tum Vind. ἀπολαύοντες. 46 Vind. γίνεσθαι. 47 Mon. Vind. τοῦ τε ἡδέος καὶ τοῦ ἤθους. 48 Port. ἀλλά, tum Vind. περὶ μὲν τῆς γλυκ. 49 Vind. καὶ ὡς. 50 pro cor. p. 242. 51 Reisk. ad Dem. p. 242. explicat: aliud quodcunque. tum Mon. ἐπιμείνο'. 52 Ald. Port. Mon. ἀμυλοδέτας. Par. Vind. ἀμαλλοδέτας. 53

ραν ἔχουσι τὴν Ἀττικὴν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, καὶ τὰ ἑξῆς, καὶ πάλιν, πρῶτον μὲν, ὦ[54] Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις· καὶ μυρία τοιαῦτα ἔχεις παρὰ τἀνδρὶ, πάντα δὲ ταῦτα ἠθικὰ καὶ ἀφελῆ τὰ τῶν ὅρκων. καὶ εἰ τοὺς ἀκούοντας δὲ ὁρκίζοι[55] ἢ τὸν ἀντίδικον, ὡσαύτως. οὐ γὰρ ἀγωνιστικὰ[56] ταῦτά γε· οἷον, πρὸς Διὸς[57] καὶ θεῶν μὴ ἀποδέξησθε, καὶ ὅσα τοιαῦτα, ἀλλὰ[58] ἠθικὰ τῇ πίστει καὶ πιθανά· εἰ μέντοι μεθοδεύοις[59] τινὰ πίστιν ἀγωνιστικὴν ἢ καὶ ὁτιοῦν ἕτερον, ὥστε μεταπεσεῖν εἰς ὅρκου σχῆμα τὸ τοιοῦτον, ἄλλο τι λέγω, καὶ οὐκ ἀφελὲς οὐδὲ ἠθικόν. οὐδὲ γὰρ ὅρκος ἔτι ἐκεῖνός[60] γε ἂν εἴη, ἀλλὰ μεθωδεύθη μέν πως ἄλλο τι ὄν, ὥστε εἰς τοῦτο ἀφικέσθαι, φυλάττον δὲ τὴν οἰκείαν δύναμιν προσλαμβάνει τι καὶ ἕτερον διὰ τῆς μεθόδου. οἷον, οὐ μὰ[61] τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τὰ ἑξῆς. τοῦτο καὶ[62] ἔνδοξον ὂν παράδειγμα, καὶ πίστις τοῦ ὅτι σύνηθες τῇ πόλει ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι καὶ κινδυνεύειν, μεθοδευθὲν οὕτως, ὥστε μεταπεσεῖν εἰς[63] ὅρκον, πεποίηκε λαμπρότητα καὶ μέγεθος, ἀλλ' οὐκ ἀφέλειαν οὐδὲ ἦθος. ταῦτα μὲν οὖν ταύτῃ· ἐπανιτέον δὲ ἐπὶ τὸ ἐξαρχῆς.

Ἔννοιαι μὲν γὰρ ἀφελεῖς[64] αὗται καὶ αἱ τοιαῦται. Μέθοδοι δὲ ἀφελείας, αἵπερ καὶ καθαρότητος. καὶ ὅσα γε ἐκεῖ εἰρήκαμεν, ταῦτα ὁμοίως κἀνταῦθα δοκείτω

---

ὅσοι τὴν χώραν ἔχ. τὴν Ἀττ. Vind. om. — pro cor. p. 274. 54 Port. ὦ ἄνδρες Ἀθ. — pro cor. init. 55 Vind. ὁρκίζει. 56 Vind. οὐ γὰρ ἀγωνιστικὸν τοῦτό γε. 57 de fals. leg. p. 365. 58 Vind. ἀλλὰ καὶ ἠθ. 59 Vind. μεθοδεύει. 60 Vind. ἐκεῖνο. 61 pro cor. p. 297. 62 Mon. γάρ. 63 Vind. εἰς τὸν ὅρκον. 64 Par. γρ. ἀφελείας ita Vind. Sqq. καὶ αἱ τοι-

λέγεσθαι, ὅτι δύναταί τις καὶ μὴ ὄντα τινὰ ὅσον γε τῶν ἐννοιῶν ἕνεκα ἀφελῆ [65] λόγον ὅμως [66] καὶ διά γε τῶν ἄλλων ποιεῖν εἶναι δοκεῖν ἀφελῆ· οἷον, σχημάτων, λέξεων καὶ τῶν λοιπῶν. αὐτίκα ἡ ὀξύτης καὶ τὸ ὀξέως τι εἰπεῖν ἤτοι ἁπαντῶντα λόγῳ τινὶ ἢ ὁπωσοῦν, ὅπερ τινὲς εἶδος δριμύτητος ὠνομάκασιν, [67] οὐ μόνον οὐκ ἀφελὲς, ἀλλὰ καὶ ἐναντίον ἐστὶ τῷ ἀφελεῖ. δεινότητος γὰρ ἴδιον τὸ τοιοῦτον, οὐδὲν γὰρ ἄλλο [68] ἢ ἐπιπόλαιός ἐστι βαθύτης ἡ ὀξύτης αὕτη, εἴτε καὶ δριμύτης. διαφέρει δὲ ὀνόματος ἕνεκα ἡμῖν οὐδέν, ἀλλὰ [69] τὸ ψιλὸν, καὶ ὥσπερ ἔφην, ἐξ ἐπιπολῆς [70] εἰσάγεσθαι τὸ νόημα, καίπερ βαθὺ ὂν, [71] ἀφελὲς ἔδοξεν εἶναι, πολὺ δὲ τοῦτο παρὰ τῷ Ξενοφῶντι. σαφέστερον δὲ περὶ αὐτῆς μικρὸν ὕστερον [72] ἐν τῷ περὶ γλυκύτητος λέξομεν.

Λέξις γε μὴν ἀφελὴς τὸ μὲν πλεῖστον ἡ αὐτή ἐστι [73] τῇ καθαρᾷ. εἰσὶ δέ τινες καὶ ὥσπερ ἴδιαι τῆς ἀφελείας, ὡς τὸ ἀδελφίζειν παρὰ τῷ Ἰσοκράτει [74] καὶ ὁ κλαυσίγελως παρὰ τῷ Ξενοφῶντι· καὶ ἄλλαι τινὲς

---

αὗται et ἀφελείας Vind. om. 65 Ald. τὸν ἀφελῆ. Port. Vind. Par. τὸν om. Mon. τὸν σαφῆ. manu rec. supra lin. ἀφελῆ. 66 Ald. ὁμοίως. Port. Mon. Vind. ὅμως. 67 Vind. ὀνομάκασιν. 68 Vind. ἀλλ' ἤ. tum Ald. ἐπιπόλεος. Par. γρ. ἀλλ' ἢ ἐπιπόλαιός ἐστι. 69 Vind. ἀλλ' ἢ τὸ ψ. 70 Mon. ἐπιβολῆς. ad marg. γρ. ἐξ ἐπιπολῆς. cfr. Sch. T. VII. p. 1012. ἐξ ἐπιβουλῆς δὲ εἶπε κατ' ἐνίους etc. 71 Vind. Mon. ὂν βαθύ. 72 Vind. ὕστερον λέξομεν ἐν τῷ π. γλ. 73 Vind. ἐστὶν ἡ καὶ καθαρά. 74 Aeginet. §. 30. p. 466. Bekk. — Locus Xenoph. est Hellen. VII. 2, 9. cfr. Demetr. Phal. XXVIII. cum nota Schneid. Fons dictionis est Il. ζ. 484. δακρυόεν γελάσασα. Long. Pastor. p. 26 Villois. ἐξελθὼν δὲ καὶ τὴν Χλόην ἐπὶ τῆς γῆς γελῶσαν ἅμα καὶ δακρύουσαν εὗρών. Heliod. II, 8. ἐγέλασεν πρὸς ταῦτα βραχύ τι καὶ βεβιασμένον οὐδὲ τοῦτο ἀδάκρυτον, ἀλλ' ὡς ἂν ἐν τοσαύτῃ γε συμφορᾷ πλέον τῷ θρήνῳ κεκερασμένον.

τοιαῦται. [75] ἠθικαὶ γὰρ αὗται καὶ ἄγαν ἀφελεῖς. καὶ μὴν καὶ αἱ δριμεῖαι περὶ ὧν καὶ ἐν τῷ περὶ δριμύτητος καὶ ὀξύτητος αὐτίκα λέξομεν, ὡς ἔφην. αὗται δὲ ὡς ἐπὶ τὸ πλεῖστον γλυκύτητα ποιοῦσιν ἐν ἀφελείᾳ. ἡ δὲ γλυκύτης οἷον [76] κάλλος τι τῆς ἀφελείας ἐστί· περὶ ἧς καὶ αὐτῆς μετ' οὐ πολὺ λέξομεν. καὶ πρῶτόν γε περὶ ταύ-
119 της, [77] εἶθ' ὕστερον περὶ τῆς δριμύτητος εἴτε ὀξύτητος. ἀλλὰ πάλιν ἐπὶ τὸν περὶ ἀφελείας λόγον ἰτέον. [78] λέξις μὲν γὰρ ἡ τοιαύτη ἰδία ἀφελείας.

Σχήματα δὲ ἀφελῆ [79] καὶ κῶλα ταὐτὰ ἅπερ ἦν καὶ καθαρά, συνθῆκαί τε ὡσαύτως. ἀφελέστεραι δὲ αἱ μᾶλλον λελυμέναι. οἷον, ἀκούσατέ μου ἀπολογουμένου δικαίως, καὶ οἷαί εἰσιν αἱ πλεῖσται παρά τε τῷ Ξενοφῶντι καὶ τῷ [80] Σωκρατικῷ Αἰσχίνῃ καὶ μέντοι καὶ τῷ Νικοστράτῳ. ἀπὸ δὲ τούτων δῆλος [81] ὁποῖός τίς ἐστι καὶ ὁ ῥυθμὸς ἐν ἀφελείᾳ. ἡ γὰρ ποιὰ συνθήκη κἀνταῦθα τὸν ῥυθμὸν [82] ποιεῖ.

Ἀνάπαυσις δὲ καὶ βάσις ἀφελὴς ἡ βεβηκυῖα. καίπερ γὰρ [83] οὖσα σεμνὴ αὕτη ἡ ἀνάπαυσις ὅμως μᾶλλον ἁρμόττει τῆς οἷον ἁρπαζομένης καὶ ἐκκρεμοῦς. κεκαλλωπισμένη γὰρ μᾶλλον ἐκείνη. ἀφελὴς οὖν ἡ ἑδραία μᾶλλον βάσις τοῦ εὐρύθμου καὶ ἡ βεβηκυῖα ἀνάπαυσις. εἴρηται δὲ ἀκριβῶς περὶ τούτων ἡμῖν ἐν τῷ περὶ κάλλους. ἐπηγγειλάμην [84] δὲ ἐρεῖν τι καὶ περὶ [85] γλυκύτητος καὶ ὥρας, ἃ δὴ ὥσπερ ἐπίτασίν τινα τῆς ἀφελείας ἐλέγομεν εἶναι. λεκτέον οὖν ἂν [86] εἴη τι περὶ αὐτῶν. ἐφε-

---

75 καὶ ἄλλαι τινὲς τοιαῦται Vind. om. 76 Vind. οἷόν τι 77 Vind. αὐτῆς. 78 Vind. ἰτέον λόγον. 79 Vind. ἀφελῆ om. tum Mon. Vind. ταῦτα, Port. τὰ αὐτά. 80 Vind. καὶ τῷ Ἰσοκράτει καὶ τῷ Αἰσχ. 81 Vind. δῆλον ὁποῖός ἐστιν. etiam Mon. τις om. 82 Vind. τὸ εὔρυθμον. 83 Vind. γὰρ om. 84 Vind. ἐπηγγειλλάμην. 85 Port. πρό. 86 Mon. ἂν οὖν εἴη.

ξῆς δὲ ταύτης [87] λέξομεν καὶ περὶ [88] δριμύτητος, εἴτε ὀξύτητος.

---

## Cap. IV.

### ΠΕΡΙ ΓΛΥΚΥΤΗΤΟΣ.

Ἔννοιαι δὲ γλυκεῖαί τε [1] καὶ ἡδονὴν ἔχουσαι μάλιστα μὲν πᾶσαι αἱ μυθικαί· οἷον, ὅτε γὰρ ἐγένετο ἡ [2] Ἀφροδίτη, εἱστιῶντο οἵ τε ἄλλοι θεοὶ καὶ ὁ τῆς Μήτιδος [3] υἱὸς Πόρος, καὶ τὰ ἑξῆς. ἔστι δὲ ἀπὸ τοῦ συμποσίου ταῦτα Πλάτωνος. καὶ πάλιν τὸ περὶ τῶν τεττίγων ῥηθὲν ἐν Φαίδρῳ, [4] ὡς ποτε οὗτοι ἦσαν [5] ἄνθρωποι, πρὶν Μούσας γεγονέναι, καὶ τὰ ἑξῆς. καὶ παρὰ τῷ ῥήτορι τὰ ἐν τῷ κατὰ Ἀριστοκράτους εἰρημένα· [6] οἷον, ἐν τούτῳ μόνῳ τῷ δικαστηρίῳ θεοὶ δίκας δοῦναι καὶ λαβεῖν ἠξίωσαν παρ' ἀλλήλων. καὶ τὰ ἑξῆς, μέχρι τοῦ, δικάσαι δὲ Εὐμενίσι καὶ Ὀρέστῃ τοὺς δώδεκα θεούς. ἀλλ' ἐνταῦθα μὲν, ἐπείπερ ἐν τῷ πολιτικῷ λόγῳ τὰ μυθικὰ ὑπτιότητα ποιεῖ, διὰ τῶν τῆς γοργότητος ἰδίων τὸ λίαν ὕπτιον ὁ ῥήτωρ παρεμυθήσατο, τεμὼν τὰ πράγματα. ὅσαι δὲ καὶ ἄλλαι εἰσὶ μέθοδοι, καθ' ἃς δεῖ χρῆσθαι τοῖς μυθικοῖς, ἀκριβέστερον ἐν τῷ περὶ δεινότητος ἡμῖν λελέξεται. ἀλλ' ἐκεῖσε ἐπάνειμι. πρῶτον μὲν γὰρ (ὅπερ ἔφην) καὶ μάλιστα γλυκύτητα [7] καὶ ἡδονὴν ἐν λόγῳ αἱ μυθικαὶ τῶν ἐννοι-

---

87 Vind. ταύτῃ. 88 Vind. περὶ τῆς δριμ.

1 τε Mon. om. tum Vind. ἔχουσαί εἰσι. 2 Ald. Mon. ἡ om., habet Port. Vind. 3 Ald. Μήνιδος. — Plat. Sympos. p. 203. B. 4 p. 259. b. 5 Vind. ἦσαν οὗτοι ἄνθρ. πρὶν Μούσας γενέσθαι. Mon. ἦσαν ἄνθρ. οὗτοι. 6 p. 641. 7 Vind. γλυκύτητα ποιεῖ καὶ ἡδ.

ὧν ποιοῦσι. κατὰ δεύτερον δὲ λόγον τὰ διηγήματα, ὅσα ἐγγὺς μύθων ἐστίν, οἷον, τὰ περὶ τοῦ Τρωϊκοῦ πολέμου εἰ διεξίοι [8] τις, ἢ εἴ τι τοιουτότροπον. τρίτην δὲ [9] ἔχει τάξιν τὰ κατ' ὀλίγον μέν πως τοῦ μυθικοῦ κοινωνοῦντα διηγήματα, μᾶλλον δὲ ἢ κατὰ τοὺς μύθους πιστευόμενα. οἷά ἐστιν ἅπαντα τὰ Ἡροδότου· μυθώδη γὰρ ὀλίγα ἔχει· οἷον, τὰ περὶ τοῦ Πανὸς [9*] ῥηθέντα καὶ τοῦ Ἰάκχου, [10] καὶ ἴσως ἄλλα τινὰ σφόδρα γε [11] ὀλίγα, τὰ μέν τοι ἄλλα καὶ πιστεύεται γεγονέναι καὶ ἀπήλλακται τοῦ μυθικοῦ· διόπερ οὐδὲ ὁμοίως τοῖς φύσει μυθικοῖς μετέχει τῆς γλυκύτητος· ἕτερον δὲ παρὰ ταῦτα εἶδός ἐστιν ἡδονὴν ἔχον καὶ γλυκύτητα ἐννοιῶν, ὅπερ ἄλλοτε ἄλλην ἔχει δύναμιν. τοῦτο γὰρ πολλάκις μὲν καὶ τὰ μυθικὰ αὐτὰ ὑπερβάλλει τῇ ἡδονῇ, πολλάκις δὲ καὶ τῶν [12] τρίτην ἐχόντων τάξιν ἐλαττοῦται. ἔστι δὲ τοῦτο τοιοῦτον. πάντα ὅσα ταῖς αἰσθήσεσιν ἡμῶν ἐστιν ἡδέα, λέγω [13] δὲ τῇ ὄψει ἢ ἁφῇ ἢ γεύσει ἤ τινι ἄλλῃ [14] ἀπολαύσει. ταῦτα καὶ λεγόμενα ἡδονὴν ποιεῖ, ἀλλ' αἱ μέν εἰσιν αἰσχραὶ τῶν κατὰ [15] ἀπόλαυσιν ἡδονῶν, αἱ δ' οὐ τοιαῦται. καὶ τὰς μὲν οὐκ αἰσχρὰς ἔστιν ἁπλῶς ἐκφράζειν· οἷον κάλλος χωρίου καὶ φυτείας διαφόρους [16] καὶ ῥευμάτων ποικιλίας καὶ ὅσα τοιαῦτα. ταῦτα γὰρ καὶ τῇ ὄψει προσβάλλει ἡδονὴν [17] ὁρώμενα, καὶ τῇ ἀκοῇ, [18] ὅτε ἐξαγγέλλει τις. ὥσπερ ἡ Σαπφώ·

---

8 Ald. Vind. *διεξίει*, Port. Mon, *διεξίοι*, Tum Ald. *εἴτοι τοιουτότρ.* Vind. *εἴ τι.* Port. Mon. *ἢ εἴ τι.* 9 Vind. *δ' ἔχει.* tum Ald. Port, *ὀλίγων.* Mon. Vind. *ὀλίγων.* 9* VI. 105. 10 VIII. 65. 11 Vind. *δέ.* 12 Tzetz. *τῶν ἐχόντων τὴν τρίτην τάξιν.* 13 Vind. *λέγω ὄψει, ἁφῇ ἢ γεύσει.* 14 *ἄλλῃ* Tzetz. om. 15 Tzetz. *κατ' ἀπ.* 16 Tzetz. *διαφορὰν καὶ ῥευμ. ποικιλίαν.* Vind. *ποικιλίας ῥευμ.* 17 Tzetz. *ἡδονὴν προσβάλλει.* 18 Tzetz. *ἀκοῇ, οἷον ἔστι τὸ παράδειγμα Πλάτωνος ἐν Φαίδωνι.* omissis iis, quae interiecta sunt.

ἀμφὶ δὲ ὕδωρ [19]

— — ψυχρὸν κελαδεῖ δι' ὕσδων

Μαλίνων

καὶ

αἰθυσσομένων [20] δὲ φύλλων

Κῶμα καταῤῥεῖ

καὶ ὅσα πρὸ τούτων γε καὶ μετὰ ταῦτα εἴρηται. τοιοῦτόν ἐστι καὶ τὸ [21] παρὰ τῷ Πλάτωνι ἐν Φαίδρῳ· οἷον, νὴ τὴν Ἥραν καλή γε ἡ καταγωγή. ἥ τε γὰρ πλάτανος αὕτη μάλα [22] ἀμφιλαφής τε καὶ ὑψηλὴ, καὶ τὰ ἑξῆς. ταῦτα [23] μὲν οὕτως ἄν τις ἐκφράζων ἡδονὴν ποιοίη καὶ γλυκύτητα, ὅσαι δέ εἰσιν αἰσχραὶ τῶν κατὰ τὰς ἀπολαύσεις ἡδονῶν, ἐοικυῖαν ἔχουσιν αὐταῖς καὶ τὴν διὰ τῆς ἀκοῆς τέρψιν καὶ γλυκύτητα, οἷς γὰρ ἕκαστος χαίρει πραττομένοις, τούτοις [24] καὶ λεγομένοις ἡσθήσεται, ὁ μὲν ἀκόλαστος ἀκολάστοις, ὁ δὲ σώφρων δηλαδὴ σώφροσι, [25] καὶ ὁ ποιῶν δὲ ὡσαύτως ποιήσει, ἐπεὶ καὶ τὸ, [26]

ἦ ῥα καὶ ἀγκὰς ἕμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν,

ἡδονὴν [27] μὲν ἔχει, καὶ οὐκ ὀλίγην γε, σώφρονα μὴν ταύτην, καὶ μέχρι τοῦ μετρίου ἥκουσαν· τῇ δὲ λέξει καὶ πολὺ τῆς ἡδονῆς ἀφέστηκεν, οὐδὲ [28] γὰρ τραχέως μόνον,

---

19 Vind. Port, ὅσδων. marg. Vict. ἢ κλάδων. tum Port. μηλίνων. Sapph. Fr. IV. ed. Gaisf. 20 Vind. supra lin. ἢ κινουμένων, et supra κῶμα habet: ἢ ὕπνος. Par. ad marg. ἐν ἄλλοις οὐκ ἔστι τὸ κῶμα, ἀλλὰ οὕτως. αἰθυσσομένων δὲ φύλλων καταῤῥεῖ. 21 Vind, τὸ om. — Phaedr. p, 230. a. 22 Ald. Port. Mon. καὶ μάλα. Vind, Tzetz. καὶ om. 23 ταῦτα μὲν — — καὶ γλυκύτητα Tzetz. om. Vind. ταῦτα μὲν οὖν οὕτως. 24 Ald. Port, Mon, Vind, ἐκείνοις οὗτος καί. Tzetz. τούτου καί.

οἷ

25 Vind. σωφρονικαῖς. Par. γρ. ὁ δὲ σώφρων δηλαδὴ σωφρονικοῖς. Tzetz. ὁ δὲ σωφρονῶν δηλαδὴ σωφρονικοῖς. 26 Il. ξ. 346. 27 Vind, οὐκ ὀλίγην ἔχει τὴν ἡδονήν. 28 Mon. οὐ. Vind. τραχ-

ἀλλὰ καὶ σκληρῶς εἴρηται τὸ ἔμαρπτε. καὶ τὸ ἀγκὰς δὲ αὐτῇ τῇ προφορᾷ καὶ τῷ φθόγγῳ οὐχ [29] ἡδύ, καὶ εἰ τὸ τῆς ἐννοίας τις ἀφέλοι, ὁρᾷς, ὡς μεγέθους μᾶλλόν ἐστιν, ἀλλ᾽ οὐχ ἡδονῆς; ὅ γε μὴν ἀκόλαστος πάντως τι καὶ πλέον ἀκοῦσαι βούλοιτ᾽ ἂν ἢ καὶ [30] εἰπεῖν, ὅ τι ποιοίη, ὡς ἐν κωμῳδίᾳ. οὐ μὴν ὅ γε σώφρων. τὸ μέντοι,

Τοῖσι δ᾽ ὕπο χθὼν δῖα φύεν [31] νεοθηλέα ποίην,

καὶ τὰ ἑξῆς, μείζονα ἔχει τὴν ἡδυνὴν, διότι καὶ μυθικόν καὶ φύσει ἡδὺ τῇ ἄλλῃ ἀπολαύσει τὸ πρᾶγμα. καὶ οὐκ αἰσχρὸν ἦν ἐργάσασθαι τὰς τοιαύτας ἐννοίας τε [32] καὶ ἡδονάς. Τοιοῦτόν ἐστι καὶ τὸ,

Πορφύρεον δ᾽ ἄρα κῦμα περιστάθη, οὔρεϊ ἶσον
Κυρτωθέν· κρύψεν [33] δὲ θεὸν, θνητήν τε γυναῖκα,

καὶ ὅλως [34] μυρία τούτων παρὰ τοῖς ποιηταῖς ἐστι παραδείγματα. καθόλου τε πᾶσαι αἱ ἐρωτικαὶ ἔννοιαι γλυκεῖαί εἰσιν. ἐμπίπτουσι δὲ αὗται σχεδὸν ἐν ἅπασι τοῖς προειρημένοις κατ᾽ ἔννοιαν γλυκύτητος εἴδεσι, καὶ εἰσὶν αὐτῶν ὥσπερ μέρη. διὸ οὐδὲ ἀπεδώκαμεν τάξιν ἰδίαν ταῖς τοιαύταις τῶν ἐννοιῶν, ἀλλ᾽ ἐπὶ τοσοῦτον αὐτῶν ἐμνήσθημεν. καὶ οἷς ἐχαίρομεν [35] δὲ λόγοις εἴ τις χρῷτο, οἷον ἐγκωμίοις τοῖς εἰς ἡμᾶς αὐτοὺς ἢ εἰς τοὺς προγόνους τοὺς ἡμετέρους [36] ἢ εἰς τὰ παιδικὰ τὰ ἡμέτερα, δῆλον, ὡς ἡδονὴν ποιεῖ. [37] πολιτικὴ δὲ ἡ τοιαύτη ἡδονὴ, καὶ διαχεῖ γε πολλάκις τοὺς ἀκούοντας μᾶλλον ταῦτα τῶν φύσει ἡδέων. ἔστι δὲ καὶ ταῦτα ἐκείνης τῆς δυνάμεως, ἧς ἦν [38] καὶ τὰ ἐξαγγελλόμενα πάντα, ὅσα ταῖς αἰσθήσεσιν ἡμῶν τέρψιν φέρει.

---

χέων. 29 Ald. οὐκ. Mon. οὐχ. Port. Vind. οὐχ ἡδύ, καὶ om. 30 Vind. καὶ om. 31 Vind. φῦε. — Il. ξ. 347. 32 Vind. τε om. 33 Vind. κρύφε. — Od. λ. 243. 34 Vind. καὶ ἄλλα μυρία πολλὰ τούτων π. τ. π. ἐστὶ τὰ παραδ. 35 Vind. καὶ οἷς δὲ [λέγομεν expunctum est] χαίρομεν. 36 Vind. ἡμετέρους, εἰς τὰ ἡμέτερα παιδικά. 37 Ald. ποιεῖν. 38 Vind. ἧς ἦν ἐξ-

Ἔτι ποιεῖ γλυκύτητα καὶ τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι περιτιθέναι· οἷον, τὰ μὲν οὖν χωρία καὶ τὰ δένδρα οὐδέν ἐθέλει [39] με διδάσκειν, οἱ δὲ ἐν τῇ πόλει ἄνθρωποι· ἀμφισβητήσειε δ' ἄν τις, πότερον κατὰ λέξιν ἢ κατὰ ἔννοιαν ἐνταῦθα γέγονεν [40] ἡ γλυκύτης. καὶ ἴσως μᾶλλον κατ' ἔννοιαν. τροπὴ μὲν γάρ τίς ἐστιν ἐνταῦθα ἐν τῷ, οὐδέν με [41] ἐθέλει. ἐκ μεταφορᾶς δὲ γέγονεν ἡ περὶ τὴν λέξιν τροπὴ, καὶ οὐχ ὡς ἐν τῷ,

— μέλιτος [42] γλυκίων ῥέεν αὐδή.

ἐνταῦθα γὰρ τὸ ῥέε τέτραπται μᾶλλον, ἢ ἐκεῖ τὸ θέλει· [43] καὶ ἴδιόν τι σημαινόμενον ἔχει ἡ [44] λέξις ἡ ἐθέλει. τάχα οὖν εἴποι τις ἂν ἠλληγορῆσθαι [45] αὐτὸ, ἀντὶ τοῦ οὐδέν με δύναται διδάσκειν τοῦ οὐδέν μ' ἐθέλει ῥηθέντος· ἡμεῖς μέντοι τοῦτο ὅ τί ποτ' ἂν ᾖ συγχωροῦντες εἶναι, τοσοῦτον διοριζόμεθα, ὅτι καθόλου τὸ περιτιθέναι τοῖς ἀπροαιρέτοις προαιρετικόν τι γλυκύτητα ποιεῖ, ὥσπερ ἔν τε [46] τῷ προειρημένῳ δηλοῦται, καὶ ὅταν τὴν λύραν ἐρωτᾷ ἡ Σαπφὼ, καὶ ὅταν αὕτη [47] ἀποκρίνηται· οἷον

ἄγε χέλυ δίά μοι λέγε. φωνάεσσα δὲ [48] γίνεο,

καὶ τὰ ἑξῆς. ὁ δὲ Ἡρόδοτος καὶ μᾶλλον τοῦτο συνίστησι τὸ παρ' ἡμῶν λεγόμενον. σχεδὸν γὰρ δι' ὅλου τοῦ λόγου ἡδονὰς ἐργαζόμενος ἐν τοῖς εἰς τὸν Ἑλλήσποντον ὑπὸ Ξέρξου πραχθεῖσιν ὑπερεβάλλετο [49] τῇ ἡδονῇ καὶ τῇ γλυκύτητι· οἷον, ἐνετέλλετο δὲ [50] λέγειν ῥαπίζον-

---

αγγελλόμενα ἅπαντα. 39 Mon. με θέλει. Vind. με ἐθέλει, διδ. οἱ δ' ἐν τῇ π. — Plat. Phaed. p. 230. δ. 40 Vind. γέγονεν ἡ γλυκ. ἐνταῦθα. 41 Vind. μ' ἐθέλει. Mon. με θέλει. 42 Il. α, 249. 43 Vind. ἐθέλει. 44 Par. γρ. ἔχει ἡ λέξις τοῦ ῥέεν ἤτοι ἐθέλει. 45 Vind. Par. 1983. 2977. ἠλληγορῆσθαι. vid. Bast. ad Greg. Cor. p. 135. Ald. Port. Mon. ἀλληγορεῖσθαι. 46 τε Vind. om. 47 Vind. αὐτή. 48 δὲ Vind. om. — Fr. XVII. ed. Gaisf. 49 Vind. Mon. ὑπερεβάλετο. 50 Port. δὴ ὦν. ex Herod. VII. 35.

νας τάδε [51] βάρβαρά τε καὶ ἀτάσθαλα. ὦ πικρὸν ὕδωρ, [52] δεσπότης τοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθὸν, καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε, ἤν τε [53] βούλῃ, ἤν τε μή· σοὶ δὲ κατὰ δίκην ἄρα οὐδεὶς ἀνθρώπων θύει, ὡς ὄντι [54] δολερῷ τε καὶ ἁλμυρῷ ποταμῷ. ἐνταῦθα γὰρ πρὸς τὸ ὕδωρ ὡς αἴσθησίν τινα ἔχον καὶ προαίρεσιν διαλεγόμενον ποιήσας τὸν Ξέρξην, ὑπερέβαλεν ἡδονῇ, καθ' ὃ ἐλέγομεν θεώρημα. [55] τὰ μέντοι παρὰ τοῖς ποιηταῖς ἐξουσίᾳ λέγεται ποιητικῇ, ἀλλ' οὐχ ὥσπερ εἰρήκαμεν· οἷον,

Ἀμφὶ δ' ἐσάλπιγξεν [56] μέγας οὐρανός·

καὶ

αὐτόμαται δὲ πύλαι μύκον [57] οὐρανοῦ,

καὶ

121 γηθοσύνη δὲ θάλασσα διΐστατο, [58]

καὶ ὅσα τοιαῦτα· οὐχ ὡς κατ' ἀπροαιρέτων γὰρ [59] λέγεται, ἀλλ' ὡς καὶ δυναμένων τὸ πρακτέον εἰδέναι. δέδοται γὰρ καὶ τὰ τοιαῦτα τοῖς ποιηταῖς. ἀπήλλακται μέντοι γε οὐδ' οὕτω γλυκύτητος, ἀλλὰ ποιεῖ μὲν κἀνταῦθα οὐδὲν ἧττον τὴν ἡδονὴν τὰ τοιαῦτα νοήματα, μετριωτέραν δὲ ἢ ἐν τοῖς ἄλλοις. ταὐτὸν δὲ συμβαίνει καὶ εἴ τις τοῖς ἀλόγοις ζώοις τὰ ἀνθρώπου ἴδια περιθείη. ὥσπερ ὁ [60] Ξενοφῶν λέγων τὰς κύνας ἐπισκυθρωπάζειν καὶ πάλιν μειδιᾷν καὶ ἀπιστεῖν τοῖς ἴχνεσιν, ἢ μὴ [61]

---

51 τάδε Port. om. 52 Port. addit: καὶ ἁλμυρόν. 53 Port. ἤν τε σύ γε βούλῃ. Mon. βούλει. 54 Port. ἐόντι. 55 Par. ad marg. ἐν ἄλλοις οὕτως. θεωρήματα μέντοι παρὰ τοῖς ποιηταῖς. 56 Ald. ἐσάλπιγξε. Mon. δὲ σάλπιγξε. — Il. φ, 388. 57 Mon. Vind. οὐρανοῦ μῦκον. Vind. add. ὃς ἔχον Ὧραι. Il. ε, 749. 58 Il. ν, 29. 59 Vind. μέν. 60 Ald. Port. ὁ om., recepi ex Mon. Vind. — Cyneget. III. 5. et 7. 61 Vind. μὴ om.

πιστεύειν. καὶ ὅταν εἴπῃ, θρασεῖαι δὲ αἱ οὐκ ἐῶσαι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν [62] ἰέναι, ἀλλὰ ἀνείργουσι [63] θορυβοῦσαι· καὶ γὰρ τὸ τῶν συνεργῶν καὶ τὰς σοφὰς καὶ [64] σχεδὸν ἅπαντα τὰ εἰρημένα ἀνθρώπων ἴδια, καὶ οὐ κυνῶν. καὶ ὅλως πολλὰ τοιαῦτα [65] λάβοις ἂν ἐκ τοῦ Κυνηγετικοῦ παραδείγματα· ἐν ᾧ δὴ καὶ φύσει τὸ κατ' ἔννοιαν ἔχον τὴν ἡδονὴν πολύ. [66] καὶ κατ' ἄλλα μὲν γὰρ, κατὰ δὲ τὴν ἔννοιαν, καὶ μᾶλλον, ὅτι φύσει τὸ πρᾶγμα ἡδὺ τὸ τῆς [67] θήρας καὶ τῇ ὄψει. ὥς που καὶ τοῦτο αὐτὸς ἐπεσημήνατο ὁ Ξενοφῶν εἰπών, [68] ἥδιστον εἶναι θεαμάτων, ἰδεῖν τὸν λαγὼν ἐξανιστάμενον, φεύγοντα, μεταδιωκόμενον, ἁλισκόμενον. ἀλλὰ περὶ μὲν ἐννοιῶν γλυκύτητος καὶ ἡδονῆς τοσαῦτα.

Μέθοδοι δὲ αὐτὴν ποιοῦσιν, αἵπερ καὶ τὴν καθαρότητα, καὶ τὴν ἀφέλειαν, περὶ ὧν εἴρηται.

Λέξις δὲ γλυκεῖα ἥ τε τῆς ἀφελείας [69] ἰδία παρὰ τὴν καθαρὰν ῥηθεῖσα εἶναι, καὶ ἔτι ἡ ποιητική. ταύτῃ τοι καὶ Ἡρόδοτος τῆς γλυκύτητος μάλιστα πεφροντικὼς ἐχρήσατο μὲν καὶ μεθόδοις καὶ ἐννοίαις, αἷσπερ καὶ ἡμεῖς ἐχαρακτηρίζομεν τὴν γλυκύτητα, λέξει [70] τε ἑκάστῃ ἰδίᾳ μὲν τῆς ἀφελείας πολλαχοῦ, ὥσπερ ἐλέγομεν, ἐκειθεν δὲ μάλιστα διαρκῇ [71] ἔχει τὴν γλυκύτητα, ὅτι καὶ αὐτὴν εὐθὺς τὴν διάλεκτον ποιητικῶς προείλετο εἰπεῖν· ἡ γὰρ Ἰὰς οὖσα ποιητικὴ φύσει ἐστὶν ἡδεῖα. εἰ δὲ καὶ ἄλλων δια-

62 Port. τοὔπροσθεν. 63 Ald. ἀνείργουσαι θορυβοῦσαι. Port. Vind. ἀνείργουσι θορυβοῦσαι. Mon. ἀνείργουσαι θορυβοῦσι. 64 Vind. καὶ om. 65 Vind. τοιαῦτα πολλά. 66 Vind. πολὺ om. 67 Vind. τῆς om. 68 Respicit ad v. 33., sed ut supra laudat ex memoria. 69 Ald. ἀφελείας. ἰδία δὲ παρὰ τ. Port. Mon. Vind. punctum et δὲ om. 70 Mon. Vind. λέξει ἑκάστῃ καὶ ἰδίᾳ μὲν τῆς ἀφελείας. 71 Ald. Mon. διαρκεῖ αἷς καὶ τὴν γλυκύτητα. Port. Vind. διαρκῇ ἔσχε τὴν γλυκ.

λέκτων ἐχρήσατό τισι λέξεσιν, οὐδὲν τοῦτο, ἐπεὶ καὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ ἄλλοι οὐκ ὀλίγοι τῶν ποιητῶν ἐχρήσαντο μὲν καὶ ἄλλαις τισὶ λέξεσιν ἑτέρων διαλέκτων, τὸ πλεῖστον [72] μὴν ἰάζουσι. καὶ ἔστιν ἡ Ἰὰς (ὅπερ ἔφην) ποιητική πως, διὰ τοῦτο δὲ καὶ ἡδεῖα. τὸ δ' αὐτὸ αἴτιον οἶμαι τοῦ καὶ τὰς παραπλοκὰς τῶν ποιημάτων ἐν λόγῳ ἡδονὴν ἔχειν· οἷον, [73] σύν τε δύ' ἐρχομένω βουλευσόμεθα [74] ὅ τι ἐροῦμεν. καὶ πάλιν ἐν πολιτείας πέμπτῳ, [75] ἀλλὰ μὴν καὶ καθ' Ὅμηρον τοὺς [76] τοιούτους δίκαιον τιμᾷν τῶν νέων, ὅσοι ἀγαθοί. καὶ γὰρ Ὅμηρος τὸν εὐδοκιμήσαντα ἐν τῷ πολέμῳ νώτοισιν ἔφη διηνεκέεσσι γεραίρεσθαι Αἴαντα, [77] ὡς ταύτην οὖσαν οἰκείαν τιμὴν τῷ ἡβῶντί τε καὶ ἀνδρείῳ, ἐξ ἧς [78] ἅμα τῷ τιμᾶσθαι καὶ τὴν ἰσχὺν αὐξήσει. καὶ πάλιν τοῦτο, [79] ἀλλ' οὐ πεισόμεθα Ἡσιόδῳ, ἐπειδάν τινες τοιούτου γένους τελευτήσωσιν, ὡς ἄρα

οἱ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι τελέθουσιν, [80]
ἐσθλοί, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων.

πεισόμεθα [81] μὲν οὖν. ἔστι δὲ πολλὰ καὶ παρὰ τῷ [82] Ξενοφῶντι τοιαῦτα, καὶ παρ' [83] ἄλλοις συχνοῖς. καὶ ἀφθονία παραδειγμάτων ἐστὶν, εἴ τις ἐκλέγειν παρ' ἑκάστου βούλοιτο. ὁ δὲ Πλάτων καὶ ἀφειδέστερον ἐν τῷ συμπο-

---

72 Par. γρ. πλεῖστόν γε μήν. ut Mon. 73 Plat. Symp. p. 174. D. alludens ad Hom. Il. κ. 224. 74 Ald. Port. βουλευσόμεθα ὅ τι. Mon. βουλευσόμεθ' ὅττι unde versus integer efficitur. Vind. βουλευσώμεθα, ὅ τι. 75 p. 468. c. 76 Vind. τὸ τοὺς τοιούτους. 77 Mon. γεραίρειν, sine Αἴαντα. — Il. η, 321. Tum Vind. ὡς τοιαύτην οὖσαν. 78 Vind. ἐξῆς. 79 Vind. πάλιν ἐν τούτῳ. ibid. p. 468. E. 80 Vind. καλέονται. — Hes. ἔργ. 121. 81 Vind. πειθώμεθα. 82 Vind. τῷ om. 83 Vind. παρά.

ποσίῳ καταχρησάμενος τῷ τοῦ Ἀγάθωνος προσώπῳ ὡς ποιητοῦ τῇ παραπλοκῇ ταύτῃ ἐχρήσατο. οὐ γὰρ ἀπ' [84] ἀλλοτρίων ποιημάτων τινὰ, ἀλλ' αὐτὸς ποιήσας παρέπλεξε, προδιορθωσάμενος [85] μέντοι, ἵνα μὴ πάντη αὐτεξούσιον [86] εἶναι δοκῇ τὸ λεγόμενον. οἷον, ἐπέρχεται [87] δέ μοί τι καὶ ἐμμέτρως εἰπεῖν, ὅτι οὗτός ἐστιν ὁ ποιῶν, εἶτα τὸ μέτρον ἐπήγαγεν,

Εἰρήνην μὲν ἐν ἀνθρώποις, πελάγει δὲ γαλήνην,
Νηνεμίαν δ' ἀνέμοις, κοίτην ὕπνον τ' ἐνὶ κήδει. [88]

καὶ ἐν τῷ Φαίδρῳ [89] δὲ παραπλησίως πρόσωπόν τι ὑποβαλὼν, ἀόριστον μὲν, ἀλλ' οὖν ὡς ἑτέρου λέγοντος ἐνθουσιῶν δὴ μέτρον ἐφθέγξατο,

Ὡς λύκοι ἄρνα φιλοῦσ', ὡς παῖδα φιλοῦσιν ἐρασταί.

οὐ μέντοι οὐδὲ τοῦτο εἴασεν ἀπαραμύθητον, ἀλλ' ἐπήγαγέ τι ἐπιδιορθωτικὸν [90] καὶ τούτῳ. εἰδέναι μέντοι χρὴ ὅτι αὗται αἱ παραπλοκαὶ, [91] εἴτε ἰδίων, εἴτε ἀλλοτρίων εἶεν ποιημάτων, εἰ μὴ οὕτω παραπλέκοιντο, ὥστε ἓν δοκεῖν [92] εἶναι σῶμα αὐτῶν τε καὶ τοῦ πεζοῦ λόγου, ἀλλ' ἐκ διαστάσεως λέγοιντο, ὥσπερ οἱ νόμοι καὶ τὰ ψηφίσματα ἐν τοῖς λόγοις, ὅτε ἀναγινώσκοιντο, οὐ ποιοῦσιν ἀκριβῆ τὴν γλυκύτητα, ἀλλ' ἄλλο τι· οἷον, παρανάγνωθι [92*] δή μοι καὶ σὺ τὰς ῥήσεις, ἃς ἐλυμήνω· καὶ,

ἥκω [93] νεκρῶν κευθμῶνα καὶ σκότου πύλας.

καὶ

κάκ' ἀγγελεῖν [94] μὲν ἴσθι μὴ θέλοντά με.

καὶ πάλιν τὰ ἐξ Ἀντιγόνης Σοφοκλέους ἐν τῷ περὶ τῆς

84 Vind. ἐπ'. 85 Vind. προσδιορθωσ. 86 Ald. ἀντεξούσιον. 87 Symp. p. 197. C. 88 Par. γρ. δὲ καὶ οὕτως· ὕπνον τε νηκηδῆ. Ald. ἐνὶ κήδῃ. 89 p. 241. D. 90 Vind. ο ἐπιδιωρθωτικόν. 91 Vind. πλοκαί. 92 Vind. δοκεῖ αὐτῶν τε εἶναι σῶμα. 92* pro cor. p. 315. 93 Eur. Hecub. init. 94 Ald. Port. ἀγγέλλειν. Mon. Vind. ἀγγελεῖν.

παραπρεσβείας [95] εἰρημένα, οἷον,

ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν,

καὶ τὰ ἑξῆς. τάχα μὲν γὰρ φαίη τις ἂν καὶ ταῦτα ἔχειν, εἰ καὶ βραχύ, ἀλλ' οὖν ἔχειν τι καὶ γλυκύτητος, δῆλόν γε μὴν (ὅπερ ἔφην) ὅτι ἧττοι πάντα τὰ τῆς ἡδονῆς διαφθείρεται τῷ λόγῳ, εἰ ἐκ διαστάσεως παραπλέκοιτο [96] αὐτῷ τὰ ποιήματα, ἢ οὐκ ἀκριβῆ γε αὐτὴν ἴσχει· ἀλλ' ἐπανιτέον [97] πάλιν ἐπὶ τὸν περὶ λέξεως γλυκείας λόγον. γλυκεῖα γὰρ λέξις καὶ ἡ διὰ τῶν ἐπιθέτων ὀνομάτων. οἷον, ἄγετε δὴ ὦ Μοῦσαι [98] λίγειαι· καὶ κατ' αὐτὴν δὲ τὴν ποίησιν φύσει οὖσαν γλυκεῖαν παρὰ τὸν ἄλλον λόγον ἐκφαίνεται τὰ ἐπίθετα καὶ γλυκύτερά πως ὄντα, καὶ πλείονα ποιοῦντα τὴν ἡδονήν· ταῦτά τοι καὶ ὁ Στησίχορος σφόδρα ἡδὺς εἶναι δοκεῖ διὰ τὸ πολλοῖς χρῆσθαι τοῖς ἐπιθέτοις. καὶ ἡ δριμεῖα δὲ [99] λέξις τῶν γλυκύτητα ποιουσῶν ἐστιν, [1] περὶ ἧς αὐτίκα εἰρήσεται. Σχήματα δὲ γλυκύτητος, [2] ἅπερ καὶ ἀφελείας ἐλέγομεν εἶναι, καί ἔτι καθαρότητος. πρὸς δὲ τούτοις καὶ τὰ τοῦ κάλλους καὶ τοῦ λόγου τοῦ κεκαλλωπισμένου.

Συνθήκη δὲ ἡδεῖα, ἥπερ καὶ καλὴ δηλονότι, ἡ σφόδρα ἐγγὺς ἄγουσα τὸν λόγον τοῦ καὶ ἔμμετρον εἶναι. δεῖ γὰρ καὶ [4] κατὰ τὴν συνθήκην προσβάλλειν τινὰ ἡδονὴν τῇ αἰσθήσει τὴν γλυκύτητα. πόδες μέντοι πλεονάζειν ἐν αὐτῇ ὀφείλουσιν οἱ τῆς σεμνότητος οἰκεῖοι. καὶ αἱ ἀναπαύσεις δὲ ὡσαύτως ἐν ἡδονὴν ἔχοντι λόγῳ σεμναὶ ἔστωσαν καὶ βεβηκυῖαι. βεβηκέναι [5] γὰρ δεῖ τὸν ῥυθμὸν ἐνταῦθα, ὥσπερ ἐλέγομεν καὶ ἐν ἀφελείᾳ.

---

95 Ald. παρασβείας. Vind. ἐν τῷ παρὰ τῆς πρεσβείας. — p. 418. Sq. οἷον Mon. om. 96 Vind. διαπλέκοιτο. 97 Vind. ἐπανιτέον ἐπὶ τὸν περὶ λέξ. πάλιν γλυκ. 98 Port. addit: εἴτε δι' ᾠδῆς εἶδος, ex Plat. Phaedr. p. 237 a. 99 δὲ Vind. om. 1 Vind. ἐστί. 2 Vind. addit: καὶ κῶλα. 3 Mon. δ' ἡδεῖα. Vind. δὲ ἡ ἡδεῖα. 4 καὶ Ald. Port. Mon. om., recepi ex Vind. 5 Par. γρ. ὑποβεβηκέναι.

## Cap. V.

### ΠΕΡΙ [1] ΔΡΙΜΥΤΗΤΟΣ ΚΑΙ ΤΟΥ ΟΞΕΩΣ ΛΕΓΕΙΝ, ΩΡΑΙΟΥ ΚΑΙ [2] ΑΒΡΟΥ ΚΑΙ ΗΔΟΝΗΝ ΕΧΟΝΤΟΣ ΛΟΓΟΥ.

Ἔφην ἐρεῖν τι καὶ περὶ δριμύτητος καὶ ὀξύτητος, ὡς προσηκούσης τῷ ἀφελεῖ τε καὶ ἡδονὴν ἔχοντι λόγῳ, ἧς ὁποῖαι μέν εἰσιν αἱ ἔννοιαι, καὶ ὀλίγῳ πρότερον εἰρήκαμεν ἐν τῷ περὶ ἀφελείας, ὅτι [3] εἰσὶν αἱ ἐξ ἐπιπολῆς [4] βαθεῖαι· ἴσως οὖν τοῦτο οὐδὲ ἔννοια, μέθοδος δέ τίς ἐστι τὸ μὴ περινενοημένως λέγειν, ἁπλῶς δὲ καὶ ἀνειμένως τὰ περινενοημένα. διὸ καὶ ἴδιον τοῦτο ἀφελείας λέγω, τὸ τῆς τοιαύτης μεθόδου. καὶ πολλά γε ἔφην τούτου τὰ παραδείγματα εἶναι παρὰ τῷ Ξενοφῶντι ἀναγκαίως διὰ τὸ ἀφελὲς τῆς συγγραφῆς. ἕτερον δὲ παρὰ ταύτην τὴν [5] δριμύτητα, εἴτε καὶ ὀξύτητα, δριμύτητός ἐστιν εἶδος, περὶ οὗ δυσχερὲς ἀποφήνασθαι, ὅτι περὶ λέξιν ἢ περὶ ἔννοιαν γίνεται, οὔτε γὰρ ὡς ἔστιν ἔννοια, οὔθ' ὡς οὐκ ἔστιν, ἀσφαλὲς εἰπεῖν· κατὰ λέξιν μὲν γὰρ θεωρεῖται. ἡ δὲ [6] λέξις αὐτὴ καθ' ἑαυτὴν ἢ ποιοῦσα τὴν δριμύτητα οὐδὲν ἔχει δριμύτητος, εἰ τῆς ἐννοίας αὐτὴν χωρίσειέ τις, περὶ ἣν γίνεται, ἢ τῶν πρὸ αὐτῆς ῥηθέντων. ἐν δὲ ταῖς ἄλλαις ἰδέαις τοῦτο [7] οὐκ ἔστιν, ἀλλὰ καὶ ἡ καθαρὰ λέξις καθαρὰ δήπουθέν ἐστιν, εἰ καὶ σεμνήν τις ἔννοιαν δι' αὐτῆς ἐξαγγέλλοι, καὶ εἰ μηδὲν πρὸ αὐτῆς εἴη λελεγμένον, καὶ ἡ σεμνὴ λέξις σεμνή, καὶ εἰ μὴ σεμνήν τις ἔννοιαν δι' αὐτῆς φράζοι, καὶ εἰ μηδὲν προειρήκοι, καὶ αἱ τῶν ἄλλων ἰδεῶν ὡσαύτως. ἡ δὲ τῆς δριμύτητος λέξις οὐ τοιαύτη, ἀλλ' αὐτὴ μὲν καθ' ἑαυτὴν

1 In Vind. tit. περὶ δριμύτητος καὶ ὀξύτητος. 2 Port. τε καὶ, ut Planud. T. V. p. 535. — v. 3. τι Port. om. 3 Vind. ὅτι οἷόν εἰσιν. 4 Ald. ἐπιβολῆς. Port. Mon. Vind. ἐπιπολῆς. 5 τὴν Ald. om., est in Port. Mon. Vind. 6 Mon. Vind. ἡ λέξις δέ. 7 οὐκ ἔστι τοῦτο.

οὐδὲν ἔχει τοιοῦτον, ἔννοιαν δέ τινα σημαίνουσα, ἧς οὐκ ἔστι κυρία, ἣ τισιν ἄλλοις ἐφεπομένη κατά τινα οἱονεὶ χαριεντισμὸν γίνεται δριμεῖα καὶ ποιεῖ τὴν δριμύτητα. σαφέστερον δὲ ἔσται τοῦτο διὰ τῶν παραδειγμάτων. κυ-
123 ρίως μὲν οὖν ἔννοιαν σημαίνει λέξις, οὐ κυρίως ἐκείνης οὖσα, ἡ τοιαύτη. οἷον, ὁ Ξενοφῶν λέγων [8] τὰς αἰτίας, δι' ἃς πρὸ τοῦ δέοντος ἀναχωροῦσιν αἱ κύνες ἐκ τῶν διωγμῶν, φησὶν ὅτι αἱ μὲν διὰ μαλακίαν, αἱ δὲ διὰ [9] ἀήθειαν, αἱ δὲ διὰ τὸ καὶ τὸ, αἱ δὲ διὰ φιλανθρωπίαν ἀναχωροῦσι, φησί. τὴν γὰρ πρὸς τοὺς ἀνθρώπους συνήθειαν καὶ τὸ συνεῖναι ἀνθρώποις ἀσπάζεσθαι φιλανθρωπίαν ὠνόμασεν, οὐ κυρίως μὲν ἐπὶ [10] τούτου τοῦ πράγματος οὔσης τῆς λέξεως, ἐπ' ἄλλου γὰρ τάττειν εἰώθαμεν τὴν φιλανθρωπίαν, κυρίως μέντοι πως σημαίνων [11] τὸ πρᾶγμα. καὶ γὰρ [12] τάχα τούτου [13] μᾶλλον ἂν εἴη κυριωτέρα ἡ [14] λέξις, ἢ ἐπὶ τοῦ ἐλεεῖν καὶ οἰκτείρειν ὅτε τίθοιτο, [15] ἐφ' οὗπερ καὶ φύσει τάττομεν τὸ τῆς φιλανθρωπίας [16] ὄνομα· καὶ ὁ Σοφοκλῆς δὲ φίλανδρόν που τὴν Ἀταλάντην εἶπε διὰ τὸ ἀσπάζεσθαι σὺν ἀνδράσιν εἶναι, ἡμῶν πάλιν ἐπ' ἄλλου πράγματος ταττόντων τοὔνομα τοῦτο, ὥσπερ καὶ τὸ τῆς φιλανθρωπίας. καὶ τὸ παρὰ τῷ Εὐριπίδῃ [17] δὲ τοιοῦτόν ἐστι·

Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, [18] γύναι,
Ὑπερβάλῃς, — — —

---

8 Vind. λέγει. — Cyneget. III, 8. 9 Vind. δι' ἀήθειαν. 10 Vind. ἐπὶ om. 11 Vind. σημαῖνον. 12 Port. γὰρ om. 13 Vind. τοῦτο. 14 Ald. εἰ ἡ λέξις. 15 Ald. Port. Mon. τιθοῖτο. Vind. τίθοιτο. 16 Par. φιλανίας. [tenendum, φιλανίας eodem compendio scribi pro φιλανθρωπίας, ut ἄνος pro ἄνθρωπος.] 17 Androm. p. 228. 18 Vict. marg. laudat Plat. Symp. p. 191. E. καὶ ὅσαι ἂν γυναῖκες φίλανδροί τε καὶ μοιχεύτριαι, ἐκ τούτου τοῦ γένους γίνονται. — mox Vind. ὑπερβάλλῃ. Eurip. ζήτει παρελθεῖν.

φησί. σχεδὸν γὰρ τοὐναντίον νῦν ἡ λέξις αὕτη σημαίνει ἡ τῆς φιλανδρίας, ἣ ἧπερ ἡμεῖς εἰώθαμεν χρῆσθαι. τὴν γὰρ ἀκολασίαν βούλεται νῦν δήπου [19] σημαίνειν καὶ τὸ μοιχεύεσθαι. καὶ λόγον μέντοι τινὰ εὔνουν λέγουσι τὸν εὐνόητον καὶ σαφῆ. καὶ ὁ Εὐφορίων, ἀτρέα δῆμον Ἀθηνῶν, [20] ἀντὶ τοῦ ἄτρεστον καὶ ἄφοβον. ὅλως [21] τε πολὺς ὁ κίνδυνος ἐν ταῖς τοιαύταις δριμύτησιν ἐμπεσεῖν εἰς ψυχρότητα, ἐπεὶ καὶ οἱ τὰ σπουδαῖα [22] γελοῖα ταυτὶ συντιθέντες τοῦ γελοίου γε ἕνεκα οὐδὲν ἄλλ' ἢ ταῖς τοιαύταις χρώμενοι δριμύτησιν εὐδοκιμοῦσιν. εὐλαβεῖσθαι οὖν χρὴ, καὶ πρῶτον μὲν τοῦτο εἶδος δριμύτητος, παράδειγμα δὲ αὐτοῦ παρὰ τῷ ῥήτορι οὐκ ἔστιν. ἕτερα δὲ αὐτῆς εἴδη τρία, οἷς ὁ ῥήτωρ κέχρηται· ἃ δὴ πάντα κατ' ἀκολουθίαν τινῶν προῤῥηθέντων [23] ἀπό τινων λέξεων [24] γίνεται. διαφέρει δέ πως ἀλλήλων· τὸ μὲν γὰρ καθ' ὁμοιότητα λέξεως ἐμφαίνει τινὰ δριμύτητα. οἷον, μέλλει [25] πολιορκεῖν, τοὺς Ἕλληνας ἐκδίδωσιν. μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων; τοῦτο ἐγὼ μὲν σφόδρα εὐλαβῶς εἶχον θεῖναι ὡς παράδειγμά τινος δριμύτητος. ἐπεὶ δὲ τῶν σφόδρα εὐδοκιμησάντων τινὲς κατὰ τοὺς πρὸ ἡμῶν ἀνθρώπους, καὶ νῦν δὲ [26] εὐδοκιμούντων ἐπὶ θεωρίᾳ λόγων ἐν οἷς ἀπολελοίπασι βιβλίοις, οὕτως [27] τεθεωρήκασι καὶ τοῦτο, καὶ

---

19 Vind. δήπου νῦν. 20 MS. Cajo Gonvil. Ἀθηναίων. lege Ἀθηνέων. Blomf. ad Aesch. Prom. 424. 21 Mon. ἄλλως. 22 σπουδαῖα ab aliis omitti, intelligitur ex Jo. Sicel. p. 408. v. 29. cui omissio placet. 23 Vind. προσῤῥηθέντων. 24 Vind. Mon. τινος λέξεως. 25 de Chers. p. 96. — Hermogenis judicio de frigido in vocabulis μέλλει et μέλει lusu adsentitur Reisk. ad h. l. et Bremius ad Dem. Ol. I. p. 11. — Hermogenis, signum interrogationis post Ἑλλήνων ponentis, interpunctio probatur ab Augero, Seagero, Schaefero. 26 Vind. δὲ ἔτι. 27 Vind. οὕτω.

τεθείκασί γε ὡς παράδειγμα δριμύτητος τοιαύτης, [28] εἰρήσθω καὶ ἡμῖν καίτοι τάχ' ἴσως οὐδ' ἡ τοιαύτη δριμύτης εἴπερ οὕτω γίνοιτο, ἐκφεύγει τὴν ψυχρότητα, ἀλλ' οὖν εἰρήσθω. καὶ τοῦτο μὲν οὖν [29] οὕτω καθ' ὁμοιότητα λέξεως γίνεται, ὡς προείρηται. ἕτερον δὲ εἶδος δριμύτητος τὸ ἐκ παρονομασίας, [30] οὐκ ἐξ ὁμοιότητος, ὅταν κυρίῳ τινὶ ὀνόματι ἢ ῥήματι χρησάμενοι εἶτ' εὐθὺς ἑπόμενοι τούτῳ χρησώμεθα, [31] καὶ ἐφ' οὗ μὴ κύριόν ἐστι πράγματος. οἷον, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν [32] αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν, εἶτ' [33] εἰπὼν δι' ὧν ἡγεῖται Φίλιππον πολεμεῖν τῇ πόλει, καὶ ὅτι πάνθ' [34] ὅσα νῦν πράττει καὶ κατασκευάζεται, ἐπ' αὐτοὺς κατασκευάζεται, ἐπάγει δριμέως. εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἐφιστάντα εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δεῖ· καὶ πάλιν, ἐγὼ [35] δὲ οὐ τοῦτο δέδοικα, εἰ Φίλιππος ζῇ, ἢ τέθνηκεν, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. τοῦτο δὲ καὶ ἐναργῆ ποιεῖ τὸν λόγον, οὐ μόνον δριμύν. τροπῆς γάρ ἐστιν ἐγγύς, οὐ μὴν τροπή γέ ἐστιν ἄντικρυς διὰ τὸ παρωνομάσθαι. ἐπεὶ καὶ καθ' ἑαυτὸ εἰ λέγοι τις τὸ, τέθνηκε τῆς πόλεως τὸ τοὺς ἀδικοῦντας μισεῖν, πάνυ ποιήσει σκληρὸν κατὰ τὴν τροπὴν τὸν λόγον. ἐκ παρονομασίας [36] δὲ εἰσαχθὲν ἅμα τῇ ἐνεργείᾳ καὶ τὴν δριμύτητα ἔχει.

---

28 Vind. τοιαύτης δριμύτ. Par. ad marg. γρ. καὶ τεθείκασι παράδειγμα τοιαύτης. 29 Vind. οὖν om. 30 Ald. Port. Mon. παρωνομασίας. Vind. παρονομ. 31 Ald. Port. χρησόμεθα. Mon. Vind. χρησώμεθα. — Vind. ἑπομένῳ τούτῳ. 32 ἂν Vind. om. — Phil. III. p. 115. 33 Vind. εἶτα. 34 Vind. ὅσα πάντα νυνὶ πρ. 35 de fals. leg. p. 434. 36 Ald. Port. παρωνομασίας.

Λοιπὸν εἶδος δριμύτητος τρίτον ἐστὶν, ᾧ καὶ αὐτῷ ὁ ῥήτωρ κέχρηται. γίνεται δὲ, ὅταν τροπῇ τινι χρησάμενοι μὴ σφόδρα αὐστηρᾷ [37] μηδὲ σκληρᾷ κατ' ἀκολουθίαν ἐκείνης ἑτέραν ἐπενέγκωμεν τροπὴν σκληροτέραν μὲν, οὐ μὴν δοκοῦσάν γε εἶναι τοιαύτην διὰ τὸ ἀκόλουθον τοῦ προειρημένου. οἷον, ἀλλὰ [38] τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὐτὰ [39] καταῤῥεῖ. τὸ γὰρ ἤνθησε τροπικὸν μὲν, οὐ μὴν αὐστηρὸν οὐδὲ σκληρὸν, τὸ δὲ καταῤῥεῖ σκληρὸν ἰσχυρῶς, οὐ μὴν τοιοῦτον [40] ἐφάνη διὰ τὸ ἐξ ἀκολουθίας εἰρῆσθαι. ἐπὶ γὰρ τῶν ἀνθέων τῶν μαραινομένων τὸ καταῤῥεῖν σχεδὸν κυρίως λέγεται. ἤδη δὲ αὐτοῦ [41] τὴν ἄγαν σκληρότητα καὶ τὸ παρακείμενον αὐτῷ ἀφεῖλε. λέγω [42] τὸ, τῷ χρόνῳ δὲ φωρᾶται. ὅμοιον τούτῳ καὶ τὸ Εὐριπίδου ἐν Πολυΐδῳ, [43]

124

Εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἵπτατο
Ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἄν
Τὸν παῖδ' ἐν ὑγροῖς κύμασι τεθνηκέναι.

τῷ γὰρ οἰκῶν παράκειται τὸ ἡρμήνευσεν ἄν. [44] καθ' αὐτὸ [45] δ' ἂν ἦν σκληρόν πως. τοσαῦτα καὶ περὶ τῆς [46] δριμύτητός τε καὶ ὀξύτητος, ὡς προσηκουσῶν τῇ τε ἀφελείᾳ καὶ τῇ γλυκύτητι.

Ὁ δὲ περὶ ἡδονῆς [47] καὶ γλυκύτητος ἡμῖν ῥηθεὶς

---

37 Vind. et Josephus Rhacend. in *συνόψει ῥητορικῆς* c. I. *ἀτηρᾷ*, et paullo inferius v. 10. Vind. *οὐ μὴν ἀτηρόν*. 38 Ol. II. p. 21. 39 Ald. Port. et Jos. Rhacend. *αὐτά*. 40 *τοιοῖτον ἐφάνη* Vind. ponit post *εἰρῆσθαι*. 41 Port. *αὐτῶν*. Ald. Mon. Vind. *αὐτοῦ*, quod etiam Reisk. ad nostrum locum conjicit. 42 Vind. *λέγω* om. 43 Vind. *Πολυείδῳ*. vide Eur. Fragm. T. IX. p. 309. Matth. 44 Vind. *ἄν* om. 45 Vind. *ἑαυτό*. 46 Vind. *τῆς* om. 47 Mon. Vind. add. *οὗτος*.

λόγος ὁ αὐτὸς ἂν εἴη δήπου τῷ περὶ ἀβρότητος καὶ περὶ τοῦ ὡραίου λεγομένου λόγου, καὶ εἴ τι τοιουτότροπον. ταῦτα γὰρ οἶμαι πάντα καὶ τὰ τοιαῦτα ὀνόματι διαλλάττει μόνῳ, ἔστι δὲ τὰ αὐτά. ὅταν γὰρ ἤτοι ἐρωτικόν τι ἐννόημα [48] λέγωμεν, ἢ καὶ τῶν ἄλλων τι τῶν ἰδίων γλυκύτητος, μεθοδεύωμέν τε οὕτως καὶ ἑρμηνεύωμεν δι' ἐπιθέτων καὶ ποιητικῶν ὀνομάτων, παρισῶμέν τε τοῖς σχήμασιν ἢ τοῖς κώλοις ἢ καὶ ἄλλῳ τινὶ κάλλους ἰδίῳ σχήματι ἐξαγγέλλωμεν, συντιθῶμέν τε οὕτως, καὶ τοὺς μὲν ῥυθμοὺς ποιῶμεν σεμνοὺς ἅμα καὶ καλούς, τὰς δὲ ἀναπαύσεις σεμνὰς ὁμοῦ καὶ ἀφελεῖς, ὡραῖος καὶ ἁβρὸς κατ' ἀνάγκην ἡμῖν ὁ λόγος γίνεται· ὥστε οὐκ οἶδα, εἴ τι [49] διαλλάττει ἡδονὴ καὶ ὥρα ἡ ἐν λόγῳ ἁβρότητος ἢ γλυκύτητος ἤ τινος ἄλλου τοιουτοτρόπου. [50] ἀλλὰ περὶ μὲν ἀφελείας καὶ γλυκύτητος τοσαῦτα. ἑξῆς δ' [51] ἂν εἴη λέγειν περὶ ἐπιεικείας.

---

## Cap. VI.

### ΠΕΡΙ ΕΠΙΕΙΚΕΙΑΣ. [1]

Ἐπιεικὴς καὶ ἠθικὸς λόγος γίνεται κατ' ἔννοιαν μέν, ἤτοι ὅταν ἑκόντα τις ἑαυτὸν [2] μειονεκτοῦντα δεικνύῃ. [3] ὡς ἐν τῷ κατὰ Κόνωνος, ὅτι παρὸν αὐτῷ καὶ λωποδυσίου καὶ ὕβρεως δίκας λαβεῖν, ὅμως αἰκίας δικάζεται. ἢ ὅταν εἰς ἴσον ἑαυτόν τις ἄγῃ [4] τοῖς πολλοῖς, καίπερ οὐκ

---

48 Port. νόημα. 49 Mon. εἴ τι καὶ διαλ. 50 Ald. τοιούτου τρόπου. Port. Mon. Vind. τοιουτοτρόπου. 51 Ald. Port. δὲ λέγειν εἴη. Mon. Vind. δ' ἂν εἴη λέγειν.

1 Vind. περὶ ἐπιεικοῦς καὶ ἠθικοῦ λόγου. 2 Ald. Mon. Vind. αὐτόν. Port. ἑαυτόν. 3 Vind. δεικνύει. 4 Ald. Port. Mon. ἄγει. Vind. ἄγῃ.

ὧν τῶν πολλῶν [5] εἷς. σχεδὸν δὲ καὶ τοῦτο ταὐτόν ἐστι τῷ προειρημένῳ. καθόλου γὰρ ἡ ἐπιείκεια παρατεθραυσμένον ἔχει τὸ δίκαιον διὰ φιλανθρωπίαν, ὡς ἔφη [6] Πλάτων. καὶ τὸ μὴ ὄντα οὖν τῶν πολλῶν ἕνα ἑαυτὸν ἐν τοῖς πολλοῖς ἀριθμεῖν οὐδὲν ἄλλ' [7] ἢ ἑκόντα μειονεκτεῖν ἐστιν. ὅμως δὲ κείσθω καὶ κατ' εἶδος ἕκαστον. δεύτερον οὖν εἶδος τῆς ἐπιεικείας τὸ τοῖς πολλοῖς ἑαυτὸν συναριθμεῖν. πολὺ τὸ τοιοῦτον [8] ἐν τῷ κατὰ Μειδίου. καὶ πρῶτόν γε τὸ, ἐγὼ [9] δ' ὅπερ ἂν καὶ ἡμῶν ἕκαστος ὑβρισθεὶς προείλετο πρᾶξαι, τοῦτο καὶ αὐτὸς ἐποίησα. εἰ δὲ καὶ δεινῶς ἐνταῦθα, ἑτέρου λόγου. τοῦτο γὰρ φύσει [10] δεινότητος ἴδιον, τὸ εἰς δέον εἰδέναι [11] χρῆσθαι τοῖς τε ἄλλοις καὶ τοῖς εἴδεσι τοῦ λόγου. ὥσπερ ἐνταῦθα εἰς δέον κέχρηται τῇ ἐπιεικείᾳ καὶ τῷ ἤθει. ἐπεὶ καὶ τὸ διδόναι τι πλέον τῷ ἐχθρῷ ἑκόντα ἐπιεικές. ἀλλ' ὅρα μεθ' ὅσης δεινότητος ὁ ῥήτωρ τοῦτο ποιεῖ. τῷ γοῦν Χαριδήμῳ δίδωσι τὸ ὡς πολίτῃ ἐξετάζεσθαι, [12] ἵνα μᾶλλον οὕτω παράνομον ἐξελέγξῃ τὸ ψήφισμα. τὰ γὰρ κατὰ τοὺς νόμους τοῖς πολίταις διώρισται. καὶ σκόπει πῶς ἐπισημαίνεται τὸ τῆς ἐπιεικείας ἐν τῷ, [13] καὶ θεάσασθε, ὦ Ἀθηναῖοι, ὡς ἐπιεικῶς καὶ ἁπλῶς χρήσομαι τῷ λόγῳ, ὃς εἰς μὲν ταύτην τίθεμαι τὴν τάξιν αὐτὸν, ἐν ᾗ πλείστης ἂν τυγχάνοι [14] τιμῆς, καὶ τὰ ἑξῆς.

Ἔτι ἐπιεικοῦς λόγου καὶ τὸ λέγειν, ὡς παρὰ γνώμην δικάζεται, καὶ ὡς ἀναγκάσαντος τοῦ ἐχθροῦ εἰς δικαστή- 125

---

5 Mon. τοῖς πολλοῖς. manu rec. supra lin. τῶν πολλῶν. 6 Vind. φησί. 7 Par. γρ. οὐδὲν ἄλλο ἤ. 8 Vind. τοιοῦτο. 9 initio. — Vind. ἐγὼ γὰρ ὅπερ. 10 Vind. καὶ φύσει. tum Mon. τῆς δεινότητος. 11 εἰδέναι Mon. om. 12 Ald. Mon. ἐξετάζεται. Port. Vind. ἐξετάζεσθαι. — Port. πολίτην. 13 Port. ἐν τῷ, Θεάσασθε δὴ πρὸς Διὸς, ὡς ἁπλῶς καὶ δικαίως χρήσομαι τῷ λ. ex or. c. Aristocr. p. 628. Vind. καὶ θεάσεσθέ φησιν. 14 Ald. τυγχάνει. Port. Mon. Vind. τυγχάνοι.

ριον ἥκει,[15] δέον ἐπὶ τῶν φίλων καὶ τῶν ἐπιτηδείων διακεκρίσθαι. οἷον, εἰ[16] μὲν ἐβούλετο Ἄφοβος τὰ δίκαια ποιεῖν, καὶ τὰ ἑξῆς, ἐπιεικείας συστατικά· καὶ τὸ, οὐδένα πώποτε τῶν πολιτῶν[17] οὔτε γραφὴν γραψάμενος οὔτ'[18] ἐν εὐθύναις λυπήσας, καὶ τὰ ἑξῆς· καὶ τὸ, ἐπειδὴ[19] γὰρ οὐχὶ τῶν πολιτευομένων, οὐδὲ τῶν ἐνοχλούντων ὑμᾶς,[20] ὧν πρᾶγμα τηλικοῦτον φημὶ δείξειν[21] πεπραγμένον, καὶ τὰ ἑξῆς. καὶ τὸ, φάσκειν δὲ ἀπείρως ἔχοντα λόγων εἰς δικαστήριον εἰσιέναι.[22] δύναται μέν τοι[23] καὶ ἄλλο ἐμφαίνειν, καὶ μὴν[24] καὶ τὸ ἐπιεικὲς, ἢ ὅλως τό γε ἠθικὸν, τῷ ἠναγκάσθαι[25] λέγειν. τὸ γὰρ μὴ βουλόμενον ἥκειν ἅμα συνεμφαίνεται, καθόλου τε, ὅπερ ἔφην ἀρχόμενος τοῦ περὶ ἐπιεικείας λόγου, πάντα ὅσα ἐστὶ προσώπου συστατικὰ ὡς ἑκόντος μειονεκτοῦντος ἠθικὸν ποιεῖ τὸν λόγον καὶ ἐπιεικῆ κατὰ τὴν ἔννοιαν. τούτοις δὲ ἅπασι τοῖς προειρημένοις[26] καὶ ὅτε φεύγοι τις, δύναται[27] χρῆσθαι ἀναστρέψας. οἷον, ὡς παρὸν αὐτῷ διώκειν, ὁ δὲ φεύγει· καὶ ὅτι διὰ τοῦτο καταφρονηθείη, ὅτι χρηστός ἐστιν, ἢ τῶν πολλῶν[28] εἷς· καὶ ὡς οὐδένα μέντοι πώποτε ἐδίωξεν αὐτός. καὶ ὡς ἄκων ἥκοι.[29] καὶ ὅλως, ὅπερ ἔφην, ἅπασι τοῖς προειρημένοις, καὶ εἰ φεύ-

---

15 Vind. ἧκειν. 16 c. Aphob. I. init. 17 Vind. πολιτευομένων. — Aesch. c. Timarch. init. 18 Vind. οὔτε. 19 Port. ἐπειδὴ γὰρ οὐχὶ τῶν ἐνοχλούντων ὑμᾶς οὐδὲ τῶν πολιτευομένων καὶ πιστευομένων παρ' ὑμῖν ὧν πρᾶγμα τηλ. ex or. c. Aristocr. p. 622. 20 Vind. ἡμᾶς. 21 Ald. δείξαν. Port. Mon. Vind. δείξειν. Sq. πεπραγμένον Vind. om. 22 Vind. Mon. εἰσιέναι εἰς δικαστήριον. Spectat ad Or. in Spud. init. 23 Vind. τι. 24 Ald. μή. Port. Mon. Vind. μήν. 25 Mon. ἀναγκάσθαι. Vind. τὸ ἠναγκ. 26 Vind. εἰρημένοις. 27 Vind. χρῆσθαι δύνασθαι. 28 Mon. πολιτῶν. ad marg. man. rec. πολλῶν. 29 Mon. ἧκει.

γοι [30] τις, χρῆσθαι δύναται· πολλὰ τῶν τοιούτων ἐν ἰδιωτικοῖς τὰ παραδείγματα, καὶ πλειονά γε παρὰ τὸ Λυσίᾳ καὶ τῷ Ὑπερίδῃ. φύσει γὰρ οἱ ἄνδρες ἠθικώτεροι, ταῖς δὲ μεθόδοις καὶ μᾶλλον.

Μέθοδος δὲ ἐπιεικείας πρῶτον μὲν ἡ σφόδρα ἐοικυῖα ταῖς ἐννοίαις ταῖς ἐπιεικέσι, τὸ ἑκόντα ἐλαττοῦν [31] τὰ ἑαυτοῦ χρηστὰ, ἢ ὅσα ἔχει κατὰ τοῦ ἐχθροῦ σφοδρὰ, ταῦτα ἑκόντα μειοῦν καὶ μὴ λέγειν σφοδρῶς· καὶ τὰ μὲν ἑαυτοῦ ἐλαττοῖ ὁ Δημοσθένης κατὰ μέθοδον οὕτως. [32] εἰ παρὸν αὐτῷ λέγειν ἀξιωματικῶς, οἷον, μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἀπέστειλα ἅπαντας, καθ' οὓς Χερρόνησος [33] ἐσώθη καὶ τὸ Βυζάντιον καὶ πάντες οἱ σύμμαχοι· ὁ δὲ εἶπεν ὡς [34] ἑτέρως· οἷον, τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκάστῳ τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖναί φημι, ὁρᾷς ὡς ἐν ἀμφοτέροις μὲν ταὐτόν ἐστι πρᾶγμα δηλούμενον, ὅτι ἐγὼ συμβεβούλευκα, καὶ ἐγὼ ἔγραψα, ὅσον δὲ τοῦτο [35] ἐκείνου ἐπιεικέστερον εἴρηται καὶ ταπεινότερον; ἀλλ' οὗτος μὲν εἰς δέον ἑκατέρῳ χρῆται, [36] οὐ κατ' ἐπιείκειαν, ἀλλὰ δεινότητα, ἐκεῖνο μὲν ἐλαττώσας, τουτὶ [37] δὲ αὐξήσας. βουλόμενός μέντοι τις ἐπιεικῆ ποιεῖν τὸν λόγον καὶ ἠθικὸν, οὕτως ἂν οἶμαι μεθοδεύσειε. σπάνια δὲ τῆς τοιᾶσδε [38] μεθόδου τὰ παραδείγματα. οὔκουν ἔγωγε ἠδυνήθην ἐκ τοῦ παραχρῆμα λαβεῖν τι παρὰ τοῦ ῥήτορος ἢ ἄλλου του τοιαύτης μεθόδου παράδειγμα. [39] αἱ γὰρ εἰρωνεῖαι οὐκ εἰσὶν ἐπιείκειαι, ἀλλ' ἠθικὸς μὲν ὁ λόγος, βαρὺς δὲ καὶ οὐκ ἐπιεικής. οἷον, μανία [40] γὰρ ἴσως ἐστὶν τὸ ὑπὲρ δύνα-

30 Mon. φεύγει, 31 Ald, Port. ἐλαττοῦντά τά. Vind. ἐλαττοῦν τά, Mon, ἐλαττοῦν ἑκόντα τά. 32 Vind, οὕτωσί. 33 Ald. Χερόννησος. Vind, Χερρόννησος. Port. Mon, Χερρόνησος. — pro cor. p. 252. 34 ὡς Vind. om, 35 Vind. τούτου ἐκεῖνο. 36 Vind. κέχρηται. 37 Vind, τοῦτο. 38 τοιαύτης, 39 Mon, παραδείγματα. 40 in Mid. p. 536,

μίν τι ποιεῖν· καὶ πάλιν, βούλει [41] ἐμαυτὸν μὲν, ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις Βάταλον. καὶ πολλά ἐστι τοιαῦτα. [42] ταῦτα δὲ καὶ τὰ τοιαῦτα βαρέα μὲν, καὶ διὰ τοῦτο ἠθικὰ, [43] οὐ μὴν ἐπιεικῆ γε, οὐδὲ [44] ἐπιεικὲς τὸ ἦθος ἔχει. σπάνια οὖν, ὅπερ ἔφην, τῆς τοιαύτης μεθόδου τὰ παραδείγματα. καὶ παρασχέσθαι μέν τι [45] τοιοῦτον ἐγώ σοι νῦν, ὅπερ ἔφην, οὐ δεδύνημαι, ἐπεὶ πόνος ἄλλος ἤπειγεν ὡς ἀληθῶς. ἐνδείξασθαι μέντοι σαφῶς τὴν φύσιν αὐτοῦ δεδυνῆσθαι νομίζω. ὥστε τάχα [46] οὐ χαλεπῶς καὶ παραδείγματα ἴδια τοῦ εἴδους εὕροι τις ἂν ζητῶν, εἰ φροντίσειεν. εἴη δ' ἂν οὐκ ὀλίγα παρὰ τῷ Πλάτωνι, ἔνθα [47] ἂν ὁ Σωκράτης ἔχῃ τι λέγειν περὶ αὐτοῦ. καὶ οἶμαί γε εἶναί τι τοιοῦτον ἐν τῷ Χαρμίδῃ, καὶ ἐν τῷ συμποσίῳ μετὰ τοὺς Ἀλκιβιάδου λόγους, καὶ πολλαχοῦ μέντοι. ἀλλὰ τὰ μὲν καθ' ἑαυτὸν οὕτως ἄν τις ἐλάττω ποιοίη τῷ ἐπιεικεῖ κατὰ μέθοδον λόγῳ. τῶν δὲ δεόντων ῥηθῆναι κατὰ τοῦ ἐχθροῦ σφοδρῶς ἐλάττωσις ἐκ μεθόδου κατὰ δύο γίνεται τρόπους. ἢ γὰρ ἐνδείκνυται ὁ ποιῶν τοῦτο, ὅτι ἑκὼν ἐπιεικέστερον λέγει, ἢ ἄνευ ἐνδείξεως αὐτο [48] ποιεῖ. καὶ ὅτε
126 μὲν ἐνδείκνυται, [49] ἔχει τι τῆς σφοδρότητος, εἰ καὶ βραχὺ, ἀλλ' οὖν ἔχει γε ὁ λόγος· [50] οἷον, καί μοι μηδὲν ὀργισθῇς, οὐδὲν γὰρ ἐρῶ σε φλαῦρον. [51] καὶ πά-

---

41 pro cor. p. 288. 42 Vind. τὰ τοιαῦτα. Ad sqq. Par. ad marg. εὕρηται καὶ οὕτω· ταῦτα δὲ καὶ τὰ τοιαῦτα, τὸ τὰ ἀξιωματικὰ τῶν νοημάτων ἑτέρως καὶ ἐπιεικέστερον λέγειν, βαρέα καὶ διὰ τοῦτο ἠθικά. 43 Vind. καὶ ἠθικά. 44 Ald. Port. οὐδ' ὡς ἐπιεικές. Mon. Vind. οὐδὲ ἐπιεικές. 45 Ald. Port. Vind. μέν τοι. Mon. μέν τι. 46 Vind. τάχ' ἂν οὐ. 47 Vind. ἔνθ' ἂν ὁ Σ. ἔχει. 48 Ald. Codd. αὐτῷ. Port. αὐτό. 49 Vind. ἐνδεικνύοιτο. 50 Par. ad marg. γρ. ὅλως. ita Port. 51 Vind. φαῦλον. — in Lept. p. 488.

λιν, τὸ δὲ[52] τοῦ θέντος τὸν[53] νόμον τὰ μὲν ἄλλὰ ἔγωγε οὐκ οἶδα, οὐδὲ λέγω φλαῦρον οὐδέν, οὐδὲ σύνοιδα, ἐκ δὲ τοῦ νόμου σκοπῶν εὑρίσκω τοῦτου πολὺ[54] κεχωρισμένον, καὶ τὰ ἑξῆς. ὅτε δὲ μηδὲν ἐνδείκνυται,[55] παντάπασιν ἐπιεικὴς κατά γε τοῦτο ὁ λόγος δείκνυται.[56] οἷον, τίνος οὖν[57] ἕνεκα εἰ τὰ μάλιστα μή τινες,[58] ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τῶν αὐτῶν ἠξίωσεν ὑμᾶς[59] τε κἀκείνους;[60] ὁρᾷς πῶς ἔχων, εἴπερ ἐβούλετο, εἰπεῖν σφοδρῶς, οἷον, τίνος ἕνεκα, εἰ τὰ μάλιστα μή τινες, ἀλλὰ πάντες ἦσαν ἀνάξιοι, τὴν αὐτὴν ἀτιμίαν ὑμῶν[61] τε κἀκείνων κατέγνω; ὁμοίως γὰρ ἀμφοῖν ἀφαιρεῖται, τὴν μὲν ἀτέλειαν ἐκείνων, ὑμῶν δὲ τὴν ἐξουσίαν τοῦ διδόναι ὅτῳ ἂν βούλησθε.[62] ὁ δ' ἐπιεικῶς σφόδρα καὶ ἠθικῶς ἔφη, τῶν αὐτῶν ἠξίωσεν ὑμᾶς τε κἀκείνους· τοιοῦτο[63] δ' ἐστὶ καὶ τὸ ἐν συμβουλευτικοῖς· δοκοῦσι[64] δέ μοι Λακεδαιμόνιοι δεινῶν ἔργον ἀνθρώπων ποιεῖν· τό τε γὰρ ἐνδοιάσαι καὶ μὴ ἀποφήνασθαι, ὅτι δεινοὶ Λακεδαιμόνιοι, ἀλλὰ δοκοῦσί μοι εἰπεῖν, τό τε μὴ καθάπαξ δοκεῖν αὐτοὺς εἶναι δεινοὺς εἰπεῖν αὐτὸν, ἀλλὰ[65] δεινοῖς

52 Ald. Codd. καὶ πάλιν τόδε· τοῦ τεθέντος. Port. καὶ πάλιν, τὸ δὲ τοῦ τεθέντος, sc. ἦθος. scr. θέντος ex or. in Lept. p. 461. 53 τὸ Ald. Vind. om., est in Port. Mon. 54 Vind. πολὺ τούτου. 55 Vind. ἐνδεικνύοιτο. 56 Vind. γίνεται. 57 in Lept. init. 58 Ald. Mon. Vind. h. l. et v. 10. μή τινες, ἀλλὰ πάντες. Port. μὴ πάντες, ἀλλά τινες. 59 Ald. Mon. ἡμᾶς. Port. Vind. ὑμᾶς. 60 Port. καὶ τούτους ex Dem. 61 Vind. Mon. ὑμῶν [Mon. ἡμῶν] τε κατέγνω κἀκείνων. 62 Ald. Mon. Port. βούλοισθε. Par. βούλησθε. ad marg. γρ. ἄν τῳ βούλεσθε. ita Vind. 63 Vind. τοιοῦτον δέ ἐστι. Mon. τοιοῦτόν ἐστι. 64 pro Megalop. p. 206. — Hermogenem sua commenta Oratori ingessisse censet Schaefer. in Appar. ad Dem. T. I. p. 848. 65 Port. ἀλλὰ μηδὲ δεινοῖς.

ἐοικότας ἁπλῶς, ἔργον δέ τι δεινῶν ἀνθρώπων διαπράττεσθαι, σφόδρα ὑφιέντος ἦν τὸ ἐπιφορικὸν καὶ σφοδρόν, ἠθικὸν δὲ καὶ ἐπιεικῆ λόγον παρεχομένου. δῆλον δ' ἐστὶ[66] τοῦτο ἐκ τῶν κατὰ Φιλίππου ῥηθέντων ἐναντίως τῇ ἰδέᾳ ταύτῃ λέγοντος ἐκεῖ τοῦ ῥήτορος, οἷον, μὴ[67] πανοῦργος ὢν καὶ δεινὸς ἄνθρωπος. πρῶτον μὲν γὰρ πανοῦργός φησιν, ἀλλ' οὐχ ἁπλῶς δεινός. σφοδρότερον δὲ τὸ πανοῦργος ὄνομα τοῦ δεινὸς δήπουθεν. ἔπειτα οὐδὲ δοκεῖν αὐτῷ πανοῦργον[68] τὸν Φίλιππον εἶναι ἔφη, οὐδὲ ἐνεδοίασεν, ὥσπερ ἐκεῖ, ἀλλ' ἀπεφήνατο. ἔπειτα οὐκ ἐοικέναι πανούργοις ἢ δεινοῖς, ὥσπερ τοὺς Λακεδαιμονίους ἔλεγεν, ἀλλ' αὐτὸν εἶναι τὸν Φίλιππον καὶ δεινὸν καὶ πανοῦργον. οὐκοῦν ταῦτα μὲν καὶ σφοδρὰ καὶ τραχέα, ἐκεῖνα δὲ ἠθικὰ καὶ ἐπιεικῆ, καὶ σαφῶς ὑφιέντος τὴν σφοδρότητα[69] τοῦ ῥήτορος. εὕροις δ' ἂν οὐκ ὀλίγα παραδείγματα τῆς τοιαύτης μεθόδου. καθ' ἣν τὰ κατὰ[70] τῶν ὑποκειμένων προσώπων ῥηθέντα ἂν ἐλαττώσειέ τις. οὐ γὰρ τῆς ἑτέρας[71] λέγω, καθ' ἣν τὰ ἰδιά τις ἂν[72] ἀγαθὰ μειώσειεν, ὡς ἔν τε τοῖς[73] συμβουλευτικοῖς καὶ ἐν[74] τῷ πρὸς Λεπτίνην. καίπερ γὰρ ὢν ἀγωνιστικὸς οὗτος ὁ λόγος, ὅμως πολὺ τὸ ἦθος ἐν τοῖς περὶ τὸ πρόσωπον ἔχει, καὶ κατὰ τὴν μέθοδον, καὶ ἴσως καὶ τὰ λοιπά, ὥσπερ καὶ οἱ συμβουλευτικοί. ἀλλ' ἐκεῖσε ἐπανιτέον. μέθοδος γὰρ ἐπιεικείας πρώτη μὲν ἡ προειρημένη. μετὰ[75] ταύτην δὲ[76] ἡ ἐκ παραλείψεως. δοκεῖ γάρ πως ἐπιεικὲς εἶναι τὸ ἐκόντα παραλείπειν ὅσα τις εἰπεῖν

66 Vind. ἐστὶ δήπου. 67 Ol. I. p. 10. 68 Mon. Vind. πανοῦργον εἶναι τὸν Φ. 69 Mon. Vind. τῆς σφοδρότητος. 70 Ald. Port. καὶ τὰ τῶν. Mon. Vind. τὰ κατὰ τῶν. 71 Vind. ἑτέρας γε. 72 ἂν edd. om., est in Mon. Vind. 73 τοῖς Edd. Mon. om., est in Vind. 74 Mon. Vind. κἀν. 75 Ald. Mon. κατά. Port. Vind. μετά. 76 Ald. Mon. δὲ om. Vind. μετὰ δὲ ταύτην. Port. μετὰ ταύτην δέ.

ἔχει[77] κατὰ τοῦ ἐχθροῦ, ἢ καὶ ὑπὲρ ἑαυτοῦ.[78] καὶ πολύ γε τὸ ἀξιόπιστον διὰ τὴν ἐμφαινομένην ἐπιείκειαν αἱ παραλείψεις ἔχουσι, γίνονται δὲ, ὡς ἔφην, ἐπ' ἀμφοῖν, καὶ ἐν τοῖς καθ' ἡμῶν, καὶ ἐν τοῖς ὑπὲρ ἡμῶν. καὶ γίνονταί γε διχῶς, καθάπερ καὶ τὴν μείωσιν τὴν[79] κατὰ τοῦ ἐχθροῦ ἐλέγομεν γίνεσθαι διχῶς· ἢ γὰρ ἄντικρυς παραλείπει, ἢ εἰπὼν οὐδὲν προστίθησιν, ἐνδείκνυται δὲ μόνον καὶ ὥσπερ τινὰ πρόσληψιν ἀορίστου ποιεῖται. οἷον, καὶ[80] περὶ ὧν μέν ἐστί τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω. καὶ πάλιν, παραλείπω[81] τὰ πολλὰ διὰ τόδε, φησὶ, καὶ τόδε. ἤτοι οὖν οὕτως, ἢ τῇ μεθόδῳ[82] χρῆται παραλειπτικῇ, τὰ πράγματα δὲ οὐδὲν ἧττον λέγει. οἷον, καὶ οὐδὲν ἂν εἴποιμι[83] τούτων, οὔτε εἴ τινας ἐκ[84] τῶν πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισι πενομένοις[85] θυγατέρας συνεξέδωκα.[86] καὶ πάλιν, Ὄλυνθον[87] μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θράκης ἐῶ, καὶ τὰ ἑξῆς. τούτων τοίνυν ἡ μὲν καὶ[88] λέγουσα τὰ πράγματα παράλειψις, οἷον, Ὄλυνθον μὲν δὴ, καὶ τὰ ἑξῆς, ἀξιοπιστίαν μόνον μετὰ τοῦ ἤθους ποιεῖ. ἡ δὲ οὐδὲν ἔχουσα τοιοῦτον, οἷον, καὶ περὶ ὧν μέν ἐστί τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω, μετὰ 127

---

77 Ald. Port. ἔχοι. Mon. Vind. ἔχει. 78 Ald. Mon. Vind. αὐτοῦ. Port. ἑαυτοῦ. 79 Mon. τῶν κατὰ ἐχθροῦ. 80 pro cor. p. 271. 81 Vind. καὶ παραλείπω. 82 Mon. Vind. addit: μόνῃ. 83 Port. addit: οὐδὲ παρασχοίμην ἂν περὶ τούτων μαρτυρίαν, οὔτ' εἴ τινας, ex Dem. pro cor. p. 316. 84 ἐκ Mon. om. 85 πενομένοις Port. om. ut Dem. 86 Vind. συνεκδέδωκα. tum Port. addit: οὔτε τῶν τοιούτων οὐδέν. 87 Ald. Mon. καὶ Ὄλυνθον. Port. Vind. καὶ om. — Phil. III. p. 117. 88 Par. γρ. μὲν λέγουσα. Mon. ἡ μὲν λέγουσα καί.

τῆς ἀξιοπιστίας καὶ τοῦ ἤθους ἔτι καὶ περιβολὴν ποιεῖ, διὰ τὴν τοῦ ἀορίστου πρόσληψιν. τὰ γὰρ τοιαῦτα οὐδὲν ἄλλ᾽ ἢ ἀορίστου ἤ [89] τινος τοιούτου προσλήψεις εἰσὶ κατὰ παράλειψιν μεθοδευθεῖσαι.

Τρίτη δὲ ἐπιεικείας μέθοδος ἡ τὸν καθαρὸν ποιοῦσα λόγον, διότι ἡ αὐτὴ καὶ τὸν ἀφελῆ. ὅτι γὰρ τὸν [90] ἐπιεικῆ δόξαντα ἂν εἶναι λέγειν πολὺ τὸ ἀφελὲς ἐμφαινόμενον ἔχειν δεῖ, καὶ ὁ κατὰ μικρὸν λόγου [91] θεωρίας ἐπαΐων συναίσθοιτ᾽ ἄν. καὶ μὴν καὶ ἡ λέξις τοῦ ἐπιεικοῦς λόγου ἡ καθαρὰ καὶ ἀφελὴς, σχήματά τε καὶ κῶλα καὶ συνθήκη κατὰ ταὐτά. αἵ τε ἀναπαύσεις καὶ οἱ ῥυθμοὶ ὡσαύτως, εἰ δή [92] τι καὶ ταῦτα δύναται συλλαμβάνειν πρὸς ἐπιεικοῦς λόγου ἔμφασιν.

---

## Cap. VII.

### ΠΕΡΙ ΑΛΗΘΙΝΟΥ [1] ΛΟΓΟΥ.

Ὁ ἐνδιάθετος καὶ ἀληθὴς καὶ οἷον ἔμψυχος λόγος τὸ μὲν πλεῖστον ἔχει περὶ τὴν μέθοδον καὶ τὰ σχήματα τήν τε λέξιν καὶ ὅσα τούτοις ἕπεται, γίνεται μὴν καὶ κατ᾽ ἔννοιαν. αἱ γὰρ ἀφελεῖς πᾶσαι πάντως εἶεν ἂν τοῦ ἐνδιαθέτου λόγου, ἢ πῶς ἂν ἔτι τὸ ἦθος ἔχειν δύναιντ᾽ ἂν ἀκριβῶς; [2] τάχα δ᾽ ἂν καὶ αἱ ἐπιεικεῖς τούτου τοῦ εἴδους εἶεν. ἴδιαί γε μήν εἰσιν ἔννοιαι παρὰ τὰς προειρημένας τοῦ οἷον ἐμψύχου λόγου αἱ σχετλιαστικαί. οἷον, αὐτὸς [3] ὢν, οἶμαι, θαυμάσιος στρατιώτης, ὦ Ζεῦ,

---

80 ἤ Vind. om. 90 Mon. τά. 91 Ald. Port. λόγον. Mon. Vind. λόγου. tum Vind. θεωρίαν. 92 Par. δεῖ.

1 Vind. περὶ τοῦ ἐνδιαθέτου λόγου. 2 Vind. ἀκριβές. Tzetz. δύναιτ᾽ ἂν ἀκριβές. sq. αἱ id. om. Tum v. 21. μὴν ἔννοιαι εἰσι. 3 de fals. leg. p. 375. — Sqq. μετὰ γὰρ τὴν γενομ.

Ζεῦ. μετὰ γὰρ τὴν γενομένην κατὰ τὴν εἰρωνείαν βαρύτητα, ἐπήγαγε τὸ, ὦ Ζεῦ. ἑτέρα δέ τις αὕτη δήπουθεν παρὰ τὴν προειρημένην [4] ἐστὶν ἔννοια, τὸ, ὦ Ζεῦ, σχετλιαστική. τοιοῦτόν ἐστι καὶ τὸ, ἀλλ' [5] Ἀνδροτίων ὑμῖν [6] πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. ἀλλ' ἴσως τοῦτο κατὰ τὴν μέθοδον, οὐ κατὰ τὴν ἔννοιαν. τὸ μέντοι, καὶ Χαρίδημον εἰ χρὴ φρουρεῖν, βουλεύεται, [7] Χαρίδημον, οἴμοι, ἔχει τινὰ καὶ ἰδίαν ἐν τῷ οἴμοι ἔννοιαν. καὶ μυρία τούτου παρὰ Δημοσθένους λάβοις ἂν παραδείγματα. ἀλλ' ἔννοιαι μὲν αὗται λόγου ἐνδιαθέτου, [9] γνώριμοί τινες οἶμαι καὶ σαφεῖς ὀφθῆναι. [8] εἰ δὲ καὶ μέθοδος εἴη τις ὁ σχετλιασμὸς περὶ ἔννοιαν οὐ τοιαύτην, οἷον, οὐ φύσει σχετλιαστικὴν, ὡς τὸ, ἀλλ' Ἀνδροτίων ὑμῖν πομπείων ἐπισκευαστής, Ἀνδροτίων, ὦ γῆ καὶ θεοὶ, σαφὴς δήπου ἡ μέθοδος, καὶ οὐδὲν ἔχουσα δυσχερὲς πρὸς καταμάθησιν. αἱ μέντοι λοιπαὶ μέθοδοι τοῦ [10] ἀληθινοῦ λόγου σχεδὸν ἄῤῥητοί εἰσιν. εἴτε γὰρ εὐχὰς ποιοίη τις, εἴτε ἄλλο τι τοιοῦτον, οὐχ ἁπλῶς διὰ τῶν εὐχῶν ἢ διὰ τῶν ὁμοίων ταύταις ἐνδιάθετος [11] ὁ λόγος γίνεται. ἀλλ' ἔστι ταῦτα μὲν ἁπλῶς κατὰ ἀφέλειαν ἠθικά. ἕτερα δὲ παρὰ ταῦτά ἐστιν, οἶμαι, τὰ ποιοῦντα οἷον ἔμψυχον εἶναι δοκεῖν τὸν λόγον. αὐτίκα τὸ πρῶτον μὲν, ὦ Ἀθηναῖοι, [12] τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, εὐχή τίς ἐστι δή-

— ἐπήγαγε τὸ, ὦ Ζεῦ Tzetz. om. 4 Vind. εἰρημένην ἐστὶν ἔννοιαν. 5 Vind. οἷον ἀλλ' Ἀνδρ.— c. Androt. p. 618. 6 Tzetz. Ald. h. l. et infra v. 14. ἡμῖν. Port. Mon. Vind. ὑμῖν. 7 Ald. Mon. βουλεύεσθαι. Port. βουλεύεται. ex Dem. c. Aristocr. p. 690. — Vind. τὸ μέντοι ἐφρούρει Χαρίδημον, οἴμοι. 8 ἐνδιαθέτου abest ab Ald., est in Port. Mon. Vind. 9 Ald. ὀφθεῖναι. 10 Mon. τοῦ ἐνδιαθέτου λόγου καὶ ἀληθινοῦ. 11 Vind. ἐνδιάθ. λόγος. 12 pro cor. init. — Port. ὦ ἄνδρες Ἀθ.

πουθεν. ἀλλά τι παραπλήσιον ἔχει τῷ, ἀλλὰ γὰρ ἐντᾶῦθα τῶν φόβων εἴημεν, ἐν Σικελικοῖς ὑπὸ Ἀριστείδου εἰρημένῳ· [13] λέγω δὲ οὐχ ὡς τούτου βελτίονος ὄντος, ὧν ὁ [14] Δημοσθένης εἶπε. μαινοίμην γὰρ ἄν, εἰ τοῦτο λέγοιμι· ἀλλ' ὅτι τοῦτο ἐκείνου ἀληθέστερόν [15] ἐστιν. οὐ γὰρ ἀπήτει τὸν Δημοσθένην ὁ καιρὸς εὐθὺς κατ' ἀρχὰς ἀληθινόν πως, ἀλλ' ἄλλως [16] ἠθικόν πως τὸν λόγον παρασχέσθαι. καὶ ἐδείκνυμεν τοῦτο [17] καὶ ἕτερα πλείονα ἑπόμενα τούτοις, ὅτε τὸν λόγον ἐθεωροῦμεν. εὕροις δ' ἂν οὐκ ὀλίγα τοιαῦτα οὕτως ἀληθινῶς εἰρημένα καὶ παρὰ τῷ ῥήτορι. καὶ μὴν καὶ τὸ, [18] καλῶ δὲ τοὺς θεοὺς πάντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, καὶ τὰ ἑξῆς, ὅρκος ἐστὶ δήπουθεν. ἀλλὰ σκόπει, εἰ [19] ὅμοιον τοῦτ' [20] ἐκείνῳ τῷ, ἐπεὶ εἰ μὴ διὰ τὸ τούτους βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ [21] προσλαβὼν ἀργύριον πάνυ πολὺ μετὰ τούτων ἐπρέσβευσα. ἐνταῦθα μέντοι καὶ ἡ ἐπιμονὴ τῆς ἀφελείας πεποίηκε πλέον τὸ ἐνδιάθετον, τὸ [22] πάνυ πολύ. ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανιτέον, ὅτι αἱ μέθοδοι τοῦ ἐνδιαθέτου λόγου σχεδὸν μὲν ἄῤῥητοί εἰσιν, ὅμως δὲ ἡμῖν τι τολμητέον εἰπεῖν καὶ περὶ τούτων, εἴ πως αὐτὰς ἐνδείξασθαι δυνηθείημεν. λέγω τοίνυν, ὅτι σχεδὸν μία μέθοδός ἐστιν ἅπαντος ἐνδιαθέτου λόγου, τὸ μὴ προλέγειν μήθ' ὡς ὅμνυσί τις, ἀλλ'

---

13 Ald. Vind. εἰρημένων. Port. Mon. εἰρημένῳ. ortum ν ex ι adscripto., vid. ep. crit. p. 28. marg. Vict. fort. εἰρημένον. 14 ὁ Mon. om. 15 Ald. ἀλειθέστερον. Mon. Vind. ἀληθινώτερον. Port. ἀληθέστ. 16 Vind. ὅλως. 17 Mon. Vind. τοῦτό τε καί. 18 pro cor. p. 274. 19 Ald. εἰ μή. Port. Mon. Vind. μὴ om. 20 Port. τοῦτο. 21 Port. εἰ καὶ προσλ. γ' ἂν ἀργύριον. de fals. leg. p. 395. 22 Par. γρ. τὸ ἐνδιάθετον πάνυ πολύ. ita Mon.

ἁπλῶς, οἷον ἐμπίπτειν εἰς τὸν ὄρκον, μήθ' ὡς εἴξεταί τις, ἀλλ' ἁπλῶς παραπεσόν, [23] εὔχεσθαι. οἷόν ἐστι καὶ τὸ, ὡς μηδὲ νῦν ὤφελον· [24] οἷον, ἡνίκα τὰς δίκας [25] τοῖς ἐπιτρόποις ἐλάγχανον, μειρακύλλιον [26] ὢν κομιδῇ, καὶ τοῦτον οὐδ' εἰ γέγονεν εἰδὼς οὐδὲ γινώσκων, ὡς μηδὲ νῦν ὤφελον. Καὶ μὴν καὶ τὸ θαυμάζειν τι πρᾶγμα ἠθικὸν ποιεῖ τὸν λόγον καὶ ἐνδιάθετον. ἀλλ' ἐὰν μὲν προείπῃς, [27] ὅτι θαυμάζεις, οὐκ ἔθ' ὁμοίως τὸ ἐνδιάθετον τοῦ λόγου σώζεται, ἀλλ' ἁπλῶς μέντοι ἠθικὸς καὶ οἷον [28] ἀφελὴς οὕτως [29] ὁ λόγος γένοιτ' ἄν, καὶ κατὰ τοῦτο μόνον ἔχων [30] τι τοῦ ἀληθοῦς. οὐ μὴν ἀκριβές γε τοῦτο. ἂν δ' ἀφέλῃς [31] μὲν τὸ λέγειν, ὅτι θαυμάζεις, ψιλὰ δὲ καὶ καθ' ἑαυτὰ λέγῃς [32] ἃ θαυμάζεις πράγματα, ἐνδεικνύμενος τοῦτο αὐτὸ τὸ θαυμάζειν, πλεῖον ποιήσεις τὸ ἐνδιάθετον, καὶ ὡς ἀληθῶς ἔμψυχον. οἷον, καὶ τοιαῦτα συνειδὼς βεβιωμένα [33] ἑαυτῷ [34] ὁ ἀκάθαρτος οὑτοσὶ τολμήσει βλέπειν [35] εἰς ὑμᾶς, καὶ τὸν βεβιωμένον αὐτῷ βίον αὐτίκα δὴ μάλα ἐρεῖ μακρᾷ [36] τῇ φωνῇ, ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι. οὐκ ἴσασιν οὗ-

23 Mon. Tzetz. παραπεσών. 24 Vind. h. l. et paullo post: ὄφελον. 25 Port. τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐ. ex or. in Mid. p. 539. Tzetz. τὰς δίκας τῆς ἐπιτροπῆς ἐτύγχανον. 26 Ald. Mon. μειράκιον. Par. γρ. μειρακύμον. Port. Vind. μειρακύλλιον. Tzetz. μειρακίλλιον. 27 Mon. προείποις. 28 Port. Tzetz. ἴσως. 29 Vind. οὗτος ὁ λόγος γένοιτο ἄν. 30 Ald. ἔχοντι. Vind. Tzetz. ἔχον τι. Port. Mon. ἔχων τι. 31 Ald. ἀφελής. Port. Mon. Tzetz. ἀφέλῃς. tum Tzetz. τὸ λέγειν μέν. 32 Ald. Vind. λέγεις. Port. Mon. λέγῃς. Tzetz. λέγεις τὰ πράγματα, ἐνδεικνύμενος, ἃ θαυμάζεις. 33 Port. ἑαυτῷ πεπραγμένα, ex or. de fals. leg. p. 403. 34 Vind. αὐτῷ. 35 Mon. βλέπειν ἡμᾶς. Tzetz. βλ. εἰς ἡμᾶς. 36 Vind. λαμπρᾷ, ut Dem.

τοι σέ; καὶ τὰ ἑξῆς. τὸ γὰρ, ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι· οὐκ ἴσασιν οὗτοι σέ; σφόδρα πολὺ [37] τὸ ἐνδιάθετον ἔχει, ὡς δὴ θαυμάζοντος τὸν λέγειν τολμῶντα τὰ τοιαῦτα. καὶ πάλιν, βουλεύεσθε,[38] ὦ Ἀθηναῖοι, Θηβαίους ἔχοντες ἐν νήσῳ τί χρὴ[39] ποιεῖν; οὐκ ἀναστήσεσθε; καὶ τὰ ἑξῆς· ἁπλῶς τε, ὅπερ ἔφην κἀν τοῖς προειρημένοις, αὕτη μία μέθοδος λόγου τοῦ μέλλοντος ὡς ἀληθῶς ἐμψύχου φανεῖσθαι, τὸ μὴ προλέγειν μὲν, ὡς ἔχει [40] τι πάθος ἐν τῇ ψυχῇ, οἷον θαῦμα ἢ λύπην [41] ἢ φόβον ἢ ὀργὴν ἢ ἔλεον ἢ πεποίθησιν ἢ ἀπιστίαν ἢ ἀγανάκτησιν ἤ τι [42] τῶν τοιούτων, πεποιθότως γε μὴν προάγειν τὸν λόγον, ὡς ἂν ὁ καιρὸς ἀπαιτῇ. οἷον, μετ' ὀργῆς ἢ θαυμασμοῦ ἤ τινος [43] τῶν προειρημένων. μετ' ὀργῆς μὲν, ὡς ἐν τῷ, ἔπειτα [44] ὦ κατάρατε καὶ γραμματοκύφων. καὶ πάλιν, καὶ τὰ [45] τοιαῦτα συνειδὼς ἑαυτῷ ὁ ἀκάθαρτος οὑτοσὶ, καὶ τὰ τοιαῦτα. ἐλέου δὲ, ὅταν λέγῃ, [46] τοὺς ταλαιπώρους Φωκέας. καὶ πάλιν, [47] ἀλλ' ὁ μὲν ἄθλιος ἄνθρωπος ἠτίμωταί τε καὶ ὕβρισται. θαυμασμοῦ δὲ παράδειγμα. οἷον, [48] ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; καὶ τὰ ἑξῆς. καὶ τὸ προειρημένον δὲ τοιοῦτόν ἐστιν. οἷον, βουλεύεσθε, [49] ὦ Ἀθηναῖ-

---

37 Vind. πολὺ om. 38 Port. βουλεύεσθε, ἔφη, Θηβ. ἔχ. ἐν νήσῳ τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; ex or. de Cherson. p. 108. 39 Vind. δεῖ ποιεῖν; οὐκ ἀναστήσετε; 40 Ald. ἔχοι. Port. Mon. ἔχει. Vind. ἔχεις. 41 ἢ λύπην Mon. Vind. ponit post ὀργήν. 42 Vind. ἤ τι τοιοῦτον. 43 Vind. τινὸς ἄλλου. 44 pro cor. p. 297. 45 de fals. leg. p. 403. 46 de fals. leg. p. 380. 47 Vind. ἀλλ' ὁ μὲν ἄνθρ. ἄθλιος ἠτίμωται καὶ ὕβρ. respicit, credo, ad or. de fals. lege p. 432. ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτιμώσεται. al. ἠτίμωται. 48 pro cor. p. 242. 49 Port. βουλεύεσθε, ἔφη, Θηβ. ἔχ. ἐν νήσῳ, τί χρήσεσθε, καὶ τί δεῖ ποιεῖν.

οι, τί χρὴ ποιεῖν, Θηβαίους ἔχοντες ἐν νήσῳ; τοῦ [50] δὲ σὺν φόβῳ λόγου προϊόντος παρὰ μὲν τοῖς ῥήτορσιν οὐκ ἂν ἴσως εἴη παράδειγμα, [51] αἱ μέντοι κωμῳδίαι καὶ αἱ τραγῳδίαι μυρία ἔχουσιν [52] τοιαῦτα. ἀγανάκτησιν δὲ ἐμφαίνει τὰ τοιαῦτα, [53] Χαρίδημον οἴμοι. καὶ πάλιν, [54] Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. πεποιθότως δὲ ἐρεῖς, ὅταν λέγῃς, ἐγὼ [55] συμπλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦτα οὕτως ἔχῃ. τοῦ δ' αὖ [56] κατὰ πεποίθησιν ἐνδιαθέτου λόγου τὸ καὶ ταῖς ἀπαντήσεσι ταῖς πρὸς τὰς ἀντιθέσεις, ἢ καὶ ἄλλως, χωρὶς καταστάσεως ταχείαις χρῆσθαι· οἷον, πῇ [57] δὴ προσορμιούμεθα, ἤρετό [58] τις· εἶτα ἡ ἀπάντησις χωρὶς καταστάσεως, εὑρήσει τὰ σαθρὰ, [59] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ ἑξῆς. καὶ πάλιν, κακοδαιμονοῦσι Βυζάντιοι, [60] σφόδρα γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι. συμφέρει γὰρ τῇ πόλει. αὕτη μέντοι ἡ μέθοδος καὶ γοργότητός ἐστιν ἰδία.

Περὶ δὲ συνδρομῆς, εἴτε συγχωρήσεως ὡς [61] δεῖ λέγειν, κἀν τῷ περὶ γοργότητος ἔφην ἐρεῖν ἀκριβέστερον, ὅτε περὶ μεθόδου [62] δεινότητος λέγοιμι. ἐκείνης γὰρ ἴδια ταῦτα. ἐπανιτέον δ' ἐφ' ὅπερ [63] ἐλέγομεν. καθόλου γὰρ τὸ χωρὶς καταστάσεως εἰς ἀρχὴν ἀσυνδέτως ἀνάγειν [64] τὸν λόγον ἐνδιάθετον καὶ ἀληθινόν· οἷον, νὴ Δία, [65]

---

50 Ald. Mon. τό. Port. Vind. τοῦ. 51 Vind. παραδείγματα. 52 Port. ἔχουσι. 53 c. Aristocr. p. 690. 54 c. Androt. p. 618. 55 Port. κἀγώ. — Phil. I. p. 48. 56 Vind. δ' οὖν. 57 Ald. Port. Vind. πῇ. Mon. ποῖ ut Phil. I. p. 52. 58 Ald. Mon. Vind. εἴρετο. Port. ἤρετο. 59 Port. addit; τῶν ἐκείνου πραγμάτων. 60 Vind. γὰρ ἄνθρωποι, ut Dem. de Chers. p. 93. 61 Vind. ὡς om. 62 Vind. μεθόδων. tum Mon. λέγοιμεν. 63 Vind. ἅπερ. 64 Vind. ἄγειν. tum Ald. Mon. Vind. τὸν ἐνδιάθετον λόγον. Port. τὸν λόγον ἐνδιάθετον. 65

ἔδει γὰρ τὸ καὶ τὸ γενέσθαι, [66] καὶ τὸ μὴ γενέσθαι· εἶτα ἐξ ἐπεμβολῆς οὐ καταστήσας ἐπήγαγεν ἀσυνδέτως καὶ σφόδρα ἐνδιαθέτως. πολλὰ ἂν ἔχοιεν εἰπεῖν Ὀλύνθιοι νῦν, ἃ τότε εἰ προείδοντο, [67] οὐκ ἂν ἀπώλοντο· [68] πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. καὶ τὸ ἐφεξῆς [69] δὲ τοιοῦτόν ἐστιν. οἷον, [70] ἀλλὰ τί τούτων [71] ὄφελος; εἶτ' ἐπήγαγεν ὁμοίως ἐξ ἀσυνδέτου, μὴ καταστήσας, σφόδρα ἐν-
129 διαθέτως, ἕως ἂν σώζηται τὸ σκάφος, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντα ἄνδρα ἑξῆς πρόθυμον εἶναι. ἐπειδὰν δὲ ἡ θάλαττα [72] ὑπέρσχῃ, μάταιος ἡ σπουδή. τοῦτο δ' ἂν οἰηθείη τις ἴσως σχῆμα, καὶ οὐ μέθοδον εἶναι. ἔστι δὲ οὐ τοιοῦτον, ἀλλὰ καθαρῶς μέθοδος. οὐ γὰρ ἁπλῶς τὰ ἀσύνδετα λέγω ποιεῖν τὸν ἐνδιάθετον λόγον, ἀλλὰ τὰ χωρίς τε καταστάσεως, καὶ τὰ ὡς ἀπαντήσεις. αἱ δὲ ἀπαντήσεις οὐ σχήματα, ἀλλὰ μέθοδοί τινές εἰσι δήπουθεν, ἢ πάντως γε ἔννοιαι. Ἔστι δὲ παρὰ τὰς προειρημένας ἑτέρα τις μέθοδος ἐνδιαθέτου λόγου, καὶ μάλιστα τοῦ δοκοῦντος σὺν ὀργῇ προϊέναι, τὸ μηδὲ τὰς ἀκολουθίας σώζειν τῶν τοῦ λόγου σχημάτων, ἀλλ' οἷον ἐξίστασθαι δοκεῖν ὑπὸ τοῦ πάθους. οἷόν ἐστι καὶ τὸ, [73] ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται, δεῖ δέ με, ὡς ἔοικε, καίπερ [74] οὐ φιλολοί-
25 δορον ὄντα, καὶ τὰ ἑξῆς πάντα, μέχρι τοῦ, οὐκ ἀπορῶν δ' ὅ τι [75] χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰ-

---

Port. νὴ τὸν Δία. — Phil. III. p. 128. 66 Port. ποιῆσαι h. l. et paullo post, ut de id. I. 10. Par. γρ. ἔδει γὰρ τὸ γενέσθαι. 67 Ald. προϊδοντο, Mon. Vind. προείδοντο, ut Dem. 68 Port. addit.; πολλ' ἂν Ὠρεῖται. 69 Vind. ἑξῆς. 70 οἷον Mon. om. 71 Vind. τοῦτ' ὄφελος. 72 Vind. θάλασσα, tum Ald. Mon. ὑπερέχῃ. Port. Vind. ὑπέρσχῃ. 73 pro cor. p. 269. 74 καίπερ οὐ φιλολοίδορον ὄντα Vind. om. 75 Ald.

πεῖν, ἀπορῶ, τοῦ πρώτου μνησθῶ. οὐδαμοῦ γὰρ ἀποδέδοται [76] τῷ σχήματι τὸ ἀκόλουθον, ἀλλ᾽ ἐπιπολὺ τὸ οἷον ἀκρόχολον. διὸ καὶ μᾶλλον ἔμψυχος καὶ ἀληθὴς ὁ λόγος εἶναι δοκεῖ. δῆλον δὲ ἐκ τοῦ αὐτοῦ παραδείγματος, ὅτι καὶ τὸ ταῖς λοιδορίαις ἄνευ τοῦ ἐπισημαίνεσθαι χρῆσθαι λόγου ἀληθοῦς καὶ ἐνδιαθέτου· οἷον, εἰ γὰρ [77] Αἰακὸς ἢ Ῥαδάμανθυς ἢ Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεύς, μέθοδος δέ τις οἶμαι καὶ αὕτη, δι᾽ ἣν οὔτ᾽ [78] ἐπαχθὴς εἶναι δοκεῖ ὁ λοιδορούμενος, σαφῶς ἐνδεικνύμενος αὐτῷ τῷ μὴ ἐπισημαίνεσθαι, ὡς ὑπ᾽ ὀργῆς προήχθη, καὶ οὐκ ἐσκεμμένος ἥκει πρὸς [79] τὰς λοιδορίας, ἀλλ᾽ αὐτόθεν ἐπελθὸν [80] αὐτῷ δι᾽ ὀργὴν ταῦτα εἴρηκεν, ὅ τε λόγος τὸ πιθανὸν πλέον ἐκ τῶν τοιούτων μεθόδων ἴσχει διὰ τὴν διάθεσιν καὶ τὸ ἐμψύχως προῆχθαι. ἐὰν δὲ ἐπισημήνῃ, [81] ὥσπερ ὁ Αἰσχίνης· οἷον, [82] δότε μοι εἰπεῖν κίναιδον [83] αὐτὸν, οὔτε ὁμοίως ἔσῃ πιθανός, δόξεις τε ὡς ἀληθῶς εἶναι φιλολοίδορος. οὐ γὰρ πεπονθότος ἐστὶ τὴν ψυχὴν οὐδ᾽ [84] ἐμπαθῶς ἔχοντος τὸ ἐπισημαίνεσθαι, οὐδ᾽ οἷον ἐξεστηκότος ὑπὸ τοῦ πάθους, οὐδ᾽ ἀγνοοῦντος ἃ λέγει, ἀλλὰ νήφοντος καὶ γινώσκοντος ταῦτα καὶ ἐπεσκεμμένου καὶ τοῦτο ἐσπουδακότος λοιδορήσασθαι τῷ ἐχθρῷ. καὶ οὐκ ἔτι οὐδὲ πιθανός ἐστι τῷ μηδὲ [85] ἐνδιαθέτως

---

Mon. Vind. ὅτι. 76 Ald. Port. ἀποδέδεικται. Mon. Vind. ἀποδίδοται τὸ ἀκόλουθον τῷ σχήματι. Mox pro ἐπιπολὺ Reisk. ad Dem. p. 269. legere iubet: ἐστὶ πολὺ, aut ἐπὶ πολὺ διατείνει, aut ἐπιπολάζει. 77 pro cor. p. 269. 78 Vind. οὔτε. 79 πρὸς Vind. Par. om. In Par. manus rec. inseruit Sch. προσυπακουστέον τὸ πρός. 80 Vind. ἐπελθών. 81 Ald. Vind. ἐπισημήνῃ. Mon. ἐπισημαίνῃ. Port. ἐπισημήνῃς. 82 οἷον Vind. om. 83 marg. Vict. κίναδος. 84 Vind. οὐδέ. 85 Mon. μηδ᾽.

μηδὲ ἐμψύχως λέγειν. ὁ γὰρ ἐνδιακειμένως [86] τι-λέγων σφόδρα [87] γ' ἑαυτὸν γοῦν πεπεικέναι δοκεῖ, διὸ καὶ πιθανός ἐστιν· ὁ δ' ὡς ἑτέρως οὐκ ἔχει τὴν πιθανότητα ὁμοίαν.

Ἔτι μέθοδος ἀληθινοῦ καὶ οἷον ἐμψύχου λόγου σχεδὸν μὲν ἡ αὐτὴ οὖσα τῇ προειρημένῃ, ἔχουσα μέντοι διαφοράν τινα. ἔστι δὲ τὸ κἀν τοῖς ἄλλοις, καὶ μὴ μόνον ἐν ταῖς λοιδορίαις, δοκεῖν αὐτόθεν πως κινούμενον λέγειν, ἀλλὰ μὴ ἐσκεμμένον. οἷον, ἀλλὰ γὰρ [88] μικροῦ με παρῆλθε. καὶ πάλιν, ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μάλα [89] ὕστερον ἁρμόσει λέγειν. πολλὰ καὶ τῆς τοιαύτης μεθόδου τὰ παραδείγματα παρὰ τῷ ῥήτορι. ἀλλὰ περὶ μὲν ἐννοιῶν καὶ μεθόδου [90] τοῦ ἐνδιαθέτου λόγου τοσαῦτα.

Λέξις δὲ πᾶσα μὲν ἡ τραχεῖα καὶ σφοδρὰ καὶ [91] πεποιημένη διάθεσιν ἔχει τὴν μετ' ὀργῆς, καὶ μάλιστα ἐν ταῖς ἐπιφοραῖς, ἐν αἷς καὶ αἱ μὴ συνήθεις, αὐτόθεν δὲ ποιηθεῖσαι, καιρὸν ἔχουσιν, ὥσπερ καὶ τὸ, ἰαμβειοφάγος, [91] καὶ τὸ, ἔπειτ' [93] ὦ κατάρατε καὶ ὦ γραμματοκύφων, καὶ πᾶσαι αἱ τοιαῦται καιρὸν ἔσχον αὐτόθεν δόξασαι ἀπό τινος διαθέσεως λέγεσθαι. ἀλλ' ἐπὶ μὲν τῶν ἐπιφορῶν ἰσχύουσιν, ὅπερ ἔφην, αἱ τραχεῖαι καὶ σφοδραί· καὶ ποιοῦσί γε τὸν ἀληθῆ καὶ οἷον ἔμψυχον λόγον, οὐ

---

86 In Med. LVII. 5. Schol. ad marg. Io. Siceliotae: γρ. ὁ γὰρ ἐνδιαθέτως τι λέγων, ὁ ἄνευ τοῦ ἐπισημαίνεσθαι λοιδορῶν διακειμένως κατὰ διάθεσιν καὶ πάθος ψυχῆς. 87 Ald. Mon. σφόδρα γε αὐτόν. Port. σφ. γ' ἑαυτόν, Vind. σφόδρα αὐτὸν, omisso sq. γοῦν. 88 Port. τουτὶ γὰρ αὖ μικροῦ παρῆλθέ μοι εἰπεῖν ex or. in Mid. p. 550. 89 Vind. μᾶλλον ἁρμόσει. — pro cor. p. 240. 90 Vind. μεθόδων. 91 Vind. καὶ om. 92 pro cor. p. 274. 93 ἔπειτ' ὦ κατάρατε Port. om. Vind. τὸ ἰαμβ. καὶ τὸ γραμματοκύφων, οἷον ἔπειτα ὦ κατάρατε καὶ γραμματοκ. — pro cor. p. 297.

μὴν ἔνθα γε [94] ἄλλο τι πάθος ψυχῆς παραδηλοῦμεν, [95] ὁμοίως ἔτι χρήσιμον ἂν εἴη τὸ τοιοῦτον. ἐν δέ γε [96] ἐλεεινολογίᾳ, καὶ παντάπασιν ἥκιστα ἐπιτήδειον. ἐνταῦθα γὰρ, ἐν τοῖς πάθεσι λέγω, καθαρότητος μᾶλλον δεῖ καὶ ἀφελείας καὶ γλυκύτητός τε καὶ ἡδονῆς. παράκειται γὰρ τῷ πάθει ταῦτα. ὥσπερ ὁ Ξενοφῶν πεποίηκεν ἐν τῷ περὶ Ἀβραδάτην πάθει καὶ τὴν Πάνθειαν, [97] ἔνθα ἔφη πρὸς τοῖς ἄλλοις καὶ τὸ, ἡ χεὶρ τοῦ νεκροῦ [98] ἐπηκολούθησεν. ἀπροαιρέτῳ γὰρ προαιρετικὸν περιθεὶς τῇ ἡδονῇ τὸ πάθος ἠΰξησε. ποῦ δὲ καὶ τίσι πράγμασι τίνα ἁρμόττει λόγων εἴδη, πολλάκις διεμαρτυράμην, ὅτι ἐν τῷ περὶ μεθόδου δεινότητος [99] λέγειν χρὴ, καὶ ὅτι ἀκριβέστερον [1] ἐκεῖ λέξομεν. 13

Σχήματά γε μὴν ἐνδιαθέτου κατ' ἐπιφορὰν λόγου, ἅπερ ἦν, καὶ τοῦ σφοδροῦ, αἵ τε ἀποστροφαί. οἷον, παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν. [2] καὶ αἱ μετ' ἐρωτήσεως ἀποστροφαὶ, τά τε ἄλλα, καὶ διὰ τὸ ἐλεγκτικὸν ἔχουσαι πλέον τὸ ἐνδιάθετον· οἷον, τί γὰρ δήποτ' [3] Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς ἀνέψιός ἐστί σοι καὶ πάλιν Θρασυβούλῳ πρώην τῷ [4] Νικηράτου θείῳ, καὶ τὰ ἑξῆς. καὶ μυρία δὲ τοῦ σχήματος τούτου παραδείγματα. τὸ μέντοι, καὶ σὺ [5] δὲ ὅμοιος, Αἰσχίνη; ὁ δὲ

---

94 γε Port. om. 95 Vind. παραδηλοίημεν. 96 γε Vind. om. 97 Vind. Πάνθειαν. Ald. Port. Mon. Πανθίαν. 98 Ald. τῷ νεκρῷ. Port. marg. Vict. τοῦ νεκροῦ, ut Cyrop. VII. 3, 8. Mon. Vind. om. 99 Ald. Port. δεινότ. μεθόδου. Mon. μεθόδου δειν. Vind. δεινότητος om.

1 Vind. ἀκριβέστερόν γε. 2 Ald. Vind. αὐτόν. Port. Mon. αὐτῶν. — pro cor. p. 252. 3 Vind. δήποτε, Εὔβουλε, Ἡγισίλεω. [sic] — de fals. leg. p. 434. 4 Ald. Port. τῷ τοῦ. Mon. Vind. τοῦ om. 5 Vind. σοὶ δ' ὅμοιος, Α. ὁ δ' ἀδελφός. — pro cor. p. 330.

ἀδελφὸς ὁ σός; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; καὶ τὰ ἑξῆς, μετὰ βαρύτητος διὰ τὴν εἰρωνείαν εἰσαχθὲν ἔχει μὲν οὐκ ὀλίγον [6] τοῦ ἐνδιαθέτου κατὰ τὸ τῆς λέξεως σχῆμα· τὸ δὲ ὅλον [7] ἐστὶν ἠθικὸν, βαρύτητος τῷ ἐνδιαθέτῳ μιχθείσης κατὰ τὴν μέθοδον τὴν περὶ τὴν ἔννοιαν. καὶ [8] ἐνδιάθετον μέντοι σχῆμα τὸ δεικτικὸν, διότι καὶ σφοδρόν. οἷον, οὗτός [9] ἐστιν ὁ τὰ Θηβαίων νῦν ὀδυρόμενος πάθη.

Ἔτι ἐνδιάθετον ἔχει σχῆμα καὶ ἡ τοιαύτη διαπόρησις· οἷον, [10] εἶτα ὦ — τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; γέγονε δὲ τοιοῦτον [11] διὰ τὸ, ὡς κἀν τοῖς περὶ μεθόδου τῆς ἰδέας ταύτης εἰρήκαμεν, λέγω τὸ [12] μὴ προσημῆναι μὲν, ὡς ἀπορεῖ, ἐνδείξασθαι δὲ ὃ [13] ἔχει πάθος, αὐτῷ τῷ λόγῳ. τοῦτο δὲ εἴτε σχῆμα, εἴτε μέθοδός ἐστιν, ὡς ἐλέγομεν, ἀλλ' οὖν ἐν τῷ περὶ τῶν ἐνδιαθέτων σχημάτων κείσθω.

Καὶ ἡ ἀποσιώπησις δὲ ἐνδιαθέτου λόγου καὶ ὡς ἀληθῶς οἷον [14] ἐμψύχου. παράδειγμα [15] ταύτης· ἀλλ' ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς οὐδὲν [16] εἰπεῖν ἀρχόμενος τοῦ λόγου. καὶ ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν, [17] οὐ γὰρ περὶ τούτων· ἀλλ' ἐάσω τόγ' ἐπελθὸν εἰπεῖν μοι. καὶ μὴν καὶ αἱ ἐπικρίσεις [18] τοιαῦται· οἷον, πόθεν; πολλοῦ γε καὶ δεῖ. καὶ πάλιν σχετλιάσας, εἶτα ηὔξησε τὸ ἐνδιάθετον τῇ ἐπικρίσει· οἷον, δεινὸν [19] μὲν, ὦ γῆ καὶ θεοί. πῶς γὰρ οὔ; κατὰ τῆς πατρίδος.

---

6 Vind. οὐκ ὀλίγην τὴν ἐνθ. 7 Vind. δ' ὅλον. 8 Mon. Vind. καὶ om. tum Vind. ἐνδιαθέτου μέντοι σχ. καὶ τὸ δεικτ. 9 pro cor. p. 239. 10 Vind. οἷον om. — pro cor. p. 232. 11 Vind. τοιοῦτο. 12 Ald. Vind. τῷ. Port. Mon. τό. 13 Vind. δ' ὅ. 14 Vind. οἷον om. 15 Mon. παραδείγματα. 16 οὐδὲν Mon. om. — pro cor. initio. 17 p. 206. 18 Mon. ἀποκρίσεις, omisso sq. οἷον. 19 pro cor. p. 273. fin.

Αἱ δὲ ἐνδοιαστικαὶ ἐπικρίσεις ἧττον ἔχουσι τὸ ἐνδιάθετον, ἠθικαὶ μέντοι οὐδὲν ἧττόν εἰσι, καὶ μᾶλλον προσήκουσι τῇ βαρύτητι· οἷον,[20] μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τὰ ἑξῆς. ὃ δὲ λέγω, αὐτίκα ἔσται φανερὸν ἐν τῷ[21] περὶ βαρύτητος· τὴν δὲ ἐπίκρισιν ἴσως οὐδὲ σχῆμα, ἀλλ' ἔννοιάν τινα θετέον. ὃ μέντοι πέφυκε ποιεῖν, εἰρήκαμεν. Ἔτι ἐνδιάθετον σχῆμα καὶ ἡ τοιαύτη ἐπιδιόρθωσις, ἡ αὐξήσεως ἕνεκα παραλαμβανομένη· οἷον,[22] ὀψὲ γάρ ποτε, ὀψὲ λέγω, χθὲς μὲν οὖν καὶ πρώην. καὶ πάλιν,[23] ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων. πολὺ καὶ τοῦτο παρὰ τῷ ῥήτορι[24] ἐνδιαθέτου λόγου σχῆμα καὶ ὁ ἀπόλυτος καλούμενος μερισμός. ἔστι δὲ σχεδὸν ταὐτὸν τῇ ἐπικρίσει· οἷον, εἰ δὲ[25] δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε ἠδίκηκέ τις ὑμῶν, καὶ[26] ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον μισοῖσθ' ἄν[27] διὰ ταῦτα δικαίως, ἢ σώζοισθε; εἶτά[28] ἐστιν ὁ ἀπόλυτος μερισμὸς, οὐδὲν ἀλλ' ἢ ἐπίκρισις ὤν. οἷον, ἐγὼ μὲν οἶμαι πολλῷ. μὴ λύσας γὰρ τὸν μὲν σύνδεσμον, ἐπήγαγεν εὐθὺς, βιάσονται τοίνυν ἴσως[29] μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὰ ἑξῆς. καὶ πολλὰ αὐτοῦ παρὰ τῷ ῥήτορί ἐστι[30] τὰ παραδείγματα. λαμβάνεται[31] μέντοι ἐπὶ τῶν φύσει ὁμολογουμένων πραγμάτων, ἢ ἀποδεδειγμένων,[32] ἢ ἔμφασίν γε τοῦ ὁμολογεῖσθαι[33] ἢ ἀποδεδεῖχθαι ἐχόντων. καὶ ποιεῖ ἅμα τῷ

20 pro cor. p. 227. 21 Vind. τοῖς. 22 pro cor. p. 270. 23 Ol. II. init. 24 Ald. Port. Mon. ῥήτορι ἐνδιαθέτου λόγου σχῆμα καὶ ὁ ἀπ. recepi interpunctionem Vind. 25 Mon. δὲ om. — de fals. leg. p. 415. 26 Ald. καὶ τότε ταῦτα. Port. Mon. τότε om. Vind. καὶ τὰ τοιαῦτα. 27 Vind. ἂν καὶ διά. 28 Vind. εἶτ' ἐστιν ὁ ἀπόλ. μερισμὸς γενόμενος. 29 ἴσως Ald. Port. om., est in Mon. Vind. et Dem. 30 ἐστὶ Vind. om. 31 Vind. λαμβάνονται. 32 Mon. προαποδεδειγμ. 33 Mon. ὡμολογῆσθαι.

ἐνδιαθέτῳ πλέον τὸ ἦθος διὰ τὴν ἔμφασιν. τοιοῦτον δ' ἂν εἴη καὶ τὸ ἐν τῷ κατὰ Τιμοκράτους προοιμιοῦ, τὸ, τοῦ μὲν ἀγῶνος, ὦ ἄνδρες δικασταὶ,[34] τοῦ παρόντος οὐδ' ἂν αὐτὸν οἶμαι Τιμοκράτην εἰπεῖν· καὶ τὰ ἑξῆς σύμπαντα τοῦ προοιμίου. οὐδαμοῦ γὰρ ὁ σύνδεσμος οὗτος ἐλύθη. καὶ παρέσχε μυρία τοιαῦτα πράγματα ζητοῦσι περὶ αὐτοῦ τοῖς ἰαλέμοις[35] τούτοις, οἵ φασιν[36] ἐξηγεῖσθαι τὸν ῥήτορα· καὶ δὴ καὶ βιβλία καταλιπεῖν ἐτόλμησαν τῶν εἰς αὐτὸν ἐξηγήσεων, ἃ καὶ νῦν
131 ἐξελίττοντες οἱ πολλοὶ τῶν διδασκάλων οἴονταί τινες εἶναι καὶ τοὺς συνόντας πείθουσιν, ὅμοιοί φασιν ὁμοίους. ποῦ γὰρ αὐτοῖς ἰδεῖν τι τοιοῦτον, ὅτι ἔλαβεν, ὡς ὁμολογούμενον ὁ ῥήτωρ, βουλόμενος τοῦτο ἐνδείξασθαι τὸ, αὐτὸν αὑτῷ Τιμοκράτην αἴτιον εἶναι τοῦ ἀγῶνος, καὶ μὴ δι' ἔχθραν ἰδίαν εἰσιέναι τὸν εἰσάγοντα αὐτὸν Διόδωρον; ὅπερ γὰρ[37] εἴωθεν ὡς τὰ πολλὰ ποιεῖν ἐν προοιμίοις, τὸ τὰ ζητούμενα ὡς ὁμολογούμενα εἰσάγειν, τοῦτο κἀνταῦθα πεποίηκε διὰ τοῦ ἀπολύτου μερισμοῦ. ἔστι γὰρ τοῦ σχήματος[38] ἡ χρῆσις αὕτη πολλὴ καὶ ἐν τῇ κοινῇ καλουμένῃ καὶ ἀνὰ χεῖρας[39] ὁμιλίᾳ. διὸ δὲ τοῦτο καὶ πολιτικὸν τὸ σχῆμα· οἷον, τούτου μὲν χάριν οὐδ' ἂν αὐτὸς ἀντείποι.[40] ἀλλὰ σχήματα μὲν ταῦτα τοῦ ἐνδιαθέτου λόγου.

Κῶλα δὲ καὶ συνθήκη[41] ἀνάπαυσίς τε καὶ τὸ ἐκ τούτων, οἱ ῥυθμοὶ καὶ πάντα ταῦτα παραπλήσια τοῖς ἐν σφοδρότητι, πλὴν ὅτε οἶκτον κινοίη τις ἐλεεινολο-

---

34 δικασταὶ Vind. om. Idem sqq. οὐδ' ἂν αὐτὸν οἶμαι Τίμ. εἰπεῖν om. — v. 6. Port. πράγμ. τοιαῦτα. 35 Schol. in Vind. ἰάλεμος ὁ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνίαν φέρων· καὶ παροιμία, ἰαλέμου ψυχρότερος. Λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης κακοδαίμονα καὶ ὑστερούμενον καὶ ἀρφανόν. καὶ ἰαλεμώδη δέ φασι τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια. 36 Ald. φασι, ἐξηγ. 37 Vind. ὅπερ εἰώθαμεν. 38 Vind. ἡ χρῆσις τοῦ σχήμ. 39 Ald. Port. Vind. χεῖρα. Mon. χεῖρας. 40 Ald. Mon. ἀντείπῃ. Port. Vind. ἀντείποι. 41 Vind. συνθῆκαι καὶ ἀνάπαυσίς τε.

γούμενος, τότε γὰρ ἀφελεστέρων δεῖ τούτων ἁπάντων. καὶ χρή γε τοῖς περὶ ἀφελείας ῥηθεῖσιν ἕπεσθαι ἐν τοῖς τοιούτοις. ἀκριβέστερον δὲ καὶ περὶ τούτων, ὅπερ ἐπηγγειλάμην πολλάκις, ἐν τῷ περὶ μεθόδου δεινότητος, ἡμῖν λελέξεται.

## Cap. VIII.

### ΠΕΡΙ ΒΑΡΥΤΗΤΟΣ.

Ἡ βαρύτης ἐννοίας μὲν ἔχει τὰς ὀνειδιστικὰς ἁπάσας, ὅταν εὐεργεσίας τις ἑαυτοῦ λέγων τὸ μηδενὸς ἢ ἐλαττόνων ἠξιῶσθαι, ἢ καὶ [1] τοὐναντίον, ὅτι καὶ [2] τιμωρίας ἀντὶ τιμῆς ἠξίωται, ὀνειδίζῃ. οὕτω γὰρ καὶ μάλιστα βαρὺς ὁ λόγος γίνεται, εἰ παρατιθείη τις τοὺς οὐδὲν ἢ μικρὰ εὐεργετήσαντας ἢ καὶ τοὐναντίον ἠδικηκότας, εἶτα τυχόντας ὧν αὐτὸς [3] οὐκ ἠξιώθη. ταὐτὸν δὲ συμβαίνει κἂν εἰ λέγοι τις, ὅτι τὸν δεῖνα μὲν φαῦλον ὄντα τούτων ἠξιώσατε, ἐμὲ δὲ, ὡς ἑτέρως προαιρούμενον, τῶν ἐναντίων. παραδείγματα δὲ [4] τῶν ἐννοιῶν τούτων πολλὰ ἔν τε τῇ ὑπὲρ τῶν Λυκούργου [5] παίδων ἐπιστολῇ, καὶ ἐν τῇ ὑπὲρ τῆς ἑαυτοῦ καθόδου. ἐν μέντοι ταύτῃ καὶ τὸ προοίμιον εὐθὺς τοιοῦτόν ἐστιν ἅπαν· οἷον, Ἐνόμιζον μὲν ἀφ' ὧν ἐπολιτεύομην, οὐχ ὅπως μηδὲν ὑμᾶς ἀδικῶν, τοιαῦτα πείσεσθαι, καὶ τὰ ἐξῆς. γίνονται μέντοι βαρύτητες κἀκ τῶν ἐπιεικῶν πως εἶναι δοκούσῶν ἐννοιῶν, μεθοδευθεῖσαί πως· ὅταν δῆθεν μειονεκτῇ τις ἑκὼν, ἢ συγχωρῇ πλεονεκτεῖν τῷ ἐχθρῷ, ἢ καὶ τῶν ἐναντίων ἀπὸ τοῦ λόγου φαίνηται ἢ ἑαυτὸν [6] ἢ

1 καὶ Vind. om. 2 καὶ Vind. om. 3 Mon. post αὐτὸ ad marg. manu rec. inserit: καλῶν. 4 δὲ Vind. om. 5 Ald. Λυκόργου. 6 Vind. αὐτὸν omisso praec. ἢ.

τὸν ἐχθρὸν ἀξιῶν καὶ ὀνομάτων καὶ πραγμάτων. τοιαῦτα δὲ [7] αἱ εἰρωνεῖαι, μέθοδοί τινες οὖσαι δήπουθεν· οἷον, ἐμοὶ δὲ ὃς, [8] εἴτε τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν, μανία γὰρ ἴσως ἐστὶ τὸ [9] ὑπὲρ δύναμίν τι ποιεῖν. πάνυ γὰρ βαρέως ἐνταῦθα τὴν φιλοτιμίαν ἑαυτοῦ μανίαν ὠνόμασε. κἀκεῖνο δὲ τὸ, [10] πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει; τοιοῦτόν ἐστι. καὶ πολλὰ ἔχομεν τοιαῦτα παραδείγματα. τὸ δὲ τοιοῦτον ἅπαν [11] εἶδος, ὡς ἔφην, μεθόδου μᾶλλόν ἐστιν. αἱ γὰρ εἰρωνεῖαι μέθοδοί τινές εἰσιν δηλαδή, αἳ δὴ ποιοῦσιν ἐνταῦθα τὴν βαρύτητα, ἀλλ' οὐκ αὐτὴ καθ' ἑαυτὴν ἔχει τι βαρὺ ἡ ἔννοια. καὶ ποιοῦσί γε τὴν βαρύτητα, ὡς ἔφην, ἐν τῷ τοὐναντίον αὐτῷ ἢ λέγει ὁ τῇ εἰρωνείᾳ χρώμενος, ἐνδείκνυσθαι διὰ τῆς μεθόδου· οἷον, [12] τότε τοίνυν ὁ Παιανιεὺς ἐγὼ Βάταλος Οἰνομάου τοῦ Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πόλει. διὰ γὰρ ἀμφοτέρων τῶν ὀνομάτων, τοῦ τε Βατάλου καὶ τοῦ Οἰνομάου τὰ ἐναντία τοῖς ὀνόμασιν αὐτοῖς δηλοῦται. τό τε γὰρ Βάταλος ὄνομα ἐπὶ μαλακίᾳ λεγόμενον, ἐφ' οἷς ἀνδρείως προὔστη τῶν κοινῶν, τέθεικε. δι' ὧν τὸ μηδὲ Βάταλος, ἀλλ' εἴ τι τούτῳ ἐναντιώτατόν ἐστιν ὄνομα, καλεῖσθαι ἂν [13] δικαίως αὐτὸν οἶμαι δείκνυσι. τό τε Οἰνόμαος ἔχον τι [14] μέγα καὶ τραγικὸν, ἐφ' οἷς ταπεινὸς καὶ ἄνανδρος ὁ Αἰσχίνης ὤφθη τεθὲν, σαφῶς τῶν ἐναν-

---

7 Vind. δ' αἱ. 8 Ald. ὡς εἴ τις. Port. Vind. ὃς, εἴτε τις. Mon. ἐμοὶ μὲν ὡς εἴτε τις. Par. ἐμοὶ δίος, εἴτέ τις. ad marg. ἐμοὶ δὲ, ὡς εἴτε τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν· καὶ οὕτως· ἐμοὶ δὲ ὃς εἴτε τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν. — in Mid. p. 536. mox Port. ὦ ἄνδρες Ἀθ. Vind. ὦ om. 9 Vind. ἐστὶν ὑπέρ. 10 Ol. III. p. 35. 11 Vind. πᾶν. 12 pro cor. p. 288. 13 Vind. ἂν οἶμαι δικαίως αὐτόν. 14 Ald. ἔχοντι.

τίων αυτον ὀνομάτων [15] ἄξιον ἀποφαίνει. εἰ δέ τι τοῦτο
καὶ σχώμματος ἔχει, ἑτέρου λόγου. ἀλλὰ μέθοδος μέν- 132
τοι [16] βαρύτητος αὕτη, ἰδία [17] τῆς εἰρωνείας. εἰδέναι
μέντοι χρὴ, ὅτι μὴ [18] πᾶσα εἰρωνεία ὁμοίαν ἔχει τὴν
βαρύτητα. δῆλον δὲ τοῦτο κἀκ τῶν προειρημένων γε- 5
γενῆσθαι νομίζω. ὅτε μὲν γαρ ἐφ' ἑαυτοῦ τις χρῷτο τῇ
εἰρωνείᾳ, καὶ μάλιστα εἰ πρὸς τοὺς δικαστὰς, ἀλλὰ μὴ
πρὸς τὸν ἐχθρὸν λέγοι, [19] καθαρὰν ποιεῖ τὴν βαρύτητα,
οἷόν ἐστι καὶ τὸ, ἐμοὶ δὲ ὅς, [20] εἴτε τις, ὦ Ἀθη-
ναῖοι, βούλεται νομίσαι μανίαν, μανία γὰρ 10
ἴσως ἐστὶ [21] τὸ ὑπὲρ δύναμίν τι ποιεῖν. ἐν ταύτῃ
γὰρ ἐκπρεπὴς ἡ [22] βαρύτης. ὅτε μέντοι κατὰ τῶν ἐχθρῶν
τις χρῷτο τῇ εἰρωνείᾳ, τὸ μὲν ἦθος ἴσχει πάντως ὁ λό-
γος, σφόδρα δὲ ὀλίγον τι τὸ τῆς βαρύτητος καὶ ἀμαυ-
ρὸν ὑποφαίνεται. οἷον, πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν 15
τούτων τὰ πράγματα ἔχει; ἐν μέντοι τοῖς ἐσχημα-
τισμένοις ἐπὶ βαρύτητι φύσει ζητήμασι δύναται κατὰ
τὴν τοιαύτην μέθοδον ἐπ' ἀμφοῖν ἐκπρεπὴς εἶναι ἡ βά-
ρύτης, ἐάν τε ἐφ' ἑαυτοῦ, ἐάν τε ἐπὶ τοῦ ἐχθροῦ τις
ἐθέλῃ χρῆσθαι τῇ εἰρωνείᾳ· οἷον, ὁ Θεμιστοκλῆς δόξαν 20
τοῖς Ἀθηναίοις εἰς τὸν ἀνοικισμὸν [23] πιπράσκειν τὰς ναῦς,
ἐπεί περ ἥττητο ἀντιλέγων, ἑαυτὸν προσαγγέλλει. αὐτός
τε γὰρ πάντα ἐφ' οἷς θαυμάζεται φήσει θανάτου ἄξια
ἑαυτῷ πεπρᾶχθαι· καὶ γὰρ ὅτι τὸ χρησθὲν μόνος οἶδεν, [24]
οὐ τιμῆς, ἀλλὰ ἀτιμίας ἄξιον εἶναι· διότι μηδέν ἐστι 25
τῶν νεῶν ὄφελος· καὶ ὅτι κράτιστος ἐν ταῖς ναυμαχίαις

---

15 Mon. ὀνομάτων αὐτόν. 16 Mon. Vind. μὲν αὕτη βαρύτητος. 17 Port. ἡ διά. 18 μὴ Ald. Port. om., est in Vind. et ad marg. manu rec. in Mon. 19 Ald. Port. Vind. λέγῃ. Mon. λέγοι. 20 Ald. Mon. Vind. ὡς. Port. ὅς εἴτε τις, ὦ ἄνδρες Ἀθ. 21 Vind. ἐστὶν, omissis sqq. τὸ ὑπὲρ δύν. τι ποιεῖν. 22 Port. ἡ om. 23 Ald. Codd. ἐνοικισμόν. Port. ἀνοικ. 24 Port. εἶδεν. — v. 25 Vind. ἀλλ'.

ὤφθη, καὶ τοῦτο ὁμοίως, τά τε ἄλλα [25] παραπλησίως. τούς τε πεπεικότας νυνὶ πιπράσκειν τὰς ναῦς θαυμαστοὺς εἶναι πολίτας, καὶ μόνους τὸ συμφέρον εἰδέναι. ἡμαρτῆσθαι μέντοι φήσει [26] καὶ τῇ τύχῃ, τὸ μὴ [27] ἐξ ἀρχῆς αὐτοῦ κεκρατηκέναι ἀντιλέγοντος, ὅτε ἔπειθεν ἐκεῖνα, ἐφ' οἷς νῦν [28] θάνατον αὐτοῦ καταγινώσκει. οὔτε γὰρ ἐκλιπεῖν ἔδει τὴν πόλιν, οὔτε ὅσα ἄλλα εἰπεῖν ἔχει. προσθήσει δὲ βαρύτητα, καὶ τὸν Κυρσίλον ὅτι στεφανοῦν, ἀλλ' οὐ καταλιθοῦν ἔδει. καὶ ὡς ἀσφαλέστερον νῦν οἰκήσουσιν ἀποδύμενοι τὰς ναῦς. οὐ γὰρ ἐπιβουλεύσειν αὐτοῖς διὰ τοῦτό γε αὐτὸ, διότι τῶν νεῶν στέρονται, οὔτε βασιλέα, οὔτε ἄλλον οὐδένα. διὰ γὰρ τοῦ πεζοῦ σεσῶσθαι τὴν Ἑλλάδα, καὶ τῷ [29] μηδὲν ὠφθαι τὰς ναῦς παρὰ τὴν χρείαν. καὶ ὅλως τὰ ἐναντία διὰ τῶν ἐναντίων ἐνδείξεται πανταχοῦ, ὅπερ ἴδιον μὲν τῆς εἰρωνείας, ἐργαστικὸν δὲ τῆς βαρύτητος.

Καὶ μὴν καὶ τὸ περὶ τῶν ὁμολογουμένων ὡς ἀμφισβητουμένων εἰς ἐρώτησιν ἐκ διαπορήσεως καθίστασθαι βαρύτητος ἴδιον. οὐκ ἀπήλλακται δὲ οὐδὲ τοῦτο εἰρωνείας· οἷον, ἆρα μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῶν [30] δοκῶ; καὶ τὰ ἑξῆς. καὶ ὁ Θουκυδίδης, [31] ἆρα ἄξιοι δοκοῦμεν ὑμῖν, ὦ Λακεδαιμόνιοι; τοιοῦτόν ἐστι καὶ τὸ ἐνδοιάζειν περὶ τῶν ὁμολογουμένων, ὃ δὴ καὶ τοῦ ἐνδιαθέτου [32] ἔφαμέν πως εἶναι λόγου· οἷον, [33] εἰ δὲ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε, ἠδικηκέ τις ὑμῶν, πόσῳ [34] μᾶλλον μισοῖσθ' ἂν ἢ σώ-

ζοι-

25 Vind. ἄλλα πάντα. 26 Vind. φησί. 27 μὴ Mon. om. 28 νῦν Mon. om. Vind. νυνὶ θάνατον ἑαυτοῦ. 29 Ald. Mon. Vind. τό. Port. τῷ. 30 Par. ὑμῖν. ad marg. γρ. ὑμῶν. — pro cor. p. 262. 31 I. 75. 32 Vind. ἐνδοιαθέτου. 33 οἷον Ald. Port. Mon. om., recepi ex Vind. — de fals. leg. p. 415. 34 Vind. πολλῷ.

ζοισθε δικαίως; εἶτα [35] ἡ ἐνδοίασις μετ' ἐπικρίσεως· ἐγὼ μὲν οἶμαι πολλῷ. καὶ τοῦτο δὲ εἰρωνεία τις, τὸ ἐνδοιάσαι περὶ τοῦ ὁμολογουμένου. [36] παραπλήσιον δὲ τούτῳ καὶ τὸ ἐπικρίνειν τι ὡς δέον γενέσθαι, ὃ βούλει ἐνδεικνυσθαι ὅτι οὐ δέον. οἷον, [37] μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τῶν κοινῇ πεπολιτευμένων. διὰ τοῦτο δὲ καὶ τῇ ἐπικρίσει ἐνδοιαστικῇ κέχρηται, τῇ, ὡς ἔοικεν· ἵνα τὸ ἄκων αὐτὸ ποιεῖν ἐνδείξηται καὶ ὡς ἀναγκάσαντος [38] τοῦ Αἰσχίνου. εἰ δὲ καὶ δεινῶς μεθοδεύεται τὸ νόημα, ὅπερ ἐβούλετο ποιῆσαι ἐνδειξαμένου τοῦ ῥήτορος, ὅτι κατ' ἀνάγκην καὶ τοῦ ἐχθροῦ βιασαμένου οὕτω ποιεῖ, μὴ θαυμάσῃς. σχεδὸν γὰρ οὐδὲν τῶν τοῦ ῥήτορος, ὃ δὴ πολλάκις εἶπον, ἀπήλλακται δεινότητος· ἀλλὰ νῦν εἴπερ βαρύ ἐστι [39] τὸ εἰρημένον ἐπισκεπτέον. περὶ γὰρ ταύτης νῦν ἡμῖν [40] πρόκειται λέγειν τῆς ἰδέας. περὶ δὲ δεινότητος, ὡς πολλάκις ἐπηγγειλάμεθα, [41] ἐροῦμεν αὐτίκα. καὶ γὰρ τὴν τάξιν ἔχει μετὰ [42] πάσας τὰς προειρημένας ἰδέας, εἰ καὶ τῇ δυνάμει πρῶτον [43] ἁπασῶν ἡμῖν αὐτὴν κατατακτέον. ἀλλ' ἔννοιαι μὲν αὗται καὶ μέθοδοι βαρύτητος.

Λέξις δέ τις ἢ τι ἕτερον τῶν ἑπομένων ταύτῃ, ὡς **133** εἶναι βαρύτητος ἴδιον, οὐδέν ἐστι. φαίην δ' ἂν ὅτι καὶ μᾶλλον ἑτέρων ἁρμόττοι ἂν αὐτῇ ὅσα [44] ταῖς ἠθικαῖς ἰδέαις ἥρμοστο, [45] λέγω δὲ ἀφελείᾳ καὶ τῇ ἐπιεικείᾳ καὶ ἔτι τῷ ἐνδιαθέτῳ καὶ οἷον ἐμψύχῳ λόγῳ.

---

35 Mon. Vind. εἶθ' ἡ. 36 Mon. τῶν ὁμολογουμένων. 37 pro cor. p. 227. 38 Vind. ἀναγκάζοντος. 39 Vind. τὸ εἰρημ. ἐστίν. 40 Vind. ὑμῖν. 41 Vind. ἐπηγγειλάμην. 42 Vind. μεθ' ἁπάσας ἔχει. 43 Vind. πρὸ τῶν. 44 Ald. Mon. καὶ ὅσα. Vind. Port. καὶ om. 45 Vind. ἥρμοσε. idem sq. δὲ om.

## Cap. IX.

### ΠΕΡΙ ΔΕΙΝΟΤΗΤΟΣ.

Ἡ δεινότης ἡ περὶ τὸν λόγον ἔστι μὲν κατ' ἐμὴν γνώμην οὐδὲν ἄλλ' ἢ χρῆσις ὀρθὴ πάντων τῶν τε[1] προειρημένων εἰδῶν τοῦ λόγου καὶ τῶν ἐναντίων αὐτοῖς. καὶ ἔτι δι' ὧν ἑτέρων σῶμα λόγου γίνεσθαι πέφυκε. τὸ[2] γὰρ εἰς δέον καὶ κατὰ καιρὸν καὶ τὸ οὕτως ἢ ἐκείνως εἰδέναι τε καὶ δύνασθαι χρῆσθαι πᾶσί τε λόγων εἴδεσι καὶ πάσαις ἀντιθέσεσι καὶ πίστεσιν, ἐννοίαις τε προκαταρκτικαῖς ἢ καταστατικαῖς ἢ καὶ ἐπιλογικαῖς, ἁπλῶς τε ὅπερ ἔφην, τὸ πᾶσι τοῖς πεφυκόσι σῶμα λόγου ποιεῖν χρῆσθαι δύνασθαι δεόντως καὶ κατὰ καιρόν, ἡ ὄντως οὖσα δεινότης ἐμοί γε εἶναι δοκεῖ. ὥσπερ γὰρ δεινὸς[3] χρῆσθαι πράγμασι λέγεται δήπουθεν ὁ εἰς δέον τοῖς παραπεσοῦσι πράγμασι χρώμενος, οἷον ὕλῃ τινὶ οὖσι[4] τῆς ὥσπερ τέχνης αὐτοῦ, καὶ δεινὸς στρατηγὸς ὁ τοῖς ὑπὸ τὴν στρατηγίαν[5] πράγμασιν εἰδὼς εἰς δέον χρήσασθαι, ὕλη δὲ δήπουθεν καὶ ταῦτα τοῦ στρατηγοῦ πάντως,[6] οὕτω καὶ ῥήτωρ ἂν εἴη δεινὸς ὁ τοῖς τῆς ῥητορικῆς πράγμασι καὶ ταῖς ὕλαις αὐτῆς εἰς δέον χρώμενος. πράγματα δ' ἂν εἴη καὶ ὕλη δήπουθεν[7] ταύτης τὰ προειρημένα, λέγω τά τε εἴδη τοῦ λόγου καὶ τὰ λοιπά. τούτων γὰρ ἕκαστον εἴ τις εἰδείη πότε μὲν δεῖ, πότε δὲ μὴ δεῖ λέγειν, καὶ ποῦ, καὶ μέχρι πόσου, καὶ πρὸς ὅν τινα, καὶ πῶς, καὶ διότι, καὶ εἰ μὴ εἰδείη μόνον, ἀλλὰ καὶ δύναιτο, πάντως[8] ἂν εἴη δεινότατος ῥητόρων, καὶ οἷος ἅπαντας παρεληλυθέναι,

1 Vind. τε τῶν. 2 Vind. τό τε γάρ. 3 Ald. Mon. δεινῶς. Port. Vind. δεινός. tum Vind. χρήσασθαι. 4 Vind. οὖσῃ. 5 Ald. στρατηγείαν. Port. Mon. στρατηγίαν. Vind. στρατείαν. 6 Port. ad marg. γρ. πάντα. Vind. δήπου καὶ πάντα τοῦ στρατ. πάντως. 7 Vind. δήπουθεν καὶ ὕλη. 8 Vind. Mon. πάντως ἂν δεινότατος ῥήτωρ.

ὥσπερ καὶ ὁ [9] Δημοσθένης παρελήλυθεν. ἐπεὶ καὶ [10] δεινόν εἴποι τις ποιητήν, ὥσπερ ὁ Θεόκριτος εἶπεν ἐν Χάρισιν ἢ Ἱέρωνι τὸν Σιμωνίδην.

Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος, [11] αἴολα φωνέων
Βάρβιτον [12] ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστούς·

οὐδὲν ἄλλ' ἢ τοῦτο δήπουθεν [13] λέγει, ὅτι τοῖς τῆς ποιητικῆς ἰδίοις εἴδεσιν οἷδέ τε καὶ δύναται χρῆσθαι· οὐ γὰρ δεινὸν ἀοιδὸν οὕτω λέγοι ἂν τὸν Σιμωνίδην, ὥσπερ οἱ πολλοὶ λέγουσι δεινὸν ῥήτορα τὸν ταῖς βαθείαις ἢ περινενοημέναις ἐννοίαις ἢ μεθόδοις χρώμενον ἢ καὶ [14] λέξεσι μέγεθος ἐχούσαις, ἢ τι τοιοῦτον ποιοῦντα. εἰ δέ τις ἡμῖν περὶ τοῦ ὀνόματος διοίσεται, δεινὸν εἶναι ῥήτορα λέγων τὸν φοβερὸν ἢ μέγαν ἢ ἰσχυρὸν ἢ πάντα ταῦτα, τοὔνομα γὰρ [15] τὸ τῆς δεινότητος οἴδαμεν [16] τάττειν τοὺς ἀρχαίους ἐπὶ τούτων, ἐπὶ μὲν τοῦ φοβεροῦ. οἷον, [17]

Αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε,

καὶ

Δεινή τε [18] σμερδνή τε·

ἐπὶ δὲ [19] τοῦ μεγάλου καὶ ἰσχυροῦ,

Αἰνῶς ἀθανάτῃσι [20] θεῇς εἰς ὦπα ἔοικε.

προστιθείη [21] δὲ καὶ τὰ περὶ τοῦ Ὀδυσσέως ῥηθέντα,

---

9 καὶ ὁ Vind. om. 10 Vind. κἄν. Mon. καὶ δεινόν, εἰ εἴποι τις. 11 Ald. Mon. Κήϊος, ὅς. Port. Vind. ὅς om. — Theocr. XVI. 44. 12 Ald. Mon. βάρβυτον. Port. Vind. βάρβιτον. 13 Vind. δήπουθεν τοῦτο. 14 καὶ Vind. om. 15 Mon. γὰρ δὴ τό. 16 Ald. οἶδα μέν. Port. οἴδαμεν. Mon. Vind. om. 17 Vind. οἷον om. — Il. γ. 172. 18 Ald. δεινή τε καὶ σμερδνή τε. Port. Vind. Mon. καὶ om. — Il. ε. 742. 19 δὲ Ald. om., est in Port. Mon. Vind. 20 Ald. ἀθανάτοισι θεοῖς. Vind. ἀθανάτῃσι θεοῖς. Mon. Port. ἀθανάτῃσι θεῇς. Il. γ. 158. Vict. laudat Eustathium ad Il. A. p. 148. αἰνότατος δὲ ὁ δεινότατος ἀποβολῇ τοῦ δ καὶ τροπῇ Δωρικῇ τῆς εἰ διφθόγγου εἰς τὴν αἰ, καθὰ καὶ Ἑρμογένης ὑποδηλοῖ, ἔνθα λέγω τὰ τῆς δεινότητος σημαινόμενα προήνεγκέ που εἰς μαρτυρίαν τό· αἰνῶς κ. τ. λ. Cfr. eundem ad Od. Σ. p. 1834. 21 Ald. προστεθείη. Port.

τεκμαιρόμενος, ὅτι δεινὸν αὐτὸν ῥήτορα βουλόμενος δεῖξαι[22] ὁ ποιητὴς φοβερόν τε καὶ μέγαν κατὰ τοὺς λόγους[23] πεποίηκεν, οἷον τὸ νιφάδεσσιν[24] ἐοικότα χειμερίῃσιν ἔπεα φθέγγεσθαι· εἰ ταῦτά τις ἡμῖν λέγων περὶ τοῦ ὀνόματος τῆς δεινότητος διοίσεται, πρῶτον μὲν ἀγνοεῖ, ὅτι τὸν ὡς ἐγὼ λέγω δεινὸν[25] ῥήτορα ὁ ποιητὴς δείκνυσιν. εἰς δέον[26] γὰρ καὶ κατὰ καιρὸν τῷ μεγέθει καὶ τῇ τραχύτητι καὶ τῇ σφοδρότητι κέχρηται ὁ[27] Ὀδυσσεὺς αὐτῷ, ἅτε τοῦ λόγου κατά τε Ἀλεξάνδρου καὶ κατὰ τῶν Τρώων ἐπιφορᾶς δεομένου· ἔπειτα τί φήσει[28] περὶ τοῦ, αἰδοῖ μειλιχίῃ ἀγορεύοντος; καὶ τοῦδε, θεὸς μορφὴν ἔπεσι[29] στέφει; εἰ γὰρ μὴ δεινότητος εἶναί τινος ἐρεῖ τοῦτο, ἀλλ' ἄλλου τινός, τί φήσει[30] περί τε τοῦ ἐν Φαίαξιν Ὀδυσσέως, καὶ ὧν αὐτόθι δημηγορεῖ;[31] ὁ γὰρ αὐτὸς δήπουθέν ἐστι κἀνταῦθα κἀκεῖ. ἀλλ' οὐχ ὡσαύτως τῷ λόγῳ χρῆται,[32] δεινὸς ὢν ὡς ἀληθῶς καὶ ταῖς ἰδέαις τοῦ λόγου εἰς δέον τε καὶ κατὰ καιρὸν χρῆσθαι δυνάμενος. ἂν μὲν γὰρ κατηγορῇ[33] βίας, ἁρπαγῆς, μοιχείας, παρανομίας, ἀσεβείας τῆς εἰς τὸν ξένιον Δία, τῶν ἄλλων, ἃ ἄν τις εἴποι[34] κατὰ τοῦ Ἀλεξάνδρου, καὶ τῶν Τρώων εἰκότως, τό τε[35] ὄπα τε μεγάλην ἐκ στήθεος[36] ἵησι,[37] καὶ, ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσι, καὶ ὅλως ἐστὶ μέγας τῷ 134

---

Mon. Vind. προστιθείη. 22 Vind. ὁ ποιητὴς δεῖξαι. 23 Vind. μύθους. 24 Vind. νιφάσιν. tum Ald. χειμερίοισιν. Il. γ. 222. 25 Mon. ῥήτορα δεινόν. 26 Vind. εἰς γὰρ δέον. 27 ὁ Vind. om. 28 Vind. φησί. — Od. ϑ. 172. 29 Ald. Mon. Vind. ἔπεσσι. Port. ἔπεσι. — Od. ϑ. 170. 30 Vind. τί φησι περὶ τοῦ. 31 Vind. δημιγορεῖ. 32 Vind. χρῆσθαι. 33 Ald. Mon. Vind. κατηγορεῖ. Port. κατηγορῇ. 34 Mon. εἴπῃ. Vind. ἄν om. 35 τό τε Vind. om. — Il. γ. 221 et 222. 36 Mon. στήθους. 37 Vind. εἴη τό τε.

λόγῳ καὶ σφοδρὸς καὶ διηρμένος. ἐὰν δὲ ἐπᾶραι καὶ διαχέαι τρυφῶντας ἀνθρώπους ἕνεκα τῆς εἰς αὐτὸν φιλανθρωπίας βούληται, οὐκέτι [38] ὡσαύτως. ἀλλ'

Οὐ γὰρ ἔγωγέ τί φημι τέλος χαριέστερον [39] εἶναι,
Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,

καὶ τὰ ἑξῆς. οὕτω καὶ ὁ τοῖς προσώποις τὸ δέον ἀποδιδοὺς [40] οἷμαι παιήσει ῥήτωρ,

Ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι [41]

παροξύνων. τί οὖν ὁ περὶ τοῦ τῆς δεινότητος ὀνόματος [42] ἡμῖν διαφερόμενος φήσει περὶ τούτων; ἢ ὁ αὐτὸς νῦν μὲν δεινός, νῦν δὲ οὐ δεινὸς ἦν; ἐγὼ μὲν γὰρ κἀνταῦθα κἀκεῖ τὸν αὐτὸν εἶναί φημι, καὶ τῇ αὐτῇ χρῆσθαι δεινότητι καὶ τέχνῃ, τοῖς εἴδεσι τοῦ λόγου γινώσκοντά τε ὡς δεῖ χρῆσθαι καὶ δυνάμενον. καὶ τί δεῖ παραδειγμάτων ἄλλων, ἐξὸν ἀπ' αὐτοῦ γε τοῦτο ἰδεῖν τοῦ ῥήτορος; καὶ γὰρ οὗτος δεινὸς μέν [43] ἐστι, καὶ ὁ αὐτὸς πανταχοῦ [44] μιᾷ χρώμενος ἐπιστήμῃ καὶ δυνάμει ἐν πᾶσιν, [45] εἰς δέον δὲ καὶ ἑκάστῃ χρώμενος ἰδέᾳ, [46] καὶ ταῖς ὑποθέσεσι καὶ τοῖς καιροῖς καὶ ταῖς [47] προσώποις τὸ δέον [48] ἀποδιδοὺς ἄλλος μέν ἐστιν ἐν ἰδιωτικοῖς, ἄλλος δὲ ἐν [49] δημοσίοις. καὶ τῶν δημοσίων δ' [50] αὖ ἕτερος μὲν ἐν Φιλιππικοῖς, ἕτερος δὲ ἐν συμβουλευτικοῖς. δεινός γε μὴν ἀπανταχοῦ. εἰ δὲ νῦν μὲν καὶ εἶναι δοκεῖ δεινὸς, νῦν δὲ οὐ δοκεῖ, καὶ τοῦτο αὐτὸ κομιδῇ δεινόν ἐστι καὶ τῆς οὔσης δεινότητος ὡς ἀληθῶς, τὸ δύνασθαι σὺν ἐπιστήμῃ τούτων ἕκαστα ποιεῖν ἐν [51] δέοντι. ἀλλ' ἤδη γε περὶ αὐτῶν τούτων λεκτέον.

---

38 Vind. οὐκέθ' ὡσ. 39 Vind. χαριέστατον. — Od. I. 5. ερον
40 Mon. ἀποδιδοὺς τὸ δέον. tum Vind. ῥήτωρ παιήσει. 41 Il. μ. 267. 42 ὀνόματος Vind. om. 43 μὲν Vind. om. 44 Vind. ἅπανταχοῦ. 45 Vind. ἅπασιν. sq. καὶ Vind. om. 46 Ald. Port. ἐννοίᾳ. Mon. Vind. ἰδέᾳ. 47 τοῖς Vind. om. 48 Vind. πρέπον. 49 Mon. δ' ἐν. 50 δ' Vind. om. 51 Vind.

Δεινὸς τοίνυν λόγος ὁ μὲν καὶ ἔστι καὶ εἶναι δοκεῖ, ὅνπερ καὶ μόνον οἱ πολλοὶ καὶ τάχ' ἂν ἡμῖν ἀμφισβητήσαντες περὶ τοῦ ὀνόματος τῆς δεινότητος λέγουσιν εἶναι δεινόν. φανερὸν δὲ [52] ἔσται τοῦτο αὐτίκα ἐκ τῶν ῥηθησομένων. ἀλλ' ὅπερ ἐλέγομεν, δεινὸς λόγος ὁ μὲν καὶ ἔστι καὶ εἶναι δοκεῖ, ὁ δὲ ἔστι μέν, οὐ μὴν δοκεῖ, ὁ δὲ οὐκ ἔστι μέν, δοκεῖ δὲ εἶναι. περὶ δὲ τοῦ μήτε ὄντος μήτε δοκοῦντος εἶναι τοιούτου [53] περιττὸν διαλαβεῖν. γίνεται δὲ ὁ μὲν εἶναί τε δοκῶν καὶ ὡς ὄντως δεινὸς [54] κατά τε ἔννοιαν καὶ κατὰ τὰ ἄλλα πάντα, καθ' ἃ καὶ τὰ λοιπὰ εἴδη τοῦ λόγου. ὁ δὲ ὢν μὲν δεινός, οὐχὶ [55] δοκῶν δὲ εἶναι, τὸ πλεῖστον ἔχει περὶ τὴν μέθοδον. ὁ δ' αὖ δοκῶν μὲν εἶναι δεινὸς, οὐ μὴν τοιοῦτός γε ὢν ὡς ἀληθῶς, διὰ τῆς λέξεως τὸ πλεῖστον γίνεται. τούτων δὲ τοῦ μὲν καὶ ὄντος δεινοῦ καὶ δοκοῦντος εἶναι τοιούτου παραδείγματα οἵ τε κατὰ Φιλίππου λόγοι, καὶ σχεδὸν ἅπαντες οἱ Φιλιππικοὶ, καὶ τῶν δημοσίων οἱ πολλοί. καὶ γὰρ βούλεται δοκεῖν δεινὸς εἶναι λέγειν ἐνταῦθα, ὅσγε καὶ ὁμολογεῖ ζηλοῦν τὸν περιφανῶς δεινότατον γεγονότα [56] λέγειν, τὸν Περικλέα. καὶ οὐ μόνον φαίνεται τοιοῦτος ἐνταῦθα, ἀλλὰ καὶ ἔστι. καὶ ἔστι μὲν οὕτως [57] ἐνταῦθα δεινὸς, ὥσπερ καὶ ἐν ἅπασιν αὐτοῦ τοῖς [58] λόγοις εἰς δέον, καὶ κατὰ καιρὸν εἴδει τινὶ λόγου χρησάμενος. κέχρηται μὲν γὰρ ἐνταῦθα τῇ φανερᾷ δεινότητι, τοῦτο αὐτοῦ [59] ἀπαιτοῦντος τοῦ λόγου, διότι δὲ, οὐχὶ νῦν καιρὸς εἰπεῖν, ἀλλ' ἐκεῖσε ἐπανιτέον. ἔστι μὲν γὰρ οὕτως [60] ἐνταῦθα δεινός. δοκεῖ δὲ εἶναι καὶ φαίνεται

---

ἐν τῷ δέοντι. 52 Vind. δ' ἔσται. sq. αὐτίκα Mon. om. 53 εἶναι τοιούτου Vind. om. 54 Port. δεινὸς ὤν. 55 Vind. οὐ δοκῶν δ' εἶναι. 56 γεγονότα Vind. om. 57 Vind. οὕτος. 58 τοῖς Mon. om. 59 Mon. αὐτοῦ. Ald. Port. Vind. αὐτόν. de confusione harum terminationum vid. T. I. p. 250. 60 Vind. οὗτος.

δεινὸς τῷ λέγειν οὕτως καὶ τὰ τοιαῦτα, οἷα πάντας αἰσθάνεσθαι,[61] ὡς οὐ κατὰ τοὺς πολλούς ἐστι τὰ λεγόμενα, οὔτε ταῖς ἐννοίαις, οὔτε τοῖς λοιποῖς.

Τοιγαροῦν ἔννοιαι μὲν τῆς τοιαύτης δεινότητος αἱ παράδοξοι καὶ βαθεῖαι καὶ βίαιοι καὶ ὅλως αἱ περινενοημέναι. οἷον, οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ Ἀθηναῖοι,[62] τοῦθ' ὃ[63] δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν. καὶ πάλιν[64] ὃ γάρ ἐστι χείριστον ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. καὶ πάλιν, ὃ δὴ καὶ βίαιόν ἐστι διαφερόντως ἐν τῷ περὶ τῆς παραπρεσβείας·[65] οἷον, ἐγὼ δὲ οὐδὲ συμπεπρεσβευκέναι φημί σοι. πρεσβεύειν μέντοι σὲ μὲν πολλὰ καὶ δεινά· ἐμαυτὸν δὲ ὑπὲρ τούτων τὰ βέλτιστα. καὶ πάλιν, τὸ ἐν τῷ περὶ στεφάνου[66] περινενοημένως εἰρημένον· οἷον, οἷς γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις, ἃ διώκει, συκοφαντῶν φανήσεται, καὶ τὰ ἑξῆς. οἷον. οὐκοῦν ἃ μὲν ἐπέδωκα ταῦτά ἐστιν, ὧν οὐδὲν σὺ γέγραψαι. ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων μοι γενέσθαι, ταῦτ' ἔσθ'[67] ἃ διώκεις. καὶ τὸ ἐνθύμημα δὲ τοιοῦτον τὸ ἐφεξῆς. οἷον, τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτῳ ἀποδοῦναι παρανόμων γράφῃ; πάνυ γὰρ περινενοημένως διόλου ἐνταῦθα τῷ λόγῳ κέχρηται. ἐπειδὴ οὐκ ἠτιάσω, φησὶ, τὸ ἐπιδοῦναι, ὁμολογεῖς καὶ τὸ ἐπ' αὐτῷ τι ἀντιλαβεῖν[68] ἔννομον εἶναι. εἰ γὰρ μὴ ἐκεῖνο παράνομον, οὐδὲ τοῦτο. ἀλλ' ἡ μὲν ἔννοια τοιαύτη. οὐ μὴν οὔτε ἡ[69] μέθο-

61 Mon. αἰσθέσθαι. 62 Port. ὦ ἄνδρες Ἀθ. — Ol. I. p. 10. 63 Port. ὅπερ. Ios. Rhacend. τοῦτο, ὅ. 64 Phil. I. p. 40. 65 p. 400. 66 Port. τοῦ στεφ. — pro cor. p. 266. 267. 67 Vind. ἔσται. 68 Mon. λαβεῖν. 69 ἡ Ald. Mon. Vind. om., est in Port.

δος, οὔτε ἡ ἐξαγγελία [70] δοκεῖ πως φαίνεσθαι δεινὴ, εἰ καὶ ἔστι τοιαύτη ἑκατέρα, ἀληθινὴ [71] δὲ μᾶλλον καὶ ἠθικὴ μετὰ κάλλους καὶ σφοδρότητος φαίνεται. δῆλον δὲ τοῦτο καὶ ἐκ [72] τῶν ἐφεξῆς εἰρημένων ἐστὶν, ὅτι σφοδρὰ [73] ταῦτα καὶ ἠθικὰ ἦν, ἐν δέοντι δὲ οὕτως εἰσήχθη. οὐκοῦν ἔννοιαι μὲν αὗται καὶ αἱ τοιαῦται λόγου τοῦ καὶ ὄντος [74] ἀληθῶς δεινοῦ καὶ δοκοῦντος εἶναι. καὶ ἔτι πρὸς ταύταις αἱ τὸ μέγεθος ποιοῦσαι σχεδὸν ἅπασαι, οἷον, ἀκμὴ, σεμνότης, αἱ λοιπαί.

Μέθοδοί τε [75] ὡσαύτως ὁπόσαι τε ἐοίκασι ταῖς προειρημέναις ἐννοίαις, λέγω ταῖς περινενοημέναις καὶ βαθείαις, καὶ ἔτι πᾶσαι αἱ ἴδιαι [76] τῶν τὸ μέγεθος ποιουσῶν ἰδεῶν. ὅθεν καὶ νομίζουσιν οἱ πολλοὶ ταῦτ' εἶναι μόνον δεινότητα. [77] καὶ γὰρ καὶ ἡ λέξις τούτων τῶν ἰδεῶν ἁρμόττει τῇ οὔσῃ καὶ φαινομένῃ δεινότητι. αἱ γὰρ σεμναὶ καὶ τραχεῖαι καὶ σφοδραὶ καὶ ὅλως αἱ τετραμμέναι δειναί τέ εἰσιν ὡς ὄντως δι' ἐνάργειαν, ὅτε τι πρᾶγμα δι' ἐναργείας σημαίνοιεν εἰς δέον παραλαμβανόμεναι, καὶ φαίνονται τοιαῦται διὰ τὸ αὐτό.

Σχήματα δὲ καὶ συνθήκη τά τε λοιπὰ ἐφεξῆς ἅπαντα, οὐχ ὅσα δὴ πασῶν ἦν τῶν ποιουσῶν τὸ μέγεθος ἰδεῶν, ταῦτά ἐστι καὶ τῆς δεινότητος, ἀλλ' ἅπερ τῆς σεμνότητος ἦν καὶ ἀκμῆς, λαμπρότητός τε καὶ περιβολῆς· μάλιστα δὲ τῆς ἰδέας ταύτης καὶ τὸ κατὰ συστροφὴν σχῆμα οἰκεῖον. δυνάμει γὰρ μεγάλῃ φύσει τε κέχρηται καὶ φαίνεται χρώμενον. οἷον, ὁ γὰρ Μεσσήνην [78] Λα-

---

70 Ald. Port. ἐξαγγελλία. Med. LVII. 5. ad marg. Siciliotae: ἐξαγγελίαν τὴν φράσιν λέγει, αὕτη γὰρ τοῦ κάλλους ἐστί. τετράκωλος γάρ ἐστιν ἐν αὐτῇ περιοδος· διὰ δὲ τὴν ἀποστροφὴν ἐστι τῆς σφοδρότητος. 71 Vind. ἀλιθινή. 72 Mon. Vind. κἀκ. 73 Ald. σφόδρα. Port. marg. Vict. Mon. Vind. σφοδρά. 74 Ald. Port. ὄντως. Mon. Vind. ὄντος. 75 Vind. δέ. 76 Vind. ἴδιαι om. 77 Vind. δεινότητος καὶ γὰρ ἡ λέξις ἡ τούτων. 78

κεδαιμονίοις ἀφιέναι κελεύων, πῶς ἂν [79] Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοοις παραδοὺς τῷ [80] δίκαια νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο; καὶ πάλιν, [81] ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, καὶ τὰ ἑξῆς. καὶ τὸ, [82] εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, καὶ τὰ τοιαῦτα. [83] ἀλλ' ὁ μὲν καὶ ὢν καὶ δοκῶν εἶναι [84] δεινὸς λόγος οὕτω γίνεται. Τοῖ δ' αὖ μὴ δοκοῦντος μὲν εἶναι δεινοῦ, ὄντος δὲ ὡς ἀληθῶς τοιούτου, παραδείγματά εἰσι σχεδὸν ἅπαντες οἱ ἰδιωτικοὶ τοῦ Δημοσθένους λόγοι, καὶ τῶν δημοσίων δὲ οὐκ [85] ὀλίγα μέρη. τά γε μὴν τοῦ Λυσίου θαῤῥῶν ἴσως εἴποι τις ἂν ὅτι πάντα. γίνεται δὲ κατ' ἔννοιαν μὲν οὐδαμῶς, ἐν δὲ τῇ μεθόδῳ, καθάπερ ἔφθην [86] εἰπὼν, τὴν πλείστην; μᾶλλον δὲ τὴν πᾶσαν ἔχει δύναμιν ἡ τοιαύτη δεινότης· καὶ τοῦτο δῆλον ἐξ αὐτῶν τῶν παραδειγμάτων. τὸ γὰρ σφόδρα ἠθικαῖς καὶ ἀνειμέναις καὶ [87] ταῖς ἐννοίαις καὶ τῇ λέξει καὶ πᾶσι τοῖς ἑπομένοις τῇ λέξει, οἷον σχήμασι, κώλοις, συνθήκαις, ἀναπαύσεσι, ῥυθμοῖς, τὸ πᾶσι δὴ τούτοις ἠθικῶς καὶ ἀφελῶς [88] καὶ ἀνειμένως δοκοῦντα λέγειν ὑπορύττει [89] που, καὶ κατασκευάζει ἃ βούλεταί τις μᾶλλον, ἢ εἰ μὴ ἀνειμένως μηδ' [90] ἀφελῶς ἐδόκει λέγειν· καὶ τοῦτο καὶ ἐν προοιμίοις καὶ ἐν καταστάσεσι καὶ ἐν τοῖς ἄλλοις ἅπασι ποιεῖν σφόδρα οἶμαι δεινοῦ λόγου, οὐ μὴν δοκοῦντός γε εἶναι τοιούτου. [91]

---

Edd. Codd. *Μεσήνην*. — Phil. II. p. 69. 79 ἄν Ald. Mon. om., est in Port. Vind. 80 Ald. Mon. *τά*. Port. Vind. *τῷ*. 81 Phil. III. p. 115. 82 Ol. I. p. 11. 83 Vind. *τὰ ἑξῆς*. 84 *εἶναι δεινὸς* Vind. om. 85 Port. *οὐχ*. 86 Ald. *ἔφην*. Port. Mon. Vind. *ἔφθην*. vide epist. crit. p. 40. 87 Vind. *καὶ* om. 88 *καὶ ἀφελῶς* Mon. om. 89 Ald. Mon. Vind. *ὑπορύττειν που* [Vind. *πως*] *καὶ κατασκευάζειν*. correxit Portus. 90 Vind. *μηδέ*. 91 Vind. *εἶναι δεινοῦ, τοιοῦτον δ' αὖ*.

τοῦτο δ' αὖ καὶ τῆς [92] ὄντως δεινότητός ἐστι, τὸ δοκεῖν ἀφελῆ τινα, καὶ ἁπλοϊκὸν παρέχεσθαι λόγον, καὶ αὐτόν πως εἶναι δοκεῖν τοιοῦτον, πᾶν τοὐναντίον ὄντα τε καὶ ποιοῦντα κατὰ τὸν λόγον. οὐ μὴν διαρμά τι [93] οὐδὲ ἀξίωμα δύναιτ' ἂν ἔχειν ὁ τοιοῦτος λόγος, οὐδὲ τοῖς ὅλοις εἶναι δεινὸς, εἰ δι' ὅλου τοιοῦτον [94] ἐργάζοιτό τις αὐτὸν τὸν τρόπον· ἐπεὶ καὶ βίας πολλάκις καὶ βαθύτητος δεῖ καὶ μεγέθους τινὸς, οἷς ὁ μὲν ῥήτωρ χρῆται, κἀνταῦθα λέγω καὶ ἐν ἰδιωτικοῖς. Λυσίας δὲ καὶ οἱ κατὰ Λυσίαν ἧττον, ἵν' [95] ἀσφαλῶς ἀποφαίνηταί τις. ἐπεὶ τάχ' ἂν περὶ τούτων εἰ δεῖ λέγειν, ἢ βραχέα ἢ οὐδ' [96] ὅλως τούτοις ἐκεῖνοί γε χρησάμενοι φαίνονται, δύο μὲν δὴ [97] ταῦτα δεινότητος εἴδη. Φαίνεται δὲ λόγος δεινὸς, 136 οὐκ ὢν τοιοῦτος, ᾧ δὴ καὶ τρίτον ἔφην [98] δεινότητος εἶδος εἶναι, ὁ τῶν σοφιστῶν, λέγω τῶν περὶ Πῶλον καὶ Γοργίαν καὶ Μένωνα καὶ τῶν καθ' ἡμᾶς [99] οὐκ ὀλίγων, ἵνα μὴ [1] πάντων λέγω. γίνεται γὰρ τὸ πλεῖστον περὶ τὴν λέξιν, ὅταν τραχείας καὶ σφοδρᾶς [2] τις ἢ καὶ σεμνὰς συμφορήσας λέξεις, [3] εἶτ' ἐξαγγέλλῃ ταύταις ἐννοίας ἐπιπολαίους καὶ κοινὰς [4] καὶ μάλιστα εἰ καὶ σχήμασι χρῷ-

92 post τῆς in Mon. inseritur ὡς. Vind. τὸ τῆς ὄντως. 93 Vind. Mon. διαρμά γε οὐδὲ ἀξίωμά τι. Ald. διαρμά τι οὐδὲ ἀξίωμά τι. Port. posterius τι om. 94 Vind. τοῦτον. tum Ald. ἐργάζειτο. 95 Vind. ἵνα. tum Par. ad ἀποφαίνεταί τις habet ad marg. γρ. ἀποφήνομαι. 96 Ald. Mon. Vind. οὐδέ. Port. οὐδ'. 97 Vind. δὴ καί. 98 Vind. ἔφην εἶναι δεινότ. 99 Vind. ἡμᾶς δέ. 1 Mon. ἵνα μὴ λέγω πάντας. 2 Vind. τραχ. καὶ σεμνάς τις ἢ καὶ σφοδράς. 3 λέξεις Ald. Vind. om., est in Port. Mon, — tum Vind. εἶτα. 4 Ald. Port. Vind. κενάς. Mon. Par. κοινάς. Sch. in Par. καινοπρεπεῖς εἰ καινὰς γράψεις, ὡς τάφοι πετόμενοι ἐπὶ γυπῶν εἴ τις λέγοι. Sicel. p. 458. καινάς. διχῶς φέρεται ἡ γραφή. ἀλλ' εἰ μὲν καινὰς εἴη, δηλοῖ τὰς καινοπρεπεῖς καὶ καινευρέτους. εἰ δὲ κοινὰς, τὰς πᾶσι κοινάς, τὰς πᾶσι ληπτὰς καὶ προχείρους.

το, κώλοις τε καὶ τοῖς ἄλλοις πᾶσιν [5] ἤ τισι κεκαλλωπισμένοις, ἀκμαίοις τε καὶ σεμνοῖς. καὶ μὴν καὶ τὸ πρὸ τῶν ἀποδείξεων λοιδορίαις ἢ σφοδρότησιν εἰκῆ κεχρῆσθαι, [6] ἢ ἔνθα ὅλως μηδενὸς τοιούτου δεῖ, καθάπερ εἴωθεν Ἀριστογείτων ποιεῖν, φαινομένη τίς ἐστιν, οἱ μὴν οὖσα δεινότης. ὑπόκενον γὰρ καὶ ψυχρὸν μᾶλλον τὸ τοιοῦτον. ἐπεὶ κἂν ἐννοίαις χρήσηταί [7] τις ἢ καὶ μεθόδοις ἐχούσαις μέγεθος, οἷον σεμναῖς ἢ σφοδραῖς ἢ τραχείαις ἢ λαμπραῖς ἢ ἀκμαίαις ἢ καὶ ταῖς περιβαλλούσαις τὸν λόγον, μὴ κατὰ καιρὸν δὲ ποιῇ τοῦτο, μηδὲ ἔνθα δεῖ, φανεῖται μὲν δεινός, οὐ μὴν ὡς ἀληθῶς γε ἔσται [8] τοιοῦτος. τὸ μὲν οὖν δὴ τῇ λέξει χρῆσθαι μεγάλῃ ποτὲ ἐπὶ σμικρᾶς [9] τινος καὶ λιτῆς [10] ἐννοίας, χρήσιμον εἶναι, καὶ μὴ μόνον τῇ λέξει, ἀλλὰ καὶ τοῖς ἑπομένοις αὐτῇ, συγχωρῶ. ἐπειδὴ καὶ [11] Ἰσοκράτης φησὶ ῥήτορος εἶναι τὸ τὰ σμικρὰ μεγάλως εἰπεῖν δύνασθαι, καὶ τὰ μεγάλα σμικρῶς, οὐ μὴν ἁπλῶς ἐστι χρήσιμον, ὥσπερ σχεδὸν οὐδὲ ἄλλο οὐδὲν [12] εἶδος λόγου, ἀλλ' ὅτε εἰς δέον παραλαμβάνοιτο. ἔστι δὲ τοῦτο μεγάλης καὶ [13] τελεωτάτης ἐπιστήμης οἶμαι, τὸ χρῆσθαι τοῖς καιροῖς εἰδέναι τε καὶ δύνασθαι. ἡ γὰρ ὡς ὄντως [14] δεινότης αὕτη ἐστὶ, καθάπερ ἔλεγον εὐθὺς ἐν ἀρχῇ τοῦ περὶ δεινό-

---

5 Vind. ἅπασιν. 6 Mon. Vind. χρῆσθαι. 7 Ald. χρήσητο. Vind. χρήσαιτο. Port. Mon. χρήσηται. 8 Vind. ἐστί. 9 Vind. μικρῶς. 10 Ald. λοιτῆς. 11 Vind. καὶ ὁ Ἰσ. — Vict. laudat Plut. vita Isocr. [T. XII. p. 242. Hutten.] πάλιν δ' ἐρομένου τινὸς αὐτὸν, τί ῥητορικὴ, εἶπε· τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ ποιεῖν. Idem apophthegma plenius servavit Planudes T. V. p. 455, v. 10, Io. Sicel. T. VI. p. 132. v. 17. p. 133. v. 13. 12 οὐδὲν Vind. om. 13 Vind. καὶ τῆς. 14 Ald. Vind. οὕτως. Port. Mon. marg. Vict. et Spengel. συναγ. τεχν. p. 81. ὄντως. Mon. ὡς om. Ad rem cfr. Isocr. contr. soph. p. 351. Bekk.

τητος λόγου, τὸ τοῖς εἴδεσιν ἅπασι τοῦ λόγου καὶ πάσαις ἐννοίαις εἰδέναι, πότε δεῖ, καὶ ποῦ, καὶ πρὸς ὅν τινα, καὶ πῶς, καὶ ἐφ' οἷς χρῆσθαι. καὶ μὴ μόνον εἰδέναι, ἀλλὰ καὶ δύνασθαι. τοῦτο δὲ ἰδίας ἐστὶ πραγματείας ἑπομένης μὲν τῷ περὶ [15] ἰδεῶν λόγῳ, καθάπερ ὁ περὶ τῶν ἰδεῶν τῷ περὶ εὑρέσεως, χωρὶς δὲ ταττομένης καὶ καθ' ἑαυτήν. ἀγαπητὸν γὰρ, εἰ καὶ μὴ πάρεργον ἑτέρας τις τὸ τοιοῦτον πραγματείας ποιησάμενος, μηδὲ ἐν προσθήκης ἀποδοὺς μέρει, καθάπερ νῦν ἂν γένοιτο, ἰδίαν δὲ ἀποδοὺς σπουδὴν ἣν προσήκει τῷ τοιούτῳ, μὴ πάντη σφαλείη τοῦ λόγου τοῦ περὶ αὐτῆς. ἐπεὶ καὶ ὅσα τὸν περὶ τῶν ἰδεῶν γράφοντες λόγον τοῦτον αὐτὸν [16] ἐν ἐνίαις αὐτῶν ἐνεπηγγειλάμεθα ἐν τῷ περὶ δεινότητος ἐρεῖν, ταύτης ἐστὶ τῆς πραγματείας. καὶ ὁποῖόν γε τοῦτο καὶ ὁπόσον ἔργον, [17] ὁ πειραθεὶς γνώσεται. σχεδὸν γὰρ οὐδὲ ἀνθρωπίνης ἐστὶ δυνάμεως, θείας δέ τινος ἰσχύος, τέχνῃ πάντα ὑπολαβεῖν [18] ταῦτα, καιρούς, πρόσωπα, τόπους, αἰτίας, τρόπους, τἄλλα [19] ὅσα τοιαῦτα· καὶ δεῖξαι περὶ πάντων μὲν προβλημάτων, πάντων δ' [20] αὖ τῶν ἐν τοιούτοις εἰδῶν [21] καὶ τρόπων, πάντων δ' αὖ τῶν κατὰ μέρος νοημάτων, εἴτ' οὖν εἴη προκαταρκτικὰ [22] εἴτε πιστωτικά τε καὶ συστατικὰ, εἴτε ἀντιθέσεων λυτικὰ, εἴτε ἐπιλογικὰ πασῶν τε ἰδεῶν λόγου· ποῖον μέντοι προσήκει τὸ ὅλον εἶδος εἶναι τοῦ λόγου κατὰ τόδε τὸ ζήτημα, ἐπὶ τῶνδε τῶν ἀνδρῶν, κατὰ τοῦδε τοῦ προσώπου λεγόντων, κατὰ τόνδε τὸν καιρὸν, ποῖα δὲ αὖ [23] τὰ

---

15 Vind. περὶ τῶν ἰδ. 16 αὐτὸν ἐν in Par. supra lin. scribitur. 17 ἔργον Vind. om. 18 Vind. ὑποβαλεῖν. 19 Vind. τὰ ἄλλα. 20 δ' Ald. Mon. om., est in Port. Vind. 21 Med. LVII. 5. ad marg. εἴδη λέγει τὸ δικανικὸν, τὸ πανηγυρικὸν, τὸ συμβουλευτικόν. τρόπους δὲ τὸ ἔνδοξον, τὸ ἄδοξον καὶ τὸ ἀμφίδοξον. 22 In Med. supra lin. scriptum: προοιμιαστικά. 23 Ald. Port. Mon. ποῖα δὲ αὐτῶν τὰ κατὰ μ. Vind. ποῖα δὲ

κατὰ μέρος νοήματα. καὶ τίνα μὲν εἰπεῖν τῶν εὑρεθέντων, τίνα δὲ ἄῤῥητα ἐᾷν [24] ἐνταῦθα βέλτιον· (ἑτέρωθι γὰρ, ἂν οὕτω τύχῃ καὶ τοὐναντίον ἔσται) καὶ τίς τοῖς κριθεῖσι [25] ῥηθῆναι τάξις ἀρίστη νῦν, καὶ ἐπὶ τῶνδε· (πάλιν γὰρ καὶ τοῦτο ἐφ' ἑτέρων, καὶ κατ' ἄλλον καιρὸν τάχα ἴσως ἑτέρως ἔσται,) καὶ πῶς μὲν τοῦτο, πῶς δ' ἐκεῖνο εἰσακτέον· καὶ τίσι μὲν πλεονάσαι τῶν ἐννοιῶν καὶ τίνα τρόπον βέλτιον, τίνων δὲ τὴν ταχίστην ἀπαλλάττεσθαι, καὶ δι' ἐλαχίστου πως αὐτῶν ἐπιμνησθέντα· ταῦτα δὴ [26] πάντα καὶ τὰ τοιαῦτα τέχνῃ διαλαβεῖν, καὶ ταῦτα μὴ διὰ σφόδρα μακρῶν, θεῖον οἶμαί τι πρᾶγμά ἐστι, καὶ οὐκ ἀνθρωπίνης δυνάμεως. οὐ μὴν ἀλλ' ὅσον γε ἀνθρώπου φύσις ἐξαρκεῖν τοῖς τοιούτοις ἱκανὴ, καὶ ἡμᾶς ἐξαρκέσειν οἴομαι, καὶ διαλήψεσθαί γε περὶ τούτων ἁπάντων ἐν τῷ περὶ μεθόδου δεινότητος ἱκανῶς, εὐθὺς μετὰ ταῦτα. πρότερον δὲ εἰπεῖν ἀνάγκη περί τε πολιτικοῦ λόγου καὶ τῶν κατ' ἄνδρα εὐδοκιμούντων ἐπὶ λόγοις, οὐχ ἁπάντων, ἀλλὰ τῶν γε κρατίστων, καὶ ἀφ' ὧν οὐ χαλεπὸν ἂν γένοιτο τοῖς τε τὰ προειρημένα πάντα καὶ τὰς γενικὰς ἰδέας ἐπεγνωκόσι τοῦ λόγου, καὶ περὶ τῶν 137
ἄλλων ἑκάστου γινώσκειν ἃ δεῖ, καὶ νέων ἤδη καὶ παλαιῶν. ἀλλὰ λεκτέον γε ἤδη περὶ τοῦ λόγου τοῦ πολιτικοῦ.

---

αὐτὰ των κατὰ μ. Med. ὁποῖα δὲ αὖ τὰ κατὰ μ. ad marg. γρ. ὁποῖα δ' αὖ τῶν τὰ κατὰ μέρος νοήματα. Κατὰ μέρος οἶμαι νοήματα λέγειν καὶ τὰ ἑνὸς ἑκάστου κεφάλαια ἀποδεικτικὰ καὶ συστατικὰ ἐπιχειρήματα, λέγω ἐργασίας, ἐνθυμήματα καὶ τὰ καλούμενα πλαστά. 24 Ald. ἐάν. 25 Med. ad marg. τοῖς ἐκλεγεῖσι δικασταῖς ἢ ἀκροαταῖς ἢ βουλευταῖς. 26 Ald. Mon. δὴ γάρ. Port. Vind. γὰρ om.

## Cap. X.

### ΠΕΡΙ ΤΟΥ[1] ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ.

Ὁ πολιτικὸς τοίνυν καλούμενος λόγος γίνεται μὲν διὰ πασῶν τῶν προειρημένων ἰδεῶν, οὐ μὴν ἁπλῶς γε, κραθεισῶν[2] δέ πως πρὸς ἀλλήλας, ὡς ἐλέγομεν. καὶ ὁ μὲν τῇ ἀρίστῃ μίξει χρησάμενος τούτων τὸν ἄριστον δηλαδὴ[3] τῶν πολιτικῶν λόγων ἐργάσεται· ὁ δὲ μετ' ἐκεῖνον, τὸν κατὰ δεύτερον λόγον γινόμενον τῶν πολιτικῶν ἄριστον· ὁ δὲ καὶ μετὰ τοῦτον, τὸν κατὰ τρίτον δηλαδὴ λόγον τοιοῦτον. καὶ περὶ τῶν ἄλλων δὲ ὡσαύτως εἰρήσθω. τίς δὲ[4] ἡ ἀρίστη μίξις αὐτῶν, καὶ τίς ὁ κράτιστος τῶν λόγων τῶν πολιτικῶν, ὅτι μὲν ὁ Δημοσθενικὸς, οὐδεὶς ἀμφιβάλλει δήπουθεν· οὐ μὴν ἁπλῶς γε ἡμῖν περὶ Δημοσθένους νῦν πρόκειται λέγειν, ἀλλὰ περὶ τοῦ καλλίστου τῶν πολιτικῶν, ἵνα ἀπὸ τούτου καὶ περὶ τῶν ἄλλων τῶν κατ' ἄνδρα εὐδοκιμούντων ἐπὶ τοῖς πολιτικοῖς λόγοις χαρακτηρίζειν ἡμῖν μὴ ᾖ χαλεπόν. συμβαίνει γε μὴν ἀναγκαίως περὶ τούτου λέγουσι, καὶ περὶ Δημοσθένους λέγειν δοκεῖν· ἐπεὶ καὶ ἀντιστρέφει.[5] ἄριστός τε γὰρ πολιτικῶν λόγων ὁ Δημοσθενικὸς, ὅ τε αὖ[6] Δημοσθενικὸς λόγος τῶν πολιτικῶν ἄριστος. φημὶ τοίνυν δεῖν ἐν τῷ τοιούτῳ λόγῳ πλεονάζειν μὲν ἀεὶ τόν τε τὴν σαφήνειαν ποιοῦντα τύπον, καὶ τὸν ἠθικόν τε καὶ ἀληθῆ, καὶ μετὰ τούτους τὸν γοργόν. τῶν δ' αὖ τὸ μέγεθος ποιουσῶν ἰδεῶν τὴν μὲν περιβολὴν διόλου πλεονάζειν, καὶ οὐχ ἧττόν γε ἢ τὸν καθαρότητά τε καὶ εὐκρίνειαν. τὴν μέντοι τραχύτητά τε[7] καὶ σφοδρότητα παρισοῦσθαι μέν πως τοῖς εἰρημένοις, κατὰ δεύτερον δὲ καὶ τρίτον λόγον.

---

1 Vind. τοῦ. om. 2 Mon. συγκραθεισῶν. 3 Vind. δή. 4 Vind. τίς δὲ ἡ ἀρίστη. Ald. Port. Mon. ἥτις δὲ ἀρίστη. 5 Vind. ἀναστρέφει. 6 αὖ Vind. om. 7 τε Mon. Vind. om.

ἀκμὴ δὲ καὶ σεμνότης ἀπ' αὐτῶν, καὶ ἔτι λαμπρότης εἶναι μὲν ὀφείλει, οὐ μὴν οὕτως, οὐδὲ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον καὶ αἱ προειρημέναι τῶν ἰδεῶν, ἀλλ' ἐπ' ἔλαττον· ὅπου γε τὴν σεμνότητα καὶ διακόπτειν ἐν τῷ πολιτικῷ χρὴ λόγῳ, καὶ καθαιρεῖν[8] ἀπὸ τοῦ μεγέθους. οἷον,[9] ἅπας ὁ τῶν ἀνθρώπων βίος, κἂν μεγάλην πόλιν οἰκῶσι, κἂν μικράν, φύσει καὶ νόμοις διοικεῖται. παρεντεθὲν γὰρ τὸ, κἂν μεγάλην πόλιν οἰκῶσι, κἂν μικράν, καὶ διακόψαν τὸν λόγον, καθεῖλεν ἀπὸ τοῦ μεγέθους, καὶ ἧττον ἐποίησε φανῆναι σεμνόν.[10] ἤδη δέ που καὶ ἡ λαμπρότης ταὐτὸ πέπονθε τοῦτο, ὡς καὶ παρὰ τῷ Δημοσθένει. οἷον,[11] αἵτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. εἶτα πρὶν ἐπαγαγεῖν, ὃ σφόδρα ἂν ἐποίησεν αὐτῷ[12] τὸν λόγον λαμπρὸν καὶ σοφιστικὸν, λέγω τὸ, τοῦτο τὸ ψήφισμα τὸν τότε ἐπιστάντα τῇ πόλει κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος, διέκοψε καὶ ἧττον ἐποίησεν αὐτὸν φανῆναι λαμπρὸν, παρενθεὶς τὸ, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. μεγέθους μὲν οὖν μέχρι τοσούτου καὶ τοῦτον τὸν τρόπον προσεῖναι δεῖ τῷ λόγῳ τῷ ἀρίστῳ τῶν πολιτικῶν. δεινότητος δὲ τῆς μὲν καὶ[13] σύσης καὶ φαινομένης ὡς ἐλάχιστον, τῆς δὲ ἐν μεθόδῳ κειμένης πάμπολυ. περὶ ταύτης δὲ ἔφην ἰδίᾳ πραγματεύσασθαι. τῆς δὲ φαινομένης μόνον[14] δεινότητος, οὐδὲν, πλὴν εἰ τὰ λαμπρὰ καὶ ἀκμαῖα εἰς τοῦτο ἀναφέροι[15] τις. τούτων δὲ ὁπόσον[16] δεῖ μετεῖναι τῷ πολιτικῷ λόγῳ, προείρηται.

---

8 Vind. καθαρεῖν. 9 c. Aristog. p. 774. 10 Vind. σεμνὸν φανῆναι. mox id. ταὐτὸν πέπ. 11 pro cor. p. 291. 12 Vind. αὐτῷ om. 13 καὶ Mon. om. 14 Ald. Mon. μέν. Port. Vind. μόνον. 15 Ald. ἀναφέρει. Port. Mon. Vind. ἀναφέροι. 16 Ald. Mon. Vind. ὁπόσων. Port. ὁπόσον. tum Ald.

κάλλος δὲ, ὅπερ ἔφαμεν εἶναι καθάπερ[17] κομμωτικὸν, διόλου μὲν ἔχειν ὁ πολιτικὸς ὀφείλει, ἧττον δὲ ἐμφαινόμενον, οἷόν ἐστι καὶ παρὰ Δημοσθένει, καθάπερ ἐδείξαμεν ἐν τῷ περὶ κάλλους. ἔνθα μέντοι λογισμῶν δεῖ καὶ λεπτότητος, ἐνταῦθα καὶ πλεονάζειν[18] προσήκει τοῖς τοῦ κάλλους ῥυθμοῖς καὶ ταῖς συνθήκαις καὶ ἀναπαύσεσιν· αἱ γὰρ ἐπιμέλειαι τῆς λέξεως ταῖς πυκνότησι τῶν ἐννοιῶν ἐπιτήδειοι. καὶ τὸ καθαρὸν αὖ τὸ[19] τῆς συνθήκης τε καὶ ἀναπαύσεως ἀφαιρεῖται τῶν τοιούτων νοη-
138 μάτων ἢ καὶ ζητημάτων τὸ ἄγαν αὐστηρὸν, χάριν τινὰ
10 προσβάλλον ἀφ' ἑαυτοῦ καὶ διεγεῖρον τὸν ἀκροατὴν, καὶ οὐκ ἐῶν ἄχθεσθαι τῇ πυκνότητι τῶν νοημάτων καὶ τῇ συνεχείᾳ. τοιαῦτα γὰρ τὰ ἐν τοῖς λογισμοῖς κείμενα καὶ δυνάμεως λόγου δεόμενα. ἐπεὶ γάρ ἐστιν ἡ τοῦ λόγου δύ-
15 ναμις, τὸ τὰ πολλὰ ἢ τὰ δυσχερῆ καὶ σκολιὰ τῶν νοημάτων, ἢ τὸ συναμφότερον δι' ἐλαχίστων σαφῶς εἰπεῖν ἄνευ τοῦ προσπεσεῖν εἴς τινα κακίαν λόγου, οἷον,[20] εὐτέλειαν ἢ σκληρότητα, δεῖ τινος κάλλους τῇ βραχύτητι, ὃ δὴ ποιεῖ ἡ[21] ἐπιμέλεια.

20 Πρὸς δὲ τούτοις μάχεταί πως τῷ εὐτελεῖ τὸ ἐπιμελὲς καὶ μὴ διερῥιμμένον.[22] ὥστε, εἰ καὶ συμβαίνει διὰ λεπτότητα νοημάτων, (ὃ δὴ πολλάκις πέφυκεν ἐν τοῖς τοιούτοις γίνεσθαι) καταφέρεσθαι τὸν λόγον εἰς εὐτέλειαν, ὀρθώσειας ἂν οὕτως αὐτὸν τοῖς τοῦ κάλλους σχήμασι καὶ
25 τοῖς ῥυθμοῖς, ταῖς τε συνθήκαις καὶ ταῖς[23] ἀναπαύσεσιν. ἀλλὰ ταυτὶ τὴν ἀκριβῶς ἐν τῷ περὶ μεθόδου δεινότητος ἡμῖν

---

πολικῷ. 17 Vind. καθάπερ τι. In Mon. καθάπερ manu rec. insertum est. 18 Ald. Mon. πλεονάζων. Port. Vind. πλεονάζειν. 19 Ald. Port. αὐτό. Mon. Vind. αὖ τό. 20 Mon. ἤ. 21 ἡ Ald. Port. Mon. om., recepi ex Vind. 22 Ald. Mon. διερῥημένον. Port. διερῥιμένον. Vind. ἐῤῥιμμένον. 23 Mon. ταῖς om.

ἡμῖν λελέξεται, τὸ πότε καὶ πῶς δεῖ πλεονάζειν ἐν τίσι τῶν ἰδεῶν. νυνὶ δὲ ἁπλῶς περὶ πολιτικοῦ λέγομεν [24] λόγου καὶ Δημοσθενικοῦ ἐν τῷ καθόλου, καὶ οὐ περί τινος Δημοσθενικοῦ ἢ πολιτικοῦ. διαφέρει δὲ ἢ [25] καθόλου τι λέγειν ἢ ἐπὶ μέρους. ἐπεὶ καὶ οἱ δημόσιοι λόγοι τοῦ ῥήτορος καὶ οἱ ἰδιωτικοὶ, καὶ πάλιν τῶν δημοσίων ὁ πρὸς Λεπτίνην καὶ ὁ κατ' Αἰσχίνου Δημοσθενικοὶ δήπουθέν εἰσιν ἅπαντες, διαφέρουσι δὲ ἀλλήλων πάμπολυ, τῷ [26] μὴ περὶ ταὐτὸν εἶδος πλεονάσαι· εἰ γὰρ καὶ ἄλλοις τισὶ πολλάκις εἴδεσιν, οἷον τραχύτητι ἢ ἐπιεικείᾳ ἢ ὅλως ἤθει ἤ τινι τῶν λοιπῶν δι' αἰτίας τινὰς [27] ἐπὶ πλεῖον δεῖ χρῆσθαι, ἀλλ' ὅ γε ἁπλῶς Δημοσθενικὸς καὶ πολιτικῶν κάλλιστος λόγος ἐκείνως καὶ δι' ἧς ἐλέγομεν κράσεώς τε καὶ μίξεως γίνεται. πλεονάζοντος μὲν κατ' αὐτὸν [28] τοῦ τύπου τοῦ τὴν σαφήνειαν ποιοῦντος, καὶ τοῦ ἠθικοῦ τε καὶ ἀληθινοῦ, καὶ μετὰ τούτους τοῦ γοργοῦ, τῆς τε περιβολῆς παραπλησίως τούτοις, τραχύτητός τε καὶ σφοδρότητος οὐ παραπλησίως τῇ περιβολῇ, κατὰ δεύτερον δὲ καὶ τρίτον λόγον. σεμνότητος δὲ καὶ λαμπρότητος καὶ ἀκμῆς ἔτι ἐνδεέστερον ἢ κατ' ἐκείνας· δεινότητος δὲ τῆς μὲν ἐν μεθόδῳ μάλιστα, τῆς δὲ ἄλλης ἥκιστα, ἢ ὡς ἐλάχιστα. κάλλους δὲ τοῦ κομμωτικοῦ πλεονάζοντος μὲν ὁμοίως τοῖς πρώτοις, καὶ μάλιστα ὅτε δυνατῶς ἐξαγγεῖλαί τι δέοι, ἀνεμφάτως δὲ καὶ ἧττον ἔχοντος φανερὰν τὴν ἐπιτήδευσιν. διὰ γὰρ τούτων ἁπάντων οὕτω μιγνυμένων ὁ κάλλιστός τε [29] πολιτικὸς καὶ Δημοσθενικὸς γίνεται λόγος. [30] τούτου δὲ τοῦ λόγου τοῦ πο-

---

24 Port. λέγωμεν. 25 ἢ Mon. om. 26 Ald. τό. Port. Mon. Vind. τῷ. 27 Mon. τινός. 28 Ald. Mon. κατὰ ταὐτόν. Port. Vind. κατ' αὐτόν. sq. τοῦ Ald. Mon. Vind. om., est in Port. 29 Port. τε καὶ πολ. 30 Ald. Mon. Par. λόγος om. Par. ad marg. γρ. Δημοσθ. λόγος γίνεται. ita Vind. — Port.

λιτικοῦ ὁ μέν ἐστι συμβουλευτικὸς, ὁ δὲ δικανικὸς, ὁ δὲ πανηγυρικός. καὶ ὁ μὲν συμβουλευτικὸς δῆλον, ὡς ἐν [31] τοῖς μέγεθος ποιοῦσι μᾶλλον πλεονάζει τύποις μετὰ τῆς καὶ [32] οὔσης καὶ φαινομένης [33] δεινότητος. δεῖ γὰρ καὶ φαίνεσθαι τοιοῦτον τὸν [34] συμβουλευτικὸν διὰ τὸ ἀξιωματικὸν ὀφείλειν εἶναι, ἅμα ἔχοντα δηλαδὴ καὶ τὰ ἄλλα πάντα, ἃ τὸν κάλλιστον τῶν πολιτικῶν δεῖν ἔφαμεν ἔχειν λόγον· ἤθους δὲ πλὴν ὅσον ἐπὶ βαρύτητι καὶ τοῦ [35] κατ᾽ εἰρωνείαν σφοδροῦ μετρίως μεθέξει. εἰ δέ τινες τῶν συμβουλευτικῶν, οἷον οἱ φύσει τοῦ ῥήτορος οὕτως ἐπιγραφόμενοι συμβουλευτικοὶ, πολὺ τὸ ἠθικὸν ἔχουσι καὶ τὸ [36] ἐπιεικὲς, οὐ δεῖ θαυμάζειν τὸ εἰρημένον. νυνὶ γὰρ οὐ περὶ τῶν κατὰ μέρος λόγων χαρακτηρίζομεν, ὃ δὴ πολλάκις διεμαρτυράμην, ἀλλὰ περὶ τοῦ καθόλου διαφέροντος εἴδους ἐν λόγῳ συμβουλευτικῷ· ὁποῖόν ἐστι τὸ ἐν Φιλιππικοῖς. ὥστε εἰ προσώπων τις ἰδιώτης, [37] ἤ τι τοιοῦτον ἕτερον ἠνάγκασε κατελθεῖν ἀπὸ τοῦ οἰκείου ἀξιώματος τὸν συμβουλευτικὸν λόγον εἰς τὸ ἠθικώτερον, ὡς ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν ἢ καί τῳ [38] ἄλλῳ, μηδὲν τοῦτο ἐμποδὼν [39] εἶναι νομίζομεν πρὸς τὸ δεῖν τοιοῦτον εἶναι τὸν ἄριστον τῶν συμβουλευτικῶν, ὁποῖον ἐχαρακτηρίζομεν, ἀξιωματικὸν λέγω, καὶ οἷς εἴπομεν πλεονάζοντα, ἐκεῖνος γὰρ οὐκ ἔτ᾽ ἂν ἄριστος εἴη τῶν συμβουλευτικῶν. ὅγε τῇ οἰκείᾳ φύσει διά τι χρήσασθαι ἐμποδισθείς. εἰ δέ τις καὶ τοὺς Φιλιππικοὺς φήσειε, [40] διὰ τὸ τοῦ Φιλίππου πρόσωπον μέγεθος [41] λαβεῖν, ὅτι ἐκεῖνο [42] ἐπιφορὰν ἐνεδέχετο καὶ σφοδρότητα, ἐννοείτω,

139

---

Δημ. γίνεται λόγος. 31 Vind. ἐν om. 32 καὶ Vind. om. 33 Mon. ἐμφαινομένης. 34 Ald. τό. Port. Mon. Vind. τόν. 35 In Mon. ad marg. manu rec. adiectum: καὶ τῷ κατ᾽ εἰρ. σφοδρῷ. 36 τὸ Vind. om. 37 Vind. ἰδιότης. 38 Ald. τῷ. 39 Edd. Codd. ἐμποδῶν. tum Vind. νομίζωμεν. 40 Ald. φήσεις. Port. φήσειε. 41 Ald. μέγεστος. 42 Ald. Port. ἐκεῖ-

ὅσην καὶ χωρὶς ἐκείνου τραχύτητα καὶ ἄλλως ἀκμὴν κατὰ τῶν Ἀθηναίων ἔχουσιν οἱ λόγοι οὗτοι καὶ παῤῥησίαν καὶ μέγεθος· πρὸς ἅπερ συλλαμβάνειν [43] μὲν καὶ τὸ τοῦ Φιλίππου πρόσωπον ἀνάγκη συγχωρεῖν, οὐ μὴν τοσοῦτόν γε ὅσον αὐτὸ τὸ τῆς συμβουλῆς ἴδιον. περὶ δὲ προσώπων καὶ καιρῶν ὁ περὶ μεθόδου δεινότητος ἀκριβέστερον ἐπιδείξει λόγος· ἀλλ' ὁ μὲν κάλλιστος συμβουλευτικῶν, ὅπερ ἔφημεν, λόγων τοιοῦτος.

Ὁ μέντοι δικανικῶν κάλλιστος ἀνάπαλιν ἔχει τούτῳ, εἰ μὴ περὶ δημοσίων εἴη καὶ μεγάλων πραγμάτων, καὶ συμβουλῆς [44] ἐγγύς, ὡς ὁ κατὰ Ἀριστοκράτους ἔχει καὶ ὁ ὑπὲρ τοῦ στεφάνου καὶ ὅσοι τοιοῦτοι. οὗτοι γὰρ σχεδὸν ὡσαύτως τῷ συμβουλευτικῷ τύπῳ χαρακτηρίζονται· [45] τάχα δ' ἂν οὐδ' εἶναι τούτους δικανικοὺς φύσει [46] νομίσειέ τις. ὁ μέντοι μὴ τοιοῦτος, ἀλλ' αὐτὸ τοῦτο δικανικὸς, ὅπερ ἔφην, ἐναντίως ἔχει τῷ προειρημένῳ. ἤθους τε γὰρ καὶ τοῦ κατ' ἐπιείκειαν καὶ ἀφέλειαν πλεῖστον αὐτῷ μετεῖναι δεῖ. βαρύτητος δὲ ἢ τινος τῶν τοιούτων ἥκιστα μετέχει, ἢ ὅτι βραχύτατα. μέγεθος δὲ τὸ μὲν κατὰ τὴν [47] περιβολὴν ἀπὸ ἐννοιῶν δέχεται, οὐ γὰρ ἀπό γε τῆς λέξεως ἢ τῶν περὶ τὴν λέξιν ἢ καὶ τὴν μέθοδον τῆς ἐννοίας, πλὴν ὅσον ἐπ' ἐλάχιστον· τὸ δὲ κατὰ τὰς ἄλλας τοῦ μεγέθους ἰδέας οὐκ ἔτι, [48] πλὴν εἰ μή που τὴν κατ' ἔννοιαν σφοδρότητα, ἢ [49] που καὶ τὴν κατὰ λέξιν, μετὰ σχημάτων τῶν περὶ αὐτήν. τοῖς δὲ λοιποῖς μέρεσι τοῦ πολιτικοῦ χρῆται, καθάπερ καὶ ὁ συμβουλευτικός. καὶ τοιοῦτοί γε οἱ Δημοσθενικοὶ δικανικοὶ, τουτέστιν οἱ ἰδιωτικοί.

---

κος. Mon. Vind. ἐκεῖνο. tum Par. ad marg. γρ. σφοδρότητα καὶ ἄλλως ἀκμὴν, ἐννοείτω. 43 Ald. συλλαμβάνει. 44 Ald. Vind. συμβολῆς. Port. Mon. συμβουλῆς. dixi de hac confusione in ep. crit. p. 30. 45 Mon. χαρακτηρίζεται. 46 Vind. φήσει. 47 τὴν Mon. Vind. om. Tum Port. ὑπὸ ἐνν. 48 Vind. οὐκέτι ἐστί. 49

Ὁ δὲ πανηγυρικῶν λόγων κάλλιστος ἐν λέξει πεζῇ, οὐχ [50] ὡς ἐν ζητήμασι πολιτικοῖς, ἀλλ' αὐτὸ τοῦτο πανηγυρικὸς, ὃς οὐδὲ πολιτικὸς ἴσως ἂν κληθείη, πάντως ἂν [51] εἴη δήπουθεν ὁ Πλατωνικὸς, ὥστε πάλιν, ὃ περὶ τοῦ καλλίστου τῶν πολιτικῶν λόγων λέγοντες ἔφαμεν, τὸν αὐτὸν τῷ Δημοσθενικῷ τοῦτον ἀποφαίνοντες, τοῦτο καὶ νῦν περὶ τοῦ καλλίστου τῶν πανηγυρικῶν λόγων φαίημεν ἄν, τὸν αὐτὸν καὶ τοῦτον εἶναι τῷ Πλατωνικῷ. καὶ γὰρ ἐνταῦθα ὁμοίως ἀναστρέφει, καθάπερ κἀκεῖ. ὅ τε γὰρ κάλλιστος πανηγυρικῶν λόγων ἐστὶν ὁ Πλατωνικὸς, ὅ τε αὖ Πλατωνικὸς λόγος τῶν πανηγυρικῶν ἐστιν ὁ κάλλιστος, ὡς ἐν λέξει πεζῇ· περὶ οὗ λεκτέον. περὶ γὰρ τοῦ πολιτικοῦ πανηγυρικοῦ, [52] περὶ οὗ μετὰ τὸν περὶ συμβουλευτικοῦ καὶ δικανικοῦ λόγον φαίη τις ἂν εἰπεῖν προσήκειν, [53] μικρὸν ὕστερον λέξομεν. οὐ γὰρ ἄλλως ἐγχωρεῖ.

Ὁ τοίνυν κάλλιστος πανηγυρικὸς, καὶ, ὅπερ ἔφαμεν, ὁ [54] Πλατωνικὸς, ταῖς μὲν τὸ μέγεθος ποιούσαις ἰδέαις, πλὴν τραχύτητος καὶ σφοδρότητος, γίνεται πάσαις. διήκειν [55] δέ πως χρὴ διὰ τούτων τὴν ἀφέλειαν, μὴ ἐλαττουμένην αὐτῶν ποσότητος ἕνεκα, πλὴν ὅπου καθαρῶς [56] ἐξαίρειν τὸν λόγον εἰς σεμνότητα δεῖ. αἱ δὲ γλυκύτητες, εἴπερ ἄλλοθί που, καιρὸν ἐνταῦθα ἔχουσι μάλιστα, καὶ αἱ ἐπιμέλειαι αἱ τὸν ἁβρὸν καὶ ὡραῖον ποιοῦσαι λόγον, δεινότης [57] δὲ ἡ μὲν κατὰ μέθοδον, ἥπερ ἥκιστά ἐστι φανερὰ, πάντως ὕπεστι καὶ τῷ πανηγυρικῷ. ἡ δὲ [58] ἄλλη ἐν τούτῳ γε οὐδαμῶς, πλὴν ὅπου τοῦτό γε [59] αὐτὸ ἐνδείξασθαι βούλεται πρόσωπόν τι τῶν παρ' αὐτῷ ποιούντων τὸν λόγον πανηγυρικὸν, ὥσπερ [60] τῷ Πλάτωνι

---

Vind. καὶ εἶπου καὶ τήν. 50 Ald. οὐκ. 51 Vind. δ' ἄν. — v. 5 et 7. τῶν Ald. Codd. om., est in Port. 52 Par. ἐν ἄλλοις οὐκ ἔστι τὸ πανηγυρικοῦ. 53 Vind. προσήκει. 54 ὁ Vind. om. 55 Ald. διήκην. 56 Vind. καθαρός. 57 Ald. δεινότητος δὲ εἰ μέν. emendat Vind. Mon. Port. 58 Vind. ἡ δ' ἄλλη οὐδαμῶς. 59 γε Vind. om. 60 in Mon. manu

πεποίηται ὁ Σωκράτης ἐνδείξασθαι δεινότητα λόγων τῷ Φαίδρῳ βουλόμενος, καθὸ ἀντιπαρατίθησι τὸν αὐτοῦ [61] τῷ Λυσίου. ἤθη δὲ καὶ ἐν ἄλλοις πρὸς ἄλλους κατὰ τὸ μιμητικὸν εἶδος τοῦ πανηγυρικοῦ λόγου φαίνεται τοῦτο πεποιηκώς. γοργός [62] γε μὴν ὡς ἐλάχιστον ἐν πανηγυρικῷ λόγῳ ὁ λόγος εἶναι ὀφείλει· ἀφήγησις γάρ ἐστι σχεδὸν ἅπας. τοῖς δὲ ἄλλοις εἴδεσιν ἢ καὶ [63] μέρεσι τοῦ πολιτικοῦ παραπλησίως χρῆται ὁ πανηγυρικὸς λόγος, καθάπερ ὅ τε συμβουλευτικὸς καὶ ὁ δικανικός. ἐν δὲ τοῖς ἀμοιβαίοις τῶν πανηγυρικῶν, ὃ δὴ καὶ αὐτὸ πολὺ παρὰ [64] τῷ Πλάτωνί ἐστιν, ἤδη καὶ αἱ τραχύτητες καὶ αἱ σφοδρότητες ἔσχον καιρὸν οὐκ ἐλάχιστον, ὥσπερ καὶ τὰ τῆς δεινότητος εἴδη πάντα, καὶ τῶν γε τοῦ Πώλου λόγων ἐν Γοργίᾳ τινὲς τῆς φαινομένης εἰσὶ καὶ οὐκ οὔσης δεινότητος. καὶ οὐ μόνον ταῦτά γε τὰ εἴδη τὰ ἀμοιβαῖα, ἀλλὰ καὶ πάντα εἴδη [65] δέχεται διὰ τὸ μιμητικόν τε καὶ δραματικόν. καὶ οὕτως, ὥστε κεχωρίσθαι πως ἀπ᾽ ἀλλήλων αὐτὰ, καὶ μὴ κεκρᾶσθαι, [66] ἀλλ᾽ ἰδίᾳ μὲν ἔχειν εὑρεῖν ἀφέλειαν, ἰδίᾳ δὲ σεμνότητα, ἰδίᾳ δὲ ἕκαστον τῶν λοιπῶν. ἔστι δ᾽ οὗ καὶ τὸ εὔζωνον καὶ οἷον εὐτελὲς εἶδος τοῦ λόγου. αἱ γὰρ μιμήσεις τῶν προσώπων καὶ τούτῳ χώραν ἤδη [67] δεδώκασι. καὶ ὡς μὲν ἐν λογογραφίᾳ, τοιοῦτον εἶδος εἶναι δεῖ τὸ πανηγυρικὸν, ὡς δὲ ἐν ζητήμασι πολιτικοῖς, ἔνθα τοῦ πολιτικοῦ πανηγυρικοῦ εἴδους δεῖ, περὶ οὗ μικρῷ πρότερον ἐπηγγειλάμην ἐρεῖν· ἔστι γάρ τινα καὶ πολιτικὰ ζητήματα καὶ πανηγυρικά· οἷον, εἰ περὶ τῆς προπομπείας [68] ἀμφισβητοῖεν Ἀθηναῖοι καὶ Λακε-

rec. insertum est: παρὰ τῷ. 61 Ald. Port. Mon. τὸν αὐτοῦ. Vind. τῶν αἰτοῦ. 62 Ald. ὁ γοργός γε. Port. Mon. Vind. ὁ om. Vind. γοργὸς μέν. 63 καὶ Vind. om. 64 Par. παρὰ om. Ad marg. γρ. παρὰ τῷ Πλάτωνι. 65 Mon. ἤδη. 66 Mon. κεκράσθαι. 67 Vind. χώραν ἔχειν δεδ. 68 Vind. πομπείας. — Ald. ἀμφισβητεῖεν.

δαιμόνιοι μετὰ τὰ Μηδικά,[69] ἢ ὅσα τοιαῦτα, ὡς ἐν τοῖς[70] τοιούτοις ζητήμασιν οὐκέθ'[71] ὁμοίως ὁ πανηγυρικὸς, ἀλλὰ πολιτικώτερος γίνεται, ἢ καὶ[72] σχεδὸν δι' ὧνπερ καὶ ὁ συμβουλευτικός· μᾶλλόν γε μὴν ἐνταῦθα ἢ ἐκεῖ ἥ τε λαμπρότης καὶ ἡ σεμνότης πλεονάζειν ὀφείλουσιν. ἐπανιτέον δὲ πάλιν ὅθεν ἐπὶ τοῦτο ἐξέβημεν. ὁ μὲν γὰρ πολιτικὸς πανηγυρικὸς τοιοῦτος. τῶν δὲ κατὰ λογογραφίαν πανηγυρικῶν οὗτος κάλλιστος ὁ Πλατωνικός· καὶ τοῦτον[73] παράδειγμα φαίημεν ἂν ἡμεῖς εἶναι τὸ ἄριστον τοῖς βουλομένοις τε καὶ δυναμένοις πανηγυρικὸν λόγον ἐργάζεσθαι. ὡς δ' ἐν ποιήσει, (πανηγυρικὸν γὰρ πρᾶγμα δήπουθέν ἐστι ποίησις ἅπασα, καὶ πάντων τε λόγων πανηγυρικώτατον) ὡς οὖν ἐν ταύτῃ, καὶ τί τὸ κράτιστον κατὰ ταύτην εἶδος· τοῦτο γὰρ δὴ χαρακτηριστέον ἡμῖν κἀνταῦθα πρῶτον, ὥσπερ καὶ τὰ ἄλλα[74] πάντα τῶν γενικῶν εἰδῶν ἐχαρακτηρίζομεν, ἀπὸ τῶν καλλίστων χαρακτηρίζοντες, οὐχ ὁμοία ἡ διοίκησις,[75] ἀλλὰ προσεῖναι δεῖ πολλὰ καὶ ἄλλα τοῖς περὶ λόγου πανηγυρικοῦ προειρημένοις ἅπασιν, ἃ δὴ καὶ ἴδιά τις ἂν εἶναι φαίη ποιήσεως· περὶ ὧν λεκτέον. ἀνάγκη δὲ πάλιν ταὐτὸν εἰπεῖν,[76] καὶ τὴν αὐτὴν ἀναλογίαν σῶσαι κἀνταῦθα τοῖς ἔμπροσθεν κατὰ τοὺς γεωμέτρας. ὅπερ γὰρ ἦν ὁ Δημοσθένης ἡμῖν κατὰ τὸν πολιτικὸν λόγον ἔν τε τῷ συμβουλευτικῷ καὶ[77] δικανικῷ, καὶ ὁ Πλάτων ἐν τῷ πεζῷ πανηγυρικῷ, τοῦτ' ἂν Ὅμηρος εἴη κατὰ τὴν ποίησιν, ἦν δὴ πανηγυρικὸν λόγον ἐν μέτρῳ λέγων εἶναί τις οὐκ οἶδα[78] εἰ διαμαρτήσεται· ἐπεὶ κἀνταῦθα ὁμοίως ἀναστρέφει τὸ πρᾶγμα, καθάπερ ἀνέστρεφεν ἐπ' ἀμφοῖν

---

μηδικά
69 Vind. πολιτικά. 70 τοῖς Mon. Vind. om. 71 οὐκ ἔσθ'. 72 Ald. Vind. ἢ καί. Port. Mon. ἢ om. 73 Vind. τοῦτο. 74 Vind. τἄλλα. 75 Mon. ἀδίκησις. 76 Vind. προειπεῖν. 77 Vind. καὶ τῷ. 78 Vind. οἶμαι.

κἀκεῖ. ἀρίστη τε γάρ ποιήσεων ἡ Ὁμήρου, καὶ Ὅμηρος ποιητῶν ἄριστος. φαίην δ' ἂν ὅτι καὶ ῥητόρων καὶ λογογράφων, λέγω δ' [79] ἴσως ταὐτόν. ἐπεὶ γάρ ἐστιν ἡ ποίησις μίμησις ἁπάντων, ὁ [80] μετὰ τῆς περὶ τὴν λέξιν κατασκευῆς ἄριστα μιμούμενος καὶ ῥήτορας δημηγοροῦντας καὶ κιθαρῳδοὺς πανηγυρίζοντας, ὥσπερ τὸν Φήμιον καὶ τὸν Δημόδοκον, καὶ τὰ ἄλλα [81] πρόσωπά τε καὶ πάντα πράγματα, οὗτος ἄριστός ἐστι ποιητής· ἐπειδὴ οὖν ταῦθ' οὕτως ἔχει, τάχ' ἂν ταὐτὸν εἰρηκὼς εἴην, εἰπὼν εἶναι ποιητῶν ἄριστον, ὡς [82] εἰ καὶ ῥητόρων ἄριστον καὶ λογογράφων ἔλεγον. στρατηγῶν [83] μὲν γὰρ ἢ τεκτόνων ἢ τῶν τοιούτων ἴσως [84] οὐκ ἄριστος, καίτοι καὶ τὰ τοιαῦτα ἄριστα μιμούμενος· ἀλλ' οὐ λόγος ἐκείνοις ἡ τέχνη, οὐδὲ ἐν λόγοις. οἷς δέ ἐστιν ἐν λόγῳ τὸ ἔργον, οἷον ῥήτορσι λέγω καὶ λογογράφοις, ὁ τούτους ἄριστα μιμούμενος καὶ λέγων, ὥσπερ ἂν ὁ ἐκείνων ἄριστος εἴποι, πάντως ἂν εἴη καὶ αὐτὸς [85] ἐκείνων ἄριστος. ἄριστος οὖν κατὰ πάντα λόγων εἴδη καὶ ποιητῶν ἁπάντων καὶ ῥητόρων καὶ λογογράφων Ὅμηρος. καὶ γὰρ μεγέθη καὶ ἡδονὰς καὶ ἐπιμελείας καὶ δεινότητας καὶ τὸ μέγιστον ποιήσεως, μίμησιν ἐναργῆ καὶ πρέπουσαν τοῖς ὑποκειμένοις κἂν τοῖς κατὰ λέξιν καὶ ταῖς εἰσαγωγαῖς τῶν προσώπων, καὶ μύθων διατυπώσεις καὶ μέτρων διαφόρους τομάς, ἐξ

---

79 Vind. δέ. — Ad rem cfr. Quintil. Inst. Orat. X. 1. Hic enim [sc. Homerus] — omnibus eloquentiae partibus exemplum et ortum dedit. Hunc nemo in magnis sublimitate, in parvis proprietate superaverit. Idem laetus ac pressus, jucundus et gravis, tum copia, tum brevitate mirabilis: nec poëtica modo, sed oratoria virtute eminentissimus. 80 Ald. Port. Mon. ὁ δέ. Vind. δὲ om. 81 Vind. τἄλλα. 82 Vind. ὥσει καὶ ῥητόρων καὶ λογογράφων ἄριστον. 83 Ald. Vind. στρατηγόν. marg. Vict. Port. Mon. στρατηγῶν. 84 Vind. ἴσως om. 85 Vind. αὐτῶν.

141 ὧν καὶ διάφορά πως συμβαίνει γίνεσθαι τὰ μέτρα, καὶ ταῦτα ἐν δέοντι καὶ κατὰ [86] λόγον μεταβαλλόμενα πρὸς τῷ [87] καὶ τὸ [88] φύσει πάντων ἄριστον μέτρον προῃρῆσθαι, καὶ ὅλως [89] τὸ ποικίλον καὶ ἐξ ἁπάντων ἓν ὅτι κάλλιστον ὁ μάλιστα ἐργασάμενος παρὰ πάντας ποιητὰς οὗτός ἐστιν. ἱκανὰ μὲν οὖν καὶ ταῦτα τήν τε ἀρίστην ποίησιν καὶ αὐτὸν Ὅμηρον χαρακτηρίσαι· ἵνα δὲ ἐντελέστερον ᾖ τὸ λεγόμενον, ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν.

Ὁ τοίνυν ὡς ἐν ποιήσει λόγων ἄριστος πανηγυρικῶν γίνεται διά τε τῶν προειρημένων περὶ πανηγυρικοῦ λόγου, πάντων τε ὡσαύτως, καὶ ἔτι διὰ τῶν ἰδίων ποιήσεως παρὰ τὰ προειρημένα οἷς ὁ μὲν δικανικὸς καὶ [90] συμβουλευτικὸς ἥκιστα χρῆται, ἢ ὅτι σπανιώτατα, καὶ [91] οὕτω δὲ οὐχ ἅπασιν, ἀλλά τισιν· ὁ δὲ ἐν [92] τῷ κατα-
15 λογάδην πανηγυρικὸς χρῆται μὲν σχεδὸν [93] ἅπασιν, ἀλλὰ μετά τινος παραμυθίας, καὶ οὐχ ἁπλῶς. ἔστι δὲ ἴδια ποιήσεως παρὰ τὸν ἄλλον λόγον πάντως μέν που καὶ τὰ μέτρα τά τε ὁμολογούμενα καὶ ὑπ' αὐτῆς ψιλῆς τῆς ἀκοῆς κρινόμενα, μάλιστα δὲ ποιήσεως ἴδια αἵ τε μυθικαὶ ἔν-
20 νοιαι πᾶσαι, οἷον τὰ περὶ Κρόνου καὶ Τιτάνων καὶ ἔτι [94] Γιγάντων καὶ Διὸς αὐτοῦ καὶ τῶν ἄλλων θεῶν ἀνθρωποπαθῶς λεγόμενα, ὡς ἐγένετο, καὶ ὅσα ἔπραξαν ἢ πράττουσιν αὐτοί τε πρὸς ἑαυτοὺς καὶ πρὸς ἀνθρώπους, καὶ ἔρωτες αὐτῶν καὶ πόλεμοι καὶ φιλίαι καὶ γοναὶ καὶ τρο-
25 φαὶ καὶ ὅσα τοιαῦτα. πρὸς δὲ τούτοις [95] ὅσα περὶ ἀνθρώπων ἢ τινων ἄλλων ζώων παραδοξολογοῦσιν· οἷον, ὡς Κάδμος δράκων ἐγένετο ἐξ ἀνθρώπου, καὶ ὡς Ἀλ-

86 Vind. μετὰ λόγου. 87 Ald. τό. Port. Mon. Vind. τῷ. 88 Vind. τῇ φύσει, sine τό. 89 Ald. ὅλος. Port. marg. Vict. Mon. Vind. ὅλως. 90 Vind. τε καί. 91 Ald. καὶ οὕτω δὲ οὐκ ἅπασιν. Port. καὶ om. 92 Vind. δ' ἐν. 93 Mon. σχεδὸν om. 94 Vind. ἔτι om. 95 Ald. Mon. Vind. Par. ταύταις. Par. ad marg. πρὸς δὲ τούτοις, ita Port.

κυών ὄρνις, καὶ ὅσα περὶ ἀηδόνων [96] ἢ χελιδόνων λέγουσι. ταύτης δὲ τῆς ἰδέας καὶ τὸ γυναῖκας ἐξ ἀνδρῶν ποιεῖν, ὡς τὸν Τειρεσίαν, καὶ ἄνδρας ἐκ γυναικῶν, ὥσπερ τὸν Καινέα. τοιοῦτον δὲ καὶ τὸ πτερωτοὺς ἀνθρώπους [97] λέγειν, ὡς ἔφυσαν· καὶ ὅλως σύνθετά τινα ζῶα ἢ ἑκτράπελα· οἷον Πήγασοι καὶ Γοργόνες καὶ Κένταυροι καὶ Σειρῆνες καὶ Τρίτωνες [98] καὶ Λαιστρυγόνες καὶ Κύκλωπες καὶ Περσεὺς [99] καὶ ὅσα τοιαῦτα. μυθικὰ δὲ κἀκεῖνα καὶ ποιητικὰ τὰ ὑπερβάλλοντα μὲν ἀνθρώπου φύσιν, ὑπ' ἐκείνων δὲ τερατολογούμενα, ὡς γεγονότα καὶ πιστεύεσθαι ἄξια. οἷον, ὅτι Ἀχιλλεὺς τοσόνδε ἐπήδα, [1] καὶ ὅτι ὁ Αἴας [2] ἢ ὁ Ἕκτωρ τηλικοῦτον ῥᾳδίως ἐρρίπτει λίθον, καὶ ὅτι τηλικοίδε ἦσαν, καὶ ὅλως τὰ τοιουτότροπα ποιητικά. καὶ τὸ τὰ ἄψυχα τοῖς θεοῖς μετ' αἰσθήσεώς τινος ὑπουργεῖν φάσκειν· οἷον,

Αὐτόματοι δὲ πύλαι μύκον οὐρανοῦ. [3]

καὶ τὸ, [4]

Τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν [5] νεοθηλέα ποίην.

καὶ ὅλως τὸ τὰ ἀδύνατα καὶ ἄπιστα τερατεύεσθαι. τὸ μέντοι,

— ἄταλλε [6] δὲ κήτε' ὑπ' αὐτοῦ,

καὶ ὅσα τοιαῦτα, ποιητικὰ μὲν καὶ ἡδέα, ὡς ἐν τῷ περὶ γλυκύτητος ἡμῖν εἴρηται, ἧττον δὲ ἔχει τερατολογίας· πλὴν εἰ τοὺς ἵππους [7] αὐτοῖς ἢ τινα ἄλλα ζῶα φωνὰς ἀνθρωπίνας προΐεσθαι ὡς λίαν μυθικά τις καὶ ποιητικὰ εἶναι λέγοι. [8] Ἀφελὲς δὲ καὶ ποιητικὸν ὁμοῦ καὶ τὸ λεπτῶς εἰς τὰ κατὰ μέρος ἰέναι· οἷον

---

96 Vind. ἀηδόνος καὶ χελιδόνος. 97 Vind. ἀνθρ. τινάς. 98 Ald. Mon. Τρίτονες. Port. Vind. Τρίτωνες. 99 Vind. καὶ Περσεὺς δέ. 1 Il. φ, 246 sqq. 2 Il. μ, 380 sqq. 3 Il. ε, 749. 4 Vind. τὸ om. — Il. ξ, 347. 5 Ald. Port. φύε, omissis νεοθ. ποίην. Mon. Vind. φύεν [Vind. φῦεν] νεοθ. ποίην. 6 Ald. ἄταλε. — Il. ν, 27. 7 Il. τ, 403. 8 Vind.

*Κνίσση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.*[9]
*καὶ ὅτι ὁ δεῖνα τὸν δεῖνα οὑτωσὶ ἀπέκτεινε· καὶ ὅτι κύμβαχος ἐν κονίῃ*[10] *πέσε· καὶ ὅτι ἀσθμαίνων·*[11] *καὶ ὅσα τοιαῦτα. ἐν μὲν γὰρ ποιήσει χρήσιμα, ἐν ἱστορίᾳ δὲ εὐτέλειαν*[12] *ποιεῖ. πλὴν ἔνθα ἂν*[13] *ἀφελῶς τις πάνυ βούλοιτο τὴν*[14] *ἱστορίαν γράφειν. ἀφελὴ γὰρ καὶ ἡδέα ὁμοῦ τὰ κατὰ μέρος. ἴδιαι μὲν οὖν ἔννοιαι ποιήσεως αὗται παρὰ τὰς ἄλλας ἐννοίας τοῦ λόγου τοῦ πανηγυρικοῦ, αἵπερ εἰσὶ καὶ αὗται*[15] *ποιήσεως οἰκεῖαι.*

*Μέθοδος δ'*[16] *αὖ ποιήσεως ἰδία παρὰ τὰς τοῦ πανηγυρικοῦ λόγου μεθόδους μία, τὸ μὴ παρ' ἑαυτῶν*[17] *δοκεῖν λέγειν, ἅττ' ἂν λέγωσι, τὰς Μούσας δὲ παρακαλεῖν ἢ τὸν Ἀπόλλωνα ἤ τινα ἄλλον θεὸν, κἀκείνου ποιεῖν δοκεῖν*[18] *εἶναι τὸν λόγον ἴδιον. πάλιν δ' αὖ ταύτῃ ὁ μὲν συμβουλευτικὸς καὶ δικανικὸς ἥκιστα χρήσεται, ὁ δὲ πανηγυρικὸς μετά τινος παραμυθίας. λέξις γε μὴν*[19] *φανερὰ πᾶσιν, ἥτις ἐστὶν ἡ ποιητικὴ, καὶ ὡς τῶν κατὰ*
142 *ποίησιν καλλίστη λέξεων ἡ Ὁμήρου. καθαρὸς γὰρ ὡς*[20] *ἐν ποιήσει κινδυνεύει μόνος, ἢ σύν γε Ἡσιόδῳ*[21] *κατ' αὐτὴν εἶναι. σχήματα δὲ ἴδια ποιήσεως οὐκ ἔστιν, ὥσπερ ἦν*[22] *νοήματα καὶ μέθοδός τις καὶ λέξις· ἀλλὰ τὰ αὐτὰ ἔχει ταῦτα τῷ πανηγυρικῷ. κατὰ δὲ τὸ μιμητικὸν,*[23] *ὡς ἂν τὰ εἴδη τῶν λόγων ἀπαιτῇ.*

*Κῶλά γε μὴν ἴδια ποιήσεως καὶ συνθῆκαι, ῥυθμοί τε καὶ ἀναπαύσεις, ῥᾴδιον μὲν εἰπεῖν ὅτι τὰ μέτρα. καὶ*

---

οι
λέγει. 9 Il. α, 317. 10 Mon. *κονίῃσι*. Vind. *κύμβ. ἔπεσεν*, sine *ἐν κονίῃ*. — Il. ε, 586. 11 ib. 585. 12 Ald. *εὐτελίαν*. 13 Mon. *ἄν* om. 14 *τὴν* Mon. om. 15 Ald. Mon. Vind. *αὗται*. Port. *αὐταί*. 16 Ald. *δὲ αὖ*. Port. *δ' αὖ πάλιν*. Mon. Vind. *δ' αὖ*. tum Vind. *ποιήσεων*, omisso *ἰδία*. 17 Vind. *ἑαυτὸν*, omisso sq. *δοκεῖν*. 18 Vind. *εἶναι δοκεῖν*. 19 Vind. *λέξις δὲ φαν.* 20 Vind. *ὡς* om. 21 Vind. *τῷ Ἡσιόδῳ*. 22 Par. *ἐν ἄλλοις τὸ ἦν οὐκ ἔστιν*. 23 Vind. *μικτόν*.

ὡς [24] ἀληθές γε τοῦτο κατιδεῖν, ἕως ἐφ' ἑαυτῆς ἡ ποίησις μένῃ [25] ψιλή· ὅταν δὲ περὶ Ὁμήρου λέγωμεν, ἀνάγκη προστιθέναι, ὅτι τόδε τὸ μέτρον· καὶ τοῦτο δὲ οὐχ ἁπλῶς, ὅτι ἑξάμετρον δακτυλικὸν καταληκτικόν, [26] οὐδὲ ὅτι [27] ἥδε ἡ Ὁμηρικὴ ἀνάπαυσις, ἢ ὅδε ὁ ῥυθμός, ἢ ἥδε ἡ συνθήκη. ἀλλ' ὥσπερ καὶ περὶ τῶν σχημάτων ἐν τοῖς κατὰ μίμησιν ἐλέγομεν, οὕτω συμβαίνει τοῦτο κἀνταῦθα γίνεσθαι· ὅταν γὰρ ἢ διάθεσιν ἐμπαθῆ τοῦ λέγοντος προσλάβῃ ὁ ποιητής, ἤ τι ἄλλο [28] προσώπου ἦθος μιμῆται, [29] ἢ καὶ αὐτὸς ἀφ' ἑαυτοῦ τοιόνδε τι ἢ τοιόνδε πρᾶγμα ἐξαγγέλλῃ, ἀνάγκη τὰς προσηκούσας ἐνταῦθα καθ' ἕκαστον γίνεσθαι κατὰ τὰ εἴδη τῶν λόγων ἀναπαύσεις καὶ βάσεις καὶ συνθήκας καὶ ῥυθμούς, οἷον σεμνοὺς ἢ τραχεῖς [30] ἢ ἀφελεῖς ἢ περικαλλεῖς καὶ ἐπιμελεῖς, ἢ ὅσα εἴδη ῥυθμῶν τε καὶ λόγων ἐλέγομεν. τοῦτο δὲ συμβαίνει μάλιστα μὲν καὶ διὰ τὸ πλῆθος τῶν τοῦ ἑξαμέτρου σχημάτων· (ἔστι γὰρ αὐτοῦ σχήματα δύο καὶ τριάκοντα, [31] ὡς διδάσκουσιν ἡμᾶς οἱ γραμματικοί·) ἔπειτα καὶ διὰ τὴν ποιὰν ἀνάπαυσιν, ὃ καὶ μέγιστον ἐν τοῖς τοιούτοις· ἐξίσταται γὰρ καὶ τοῦ οἰκείου πολλάκις [32] τὸ μέτρον ῥυθμοῦ κατὰ [33] τὰς ποιὰς τῶν στίχων τομὰς καὶ ἀναπαύσεις ἐννοιῶν κατὰ τὰ [34] κῶλα. τὸ γοῦν, αὐτοὺς [35] δ' ἑλώρια τεῦχε κύνεσσιν, ἀναπαιστικόν πώς ἐστι, γενομένης ἀναπαύσεως ἐν τῷ ἡρώων· διότι δὲ ἢ [36] τοῦ-

---

24 ὡς Mon. Vind. om. 25 Mon. μένει. 26 Vind. καταληκτικόν. 27 Par. ad marg. γρ. ὅτι οὐδὲ ἥδε ἡ Ὁμηρ. ἀνάπαυσις. 28 Vind. ἄλλου. 29 Ald. Vind. μιμεῖται. Port. Mon. μιμῆται. 30 ἢ τραχεῖς Vind. om. 31 Triginta novem enumerantur apud Planudam, p. 556—560. 32 Vind. πολλάκις καὶ τοῦ οἰκείου ῥυθμοῦ τὸ μέτρον. 33 Ald. καί. Port. Mon. Vind. κατά. 34 Ald. κατὰ κῶλα. Port. Vind. κατὰ τὰ κῶλα. Mon. καὶ τὰ κῶλα. 35 Ald. αὐτός. tum Mon. ἑλλώρια. Mon. Vind. κύνεσιν. Il. α, 4. 36 ἢ Mon. om.

του ἐδέησεν αὐτῷ ἐνταῦθα, ἢ ἑτέρωθί που ἄλλων τινῶν ῥυθμῶν, οὐ χαλεπῶς ἐπιγνοίη ἂν ὁ τὰ προειρημένα πάντα περὶ τῶν ἰδεῶν ἁπασῶν τοῦ λόγου ὀρθῶς ἐπεσκεμμένος, καὶ ἔτι τὸν [37] περὶ δεινότητος μεθόδου, ὃς μετὰ τήνδε ἡμῖν τὴν πραγματείαν τέτακται.

Νυνὶ δὲ ἤδη περὶ τῶν μετὰ τούτους τοὺς προειρημένους ἄνδρας τρεῖς ὑφ' ἑκάστῳ τούτων [38] τεταγμένων, καὶ οἷον τὰ δεύτερα καὶ τρίτα φερομένων καθ' ἕκαστον ἐκείνων ἐν τοῖς κατ' αὐτοὺς εἴδεσι, λεκτέον· καὶ πρῶτόν γε περὶ τῶν πολιτικῶν. δεῖ δὲ ἀναγκαίως πρότερον εἰπόντα διὰ βραχέων τίς ὁ ἁπλῶς πολιτικὸς λόγος, οὐχ ὁ Δημοσθενικὸς, ἢ του ἄλλου, ἀλλ' ἁπλῶς ὁ πολιτικὸς, καὶ τίς ὁ ἁπλῶς πανηγυρικὸς, ἀλλ' οὐχ ὁ κάλλιστος πανηγυρικὸς, [39] ἢ Πλατωνικὸς, ἢ Ὁμηρικὸς, οὕτω καὶ περὶ τῶν καθ' ἕνα λόγου ἀξίων ἀνδρῶν διὰ βραχέων χαρακτηρίσαι. περὶ γὰρ τοῦ δικανικοῦ ἱκανῶς εἴρηται. ἀλλὰ πρότερόν γε περὶ τοῦ ἁπλῶς πολιτικοῦ, ὅπερ ἐλέγομεν, ῥητέον.

---

## Cap. XI.

### ΠΕΡΙ ΤΟΥ ΑΠΛΩΣ ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ. [1]

Ὁ τοίνυν ἁπλῶς [2] εἰπεῖν λόγος πολιτικὸς γίνεται μὲν διά τε τῶν τὴν σαφήνειαν ποιουσῶν κατὰ τὸν λόγον ἰδεῶν, [3] καὶ τοῦ κατ' ἐπιείκειαν καὶ ἀφέλειαν ἤθους, καὶ ἔτι τῆς τὸν ἀληθινὸν ποιούσης λόγον ἰδέας, ὃ δή ἐστι τοῦ πιθανοῦ· δεῖ δὲ ταῦτα ὡς ἓν ἀκούειν πάντα. ἐκ [4]

37 Mon. τά. 38 Vind. τούτων om. tum scribit τεταγμένους. 39 Vind. πανηγυρικῶν.

1 Ab Ald. et Mon. titulus abest. Est in Port. Vind. et Lipsiensi 1245, cujus collationem ad Cap. XI. XII. pertinentem communicavit mecum Westermannus. 2 Vind. ὡς ἁπλῶς. 3 Lips. ἰδεῶν κατὰ τὸν λόγον. 4 Lips. ἐκ μὲν γάρ.

γὰρ τῆς μίξεως τούτων καὶ οἷον ἑνώσεως ὁ ἁπλῶς πολιτικὸς γίνεται λόγος, οὗ δὴ καὶ πάντες μετέχουσιν, οὓς ὀνομάζομεν πολιτικούς, πλὴν ἴσως τοῦ Ἰσοκράτους κατά τι. πλεῖστόν [5] γε μὴν αὐτοῦ μέτεστι Λυσίᾳ τε καὶ Ἰσαίῳ καὶ Ὑπερίδῃ· διὸ δὴ καὶ μάλιστά εἰσι πιθανοί.

## 1. Περὶ Λυσίου. [6]

Διαφέρουσι δὲ οὗτοι [7] ἀλλήλων, ὅτι τῷ μὲν Λυσίᾳ μετὰ τούτων καὶ τὰ [8] τῆς ἐπιμελείας μετρίως ὕπεστι, καὶ τὸ τοῦ κόσμου σφόδρα ἀνεμφάτως, [9] γοργότητος δὲ ὡς ἐλάχιστον. περιβολῆς δὲ τῆς μὲν κατ' ἔννοιαν μετρίως πως, τῆς δὲ κατὰ μέθοδον ἢ λέξιν ἢ τὰ ἱπόμενα ταύτῃ [10] σχεδὸν οὐδ' ὅλως· καὶ τῶν ἄλλων δὲ, ἃ τὸν ἀξιωματικὸν ποιεῖ λόγον, ὡς ἐλάχιστον αὐτῷ μέτεστι, πλεῖστόν γε μὴν δεινότητος ἔχει τῆς κατὰ μέθοδον.

## 2. Περὶ Ἰσαίου.

Τῷ δὲ Ἰσαίῳ πρὸς ἐκείνους, ἃ τὸν ἁπλῶς ποιεῖ πολιτικὸν λόγον, πολὺ τὸ τῆς γοργότητος, ὡς ἐγγὺς εἶναι τοῦ καλλίστου λόγου τῶν πολιτικῶν, [11] καὶ τὸ ἐπιμελὲς περιττότερον ἢ κατὰ Λυσίαν, περιβολή τε ὡσαύτως, καὶ 143
τὰ λοιπὰ τοῦ μεγέθους εἴδη, καί που καὶ ἀκμῆς ἔμφασις· ὡς ἀπολείπεσθαι μὲν τοῦ Δημοσθενικοῦ κατὰ ταῦτα οὐκ ὀλίγῳ, ὑπερβάλλειν δὲ καὶ πολλῷ τὸν Λυσίαν. δεινότης δὲ ἡ κατὰ μέθοδον πολλὴ μὲν καὶ παρὰ τούτῳ, δεινότερος δὲ ὁ Λυσίας.

---

5 Vind. πλεῖον. 6 Hunc et duos sqq. titulos Port. om. Sunt in Lips. Ad Ald. Mon. Vind. omnes tituli usque ad finem libri absunt. 7 Vind. οὗτοι om. 8 Vind. τὰ ἐπὶ τῆς ἐπ. μετρ. ὑπέστη. 9 Lips. ἀνεμφάντως. 10 Lips. ταύταις. 11 Lips. addit: τοῦ Δημοσθενικοῦ. Par. ἐν ἄλλοις· ὡς ἐγγὺς εἶναι τοῦ Δημοσθενικοῦ. [omissis τοῦ καλλ. λ. τῶν πολιτ.] ita Vind.

### 3. Περὶ Ὑπερίδου.

Ὁ δ' Ὑπερίδης τὸ μὲν ἐπιμελὲς ἥκιστα ἔχει, διὸ καὶ ἧττον δυνατὸς εἶναί πως δοκεῖ, μέγεθος δὲ αὐτῷ [12] ἐστιν ὑπέρογκον, σκληρὸν δὲ τοῦτο καὶ οὐ κεκραμένον, [13] ὥστε μὴ [14] σφόδρα εὖ τῷ καθαρῷ τε [15] καὶ ἠθικῷ κεκρᾶσθαι. κίνησις δὲ καὶ γοργότης σχημάτων πάνυ ὀλίγη παρὰ τούτῳ. δεινότης δὲ ἡ κατὰ μέθοδον ἔστι μὲν καὶ παρὰ πᾶσι τοῖς ἄλλοις ῥήτορσι, καὶ παρὰ τούτῳ, ἔλαττον δὲ ἢ κατὰ τὴν παρὰ τῷ Λυσίᾳ δὲ καὶ Ἰσαίῳ, καὶ ἔτι τῷ κορυφαίῳ αὐτῶν, λέγω τῷ Δημοσθένει. παρὰ δὲ [16] Ὑπερίδῃ κἀκείνην εὕροι τις ἂν τὴν δεινότητα, ἣ καὶ φαίνεται καὶ ἔστιν, οὐχὶ τὴν κατὰ μέθοδον μόνην, σπανίως μέντοι, ὅπου γε καὶ [17] παρὰ τῷ Δημοσθένει σπάνιον τοῦτο. ἴδιον δὲ Ὑπερίδου τὸ καὶ ταῖς λέξεσιν [18] ἀφειδέστερόν [19] πως καὶ ἀμελέστερον χρῆσθαι. ὥσπερ ὅταν μονώτατος λέγῃ, καὶ γαλεάγρα, καὶ ἐκκοκύζειν, καὶ ἐστηλοκόπηται, καὶ ἐπήβολος, [20] καὶ ὅσα τοιαῦτα. ἀλλ' οὗτοι μὲν ταύτῃ διαφέρουσιν ἀλλήλων.

Λέγοιμεν [21] δ' ἂν ἤδη καὶ περὶ τῶν λοιπῶν, ἧπερ [22] ἕκαστος αὐτῶν ὁ αὐτὸς ὢν τοῖς ἄλλοις κατὰ τὸν πολιτικὸν, ἕτερος αὐτῶν ἰδίοις τισὶν ἑτέροις γίνεται, δηλαδὴ τῷ πλεονάζειν περί τι λόγων εἶδος, ἢ τοὐναντίον ἐλάττονι χρῆσθαι τούτῳ, ἢ καὶ μέσως πως. [23] καὶ πρῶτόν γε περὶ τοῦ [24] Ἰσοκράτους λεκτέον.

---

12 Vind. δ' αὐτοῦ. 13 Edd. Codd. κεκραμμένον. 14 Mon. καί. 15 τε Mon. om. Lips. τῷ ἠθικῷ τε καὶ καθαρῷ. 16 Vind. δὲ τῷ Ὑπ. 17 καὶ Ald. Mon. om., est in Port. Vind. 18 Vind. λέξεσί πως ἀφειδ. καὶ ἀμ. κεχρῆσθαι. 19 Par. γρ. ἀμελέστερόν πως. 20 Lips. ἐπίβολος. 21 Lips. λέγομεν. 22 Lips. ὅπερ. 23 In Mon. ad marg. man. rec. adjectum: ἔχειν περὶ αὐτῷ. 24 Lips. τοῦ om.

## 4. Περὶ τοῦ Ἰσοκράτους.

Ὁ τοίνυν Ἰσοκράτης ἕνεκα μὲν καθαρότητος καὶ εὐκρινείας, αἳ δὴ τὸν σαφῆ ποιοῦσι λόγον [25] ἰδέαι, πολιτικώτατός ἐστι πάντων. [26] ἤθους δὲ καὶ ἀληθείας ἀμοιρῶν ἧττόν ἐστι πιθανός. ἐπιμελείᾳ [27] μέντοι καὶ κόσμῳ περιττεύει, μεγέθει τε ὡσαύτως, πλὴν ὅτι τὴν σφοδρότητα ἢ τραχύτητα, εἴ [28] που καὶ χρῷτο ταύταις, τῇ ἐπιμελείᾳ ἐκλύει. καὶ [29] τὴν περιβολὴν δὲ ἧττον ἐν τοῖς περὶ τὴν λέξιν ποιεῖ καὶ τὴν μέθοδον. τοῖς κατ' ἔννοιαν δὲ μάλιστα περιβάλλει. γοργότητος δὲ οὐδὲν ὅλως παρὰ τούτῳ. πλέον δὲ, εἰ καὶ δυσχερὲς εἰπεῖν, τὸ ὕπτιόν τε καὶ ἀναβεβλημένον παρ' αὐτῷ, καὶ ὅλως τὸ πρεσβυτικὸν καὶ διδασκαλικόν. τῷ δὲ φύσει ἀληθείας ἀμοιρεῖν καὶ ταῖς ἐργασίαις περιττός ἐστιν, ὥσπερ ἐπίδειξιν εὑρέσεως ἐννοιῶν ποιούμενος, καὶ πολλὰ οὐ χρησίμως λέγων. δῆλον δὲ [30] ἐξ ὧν εἰς τὰς αὐτὰς ὁ ῥήτωρ ἐμπεσὼν ἐννοίας αὐτῷ, οὐχ [31] ὁμοίως ἐχρήσατο ταῖς ἐργασίαις καὶ πίστεσι. πολλὰ δὲ τούτου τὰ [32] παραδείγματα. καταφανέστερον μέντοι, ὃ λέγω, γίνεται ἔκ τε τοῦ προοιμίου τοῦ τετάρτου [33] τῶν Φιλιππικῶν· οἷον, εἰ μὲν περὶ καινοῦ [34] τινος πράγματος προὐτίθετο, καὶ τὰ ἑξῆς· καὶ τοῦ Ἀρχιδάμου· τῆς αὐτῆς γὰρ οὔσης προτάσεως, ὅτι δεῖ καὶ νεωτέρων πρὸ τῶν πρεσβυτέρων ἀνισταμένων ἀνέχεσθαι, ὁ μὲν, ὥσπερ θέσιν τινὰ, ὁ Ἰσοκράτης, διὰ πλειόνων κατεσκεύασεν, ὁ δὲ μιᾷ ἠρκέσθη κατασκευῇ.

---

25 Vind. λόγον ποιοῦσιν. 26 Port. ad marg. γρ. πάντως. 27 Mon. καὶ ἐπιμελ. 28 Ald. Port. Mon. ἤν. Vind. Lips. εἰ. 29 καὶ Lips. om. 30 Vind. δ' ἐξ. 31 Lips. καὶ οὐχ. 32 τὰ Vind. om. 33 Ald. Mon. Vind. τετάρτου. Lips. τε πρώτου. Port. πρώτου. Marg. Vict. „Prima nunc vocatur in Philippum: tres enim, quae praecedunt, Olynthiacae dicuntur." 34 Ald. κενοῦ.

εἰ δέ τι καὶ ἄλλο ἔχει τὸ προοίμιον τοῦ λόγου τούτου ὑπαίτιον, ἑτέρου καιροῦ ἐξετάζειν. ἡ μέντοι κατὰ μέθοδον δεινότης ἐστὶν οὐκ ὀλίγη καὶ [35] παρὰ τούτῳ. ταῦτα καὶ [36] περὶ Ἰσοκράτους.

## 5. Περὶ Δεινάρχου. [1]

Ὁ δὲ Δείναρχος πολιτικὸς ὢν, ὡς οἷα [2] σαφὴς καὶ ἀληθὴς καὶ πιθανός, πολὺ τὸ σφοδρὸν ἔχει καὶ τὸ τραχὺ κατά τε τὴν ἔννοιαν καὶ τὴν μέθοδον. κατὰ δὲ αὐτὴν τὴν λέξιν ἧττόν ἐστι σφοδρός. κατὰ μέντοι τὰ περὶ [3] τὴν λέξιν, οἷον σχήματα, κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμούς, καὶ πάνυ σφοδρός τε καὶ τραχύς ἐστι. διὸ καὶ ἧττον ἐπιμελὴς ὁ λόγος αὐτῷ. γοργὸς μέντοι καὶ δεινὸς οὐ μετρίως. μᾶλλον δὲ εἶναι δοκεῖ, ἢ ἔστι δεινὸς, διὰ τὸ τῆς τοιαύτης μετέχειν δεινότητος μᾶλλον. [4] καθόλου τε ὁ ἀνὴρ ἐμφαινόμενον ἔχει πολὺ τὸ Δημοσθενικὸν διὰ τὸ τραχὺ καὶ γοργὸν [5] καὶ σφοδρόν. ὥστ' [6] ἤδη τινὲς καὶ προσπαίζοντες αὐτὸν οὐκ ἀχαρίτως [7] κρίθινον Δημοσθένην εἰρήκασι. ταῦτα καὶ περὶ Δεινάρχου.

## 6. Περὶ Αἰσχίνου.

Ὁ δ' Αἰσχίνης πολιτικὸς μέν ἐστιν, [8] εἴπερ ἕτερός τις,
144 σοφιστικὸς δὲ καὶ γαῦρος, καὶ τῷ μεγέθει μετὰ τοῦ κατὰ σχῆμα κάλλους πλεονάζων· οὐ γὰρ δὴ [9] τοῦ μετὰ παντὸς ἐπιμελοῦς, ἐπεὶ τούτου γε αὐτῷ τοῦ κόσμου βραχύ

---

35 καὶ Ald. Port. om., est in Mon. Vind. Lips. 36 καὶ Lips. om. 1 Lips. Sicel. addit: τοῦ λεγομένου κριθο Δημοσθένους. Vide de hoc cognomine Ruhnk. ad Rutil. Lup. p. 88. 2 Lips. οἷον. 3 Lips. μετά. 4 Vind. μᾶλλον δεινότητος. Lips. μᾶλλον om. 5 Lips. τὸ σφοδρὸν καὶ γοργόν. 6 Lips. ὥστε. 7 Vind. ἀχαρίστως. 8 Port. ἐστί. 9 Ald. Mon. Vind. Lips. διά. Port. δή.

χύ τι μέτεστι. καὶ [10] δι' ὀλίγου μέν ἐστι ἐπιμελὴς, ἀμελέστερος δὲ καὶ ἀτονώτερός πως. τῷ δὲ ἠθικῷ τῷ κατ' ἐπιείκειαν χρώμενος οὐκ ὀλίγῳ τοῦ τύπου τοῦ ἀληθοῦς ἧττον μετέχει. διὸ καί τοι [11] πολλῇ τῇ σφοδρότητί τε καὶ τραχύτητι χρώμενος ἔστιν οὗ τόνον οὐδένα ἔχει, διὰ τὸ μὴ πεποιθότως [12] μηδὲ ἀληθινῶς προφέρεσθαι τὸν λόγον. ταὐτὸ [13] δὲ αἴτιον καὶ τοῦ μὴ πάνυ γοργὸν μηδὲ εὐκίνητον εἶναι. δεινότης δὲ ἡ κατὰ μέθοδον μέν ἐστιν οὐκ ὀλίγη παρ' αὐτῷ, ἡ δὲ φαινομένη τε ὁμοῦ καὶ οὖσα ἀναγκαίως ἐκ τῶν προειρημένων. [14]

## 7. Περὶ Ἀντιφῶντος.

Περὶ δὲ Ἀντιφῶντος λέγοντας ἀνάγκη προειπεῖν, ὅτι καθάπερ ἄλλοι τέ φασιν οὐκ ὀλίγοι καὶ Δίδυμος ὁ γραμματικὸς, πρὸς δὲ καὶ ἀπὸ τῆς [15] ἱστορίας φαίνεται, πλείους μὲν γεγόνασιν [16] Ἀντιφῶντες, δύο δὲ οἱ σοφιστεύσαντες, ὧν καὶ λόγον ἀνάγκη ποιήσασθαι. ὧν εἷς μέν ἐστιν ὁ ῥήτωρ, οὗπερ οἱ φονικοὶ [17] φέρονται λόγοι [18]

---

10 καὶ Vind. om. Par. γρ. καὶ δι' ὀλίγου μέν ἐστιν ἀμελής. 11 Vind. τοι οὐδὲ πολλῇ. 12 Ald. Port. Mon. πεπονθότως. Vind. πεποιθότως. — tum Lips. μηδ' ἀλ. 13 Lips. ταὐτόν. 14 Lips. εἰρημένων. 15 τῆς Ald. Port. Mon. Lips. om., recepi ex Vind. 16 Ald. γεγόνασι μέν. Port. Mon. Vind. Lips. μὲν γεγόνασιν. 17 Lips. φωνικοὶ φαίρονται [sic]. 18 Confusio est in Codd. et edd. Omnes enim legunt ita: οὗπερ οἱ φον. φέρονται λόγοι καὶ δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι· ἕτερος δὲ — οὗπερ οἵ τε περὶ τῆς ἀληθείας λέγονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικός. Taylor. Lect. Lysiac. c. VII. eumque secutus Petr. van Spaan in disputatione de Antiphonte, oratore Attico [inter Ruhnkenii Orat. et Dissert. p. 149. ed. Friedem.] teratoscopo λόγους δημηγορικοὺς et πολιτικὸν auferunt, et oratori attribuunt, sed Spengelii praeter δημηγορικοὺς et πολιτικοὺς etiam λόγον περὶ ὁμο-

καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικὸς καὶ ὅσοι τούτοις ὅμοιοι. ἕτερος δὲ [19] ὁ καὶ τερατοσκόπος καὶ ὀνειροκρίτης [20] λεγόμενος γενέσθαι, οὗπερ οἱ περὶ τῆς ἀληθείας λέγονται [21] λόγοι. ἐγὼ δὲ ἕνεκα μὲν τοῦ διαφόρου τῶν ἐν τοῖς λόγοις τούτοις ἰδεῶν πείθομαι δύο τοὺς Ἀντιφῶντας γενέσθαι· (πολὺ γὰρ ὡς ὄντως τὸ παραλλάττον τῶν ἐπιγραφομένων τῆς ἀληθείας λόγων πρὸς τοὺς λοιπούς.) ἕνεκα δὲ τοῦ καὶ παρὰ Πλάτωνι καὶ παρ' [22] ἄλλοις ἱστορουμένου πάλιν οὐ πείθομαι. Θουκυδίδην γὰρ Ἀντιφῶντος εἶναι τοῦ Ῥαμνουσίου μαθητὴν ἀκούω πολλῶν [23] λεγόντων. καὶ τὸν μὲν Ῥαμνούσιον εἰδὼς ἐκεῖνον, οὗπερ εἰσὶν οἱ φονικοὶ, τὸν Θουκυδίδην δὲ πολλῷ κεχωρισμένον καὶ κεκοινωνηκότα τῷ εἴδει τῶν τῆς ἀληθείας λόγων, πάλιν οὐ πείθομαι. οὐ μὴν ἀλλ', εἴτε

---

νοίας ad oratorem referentis emendationem, in *συναγ. τεχν.* p. 114. sq. propositam, eo fidentius recipiendam censui, quoniam ipsius Hermogenis auctoritate firmatur: nam paullo post, ubi discrimen utriusque exponit, solas orationes *περὶ τῆς ἀληθείας*, teratoscopo adiudicatas, reliquis omnibus oratori adiudicandis opponit. „*πολὺ γὰρ ὡς ὄντως τὸ παραλλάττον τῶν ἐπιγραφομένων τῆς ἀληθείας λόγων παρὰ τοὺς λοιπούς.* — Veterum auctorum locos ad orationes laudatas spectantes vide apud Westermannum hist. eloqu. Gr. T. I. p. 276. sqq. 19 δὲ Ald. om., est in Port. Mon. Vind. Lips. — Sq. καὶ Mon. om. 20 De Antiphonte teratoscopo eiusque *λόγοις περὶ ἀληθείας* vide disputationem laudatam p. 169. sqq. Cic. de divin. I. 20. II. 70. et Schuez. Lex. Cicer. s. v. 21 Lips. *εἶναι λέγονται.* In Mon. *εἶναι* eadem manu insertum est. 22 Vind. *παρὰ τοῖς ἄλλοις.* 23 Auctoritatem huius relationis nuper infirmavit Krüger. Quaest. de vita Thucydidis p. 34. Scilicet auctore Plutarcho [Vit X. Orat. T. PII. p. 221. Hutt.] Caecilius Calactites, Dionysii Halic. aequalis et amicus primum coniecit, [*τεκμαίρεται*] Antiphontem Thucydidis praeceptorem fuisse, eamque coniecturam insequentes auctores, a Kruegero

εἷς ὁ Ἀντιφῶν ἐγένετο, δύο λόγων εἴδεσι [24] τοσοῦτον ἀλλήλων διεστηκότων χρησάμενος, εἴτε καὶ δύο, χωρὶς ἑκάτερος, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο μετελθών, ἀνάγκη χωρὶς περὶ ἑκατέρου διελθεῖν· πλεῖστον γὰρ, ὡς ἔφαμεν, τὸ μεταξύ.

## 8. Περὶ τοῦ Ῥαμνουσίου Ἀντιφῶντος. [1]

Ὁ τοίνυν Ῥαμνούσιος [2] Ἀντιφῶν, οὗπερ οἱ φονικοὶ [3] φέρονται, πολιτικὸς μὲν καὶ κατὰ τὸ σαφὲς καὶ κατὰ τὸ ἀληθινὸν, καὶ ἄλλως [4] ἠθικὸς, ὥστε καὶ πιθανός· ἧττον δὲ ἅπαντα ταῦτα, ἢ κατὰ τοὺς ἄλλους. [5] ἐπεὶ καὶ πρῶτος λέγεται τοῦτο μετελθεῖν τὸ εἶδος, καὶ ὅλως εἰρετὴς καὶ ἀρχηγὸς [6] γενέσθαι τοῦ τύπου τοῦ πολιτικοῦ. καὶ γάρ ἐστι τοῖς χρόνοις τῶν δέκα ῥητόρων τούτων πρεσβύτατος ἁπάντων. μεγέθει δὲ χρῆται μὲν οὐκ ὀλίγῳ, καλῶς δέ πως [6] συνυφασμένῳ, καὶ οὐ κατὰ τὸν Ὑπερίδην διεστηκότι τῶν ἄλλων, [8] οὐδ' αὖ κατὰ τὸν Αἰσχίνην σοφιστικῷ. καίτοι τῆς λέξεως αὐτῷ πολλαχοῦ διηρμένης [9] ἐπιμελής γε μὴν οὕτως, ὡς μὴ εἶναι προσκορής. γοργὸς δὲ μετρίως ἐστὶ καὶ δεινὸς ὡσαύτως.

## 9. Περὶ τοῦ ἑτέρου Ἀντιφῶντος.

Ὁ δ' ἕτερος Ἀντιφῶν, οὗπερ οἱ τῆς ἀληθείας εἰσὶ λεγόμενοι [10] λόγοι, πολιτικὸς μὲν ἥκιστά ἐστι, σεμνὸς δὲ καὶ ὑπέρογκος τοῖς τε ἄλλοις καὶ τῷ δι' ἀποφάνσεων [11]

---

1. l. enumerati pro certo testimonio adoptaverunt. 24 Lips. εἴδεσιν. 1 Lips. περὶ Ἀντιφ. τοῦ Ῥαμνουσίου. 2 Ald. Ῥαμούσιος. 3 Lips. φωνικοί. In Mon. post λέγονται inseritur λόγοι. 4 Lips. τὸ ἄλλως. tum Ald. Mon. Vind. Lips. ἠθικόν. Port. ἠθικός. 5 Port. addit: ἔχει. 6 καὶ ἀρχηγός. Mon. om. 7 Mon. πως καὶ συνυφ. 8 Vind. ἀλλήλων. 9 Io. Sicel. p. 501. γρ. καὶ διαιρουμένης. ita Vind. 10 Lips. λόγοι λεγόμενοι. 11 Mon. ad marg. γρ. ἐμφάσεων.

περαίνειν τὸ πᾶν, ὃ δὴ τοῦ ἀξιωματικοῦ [12] λόγου ἐστὶ καὶ πρὸς μέγεθος ὁρῶντος, ὑψηλὸς δὲ τῇ λέξει καὶ τραχὺς, ὥστε καὶ [13] μὴ πόρρω σκληρότητος εἶναι. καὶ περιβάλλει δὲ χωρὶς εὐκρινείας· διὸ καὶ συγχεῖ [14] τὸν λόγον, καὶ ἔστιν ἀσαφὴς τὰ πολλά. καὶ ἐπιμελὴς δὲ κατὰ τὴν συνθήκην καὶ ταῖς παρισώσεσι χαίρων. οὐ μὴν ἤθους γέ τι οὐδ' ἀληθινοῦ τύπου μέτεστι τῷ ἀνδρί. φαίην δ' ἂν ὡς οὐδὲ δεινότητος, πλὴν τῆς φαινομένης μὲν, οὐ μὴν οὔσης γε [15] ὡς ἀληθῶς. Ἐγγὺς δὲ τῆς ἰδέας [16] ἐστὶ ταύτης καὶ ὁ Κριτίας. διὸ καὶ μετὰ τοῦτον εὐθὺς περὶ Κριτίου λέξομεν.

## 10. *Περὶ Κριτίου.*

Ἔστι γὰρ καὶ οὗτος σεμνὸς μὲν [17] παραπλησίως τῷ Ἀντιφῶντι, καὶ διηρμένος πρὸς ὄγκον, καὶ τὰ πολλὰ λέγων ἀποφαντικῶς, [18] καθαρώτερος δὲ τὴν λέξιν, καὶ ὅτε [19] περιβάλλει, διευκρινῶν, ὥστε [20] εἶναι καὶ σαφὴς ἅμα τῷ μεγέθει καὶ εὐκρινής. ἔχει δὲ πολλαχοῦ, καὶ μάλιστα ἐν τοῖς δημηγορικοῖς προοιμίοις, καὶ τὸ ἀληθινόν [21] τε καὶ πιθανόν. ἐπιμελὴς δὲ ὢν οὐ μετρίως, ὅμως οὐχ ἁπλῶς χρῆται τῷ τοιούτῳ κόσμῳ, οὐδὲ κατὰ τὸν Ἀντιφῶντα προσκόρως καὶ σαφῆ τὴν ἐπιτήδευσιν ἔχοντι, ἀλλ' ὥστε μετέχειν καὶ κατὰ τοῦτο τοῦ ἀληθοῦς. τοῖς δ' [22] ἄλλοις τοῦ ἤθους [23] εἴδεσιν οὐ σφόδρα τι χρῆται, οἷον ἐπιεικείᾳ καὶ [24] ἀφελείᾳ ἢ ὅσα τοιαῦτα.

---

12 Vind. Lips. ἀξιωμ. τε λόγου. 13 Vind. Lips. καὶ om. 14 Ald. Vind. συγχεῖν. Port. Mon. Lips. συγχεῖ. 15 γε Vind. om. Post ἀληθῶς Lips. ponit inscriptionem: περὶ Κριτίου. 16 Lips. ἰδίας [sic] ταύτης ἐστί. 17 Mon. σεμνὸς μὲν, οὐ μὲν παραπλ. 18 Vind. ἀποφατικῶς. 19 Spengel. συναγ. τεχν. p. 121. conjicit: ἔστιν ὅτε. — Lips. Vind. περιβάλλοι. 20 Vind. Lips. ὥστ'. 21 Lips. ἀλιθινόν. 22 Ald. Port. Mon. δέ. Vind. Lips. δ'. 23 Vind. εἴδους. 24 Lips. ἤ.

ταῦτα καὶ περὶ Κριτίου. Ἕπεται δὲ τῷ περὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου λόγῳ ὁ περὶ Λυκούργου, τοῦ καὶ ὀνομασθέντος οὕτω ῥήτορος.

## 11. Περὶ Λυκούργου.

Ὁ τοίνυν Λυκοῦργος πολιτικὸς μέν ἐστιν, [1] εἴπερ τις ἕτερος, πλὴν ἴσως τοῦ κατὰ τὴν ἀφέλειαν ἤθους ἕνεκα. πολὺ δὲ τὸ τραχὺ καὶ σκληρὸν [2] ἔχει χωρὶς ἐπιμελείας. ἦ γὰρ ἂν ὁ αὐτὸς ἦν πως τῷ Δεινάρχῳ. τῇ δὲ λέξει καὶ πολὺ τραχύτερός ἐστιν, ὅθεν φημὶ καὶ τοῦτον τὴν φαινομένην, οὐ μὴν οὖσαν [3] ὡς ὄντως δεινότητα ἔχειν. τροπικώτεροι [4] γάρ εἰσιν οἱ λόγοι μᾶλλον αὐτοῦ, καὶ καταδρομὴν ἔχοντες ἔστιν οὗ κατὰ τῶν ἀποδεδειγμένων πραγμάτων. χρῆται δὲ πολλαῖς πολλάκις [5] καὶ ταῖς παρεκβάσεσιν [6] ἐπὶ μύθους καὶ ἱστορίας καὶ ποιήματα φερόμενος ἃ δὴ τῆς φαινομένης ἐστὶ καὶ αὐτὰ δεινότητος.

## 12. Περὶ Ἀνδοκίδου.

Ὁ δὲ [7] Ἀνδοκίδης πολιτικὸς μὲν εἶναι προαιρεῖται, [8] οὐ μὴν πάνυ [9] γε ἐπιτυγχάνει τούτου, [10] ἀδιάρθρωτος γάρ ἐστιν ἐν τοῖς σχήμασι καὶ ἀδιευκρίνητος, καὶ τὰ πολλὰ ἐπισυνάπτει τε καὶ περιβάλλει ἀτάκτως, διὰ τὸ ταῖς ἐπιβολαῖς [11] χωρὶς εὐκρινείας χρῆσθαι. [12] ὅθεν ἔ-

---

1 ἐστὶν Vind. Lips. om. 2 Lips. σφοδρόν. 3 Vind. οὖσαν τραχύτητα ἔχειν. — Ald. ἔχει. Port. Mon. Lips. ἔχειν. 4 Planudes T. V. p. 561. v. 7. ἐν ἄλλοις βιβλίοις τοπικώτεροι εὑρίσκεται, θέλει δὲ ἡ λέξις δηλοῦν τὸ αὐξητικώτερον, ὥσπερ καὶ κοινὸν τόπον τὴν καταδρομὴν λέγομεν. Sicel., qui eadem habet, addit: ὥστε οὐχ ἁμαρτήσεις τροπικώτερον [scr. τροπικώτεροι] γράφων. 5 πολλάκις Vind. om. Sq. καὶ Lips. om. 6 Lips. παραβάσεσιν ἐπὶ μύθου. 7 Lips. δ'. 8 Lips. προείρηται. 9 Vind. Lips. πάντη, sine γε. 10 Mon. αὐτοῦ. 11 Vind. ἐπεμβο-

δοξέ τισι [13] φλύαρος καὶ ἄλλως ἀσαφὴς εἶναι. ἐπιμελείας δὲ αὐτῷ καὶ κόσμου πάνυ βραχὺ μέτεστι, γοργότητός τε ὡσαύτως. καὶ μέντοι καὶ τῆς κατὰ μέθοδον δεινότητος ὀλίγον, ἀλλὰ καὶ [14] σφόδρα ὀλίγον ἔχει· τῆς δ' ἄλλης [15] σχεδὸν οὐδ' ὅλως.

Τῷ μὲν οὖν Δημοσθένει οἱ λοιποὶ τῶν δέκα, μεθ' ὧν καὶ ὁ Κριτίας, ὑποτεταγμένοι οὕτωσί πως τὰ δεύτερα καὶ τὰ [16] τρίτα τοῦ δικανικοῦ τε καὶ συμβουλευτικοῦ τῶν λόγων εἴδους ἀποφέρονται. [17] τούτῳ δ' [18] ἕπεται μὲν περὶ τοῦ ἁπλῶς πανηγυρικοῦ λόγου εἰπόντας περὶ τῶν κατὰ τοῦτο μετὰ Πλάτωνα εὐδοκιμούντων λέγειν, ὥσπερ ἐκεῖ περὶ τῶν μετὰ τὸν Δημοσθένην εἰρήκαμεν.

---

## Cap. XII.

### ΠΕΡΙ ΤΟΥ ΑΠΛΩΣ ΠΑΝΗΓΥΡΙΚΟΥ.

Ἔστι δὲ σχεδὸν οὐ ῥᾴδιον περὶ τοῦ ἁπλῶς πανηγυ-
51 ρικοῦ ἀποφήνασθαί τι, πλὴν τοσοῦτον, ὅτι πάντ' ἐκεῖνα τὰ εἴδη, ἐξ ὧν ἔφαμεν τὸν κάλλιστον πανηγυρικὸν [1] καὶ Πλατωνικὸν γίνεσθαι λόγον, δύναται καὶ καθ' ἑαυτὰ ἕκαστα πλεονάσαντα ποιῆσαί τινα τύπον [2] πανηγυρικόν· οἷον σεμνότης μόνη ἢ [3] ἀφέλεια· πάλιν γλυκύτης, καθαρότης, ἐπιμέλεια, ἅπανθ' [4] ἁπλῶς τὰ προειρημένα,

---

λαῖς. 12 Vind. Lips. κεχρῆσθαι. 13 Ald. Port. τις. Mon. Vind. Lips. τισί. 14 καὶ Vind. om. 15 Ald. ἄλλας. Port. Mon. Vind. ἄλλης. Lips. ἄλλοις. 16 τὰ Vind. Lips. om. 17 Lips. ἀποφαίρονται. Tum sequitur titulus περὶ τοῦ ἁπλῶς πανηγ. 18 Vind. Lips. δ' ἕπ. Ald. Port. Mon. δὲ ἕπ.

1 Vind. πανηγυρικῶν. 2 Vind. τύπου om. 3 ἢ posuit Port. Abest ab Ald. Mon. Vind. Lips., absorptum a vocali praec. 4 Vind. πανθ'.

καὶ φαίνονταί γε οὕτω [5] καὶ οἱ εὐδοκιμοῦντες [6] τῶν ἀρχαίων κατὰ τὸ πανηγυρικὸν χρησάμενοι τῷ λόγῳ, περὶ ὧν ῥητέον. ἀνάγκη δὲ πρῶτον [7] τοσοῦτον προειπεῖν, ὅτι τοῦ καλλίστου τῶν [8] πανηγυρικῶν ὀφείλοντος ἔχειν μέγεθος μεθ' ἡδονῆς καὶ ἔτι κόσμον καὶ σαφήνειαν, ἤδη δὲ καὶ προσώπων μιμήσεις καὶ ὅσα ἄλλα τοιαῦτα ἐν τῷ περὶ πανηγυρικοῦ εἴδους [9] ἡμῖν λέλεκται, ἃ δὴ καὶ [10] οὐχ ἡ ποίησις μόνη, οὐδὲ μὴν ἡ λογογραφία, ἀλλὰ καὶ ἡ ἱστορία ἔχει πλεονάζοντα πάντα, πάντως δεῖ [11] καὶ τοὺς ἱστοριογράφους ἐν τοῖς πανηγυρικοῖς τετάχθαι, ὥσπερ οἶμαι καὶ εἰσὶν, ἐπεὶ καὶ μεγέθους καὶ ἡδονῶν στοχάζονται καὶ τῶν ἄλλων, οἶμαι, σχεδὸν [12] ἁπάντων, εἰ καὶ μὴ παραπλησίως ἐκείνῳ τυγχάνουσι, λέγω τῷ Πλάτωνι. ὥστε ἀνάγκη καὶ περὶ τούτων ἐνταῦθα εἰπεῖν. ἀλλ' ἐπ' ἐκείνους γε [13] ἰτέον πρῶτον τοὺς μετὰ τὸν [14] Πλάτωνα κατὰ τὸ πανηγυρικὸν εὐδοκιμοῦντας. ἄλλως τε ἐπειδή τινες αὐτῶν καὶ ἀμφοῖν μετέχουσιν, [15] ἱστορίας τε καὶ τῆς ἄλλης λογογραφίας, ὥσπερ ὁ [16] Ξενοφῶν. περὶ οὗ δὴ καὶ πρῶτον λεκτέον.

## 1. Περὶ Ξενοφῶντος.

Ἔστι τοίνυν [1] οὗτος ἀφελὴς μὲν ὡς ὅτι μάλιστα, καὶ τούτῳ πλεονάζων τῷ εἴδει παρὰ τὰ ἄλλα εἴδη πάντα [2] τοῦ πανηγυρικοῦ· ταῖς μὲν ἀπὸ τῆς ἀφελείας αὐτῆς ἡδοναῖς πολλαῖς χρώμενος, γλυκύτησι δὲ ταῖς ἀπὸ

---

5 Lips. οὕτως. 6 Vind. δοκοῦντες. 7 Vind. πρότερον. 8 Vind. τῶν om. 9 Mon. Lips. ἡμῖν εἴδους. 10 δὴ Vind. Lips. om. 11 Lips. δὲ δεῖ. Eodem modo locus hic laudatur in Bekkeri Anecd. p. 172. s. v. στοχάζομαι. 12 οἶμαι σχεδὸν Bekk. om. 13 γε ex Vind. recepi, abest ab Ald. Port. Mon. Lips. 14 τὸν Lips. om. 15 Lips. μετέχουσί. 16 Vind. ὥσπερ καὶ Ξεν. Lips. ὥσπερ οὖν ὁ Ξεν.

1 Vind. δέ. 2 Vind. πάντα εἴδη.

τούτων, οἷον ταῖς ἀπὸ τῶν μύθων καὶ τῶν τοιούτων μανώτερον. [3] ἐπεὶ καὶ ὅτε περὶ τῶν κυνῶν διέξεισιν [4] ἡδονὰς ποιῶν, κατὰ τὴν τῆς ἀφελείας αὐτῆς ἐπίτασιν
146 τοῦτο ποιεῖ, καὶ οὐ [5] κατ' ἄλλο τι τῶν φύσει γλυκύτη-
5 τος ἰδίων. τὸ μέντοι περὶ τὸν Ἀβραδάτην καὶ τὴν Πάνθειαν [6] πᾶν ἦθός τε καὶ πάθος πολλὰς ἔχει [7] τὰς ἡδονὰς μυθικῶς πλασθέν. καὶ τὰ περὶ τὸν Τιγράνην [8] δὲ ὡσαύτως καὶ τὴν γυναῖκα αὐτοῦ τὴν Ἀρμενίαν. ἔφαμεν δὲ ὅτι μανῶς μὲν χρῆται ταῖς τοιαύταις γλυκύτησι· χρῆ-
10 ται μέντοι καὶ ταύταις. μεγέθους δὲ κατὰ μὲν ἔννοιαν ἅπτεται πολλαχοῦ. καθαιρεῖ δὲ καὶ τοῦτο, καὶ βιάζεται πρὸς τὸ ἀφελὲς ταῖς μεθόδοις καὶ τῇ λέξει καὶ τοῖς περὶ τὴν λέξιν ἅπασι. καθαρὸς δὲ καὶ εὐκρινής, εἴπερ τις ἕτερος, ὁ Ξενοφῶν, δριμύτησί τε [9] καὶ ὀξύτησι χαίρων,
15 ὧν τὴν φύσιν ἐν τῷ περὶ γλυκύτητός τε καὶ ἀφελείας εἰρήκαμεν. [10] ἐπιμελείᾳ δὲ, ὡς ἐν ἀφελείᾳ τε καὶ ἁπλάστῳ λόγῳ, χρῆται πολλῇ. τῆς δὲ παρὰ τῷ Πλάτωνι ὀφελείας πολλῷ ἡ παρὰ τούτῳ ἀφελεστέρα ἐστὶ, κατ' αὐτὰς τὰς ὑποθέσεις τῶν πραγμάτων τοιαύτη γινομένη, [11]
20 οὐ μόνον κατὰ τὴν λέξιν καὶ τὰ ἑπόμενα τῇ λέξει. συμπόσια γοῦν ἀμφοτέροις ἐστὶ γεγραμμένα, [12] ἀλλ' ὁ μὲν καὶ ὀρχηστρίδων [13] εἰσόδους καὶ ὀρχημάτων εἴδη τινὰ καὶ φιλήματα καὶ πολλὰ τοιαῦτα λέγειν [14] μεθ' ἡδονῆς οὐ παραιτεῖται. ὁ δὲ ταῦτα, ὡς αὐτός φησιν, ἀφεὶς [15]
25 ταῖς γυναιξὶν, ἐπὶ τὸ σεμνότερον ἄγει τὴν ἀφέλειαν τῶν πραγμάτων. τοιοῦτος δὲ ὁ Ξενοφῶν κἀν τοῖς ἱστορικοῖς,

---

3 Lips. *μανότερον.* 4 Cyneget. III. 9. 5 Vind. *οὐκ ἄλλο τι.* Lips. *τι* om. 6 Ald. Port. Mon. Lips. *Πανθίαν.* Vind. *Πάνθειαν.* — Cyrop. VII. 3, 8. 7 Ald. Port. Mon. *ἔσχε.* Vind. Lips. *ἔχει.* 8 Cyrop. III. 1, 36. sqq. 9 Lips. *δέ.* 10 Lips. *εἴπομεν.* 11 Vind. *γιγνομένη.* 12 Vind. *συγγεγραμμένα.* 13 Ald. *ὀρχιστρίδων.* 14 Lips. *λέγειν τινά.* 15 Vind. Mon. Lips. *ἀφεὶς ταῖς γυν. ὡς αὐτός φησιν.*

οἷος κἀν τοῖς ἄλλοις. οἷον, ὅτι χιλὸν ἐστέψαντο, [16] ὅταν λέγῃ, καὶ ὅτι τοῖς παισὶν ὡς ἐνεοῖς διελέγοντο, [17] καὶ ὅτι πίνειν [18] ἀπὸ τοῦ κρατῆρος ἐπικύψαντας ἔδει καθάπερ βοῦν. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα καθ' ὑπερβάλλουσαν ἀφέλειαν ἔχει τὴν ἡδονήν, ἧπερ οὐχ ὁμοίως ὁ Πλάτων χρῆται. κἀν ταῖς μιμήσεσι δὲ τῶν προσώπων μᾶλλον εὐδοκιμεῖ, ὅτε ἀφελῆ καὶ ὡς ὄντως ἄπλαστα καὶ ἁπλᾶ [19] καὶ ἡδέα ἤθη ψυχῶν μιμοῖτο. ὥσπερ καὶ τὸ τοῦ Κύρου παιδὸς ἔτι ὄντος, καὶ ὅσα τοιαῦτα. παρὰ δὲ τῷ Πλάτωνι τοιοῦτον οὐδέν ἐστιν, [20] πλὴν ὅσον ἐν [21] ταῖς κατὰ μειρακίων ἡλικίαν. [22] οἷον, ὅτε τὸν [23] Θεαίτητον, ἤ τι [24] τοιοῦτον πρόσωπον εἰσάγει [25] πάντως οὐ κατὰ τὸ τοῦ [26] Κύρου δηπουθεν ὃν [27] λέγω παιδὸς ἔτι ὄντος, ἢ κατὰ τὸ τῆς Ἀρμενίας γυναικὸς, [28] ἢ ὅσα τοιαῦτα. ἴδιον δὲ Ξενοφῶντος καὶ τὸ κατὰ ποσὰ διαστήματα χρῆσθαι ποιητικαῖς πως λέξεσι, πολὺ τῶν ἄλλων τῇ φύσει διεστηκυίαις λέξεων, ὥσπερ ὅταν λέγῃ πορσύνειν, [29] καὶ ὅσα τοιαῦτα. Μετὰ δὲ [30] Ξενοφῶντα τάττοιτ' ἂν ὁ Αἰσχίνης ἡμῖν. [31] λέγω δὲ τὸν Σωκρατικόν.

---

16 Anab. IV. 5, 33. 17 Ald. Port. Mon. διαλέγονται. Vind. Lips. διελέγοντο. — Anab. l. l. 18 Lips. ἔδει πίνον. — Anab. IV. 5. 32. 19 Ald. Port. Mon. Vind. ἁπαλά. Lips. ἁπλᾶ. vide de hac confusione Boisson. ad Aristaen. p. 235. Jacobs ad Callistr. p. 710. 20 Lips. ἐστι. 21 Lips. ἐν om. 22 Vind. ἡλικιώναις. 23 τὸν Vind. om. 24 Ald. τοι. Port. Mon. Vind. τι. Lips. om. 25 Lips. Mon. εἰσάγοι. 26 τοῦ Lips. om. 27 Ald. Port. Vind. Κύρου δήπουθεν, ὃν λέγω, παιδὸς ἔτι ὄντος. Lips. ὃν om. Mon. ὃν, quem secutus sum mutata interpunctione. 28 Cyrop. III. 1, 36. sqq. 29 Ald. πορσύνην. — Cyrop. I. 6, 17. IV. 2, 47. Vind. ad marg. ἤτοι ἑτοιμάζειν. 30 Vind. δὲ τὸν Ξεν. 31 ἡμῖν Mon. om.

## 2. Περὶ Αἰσχίνου Σωκρατικοῦ.[1]

Οὗτος τοίνυν ἔστι μὲν ἀφελὴς καὶ αὐτὸς, εἴπερ τις ἕτερος, πλείονι δὲ τῷ καθαρῷ καὶ εὐκρινεῖ, ἢ τῷ ἀφελεῖ χρῆται, ταὐτά τοι καὶ λεπτότερός ἐστι κατὰ τὴν λέξιν τοῦ Ξενοφῶντος.[2] ἐννοίαις γὰρ οὐκ ὀλίγαις καὶ αὐτὸς σεμνοτέραις χρῆται. ἡδοναῖς δὲ ταῖς ἀπὸ τῶν μύθων τε καὶ τῶν[3] μυθικῶν μετριώτερον. ὅσον δὲ ὁ Ξενοφῶν ἀφελείᾳ τῇ κατ' αὐτὸν ὑπερβέβληκε[4] τὴν Πλάτωνος ἀφέλειαν, φαίης[5] ἂν, ὅτι[6] τοσοῦτον πάλιν αὖ τὸν Ξενοφῶντα ὑπερβέβληκεν ὁ Αἰσχίνης τῇ λεπτότητι. διὸ καὶ πολλῷ καθαρώτερός ἐστιν, ἐπιμελής τε, ὡς ἐν ἀφελείᾳ, σφόδρα, καὶ μᾶλλόν[7] γε ἢ Ξενοφῶν.

## 3. Περὶ Νικοστράτου.

Ὁ δὲ Νικόστρατος (ἄξιον γὰρ οἶμαι, τάχ'[8] ἴσως δὲ καὶ ἀναγκαῖον, μετ' ἐκείνους καὶ τούτου ποιήσασθαι μνήμην) ἀφελὴς μὲν οὐδενὸς ἧττόν[9] ἐστι τῶν προειρημένων, λεπτότερος δὲ καὶ πολλῷ[10] καθαρώτερος σχεδὸν ἁπάντων. ὑπέρισχνον γὰρ[11] αὐτῷ τὸ εἶδος, καὶ οὐδαμοῦ μέγεθος ἔχον, πλὴν εἴ που κατ' ἔννοιαν μόνην. μύθοις μέντοι χαίρων καὶ ταῖς ἀπὸ τούτων ἡδοναῖς, ὅς γε καὶ μύθους αὐτὸς πολλοὺς ἔπλασεν, οὐκ Αἰσωπείους μόνον, ἀλλ' οἵους εἶναί πως καὶ δραματικούς. ἐπιμελὴς δὲ κατὰ[12] τὴν σύνταξιν ἀλλ' ὅτι[13] μάλιστα· μετὰ μέντοι

---

1 Titulus abest a Lips. 2 Lips. Vind. τοῦ Ξεν. κατὰ τὴν λέξιν. 3 τῶν Ald. Port. Mon. Vind. om., recepi ex Lips. 4 Lips. ὑπερβέβηκεν. h. l. et paullo post. vide de hac confusione ep. crit. p. 42. 5 Vind. φαίην. 6 Lips. ἔτι τοσούτῳ. 7 Lips. μᾶλλον ἢ ὁ Ξεν. 8 Vind. τάχα. 9 Vind. ἧττόν γε. 10 Port. πολλῶν. Lips. λεπτ. δὲ πολλῷ καὶ καθ. 11 Vind. δέ. 12 Lips. καὶ κατά. 13 Ald. Port. Mon. Lips. ἀλλ' ὅτι. Vind. ὡς ὅτι. Similiter p. 397. v. 23. de Thucydide: ἀξιωματικὸς δὲ ὁ

τοῦ μὴ λυμαίνεσθαι τῇ ἀφελείᾳ. ἀλλὰ περὶ μὲν τῶν κατὰ τὸ τοιοῦτο [14] τῶν πανηγυρικῶν εἶδος λόγων εὐδοκιμούντων ἀνδρῶν, μεθ' ὧν καὶ τὸν Νικόστρατον ἐτάξαμεν, τοσαῦτα εἰρήσθω. ἑξῆς δ' ἂν λέγοιμεν περὶ τῶν κατὰ τὸ ἱστορικὸν εἶδος ἐλλογίμων. οἱ γὰρ [15] Ἰσοκράτους τε καὶ Λυσίου Ὀλυμπικοί τε καὶ Παναθηναϊκοὶ καὶ αὐτὸ τοῦτο πανηγυρικοί, κἂν ἐπιγράφωνται οὕτω [16] Πανηγυρικοί, δῆλόν ἐστιν ὡς ἄλλο τι βούλονται· μετρίως γάρ πως ἔχουσι τὸ πανηγυρικὸν, καὶ ὅσον τάχα [17] ἂν καὶ συμβουλή τις ἢ δικανικὸς λόγος δέξαιτο. εἰ δὲ ἄρα καὶ ταύτης εἶεν τῆς ἰδέας τά τε ἄλλα, καὶ διὰ τὸν κόσμον τὸν [18] περὶ τὴν συνθήκην τοῦ Ἰσοκράτους, ἀρκεῖ τὰ λεχθέντα περὶ αὐτῶν ἐν τοῖς περὶ τῶν δικανικῶν τε καὶ συμβουλευτικῶν ἀνδρῶν εἰρημένοις. ἀλλὰ λεκτέον γε [19] ἤδη καὶ περὶ τῶν ἱστορικῶν, πλὴν Ξενοφῶντος· ὁποῖος γὰρ εἰς τοὺς λόγους ὁ ἀνὴρ, ὀλίγῳ πρότερον εἰρήκαμεν. 147

## 4. Περὶ Ἡροδότου.

Ἐν τοίνυν τοῖς καθ' ἱστορίαν πανηγυρικοῖς πανηγυρικώτατός ἐστιν ὁ Ἡρόδοτος. τὸ δ' αἴτιον, ὅτι μετὰ τοῦ καθαροῦ καὶ εὐκρινοῦς πολύς ἐστι ταῖς ἡδοναῖς. καὶ γὰρ ταῖς ἐννοίαις μυθικαῖς σχεδὸν ἁπάσαις καὶ τῇ λέξει ποιητικῇ κέχρηται διόλου. μέγεθος δὲ πολλαχοῦ μὲν ἔχει καὶ τὸ κατ' ἔννοιαν, κατὰ μέντοι ἐπιμέλειαν [20] καὶ τὸ πολὺ τοῦ κόσμου τὸ συναμφότερον, καὶ τὴν ἡδονὴν ἔχει καὶ τὸ μέγεθος. οἱ γὰρ πλεῖστοι τῶν ῥυθμῶν αὐτῷ κατά τε τὰς συνθήκας καὶ τὰς [21] βάσεις δακτυλικοί τέ εἰσι καὶ ἀναπαιστικοὶ, σπονδειακοί τε καὶ ὅλως σεμνοί. ἤθη δὲ καὶ

---

ἀνὴρ ἀλλ' ὅτι μάλιστα. 14 Mon. τοιοῦτον. 15 Vind. εἰ. 16 Vind. οὕτως. 17 Lips. τάχ' ἄν. 18 τὸν Lips. om. 19 γε Lips. om. 20 Lips. ἔννοιαν. Mon. τὴν ἐπιμέλ. 21 Lips. καὶ κατὰ τάς.

πάθη προσώπων, εἴπερ τις ἄλλος, κάλλιστα καὶ ποιητικώτατα μεμίμηται. διὰ δὲ τούτων καὶ πλείονι τῷ μεγέθει πολλαχοῦ κέχρηται, [22] ὡς ἔν τε ἄλλοις καὶ ἐν τῇ ἑβδόμῃ τῶν ἱστοριῶν κατὰ τοὺς Ξέρξου πρὸς Ἀρτάβαζον, [23] κἀκείνου πρὸς Ξέρξην περὶ [24] τῶν ἀνθρωπίνων [25] πραγμάτων λόγους. τοσαῦτα καὶ περὶ Ἡροδότου.

## 5. Περὶ Θουκυδίδου.

Περὶ δὲ Θουκυδίδου μέλλων λέγειν προδιορίσομαι [1] τοσοῦτον, ὡς οὐκ, [2] ἐπειδὴ μεθ' Ἡρόδοτον ἐμνήσθημεν αὐτοῦ καὶ μετ' ἄλλους, διὰ τοῦτο χρὴ νομίζειν, ὡς καὶ [3] τῇ κατὰ λόγους ἕξει τε καὶ δυνάμει μετ' ἐκείνους ἡμῖν τέτακται, ἐπεὶ οὐδὲ Ἡρόδοτον μετὰ [4] Νικόστρατον δήπουθεν ἢ μετ' Αἰσχίνην, ἀλλ' οὐδὲ μετὰ Ξενοφῶντα [5] ἡμεῖς τάττοιμεν ἄν, λόγων τε δυνάμεως ἕνεκα, καὶ τῆς κατ' αὐτοὺς ἕξεως, ἄλλως τε καὶ ἐν εἴδει πανηγυρικῷ· τῇ δὲ ἀκολουθίᾳ τοῦ [6] περὶ τῆς [7] ἰδέας ἐκείνης λόγου ἑπόμενοι ταύτῃ τῇ τάξει κεχρήμεθα, ἰδίᾳ μὲν τοὺς ἄλλους πανηγυρικούς, ἰδίᾳ δὲ καὶ [8] τοὺς ἱστορικοὺς τιθέντες. καὶ τῶν ἱστορικῶν δὲ ἐν πρώτοις Ἡροδότου διὰ τοῦτο ἐμνήσθημεν, ὅτι πανηγυρικώτερος καὶ ἡδίων οὐ Θουκυδίδου [9] μόνον, ἀλλ' ἴσως ἁπάντων ἐστὶ τῶν οὕτω γρά-

---

22 Lips. κέχρηται πολλαχοῦ. 23 Confundit Hermogenes Artabazum cum Artabano. Eundem lapsum Philostrati de Vit. Soph. II. 5. 4. notat Valck. ad Herod. VII. 45. 24 περὶ Mon. om. 25 Lips. ἀνθρωπείων.

1 Ald. Port. Mon. Vind. προσδιορίσομαι. Lips. προδιορ. 2 οὐκ Lips. om. 3 καὶ Mon. Lips. om. — tum Lips. κατὰ τοὺς λόγους. 4 μετὰ Νικόστρ. — — ἀλλ' οὐδὲ Vind. om. 5 In Lips. sequitur lacuna sex fere litterarum capax, sed in marg. annotatum: οὐδὲν λείπει. 6 Lips. τῇ. 7 Vind. τάς. 8 καὶ Vind. Mon. Lips. om. 9 Edd. μόνον Θουκυδ. Vind. Mon. Lips. Θουκυδ. μόνον.

φειν λόγους προελομένων. ἐπεὶ Θουκυδίδης γε κἂν [10] ἀμφισβήτησίν τῳ παράσχοι, μεθ' ὧν ἐξετάζοιτ' ἂν δικαίως. οὐχ ἧττον γὰρ δικανικός ἐστι [11] καὶ συμβουλευτικὸς, ἢ πανηγυρικὸς· λέγω καὶ κατὰ τὰς ἐννοίας καὶ τὸ μηδὲν ἀκατασκεύως εἰσάγειν. ἀλλὰ τετάχθω μὲν, ἔνθα αὐτῷ καὶ προσήκει τετάχθαι καθ' ἑκάτερον, κατά τε [12] τὸ τῶν λόγων εἶδος καὶ κατὰ τὸ προκεκρίσθαι τινῶν. ἑτέρων δὲ, εἰ καὶ τοῦτο συμβαίνοι, [13] τὰ δεύτερα φερέσθω [14] τῆς περὶ τοὺς λόγους ἕξεως ἕνεκα. ἡμεῖς δὲ ὁποῖός τίς ἐστι, χαρακτηρίσωμεν. [15]

Ὁ τοίνυν Θουκυδίδης μάλιστα μεγέθους ἐφιέμενος τυγχάνει μὲν τοῦ μεγέθους, οὐ μὴν οὗπερ ἐφίεσθαί μοι δοκεῖ μεγέθους τυγχάνει· [16] βούλεται μὲν γὰρ, ὡς ἔγωγε οἶμαι, [17] σεμνὸν εἶναι τὸν λόγον αὐτῷ, ὅπερ ἴδιον μεγέθους [18] πανηγυρικοῦ· φαίνεται δὲ ὑπερβαίνων τοῦτο, καὶ μάλιστα κατὰ τὴν λέξιν, ἐπὶ τὸ [19] τραχύτερον μᾶλλον, καὶ τὸ σκληρότερον, καὶ διὰ τοῦτο ἐπὶ τὸ ἀσαφέστερον, καὶ ἔτι κατὰ [20] συνθήκην τῶν λέξεων. ἐπιμελεῖται μὲν γὰρ κόσμου ὅτι [21] μάλιστα· βουλόμενος δὲ εἶναι καὶ τοῦτο [22] ὑψηλὸν αὐτῷ καὶ ὑπέρογκον, πάλιν ὑπερεκπίπτει κατά τε τὰς ὑπερβολὰς [23] καὶ τὰς καινότητας τῶν συνθηκῶν, ὥστε ἐπὶ τὸ σκληρότερον, καὶ δι' αὐτὸ ἐπὶ τὸ ἀσαφέστερον [24] φέρεσθαι. ἀξιωματικὸς δὲ ὁ ἀνὴρ ἀλλ'

---

10 Vind. *γε κἄν.* Lips. *κἄν.* Edd. Mon. *γε καὶ.* 11 Lips. *ἐστι δικανικός.* 12 Vind. *γε.* 13 Ald. Port. Mon. *συμβαίνει.* Port. Vind. *συμβαίνοι.* 14 Lips. *φέρεσθαι.* 15 Vind. Mon. Lips. *χαρακτηρίσομεν.* 16 Mon. *τυγχάνει μεγέθους.* id. sq. *μὲν* om. 17 Lips. *οἴομαι.* 18 Mon. *μεγέθους* om. Vind. Lips. *μεγέθους λόγον πανηγ.* 19 *τὸ* Lips. om. 20 Vind. Lips. *κατὰ τὴν σύνθεσιν.* Permutatio orta ex communi compendio scribendi *συν.* Bast. ad Gregor. Cor. p. 161. 844. 21 Lips. *ἀλλ' ὅτι.* 22 Vind. *τοῦτο εἶναι αὐτῷ ὑψ.* 23 Vind. Lips. *περιβολάς.* tum Ald. Mon. *κοινότητας.* Port. Lips. *καιν.* 24 Lips. *σαφέστερον.*

ὅτι μάλιστα. ταῖς δὲ ἐννοίαις, εἴπερ τις ἄλλος, πολιτικὸς ὁμοῦ καὶ σεμνός. οὐδὲν γὰρ ἀκατάσκευον [25] οὐδὲ ἐν ταῖς ἱστορίαις ἀπολείπει. [26] ταῖς μέντοι μεθόδοις οὐ τοιοῦτος. μετὰ γὰρ μεγέθους τινὸς γνωρίμου ἢ τινος ἑτέρου τοιούτου καὶ τὰς κατασκευὰς εἰσάγει· [27] διὸ καὶ ἀγλευκής ἐστι σχεδὸν διόλου. εἰ δέ που καὶ γλυκύτητα ἔχει,
148 μάλιστα μὲν ὥσπερ ἀλλότριόν τι τῆς ἰδέας αὐτοῦ ἐκφαίνεται [28] τὸ μέρος ἐκεῖνο. οἷόν ἐστι καὶ τὸ, [29] Τηρεῖ δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπὸ Ἀθηνῶν σχόντι γυναῖκα, καὶ τὰ ἑξῆς, καὶ ὅσα τοιαῦτα. θαυμάζειν δὲ, εἰ καὶ μὴ τοιοῦτον ἦν, τοῦτο οὐκ ἐχρῆν, ὅτι καὶ ἡδονήν που [30] ἔσχεν ὁ λόγος αὐτῷ. σχεδὸν γὰρ οὐδ' ἄλλος τις τῶν κατ' ἄνδρα λόγων [31] ὁτιοῦν εἶδος προελόμενός τε καὶ ἐργασάμενος δύναιτ' [32] ἂν καθαρὸς ὀφθῆναι, καὶ μὴ [33] οὐχὶ καὶ [34] τῶν ἄλλων ἁπάντων ἀμηγέπη [35] προσαψάμενος εἰδῶν τοῦ λόγου. ἔτι ὡς ἱστορικὸς ὁ Θουκυδίδης κέχρηται μὲν καὶ μιμήσει κατά τε [36] τὰς δημηγορίας, καὶ ἔν τισι διαλόγοις· ὁ αὐτὸς δέ ἐστι κἀν τούτοις, μᾶλλον δὲ μειζόνως ἐστὶν [37] ἐν τούτοις τοιοῦτος, οἷον αὐτὸν ἐχαρακτηρίζομεν. ἐπεὶ ἔν γε τῇ ἱστορίᾳ ἧττόν ἐστι σκληρὸς καὶ τραχύς. ἔχει γὰρ πολλὰ ἐνταῦθα καθαρά τε καὶ εὐκρινῆ. καὶ τόν γε διδάσκαλον αὐτοῦ τὸν Ἀντιφῶντα

---

ἀπο

25 Vind. ἀκατασκεύαστον οὐδ' ἐν. 26 Mon. ὁ ἀνὴρ καταλείπει. 27 εἰσάγει Lips. om. — Sqq. διὸ καὶ ἀγλεύκης ἐστι σχεδὸν Vind. om. 28 Lips. ἐμφαίνεται. tum Mon. ἐκείνου. 29 L. II. 29. 30 Vind. κως. 31 Ald. λόγων. tum Vind. Lips. ὁτιοῦν ἓν. Ald. Mon. εἶδος om. 32 Ald. δύνατ' ἄν. 33 Vind. καὶ οὐ μὴ οὐχί. 34 Lips. καὶ om. 35 Ald. Mon. Vind. ἀμηγέπη, ut plures Codd. apud Plat. Protag. p. 323. C. Phaedr. p. 228. C. 36 Vind. γε. tum Ald. δημιγορίας. 37 Ald. ἐστὶ τοιοῦτος. Mon. ἐν τούτοις ἐστὶ τοιοῦτος. Port. Vind. Lips. ἐστὶν ἐν τούτοις τοιοῦτος.

πολλοῖς μὲν καὶ ἄλλοις, τούτοις δὲ οἶμαι καὶ μᾶλλον παρελήλυθε. τοσαῦτα καὶ περὶ τοῦ [38] Θουκυδίδου.

## 6. Περὶ Ἑκαταίου.

Ἑκαταῖος δὲ ὁ Μιλήσιος, παρ' οὗ δὴ μάλιστα ὠφέληται ὁ [1] Ἡρόδοτος, καθαρὸς μέν ἐστι καὶ σαφὴς, ἐν δέ τισι καὶ ἡδὺς οὐ [2] μετρίως. τῇ διαλέκτῳ δὲ ἀκράτῳ Ἰάδι, καὶ οὐ μεμιγμένῃ χρησάμενος, οὐδὲ κατὰ τὸν [3] Ἡρόδοτον ποικίλῃ, ἧττόν ἐστιν ἕνεκά γε τῆς λέξεως ποιητικός. καὶ ἡ ἐπιμέλεια δὲ αὐτῷ οὐ τοιαύτη, οὐδ' [4] ὅμοιος ὁ κόσμος ὁ περὶ αὐτήν. διὸ καὶ ταῖς ἡδοναῖς ἐλαττοῦται πολλῷ τοῦ Ἡροδότου· ἀλλὰ πάνυ πολλῷ, καίτοι γε μύθους [5] τὰ πάντα σχεδὸν καὶ τοιαύτην τινὰ ἱστορίαν συγγραψάμενος. ἀλλ' οὐ μόνον ἡ ἔννοια ἱκανὴ λόγων εἶδος ὁτιοῦν [6] ἐξεργάσασθαι, πολὺ δὲ ἔχει καὶ [7] ἡ λέξις καὶ τὰ περὶ τὴν λέξιν, οἷον, σχήματα, κῶλα, συνθῆκαι, ῥυθμοὶ, ἀναπαίσεις, πρὸς τὸ [8] ἡδονὰς ποιῆσαι καὶ γλυκύτητας, οἷαί εἰσιν αἱ παρὰ [9] Ἡροδότῳ, καὶ νὴ Δία γε ἄλλο τι λόγων εἶδος, ὡς ἔκασται [10] πεφύκασιν ἐργάζεσθαι λόγων ἰδέαι. εἰκότως οὖν τοῦτο ὁ Ἑκαταῖος πέπονθε, τῆς ἐπιμελείας καὶ τοῦ περὶ [11] τὴν λέξιν κόσμου μὴ ὁμοίως φροντίσας· τοσαῦτα καὶ περὶ Ἑκαταίου.

---

38 τοῦ Vind. Lips. om. 1 Lips. ὁ om. 2 οὐ Vind. om. 3 Vind. τὸν om. — cfr. Excerpta ex cod. Par. ad calcem Gregorii Cor. p. 679. Ἱπποκράτης — — ἀκράτῳ τῇ Ἰάδι χρῆται· ὁ γὰρ Ἡρόδοτος συμμίσγει αὐτὴν τῇ ποιητικῇ. ibid. p. 910. ἀλλ' ἀναμφίβολον πάλιν τοῦτο ποιεῖ, τὸ μὴ τὸν Ἡρόδοτον ἀκράτῳ τῇ Ἰάδι χρῆσθαι, ἀλλὰ μεμιγμένῃ τῇ ποιητικῇ. 4 Ald. Port. οὐδέ. Mon. Vind. Lips. οὐδ'. 5 Ald. Vind. καίτοι γε μύθους γε, Port. Mon. καί τοι γε μύθους. Lips. καίτοι μύθους γε. 6 Lips. ὁτιοῦν. 7 Lips. καὶ om. 8 Vind. Mon. τὸ καὶ ἡδ. 9 Lips. παρὰ τῷ Ἡρ. 10 Mon. ἕκαστα. tum Lips. πεφύκασι. 11 Lips. παρά.

Περὶ [12] δὲ Θεοπόμπου καὶ Ἐφόρου καὶ Ἑλλανίκου καὶ Φιλίστου καὶ τῶν ὁμοίων τούτοις περιττὸν ἔδοξεν εἶναί μοι γράφειν, μάλιστα μὲν καὶ διὰ [13] τὸ ἀπό τε τοῦ περὶ τῶν [14] ἰδεῶν λόγου καὶ τῶν κατ' ἄνδρα εἰρημένων μὴ χαλεπῶς ἡγεῖσθαι δύνασθαί τινα καὶ [15] περὶ ἐκείνων χαρακτηρίσαι. πρὸς δὲ τούτῳ [16] καὶ ὅτι ζήλου καὶ μιμήσεως τὰ εἴδη τῶν λόγων αὐτῶν οὐ πάνυ τι, [17] μᾶλλον δὲ οὐδ' ὅλως, ὅσα γε ἐμὲ [18] γινώσκειν, ἠξίωται παρὰ τοῖς Ἕλλησι, [19] καθάπερ τὰ τῶν ἄλλων, οἷον Θουκυδίδου, Ἡροδότου, Ἑκαταίου, Ξενοφῶντος, τῶν [20] λοιπῶν.

Τούτοις ἑπόμενόν ἐστι τοὺς μεθ' Ὅμηρον ποιητὰς χαρακτηρίσαι, ὥσπερ τοὺς μετὰ Δημοσθένην ῥήτορας ἐχαρακτηρίζομεν, καὶ τοὺς μετὰ Πλάτωνα [21] λογογράφους, πρότερον περὶ αὐτῶν ἐκείνων [22] εἰπόντες, Πλάτωνος καὶ Δημοσθένους, ὥσπερ καὶ περὶ Ὁμήρου. ἴσως δὲ καὶ περὶ τούτων οὐκ [23] ἀναγκαίως εἰρήκαμεν, δυναμένων [24] ῥᾳδίως χαρακτηρίζειν καὶ πάνθ' ὁντινοῦν [25] καὶ νέον καὶ παλαιὸν καὶ ποιητὴν καὶ λογογράφον καὶ ῥήτορα, τῶν τὰ γενικὰ δὴ ταῦτα εἴδη τοῦ λόγου καὶ οἷον στοιχεῖα πάσης ἰδέας ἐπεσκεμμένων, περὶ ὧν τὴν πᾶσαν πραγματείαν [26] ταύτην συνεστησάμεθα. ὥστε περιττῶς

ἂν

---

12 In Lips. est nova inscriptio: *περὶ Θεοπόμπου καὶ Ἐφόρου καὶ Ἑλλανίκου καὶ Φιλίστου καὶ τῶν ὁμοίων.* 13 Ald. *διὰ τὸ περὶ ἀπό τε.* Port. Codd. *περὶ* om. 14 *τῶν* Lips. om. 15 Lips. *καὶ τῶν.* 16 Lips. *τούτοις.* 17 Ald. Port. *τοι.* Mon. Vind. Lips. *τι.* tum Lips. *δ' οὐδόλως.* 18 Lips. *ἐμοί.* 19 Lips. *ἄλλοις.* 20 Vind. *καὶ τῶν ἄλλων.* 21 Port. inserit *δή.* — v. 15. Ald. Port. Mon. *πρῶτον.* Lips. *πρότερον.* Vind. *πρότερον καί.* 22 *ἐκείνων* ex Mon. Lips. recepi, abest ab Ald. Port. Vind. 23 Lips. *οὐκ* om. 24 Lips. *δύναμιν.* 25 Mon. *ὁντινοῦν.* tum Ald. *παλεόν.* 26 Ald. Vind. *γραμματείαν.* Port. Mon. Lips. *πραγματείαν.* tum Mon. *ἐνεστησάμεθα*, quae lectio commendatur usu Demosthenis. vide

ἂν πλεονάζοιμεν καὶ περὶ τῶν ποιητῶν καθ' ἕκαστον διεξιόντες, ἄλλως τε καὶ πάνυ πολλοῦ γενησομένου τοῦ λόγου, μὴ μόνον περιττοῦ. δεῖ γὰρ δή που πρότερον, εἰ μέλλει τις ταῦτα ὀρθῶς διευκρινήσειν, ἰδίᾳ μὲν περὶ ἐποποιΐας εἰπεῖν τι καὶ τῶν κατ' αὐτὴν δευτέρων τε καὶ τρίτων μεθ' Ὅμηρον, ἰδίᾳ δ' αὖ [27] περὶ τραγῳδίας καὶ κωμῳδίας ὡσαύτως, τῶν τε λυρικῶν ποιημάτων καὶ τῶν ἄλλων εἰδῶν τῆς ποιήσεως ἁπάντων καθ' [28] ἕκαστόν γε [29] αὐτῶν εἰπεῖν, τίς ὁ πρῶτος καὶ διὰ τί, καὶ τίς [30] ὁ δεύτερος καὶ διὰ τί· ὥστε σχεδὸν εἰς ἀπέραντόν τι [31] τὸν λόγον προελθεῖν. ἀπάχρη οὖν τὰ προειρημένα, καὶ τέλος ἡμῖν ὁ περὶ τῶν [32] ἰδεῶν λόγος τοῦτο ἐχέτω. μεθ' ὃν ὁ περὶ τῆς κατὰ μέθοδον δεινότητος γεγράψεται, ὅς ἐστιν ἔλλειμμά [33] τι τῆς πραγματείας ταύτης· καίτοι πολλῷ καὶ ταύτην παρεληλυθὼς, [34] ὡς καὶ μικρῷ πρότερον διωρισάμην, καὶ αὐτὸ δηλώσειν τὸ πρᾶγμα φημί. [35]

---

Reisk. Ind. s. v. *ἐνίστασθαι.* 27 Lips. *δὲ περί.* 28 Mon. *καὶ καθ' ἕκ.* 29 Vind. Lips. *τε.* 30 *καὶ τίς ὁ δεύτ. καὶ διατί* Vind. om. 31 Lips. *τε.* tum Port. *προελθεῖν τὸν λόγον.* 32 *τῶν* Vind. Lips. om. 33 Ald. *ἔλιμμα.* marg. Vict. *ἔλειμμα.* Port. Codd. *ἔλλειμμα.* 34 Ald. *προςεληλυθώς.* Port. Mon. Vind. Lips. *παρεληλ.* 35 Sequitur in Vind. *τέλος τοῦ δευτέρου λόγου τοῦ περὶ ἰδεῶν καὶ ἑπομένως παντὸς τοῦ περὶ ἰδεῶν λόγου.*

149 # ΕΡΜΟΓΕΝΟΥΣ

## ΠΕΡΙ ΜΕΘΟΔΟΥ ΔΕΙΝΟΤΗΤΟΣ.

### Cap. I.

*Πᾶν μέρος λόγου εὕρηται μὲν ἐπὶ μηνύσει πράγματος, καιροῦ δὲ ἰδίου τυχόν. ὁ δὲ καιρὸς κατὰ ἤθους προσθήκην γινόμενος ἰδίαν διάνοιαν* [1] *ἀπεργάζεται. οὐ μόνον ἰδίαν, ἀλλὰ καὶ διάφορον· καὶ οὐ μόνον διάφορον, ἀλλὰ καὶ διαφόρους· καὶ* [2] *οὐ μόνον διαφόρους, ἀλλὰ καὶ ἐναντίας. οἷον, κακοῦργος πᾶς ὁ κακόν τι ἐργαζόμενος, ἰδίως δὲ ὁ κλέπτης. διάφορον δὲ, οἷον δημηγορεῖν, τὸ ἐν δήμῳ ἀγορεύειν, ἰδίως δὲ τὸ κεχαρισμένα λέγειν, καὶ τὸ ἀπαίδευτα λέγειν. διαφόρους δὲ, οἷον ἄνθρωπος γένους ὄνομα καὶ ἤθους ἡμέρου καὶ τύχης ὄνομα, καὶ πανουργίας. ἐναντίας δὲ, ὡς τὸ,* [3] *μείνατ' ἐπὶ χρόνον, τὸν πολὺν, τὸν ὀλίγον. καὶ παρὰ Πλάτωνι χρόνον δὴ τὸν πολὺν δηλοῖ. καὶ τὸ,* [4] *αὐτὸς, ὦ Φαίδων, παρεγένου; αὐτὸς, ὦ Ἐχέκρατες· ὁ μὲν γὰρ ἤρετο* [5] *ὡς θαυμάζων καὶ μακαρίζων τὸν παραγενόμενον, ὁ δὲ ἀπεκρίνατο* [6] *σεμνυνόμενος καὶ μεγαφρονῶν.*

---

1 Ald. Port. Mon. *διαφοράν.* Port. ad marg. *γρ. διάνοιαν.* ita Par. Vind. tum Par. *γρ. ἐργάζεται.* 2 Vind. *καὶ* om. 3 Il. *β.* 299. 4 Phaedone init. 5 Vind. *εἴρετο.* 6 Vind. *ἀποκρίναται.*

## Cap. II.

### ΠΕΡΙ ΛΕΞΕΩΣ ΛΓΝΟΟΥΜΕΝΗΣ ΕΝ ΠΕΖΩι ΛΟΓΩι. [7]

*Πάσης λέξεως τῆς ἀγνοουμένης ἐν πεζῷ λόγῳ τρεῖς μέθοδοι τῆς εὑρέσεως. ἢ γὰρ ἐθνική ἐστιν ἡ λέξις ἢ τεχνικὴ ἢ νομική. ὁ γοῦν παρασάγγης [8] οὐκ οἶδα τί ἐστιν. ἐθνικόν γάρ ἐστι καὶ Περσικὸν ὁδοῦ μέτρον, οἱ τριάκοντα στάδιοι· σχοῖνος δὲ Αἰγύπτιον οἱ ἑξήκοντα στάδιοι. νομικὸν δὲ ὄνομα τὸ τοιοῦτον· πομπεύειν [9] ἀντὶ τοῦ κατηγορεῖν εἴλετο. ἐν Ἀθήναις τοῖς Διονυσίοις ἐπόμπευον, καὶ ἀλλήλοις διελοιδοροῦντο, καὶ τοῦτο [10] ἐκαλεῖτο πομπεύειν. καὶ ἡ [11] εἰσαγγελία δὲ καὶ ἡ φάσις καὶ ἄλλα τοιαῦτα ὀνόματα νομικά ἐστι. τεχνικὰ δὲ ἐκεῖνα· ζεύξαντες τὰς παλαιὰς ναῦς. [12] ναυπηγικὸν ὄνομα. καὶ δὶς διὰ τεσσάρων μουσικόν· καὶ μοσχεύειν [13] γεωργικόν. καὶ ὅσα τοιαῦτα.*

---

## Cap. III.

### ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΛΕΞΙΝ ΑΜΑΡΤΗΜΑΤΩΝ.

*Τὰ ἁμαρτήματα κατὰ [14] τὴν λέξιν κατὰ δύο τρό-*

---

7 Tituli usque ad finem libri absunt ab Ald. Mon., sunt in Port. et plerisque, quos inspexi, Hermogenis codd., recentioribus praesertim. In Mon. distinctio capitum intervallo relicto notatur. Vind. titulos modo ponit, modo om. 8 Her. II. 6. Eustath. ad Od. I. p. 1854. *κεῖται δὲ καὶ ἐν Ἡροδότῳ βάρβαρος λέξις ὁ βουνός· Λιβυκὴ γάρ· καὶ παρ' ἑτέροις, ὁ παρασάγγης, ὅ καὶ παρὰ Ἑρμογένει.* 9 pro cor. p. 268. 10 Vind. *τοῦτ' ἐκ.* 11 Ald. ἡ om., est in Port. Mon. Vind. 12 Thuc. I. 29. 13 Marg. Vict. laudat Dem. c. Aristog. I. p. 785. *οὐδὲ γὰρ τοὺς προγόνους ὑπολαμβάνω τὰ δικαστήρια ταῦθ' ὑμῖν οἰκοδομῆσαι, ἵνα τοὺς τοιούτους ἐν αὐτοῖς μοσχεύητε.* 14 Vind. *τὰ κατά.*

πους γίνεται, ἀκυρίαν καὶ παραφθοράν. ἀκυρίαν μέν, οἷον, ἐὰν εἴπῃ τις ἐρωτῶ καὶ παρακαλῶ ἀντὶ τοῦ δέομαι, ἀκύρως εἴρηκε. τὸ μὲν γὰρ παρακαλεῖν ἢ καλεῖν ἐστιν ἢ προτρέπεσθαι. τὸ δὲ ἐρωτᾷν πυνθάνεσθαι. παραφθορὰν δὲ, οἷον, ὃ καλοῦσι διάζωμα ἐάν τις εἴπῃ διαζώστραν. ἢ [15] τὸ αἱμωδεῖν ἀμωδεῖν, καὶ τὰ τοιαῦτα.

## Cap. IV.

### ΠΕΡΙ ΤΟΥ ΠΟΤΕ ΤΑΥΤΟΤΗΤΙ ΟΝΟΜΑΤΩΝ ΧΡΗΣΟΜΕΘΑ, ΚΑΙ ΠΟΤΕ ΠΟΙΚΙΛΙΑι.

Πότε ταυτότητι ὀνομάτων χρησόμεθα, [1] καὶ πότε ποικιλίᾳ; ταυτότητι μὲν, ὅταν τοῦ πράγματος ἓν ὄνομα ᾖ τὸ ἐναργέστατον. τότε γὰρ οὐ δεῖ [2] χορηγίαν ζητεῖν τὴν ἀφανίζουσαν τὴν ἐναργείαν τοῦ πράγματος. ἐὰν δέ τις παραλάβῃ, ἐπίδειξιν μὲν ἄκαιρον ἐποιήσατο· τὴν χρείαν δὲ ἀπολώλεκε τῆς συγγραφῆς. Ὅμηρος,

Ὡς δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσιν, [3]
Ἣν τ' Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ,
Τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·
Ὡς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης.

οὔτε τὸ λείβεται οὔτε τὸ χεῖται οὔτε τὸ λύεται οὕτως ἁρμόζει, ὡς τὸ τήκεται· ὄψις γάρ ἐστι χιόνος ἀναλισκομένης ἡ τηκεδών. ὅταν δὲ πολλὰ ὀνόματα ἔχῃ τις ἰσότιμα καὶ ὁμοίως ἔχοντα ἐναργείαν χρήσιμον, ἡ ποικιλία ἁρμόζει. οἷον, Ὅμηρος,

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ [4] βέλος ὀξὺ γυναῖκα

---

15 ἢ Mon. om. Vind. αἱμοδεῖν ἀμμωδεῖν. 1 Vind. χρησόμεθα ὀνομάτων. 2 Mon. οὐ δεῖ ζητεῖν χορ. Vind. οὐ ζητεῖν χρὴ χορηγίαν ἀφανίζ. 3 Ald. ὄρεσιν. — Od. τ. 205. 4 Ald. Port. Vind. ἔχει. Mon. ἔχῃ. Il. λ. 269.

Δριμὺ, τά τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι, [5]
Ἥρης θυγατέρες πικρὰς ὠδῖνας [6] ἔχουσαι.

ἔχομεν ὀξὺ, δριμὺ, πικρόν. ἐπεὶ δ' οὐκ ἔχει ἄλλο ἰσότιμον, ἐπὶ τὸ πρῶτον ἐπανέρχεται.

Ὡς ὀξεῖ' [7] ὀδύναι δῦνον μένος Ἀτρείδαο,

καὶ ὁ Θουκυδίδης ἐν τῷ προοιμίῳ, τεκμήριον, σημεῖον, παράδειγμα, μαρτύριον· καὶ ἀεὶ κύκλον ποιεῖται τῶν ὀνομάτων. ἐκ δὲ τεκμηρίων, [8] ὧν ἐπὶ μακρότατον σκοπουῦντί μοι πιστεῦσαι ξυμβαίνει. καὶ μαρτύριον δέ· [9] Δήλου γὰρ καθαιρομένης [10] ὑπὸ Ἀθηναίων. καὶ [11] σημεῖον δ' ἐστὶ ταῦτα τῆς Ἑλλάδος ἔτι οὕτω γινόμενα περί τε Λοκροὺς τοὺς Ὀζόλας καὶ [12] Αἰτωλοὺς καὶ Ἀκαρνᾶνας. καὶ [13] παράδειγμα τόδε τοῦ λόγου οὐκ ἐλάχιστόν ἐστι διὰ τὰς μετοικίας εἰς τὰ ἄλλα μὴ ὁμοίως αὐξηθῆναι. [14]

## Cap. V.

### ΠΕΡΙ ΠΕΡΙΤΤΟΤΗΤΟΣ.

Ἡ περιττότης ἐστὶ διπλῆ, καὶ κατὰ λέξιν καὶ κατὰ γνώμην. ἑκατέρα δὲ διπλῆ, καὶ ἡ κατὰ λέξιν καὶ ἡ κατὰ γνώμην. καὶ ἡ μὲν κατὰ λέξιν γίνεται διατριβῇ καὶ πλή-

5 Port. Εἰλήθυιαι. 6 Ald. ὀδύνας. Vind. ὠδίνας. Port. Mon. ὠδῖνας. 7 Ald. Mon. Vind. ὀξεῖαι ὀδῦναι. etiam Port. ἀδῦναι. Il. λ. 272. 8 Thuc. I. 1. 9 I. 8. 10 Ald. Mon. Vind. καθαιρουμένης. Port. καθαιρομένης. tum Ald. Mon. ἀπό, Port. Vind. ὑπό. 11 Duos locos more suo consarcinavit in unum, primum σημεῖόν δ' ἐστι — γινόμενα [Thuc. νεμόμενα] ex c. 6. init. alterum περὶ τε Λοκροὺς — Ἀκαρνᾶνας ex c. 5. fine. 12 Ald. Mon. καὶ τοὺς Αἰτ. Port. Vind. τοὺς om. 13 II. 13. 14 Vind. αὐξηθειην. ad marg. γρ. αὐξηθῆναι.

θει. ἡ δὲ κατὰ γνώμην κατὰ ἐπενθυμήσεις καὶ λόγων καθολικῶν τοῖς ἰδίοις συμπλοκήν· διατριβή ἐστι [1] βραχέως διανοήματος ἠθικοῦ ἔκτασις, ἵνα ἐμμείνῃ τὸ ἦθος τοῦ λέγοντος ἐν τῇ γνώμῃ τοῦ ἀκούοντος. οἷον, τὴν μὲν ὕβριν Μειδίου πάντες ἴστε. ἐξέτεινε δ' αὐτὴν [2] οὕτως· τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταί, [3] καὶ τὴν ὕβριν, ἣ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὔθ' [4] ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἶομαι. καὶ τὸ περὶ τοῦ στεφάνου προοίμιον ὁμοίως ἔχει. πλῆθος δέ ἐστι ποικίλων ὀνομάτων ἰσοτίμων [5] ἐπίχυσις, εἰς κίνησιν ἤθους· οἷον, τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη [6] ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν [7] ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα· ὅπου καὶ τὸ πλῆθος ἔδειξεν εἰπὼν ὁμοῦ. ἡ δὲ ἐπενθύμησίς ἐστι ἐνθύμημα ἐπιφερόμενον, ὃ μὴ προστεθὲν μὲν οὐ ποθεῖται. [8] προστεθὲν δὲ τὸ πᾶν ὠφελεῖ. οἱ δὲ καθολικοὶ λόγοι δῆλον ὅ τί ποτέ εἰσι. παραδείγματα καὶ τῶν ἐπενθυμήσεων καὶ τῶν καθολικῶν λόγων παραλλάξ [9] εἰσιν, ὡς [10] ἐν τῷ Θουκυδίδου ἐπιταφίῳ· ὧν ὁ καιρὸς οὗτος. πρὸς μὲν τὰ σκληρὰ καὶ αὐθάδη διανοήματα [11] ἐπενθυμήσεις παραλαμβάνονται, ἵνα μαλάξωσι τὰ ἤθη, πρὸς δὲ τὴν πίστιν τῶν ἰδίων λόγων οἱ κοινοὶ λόγοι καὶ καθολικοί, ἀμφοτέρων δ' ἦν ἐν τῷ ἐπιταφίῳ χρεία, καὶ γὰρ αὖ-

---

1 Mon, δέ ἐστι, 2 Vind, δὲ αὐτό, 3 ὦ ἄνδρες δικασταὶ Vind, om. — in Mid, init, 4 οὔθ' Vind, om. 5 ἰσοτίμων Mon, om, 6 Ald, Port. Vind. αὐτή. Mon, αὕτη, ut Dem. p, 229, 7 Ald, Port, καὶ προπηλ, καὶ λοιδορίαν, ordinem Demosthenis restituit Mon, Vind, 8 Vind, ζητεῖται, 9 Ald. παραλάξ, Par. παραλλάξεις ἐν τῷ, correctum εἰσίν. ad marg. γρ. παραλλάξ εἰσιν ἐν τῷ Θουκ, ἐπ, 10 ὡς Ald. Port. om., recepi ex Mon. Vind, 11 Vind. ὑπρνοήματα.

θαδές ἐστι καὶ ἄπιστον τὸ λέγειν, οὐκ ἔδει γενέσθαι [12] ἐπιτάφιον τῶν πάλαι εὐδοκιμησάντων· [13] πρὸς μὲν γὰρ [14] τὸ αὔθαδες αἱ ἐπενθυμήσεις· πρὸς δὲ τὸ ἄπιστον οἱ καθολικοὶ λόγοι.

---

## Cap. VI.

### ΠΕΡΙ ΑΥΘΑΔΩΝ ΚΑΙ ΤΟΛΜΗΡΩΝ ΔΙΑΝΟΗΜΑΤΩΝ.

Τῶν δὲ αὐθαδῶν καὶ τολμηρῶν διανοημάτων θεραπεῖαι καὶ παραμυθίαι δύο, ἡ βραχεῖα προσθήκη, ἡ ὁμολογία τοῦ τολμήματος. βραχεῖα μὲν οὖν προσθήκη, οὕτως. ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ Ἀθηναῖοι, [1] μονονουχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν [2] ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστί. καὶ πάλιν ἀλλαχοῦ, [3] ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς ἑαυτοῦ πονηρίας κατασκεδάσας. καὶ Πλάτων· [4] οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι ποτίμῳ λόγῳ· αὔθαδες δὲ [5] τοῦτο. τίς οὖν ἡ βραχεῖα προσθήκη; οἷον ἁλμυρὰν ἀκοήν. ὁμολογία δὲ τοῦ τολμήματος, ὡς ἐν τῷ κατὰ Τιμοκράτους· [6] καὶ γὰρ εἰ φορτικὸς ὁ λόγος εἶναι δοκεῖ, ὅμως ἐρῶ. ἀποκτείνατε αὐτὸν, ἵνα τοῖς ἀσεβέσιν ἐν Ἅιδου θῇ τοῦτον τὸν νόμον.

---

12 Vind. *λέγεσθαι.* 13 Ald. Mon. Vind. *πάλαι οὕτω δοκιμασάντων.* Port. *πάλαι εὐδοκιμησάντων.* 14 *γὰρ* et sq. *αἱ* Vind. om.

1 Port. *ὦ ἄνδρες Ἀθ.* Vind. om. 2 Ald. Port. *ἡμῖν.* Mon. Vind. *ὑμῖν*, ut Dem. Ol. I. p. 9. 3 pro cor. p. 242. 4 Phaedr. p. 343. c. — Vind. *οἷον* om. 5 Ald. *δή.* Mon. *δέ.* Vind. om. Port. *αὔθ. τὸ τοιοῦτο.* 6 p. 732.

## Cap. VII.

### ΠΕΡΙ ΠΑΡΑΛΕΙΨΕΩΣ.

Πότε παράλειψις καὶ ἀποσιώπησις γίνεται; ὅταν βουληθῶμεν τὴν ὑπόνοιαν μείζονα καταστῆσαι τοῦ πράγματος ἐν τῇ γνώμῃ τῶν ἀκουόντων, ἢ λέγομεν· [1] οἷον, λάβωμεν πρῶτον ἐκ τοῦ λόγου παράδειγμα. πῶς οὗτος κέχρηται τῷ πατρί; λέγω ἴσως, ἢ [2] ἀντεῖπεν, ἢ οὐκ ἐπείσθη. ἡ δὲ ἀποσιώπησις μείζονα τὴν ὑπόνοιαν πεποίηκεν, ὡς ἐπιβουλεύων τῷ πατρί. Δημοσθένης δὲ τῇ ἀποσιωπήσει τῇ τελείᾳ οὕτως κέχρηται ἐν τῷ περὶ τοῦ [3] στεφάνου. ἀλλ' ἐμοὶ μέν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδέν, [4] ἀρχόμενος τοῦ λόγου.

Ἓν προσποιήσει δὲ παραλείψεως ἡ [5] μνήμη τῶν πραγμάτων κατὰ τρεῖς τρόπους γίνεται ἤτοι ὅταν μικρὰ μὲν [6] ᾖ τὰ πράγματα, χρήσιμα δὲ τῷ λέγοντι· ἢ ὅταν ᾖ γνώριμα, διὰ μὲν τὸ γνώριμα εἶναι φησὶ παραλιπεῖν, διὰ δὲ τὸ χρήσιμα εἶναι λέγει αὐτά· ἢ ὅταν ἐπαχθῆ ᾖ, χρήσιμα δὲ τῷ λέγοντι. διὰ μὲν τὸ ἐπαχθῆ εἶναι φησὶ παραλιπεῖν, διὰ δὲ τὸ χρήσιμα εἶναι λέγει αὐτά. παραδείγματα τούτων, τῶν μὲν μικρῶν ἐν τῷ κατὰ Μειδίου· ὅσα μὲν οὖν ἢ τοὺς χορευτὰς [7] κωλύων ἀφεθῆναι τῆς στρατείας ἠνώχλησεν, ἢ προβαλλόμενος καὶ κελεύων ἑαυτὸν εἰς Διονύσια χειροτονεῖν ἐπιμελητὴν, ἢ τὰ ἄλλα [8] ὅσα τοιαῦτα, ἐάσω· εἶτα τὴν αἰτίαν ἐπιφέρει τοῦ προσποιεῖσθαι παραλιπεῖν· οὐ γὰρ ἀγνοῶ τοῦθ', ὅτι τῷ μὲν ἐπηρεαζομένῳ [9] τὴν αὐτὴν τούτων ἕκαστον ὀργὴν

---

1 Port. ἢ εἰ λέγοιμεν. 2 ἢ Vind. om. 3 τοῦ Vind. om. — pro cor. init. 4 Mon. Vind. οὐδέν εἰπεῖν. 5 ἡ Vind. om. 6 μὲν Mon. om. 7 Port. χορ. ἐναντιούμενος ἡμῶν ἀφεθῆναι τῆς χορείας. — in Mid. p. 519. 8 Vind. τἄλλα. 9 Port. addit: τότ' ἐμοί.

ἥνπερ ἄλλ' ὁτιοῦν τῶν δεινοτάτων παρίστη,[10] ὑμῖν δὲ τοῖς ἔξω τοῦ πράγματος οὖσιν οὐκ ἂν ἴσως[11] ἄξια αὐτὰ καθ' ἑαυτὰ[12] ἀγῶνος φανείη. τῶν δὲ γνωρίμων, ἐν τῷ περὶ[13] ἀτελείας· ἐγὼ 151
δ' ὅτι μέν τινων κατηγοροῦντα πάντας[14] ἀφαιρεῖσθαι τὴν δωρεὰν τῶν ἀδίκων ἐστὶν, ἐάσω· εἶτα[15] τὴν αἰτίαν ἐπιφέρει τοῦ προσποιεῖσθαι παραλιπεῖν· καὶ γὰρ εἴρηται τρόπον τινὰ καὶ ὑφ' ὑμῶν ἴσως διαγινώσκεται.[16] τῶν δὲ ἐπαχθῶν παράδειγμα ἐν τῷ περὶ τοῦ[17] στεφάνου. ἐν μὲν δὴ[18] τοῖς ἰδίοις εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος καὶ[19] πᾶσι τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμι περὶ αὐτῶν,[20] οὔτε εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτε εἴ τισι θυγατέρας ἀποροῦσι συνεξέδωκα. εἶτα τὴν αἰτίαν τοῦ παραλιπεῖν ἐπιφέρει. ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν[21] μεμνῆσθαι παρὰ πάντα τὸν χρόνον, τὸν δὲ[22] εὖ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ἀναμιμνήσκειν μικροῦ δεῖν ὅμοιόν ἐστιν τῷ ὀνειδίζειν.

---

10 Ald. Mon. παρίστησι. Port. Vind. παρίστη. Port. addit: τοῖς ἄλλοις. 11 ἴσως Mon. om. 12 Vind. αὐτά. 13 Vind. περὶ τῆς ἀτ. — in Lept. init. 14 Vind. πάντως. 15 εἶτα τὴν αἰτ. — — παραλιπεῖν Vind. om. 16 Vind. γινώσκεται. 17 τοῦ Mon. om. — pro cor. p. 316. 18 Ald. Mon. μέν, Port. δέ. Vind. μὲν δή. 19 καὶ Ald. Port. Mon. om., recepi ex Vind. 20 Vind. εἴποιμι περὶ τούτων. Port. addit ex Dem. οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρτυρίαν. 21 Ald. δεῖ. Port. marg. Vict. Mon. δεῖν. Vind. om. 22 Vind. δ' εὖ.

## Cap. VIII.

### ΠΕΡΙ ΠΕΡΙΠΛΟΚΗΣ. [1]

Τὸ περιπλέκειν διαβάλλεται μὲν ὡς κακία τοῦ λέγειν· εἰ δὲ ἐν καιρῷ γίνοιτο, [2] ζηλωτὸν ἂν σχῆμα εὑρεθείη. καιρὸς οὖν τῆς περιπλοκῆς τῶν λόγων τριπλοῦς. περιπλέκομεν γὰρ, ἤτοι ὅταν αἰσχρὰ ᾖ τὰ λεγόμενα. φυλαττόμενοι γὰρ τὴν ἀπρέπειαν τοῦ λόγου αὐτῷ τῷ περιπλέκειν δηλοῦμεν ἃ θέλομεν εὐπρεπῶς, καὶ πικρότερον τὸν λόγον ποιούμεθα· ἢ ὅταν λυπηρὰ ᾖ τοῖς ἀκούουσιν, ἢ ὅταν [3] ἐπαχθῆ τοῖς λέγουσι. παράδειγμα [4] τῶν μὲν αἰσχρῶν ἐν τῷ κατὰ Τιμάρχου [5] φησὶν [6] Αἰσχίνης· εἰδὼς δ' αὐτὸν ἔνοχον ὄντα, θέλει μὲν εἰπεῖν τῇ πορνείᾳ, φυλαττόμενος δὲ τὸ αἰσχρὸν περιπλέκει λέγων, οἷς ὀλίγῳ πρότερον ἠκούσατ' ἀναγινώσκοντος [7] τοῦ γραμματέως. Τῶν δὲ λυπηρῶν ὁ Δημοσθένης, [8] ὡς ἐν τοῖς Φιλιππικοῖς φησιν· [9] ὁ μὲν οὖν παρὼν καιρὸς [10] μονονουχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν [11] ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστί. καὶ [12] ἐπειδὴ λυπηρόν ἐστι τὸ λέγειν, εἰ δὲ μὴ ἀπολεῖται [13] τὰ πράγματα, περιέπλεξεν, εἴπερ ὑπὲρ σωτηρίας ὑμῶν [14] αὐτῶν

---

1 In Vind. titulus: περὶ τοῦ περιπλέκειν. 2 Vind. γίγνοιτο. 3 ὅταν Mon. om. 4 Ald. Port. Mon. παραδείγματα. Vind. παράδειγμα. 5 Mon. Τιμοκράτους. ad marg. man. rec. Τιμάρχους. [sic] 6 Port. ad marg. γρ. φησὶ γάρ. — c. Timarch. init. 7 Mon. ἀναλίσκοντος. Vind. οὗς ὀλίγῳ πρ. ἠκούσατε. 8 Mon. Δημ. φησὶν ἐν τοῖς. 9 Vind. ἐστίν. 10 Vind. addit: ὦ Ἀθηναῖοι. — Ol. I. p. 9. 11 Ald. Port. Mon. ἡμῖν. Vind. ὑμῖν. 12 καὶ Vind. om. 13 Reisk. ad Dem. p. 9. v. 14. locum nostrum laudans scribit ἀπολεῖτε, nescio, utrum consulto an casu. 14 ὑμῶν Port. Vind. om.

φροντίζετε.[15] καὶ πάλιν παρὰ πόδας ἔνεστί γε περιπλοκὴ μετὰ συλλήψεως· ἡμεῖς[16] δὲ, ὑπακούεται, ἀμελοῦμεν. ἀλλὰ τοῦτο λυπηρόν ἐστι τοῖς Ἀθηναίοις. πῶς οὖν[17] περιέπλεξεν; οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. Τῶν δὲ ἐπαχθῶν παράδειγμα[18] ἐν τῷ κατὰ Μειδίου. φησὶ[19] γὰρ ὁ Δημοσθένης, πρῶτον μὲν, ὅτι ἐθελοντὴς χορηγεῖν ὑπέστη,[20] ὅπερ ἐστὶ φιλοτιμίας. εἶτα δὲ κληρουμένων πάντων πρῶτος[21] αἱρεῖσθαι τὸν αὐλητὴν ἔλαχον, ὅπερ ἐστὶν[22] εὐτυχίας, ἐπάγει γοῦν λέγων· ὑμεῖς μὲν οὖν, ὡς εἰκὸς, ἀμφότερα ἀπεδέξασθε, τήν τε φιλοτιμίαν τὴν ἐμὴν καὶ ἐπειδὴ ἐπαχθές ἐστι τὸ λέγειν, καὶ[23] τὴν εὐτυχίαν, περιέπλεξε, καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης. ὅτι δὲ τὸ ὄνομα τοῦ σχήματος[24] τοῦτό ἐστιν ἡ περιπλοκὴ, Αἰσχίνης φησὶν ἐν τῷ κατὰ Τιμάρχου οὕτως· φανήσεται οὖν[25] οὐ μόνον ἡταιρηκὼς, ἀλλὰ, μὰ τὸν Διόνυσον, οὐκ οἶδ'[26] ὅπως δεῖ περιπλέκειν ὅλην[27] τὴν ἡμέραν, καὶ πεπορνευμένος,[28] ὡς δι' ὅλου τοῦ λόγου περιπλέξας, διὰ τὸ αἰσχρὰ εἶναι τὰ ῥήματα,[29] ἐπὶ τέλει δὲ νικηθεὶς[30] εἶπεν ὑπὸ τῆς χολῆς, καὶ πεπορνευμένος.

---

15 Vind. φροντίζεται. 16 Mon. ὑμεῖς δὲ ὑπακούετε. Vind. ὑμεῖς ὑπακούοντες. 17 Reisk. interpunxit: πῶς οὖν; περιέπλεξεν. improbat Schaeferus. 18 Vind. τὸ παράδ. 19 Vind. ὁ Δημοσθ. γὰρ ἐκεῖσε φησίν. p. 519. 20 Ald. ὑπέστη. 21 Ald. πρῶτον αἱρῆσθαι. 22 Vind. ἐστὶ τῆς εὐτ. 23 Vind. καὶ om., tum Ald. εὐτυχείαν. 24 Vind. τοῦ σχήμ. τὸ ὄνομα. 25 Vind. δέ. c. Tim. §. 52. p. 267. Bekk. 26 Vind. οἶδα ὅπως omisso δεῖ. 27 Vind. ὅλην πη. 28 Par. γρ. καὶ πεπορν., ὃς δι' ὅλου — αἰσχρὰ εἶναι τὰ εἰρημένα. ibid. γρ. καὶ ὃς ἀντὶ τοῦ ὅστις, Αἰσχίνης. 29 Vind. τὰ εἰρημένα. 30 Vind. νικ. ὑπὸ τῆς χολῆς εἶπε.

## Cap. XI.

### ΠΕΡΙ ΕΠΑΝΑΛΗΨΕΩΣ.

Ἐπανάληψις γίνεται κατὰ τρόπους τρεῖς· ἐπὶ πράγματος διδασκαλίᾳ, ἐπὶ προσώπου συστάσει ἢ διαβολῇ, ἐπὶ [1] ἤθους βεβαιώσει. ἐπὶ πράγματος διδασκαλίᾳ, ὡς παρ' Ὁμήρῳ· [2]

Ἀλλ' ἃ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, τοὶ δίχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν.

ἐπανέλαβε τὸ ὄνομα, ἵνα δείξῃ [3] δύο γένη Αἰθιόπων. Ἐπὶ προσώπου συστάσει,

Νιρεὺς δ' αὖ [4] Σύμηθεν ἄγε τρεῖς νῆας ἔΐσας,
Νιρεὺς Ἀγλαΐης υἱὸς, Χαροποιά [5] τ' ἄνακτος.
Νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν,

ἐπανέλαβεν ἵνα κοσμήσῃ τὸ πρόσωπον. Ἐπὶ διαβολῇ δὲ,

Ἄρες, Ἄρες, βροτολοιγὲ, μιαιφόνε, [6] τειχεσιπλῆτα.

ἐπανέλαβεν, ἵνα τὸ πρόσωπον διαβάλλῃ. Ἐπὶ ἤθους δὲ βεβαιώσει,

Τοῦ δ' ἐγὼ [7] ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος [8] δ' αἴθωνι σιδήρῳ.

ἐπανέλαβεν, ἵνα τὸ ἀνδρεῖον βεβαιώσῃ.

152 Παρὰ δὲ τοῖς πεζοῖς ἐπὶ μὲν πράγματος διδασκαλίᾳ, Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν· [9] ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων, ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. καὶ Δημοσθένης ἐν Φιλιππικοῖς· [10] πάντες ὅσοι πώποτε ἐκπεπλεύκασι παρ'

---

1 Port. καὶ. 2 Od. α, 22. 23. Vind. v. 22. om. 3 Ald. δείξει. 4 Ald. δ' αἰσύμηθεν. Vind. δὲ σύμηθεν. Marg. Vict. Mon. δ' αὖ σύμηθεν. Il. β. 671. 5 Ald. Mon. χαροποῖος. Vind. hunc versum om. 6 μιαιφόνε, τειχεσιπλῆτα Mon. om. Vind. τειχεσιπλῆτα om. — Il. ε, 31. 7 Ald. Mon. ἐγών. Port. Vind. ἐγώ. — Il. υ, 371. 8 Mon. δέμας. Vind. μένος δ' αἴθ. σιδ. om. 9 I. 1, 1. 10 De Cherson. p. 95.

ὑμῶν στρατηγοὶ, ἢ ἐγὼ πάσχειν ὁτιοῦν ἕτοιμός [11] εἰμι, παρὰ τούτων τῶν τὰς νήσους οἰκούντων χρήματα λαμβάνουσι. λαμβάνουσι δὲ οἱ μὲν πλείονας ἔχοντες ναῦς πλείονα. Ἐπὶ δὲ προσώπου συστάσει, ὡς Ξενοφῶν πολλάκις Κύρον ἐπαναλαμβάνων. Ἐπὶ δὲ διαβολῇ, ὡς ὁ Δημοσθένης· [12] ἀλλ' Ἀνδροτίων ἡμῖν πομπείων ἐπισκευαστὴς, Ἀνδροτίων, ὦ γῆ καὶ θεοί. καὶ ἀλλαχοῦ, ὑμεῖς δὲ Χαρίδημον, [13] εἰ χρὴ φρουρεῖν βουλεύεσθε, Χαρίδημον οἴμοι. Ἐπὶ ἤθους βεβαιώσει, ἔστιν ὑμῖν, ὦ Ἀθηναῖοι, [14] χρήματα, ἔστιν ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων, στρατωτικά. καὶ πάλιν ἐν τῷ κατὰ Μειδίου· ἀλλ' ἵππον, ἵππον [15] οὐκ ἐτόλμησεν ὁ κατάρατος [16] οὑτοσὶ [17] πρίασθαι. καὶ Ἡρόδοτος, [18] φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφοῦ, φονεῖς δὲ τοῦ καθήραντος.

---

## Cap. X.

### ΠΕΡΙ ΤΟΥ ΚΑΤΑ ΠΕΥΣΙΝ ΣΧΗΜΑΤΟΣ.

Τὸ κατὰ πεῦσιν σχῆμα ἀναντίῤῥητόν ἐστι. γίνεται δὲ [1] ἢ περὶ τῶν φύσει ὁμολογουμένων, οἷον, [2] ἆρ' οὐκ ἔστι [3] νῦν ἡμέρα; ἢ περὶ τῶν τῷ λόγῳ προαποδεδειγμέ-

---

11 Ald. ἔτιμος. 12 In Androt. p. 618. 13 Vind. ὑμεῖς δὲ, εἰ χρὴ φρουρεῖν Χαρίδημον βουλ. Ald. Mon. ἡμεῖς δὲ, Χαρ. Port. ex Dem. in Aristocr. p. 690. restituit: Χαρίδημον, εἰ χρὴ φρουρεῖν, βουλεύεται. 14 Port. ὦ ἄνδρες Ἀθ. — Ol. I. p. 14. 25 Mon. Vind. addit: μέν. 16 Port. ὁ λαμπρὸς καὶ πλούσιος οὗτος ex or. in Mid. p. 571. 17 Vind. οὗτος. 18 I. 45.

1 Vind. γάρ. 2 Mon. habet ad marg. ἆρ' ἡλίου ὑπὲρ γῆν ὄντος. in textu: ἆρ' οὐκ ἔστιν ἐν ἡμέρᾳ. tum sequitur ad marg. ἐγὼ μὲν οἶμαι. 3 Ald. ἔστιν. Port. Vind. ἔστι.

νων· οἷον, εὑρέθης ἐπὶ τῆς οἰκίας, διορωρυγμένου [4] τοῦ τοίχου, ὑφαιρούμενος τὸ ἱμάτιον, ἆρ' οὐκ εἶ κλέπτης; καὶ γὰρ τὰ τῷ λόγῳ προαποδεδειγμένα ἴσα τοῖς [5] φύσει ὁμολογουμένοις τῇ δυνάμει ἐστίν. ἀναντίρρητον δὲ ὂν τὸ σχῆμα τρεῖς ἔχει μορφὰς ἢ πρὸς τοὺς ἀκούοντας, ἢ πρὸς τοὺς ἀντιλέγοντας, ἢ αὐτοῦ πρὸς ἑαυτὸν τοῦ ῥήτορος. Ἡ πρὸς τοὺς ἀκούοντας πεῦσις ἐλεγκτική. οἷον, πότε οὖν, ὦ [6] Ἀθηναῖοι, πότε ἃ χρὴ [7] πράξετε; ἐπειδάν τι γένηται; Ἡ πρὸς τοὺς ἀντιλέγοντας ἀνατρεπτική. οἷον, [9] τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ; Ἡ αὐτοῦ πρὸς ἑαυτὸν τοῦ ῥήτορος πεῦσις διπλῆν [10] ἀκοῆς ἐπιστροφὴν ἔχει· καὶ πίστωσιν κατὰ πρόληψιν ὑπονοίας καὶ λύσιν. ὅταν γὰρ αὐτὸς ἑαυτοῦ πυνθάνηται ὁ ῥήτωρ, ἅμα καὶ ἐπέστρεψε τοὺς ἀκούοντας, καὶ τὴν πίστιν προκατέλαβε· πιστεύει γὰρ ἕκαστος τῶν ἀκουόντων, ἐννοῶν, ὅτι οὐκ ἂν ἠρώτησεν ἑαυτὸν ὁ ῥήτωρ, εἰ μὴ ἐπίστευεν ἀποδείξειν. καὶ εἴ τινα ἔχει [11] ὑπόνοιαν ὁ ἀκροατής, θεραπεύεται. ὥσπερ ἐπὶ ταύτης τῆς ἐρωτήσεως. ἔστιν ὑμῖν πόρος

---

4 Vind. τοῦ τοίχου διωρορυγμ. 5 Vind. τῇ. 6 Port. ω ἄνδρες Ἀθ. — Phil. I. p. 43. 7 Mon. Vind. δεῖ. 8 Ald. Port. Codd. ἐπειδάν τι. 9 pro cor. p. 267. 10 Ald. Port. Mon. Vind. διπλῆ ἀκοῆς ἐπιστροφὴν ἔχει καὶ πίστωσιν καὶ [Port. κατὰ] πρόληψιν καὶ ὑπονοίας [Vind. ὑπονοίας καὶ] λύσιν. Gregor. Corinth. in commentario suo p. 1209. locum nostrum ita adducit: διπλῆν ἀκοῆς ἐπιστροφὴν ἔχει καὶ πίστωσιν κατὰ πρόληψιν ὑπονοίας καὶ λύσιν. Γράφεται καὶ διπλῆ. πλὴν τοῦτο ἀσαφὲς ἔδοξέ τισι κατὰ τὸ ἐλλειπτικόν. Tum expositis aliorum dubiis ita pergit: ἐμοὶ δὲ μηδὲν ἐλλείπειν δοκεῖ· χρὴ γὰρ στῆξαι τελείαν εἰς τὸ διπλῆν ἀκοῆς ἐπιστροφὴν ἔχει. τίνα ταύτην; πίστωσιν κατὰ πρόληψιν ὑπονοίας, τουτέστι πιθανότητα καὶ ἀπόδειξιν ὧν λέγει, καὶ λύσεις ὑπονοίας τινὸς, ἥτις τοὺς ἀκροατὰς ὑποτρέχει. 11 Ald. ἔχειν.

ὃν [12] ἂν μὲν ἤδη ζητῆτε οὐχ εὑρήσετε. ἐὰν δὲ περιμένητε, [13] εὑρήσετε. εἶτ' ἐπιφέρει· τίς οὖν ἐστιν [14] οὗτος; ὁ νῦν μὲν οὐκ ὤν, αὖθις δὲ γενησόμενος· [15] αἰνίγματι γὰρ ὅμοιον τοῦτο ἐγὼ φράσω.

## Cap. XI.

### ΠΕΡΙ ΑΣΥΝΔΕΤΟΥ. [1]

Τὸ ἀσύνδετον σχῆμα καὶ τὸ μετὰ τῶν συνδέσμων λεγόμενον δοκεῖ τὸ μὲν δεδέσθαι, τὸ δὲ λελύσθαι. ταὐτὸ δὲ ἀμφότερα δηλοῖ, καὶ ἐργάζεται [2] καὶ μέγεθος ὁμοίως καὶ πλῆθος, [3] ὅταν ἑκατέρου καιρὸς ᾖ. ταὐτὸν δὲ ἐργαζόμενα οὐχ ὁμοίως ἐργάζεται. ἀλλὰ τὸ μὲν μετὰ συνδέσμων πραγματικὸν πλῆθος ἢ μέγεθος οἷον [4] Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ. Τὸ δὲ ἄνευ συνδέσμων [5] λεγόμενον ἠθικόν ἐστι. καὶ πάλιν, ἡνίκα Πύδνα, Ποτίδαια, [6] Μεθώνη, Παγασαὶ, τἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο.

12 Ald. Vind. ὃν μὲν ἄν. Port. Mon. ὃν ἂν μέν. ex memoria laudat or. de Symmor. p. 184. 13 Vind. περιμείνητε. 14 Vind. ἔσθ' οὗτος. 15 Port. ex Dem. οὐκ ὢν, ὑπάρξων δὲ τότε.

1 Vind. περὶ ἀσυνδ. σχήματος. 2 Vind. ἐργάζεσθαι, omisso sq. καί. 3 Par. ἦθος. ad marg. γρ. καὶ πλῆθος. — Καὶ ποιότητα καὶ ποσότητα νόησον, ἐὰν γράψῃς πλῆθος. 4 Phil. III. p. 117. 5 Vind. συνδέσμου. 6 Ald. Μεθώνη, Ποτίδαια. Port. Mon. Vind. Ποτίδ. Μεθ. — Ol. I. p. 11.

## Cap. XII.

### ΠΕΡΙ ΠΡΟΕΚΘΕΣΕΩΣ ΚΑΙ ΑΝΑΚΕΦΑΛΑΙΩΣΕΩΣ. [7]

Τὸ ἐν ἀρχῇ τι λέγειν ἐπὶ κεφαλαίων, περὶ ὧν τις μέλλει κατασκευάζειν ἢ διδάσκειν, οἱ τεχνικοὶ καλοῦσι προέκθεσιν· τὸ δὲ ἐπὶ τέλους ἀναμιμνήσκειν τὰ ἀποδεδειγμένα ἢ λελεγμένα οἱ τεχνικοὶ καλοῦσιν ἀνακεφαλαίωσιν. οἱ δὲ παλαιοὶ τὴν μὲν προέκθεσιν καλοῦσιν ὑπόσχεσιν· [8] τὴν δὲ ἀνακεφαλαίωσιν [9] ἐπάνοδον. ὡς Δημοσθένης δηλοῖ λέγων οὕτως· δίκαιόν ἐστιν ἐμὲ τρία ὑμῖν [10] ὑπεσχημένον ἀποδείξειν, ἓν μέν, ὡς παρὰ τοὺς νόμους. καὶ τὸ ἕτερον οὕτως· ἐπάνειμι δὴ πάλιν [11] ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων ἀδικήματα καὶ δωροδοκήματα τῶν νῦν πραγμάτων. καὶ Πλάτων [12] ἐν ἀρχῇ φησι προοίμια καὶ διηγήσεις, εἶτα πίστεις. τὸ δὲ δὴ τέλος τῶν λόγων ἔοικε
153 πᾶσιν εἶναι κοινῇ συνδεδογμένον· ᾧ [13] τινες μὲν ἐπάνοδον
15 ὄνομα τίθενται, τινὲς δὲ ἄλλο τι· καὶ ἄξιον [14] ζητῆσαι, τί ἐστι τὸ ἄλλο τι. συλλογίσασθαι δὴ [15] βούλομαι, Δημοσθένης φησὶ, [16] τὰ κατηγορημένα.

Cap.

---

7 Vind. περὶ τοῦ ἐν ἀρχῇ τι λέγειν ἐπὶ κεφαλαίων. 8 Marg. Vict. laudat Eustath. ad Il. α. p. 18. ὡς εἶναι τὸ Ὁμηρικὸν ὅλον προοίμιον, καθὰ καὶ ἐῤῥέθη, προκατασκευήν τινα, ἣν οἱ μὲν φιλόσοφοι σκοπὸν λόγου καλοῦσιν, οἱ δὲ ῥήτορες καὶ προέκθεσιν καὶ ὑπόσχεσιν. 9 Ald. Port. addit: καλοῦσιν. Mon. Vind. om. 10 Ald. Vind. ἡμῖν, Port. Mon. ὑμῖν. — c. Aristocr. p. 626. 11 Vind. λοιπόν. — pro cor. p. 240. 12 Phaedr. p. 266. d. 13 Ald. Codd. οὗ. Port. ᾧ. 14 Vind. ἄξιόν ἐστι. 15 Mon. δὴ om. — de fals. leg. p. 396. Port. ad marg. ἴσως περιττεύει. 16 φησὶ Ald. Vind. om., est in Lips. Port.

## Cap. XIII.

### ΠΕΡΙ ΙΣΩΝ ΣΧΗΜΑΤΩΝ.

Τὰ ἴσα σχήματα ταὐτὰ ὄντα ποτὲ μέν ἐστιν ἀγωνιστικὰ, ποτὲ δὲ ἐπιδεικτικὰ, ποτὲ δὲ σοφιστικά. ἀγωνιστικὰ μέν ἐστιν, ὅταν [2] τῇ φύσει τῶν πραγμάτων συνδράμῃ ἔξωθεν πάρεργον· ὅτε [3] καὶ χωρὶς τῶν ὀνομάτων ἕκαστον αὐτὸ καθ' ἑαυτὸ πρᾶγμα μηνύει, καὶ λεχθὲν λανθάνει, πολλάκις δὲ ἀναγινωσκόμενον εὑρίσκεται· οἷον,

Νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν [4] εἰς ἅλα δῖαν,
Ἐς δ' ἐρέτας ἐπίτηδες ἀγείρομεν, ἐς δ' ἑκατόμβην
Θείομεν, [5] ἐν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
Βήσομεν.

τέσσαρα ἴσα, ἐρύσομεν, ἀγείρομεν, θείομεν, βήσομεν. καὶ Θουκυδίδης, αἴτιον ἦν [6] οὐχ ἡ ὀλιγανθρωπία, ὅσον ἡ ἀχρηματία· τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν [7] ἐλάσσω ἤγαγον. καὶ Δημοσθένης, ἂν [8] τοίνυν ἐξελέγξω σαφῶς Αἰσχίνην τουτονὶ, καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα, [9] καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ ἀνηλωκότα [10] τοὺς χρόνους, καὶ πάντων τούτων δῶρα καὶ μισθοὺς εἰληφότα. Ἐπιδεικτικὰ δέ εἰσιν, [11] ὅταν τὰ ἀγωνιστικὰ πολλὰ γένηται, καὶ ἐπιτηδευθῇ εἰδημόνως εἰς [12] ἡδονὴν ἀκοῆς σώφρονα· ὥσπερ τὰ παρὰ [13] Ἰσοκράτει ἴσα, τὰ ἐν ταῖς παραινέ-

---

1 Vind. περὶ τῶν ἴσων σχ. 2 Mon. ὅτε. 3 Par. ὃ καὶ χωρὶς ὀνομάτων ἑκάστου. — tum Vind. αὐτῶν καθ' ἑαυτό. 4 Edd. Codd. ἐρύσομεν. — Il. α, 141. 5 Ald. θύομεν h. l. et paullo post v. 12. 6 Mon. δ' ἦν. Vind. δὲ ἦν. — Thuc. I, 11. 7 Mon. στρατηγόν. 8 Vind. ἂν om. — de fals. leg. p. 343. 9 Ald. Mon. Vind. ἐπηγγελκότα. Port. ἀπηγγελκ. 10 Ald. ἀνηλοκότα. 11 Mon. ἐστίν. 12 Mon. εἰς ἀκοὴν σώφρονα. 13 Vind. παρὰ τῷ Ἰσ.

σεσι μάλιστα. Σοφιστικὰ δέ ἐστιν, ἃ νῦν μὲν ἐπαινεῖται, ὑπὸ δὲ τῶν παλαιῶν κωμῳδεῖται, ὅσα αἰσχρῶς καὶ κενῶς κολακεύει τὴν ἀκοήν, ἃ Πλάτων διαβάλλει. ὦ λῷστε Πῶλε, ἵνα[14] προσείπω σε κατὰ σέ. καὶ,[15] Παυσανίου δὲ παυσαμένου· διδάσκουσι γάρ με ἴσα λέγειν οὕτωσὶ[16] οἱ σοφοί. Δημοσθένης δὲ καὶ Ὅμηρος καὶ τὰ τοιαῦτα ἐποίησαν ἀγωνιστικά·

— — — Πρόθοος θοὸς ἡγεμόνευεν.[17]

ὄνομα καὶ ἀρετή. καὶ,[18] ἐῤῥῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ.

## Cap. XIV.

### ΠΕΡΙ ΤΠΕΡΒΑΤΟΥ.

Οἱ νῦν οἴονται τὸ ὑπερβατὸν πλοκὴν εἶναι[1] ἑρμηνείας καὶ περίοδον κεκαλλωπισμένην, οὐκ ἴσασι δὲ τί ἐστιν ὑπερβατόν. τὸ γὰρ ὑπερβατὸν[2] οὐ μόνον[3] ἐστὶ καλὸν σχῆμα, ἀλλὰ καὶ ἀναγκαῖον. γίνεται δέ, ὅταν τὴν αἰτίαν τοῦ λεγομένου, ἣν μέλλει ποθεῖν ὁ ἀκροατής, μέσην ὁ λέγων τάξῃ, καὶ οὕτως γίνεται σαφηνείας ὄργανον τὸ ὑπερβατόν· οἷον,

Ὦ φίλοι, οὐ γάρ τ'[4] ἴδμεν ὅπη ζόφος, οὐδ' ὅπη ἠώς,
Οὐδ' ὅπη ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
Οὐδ' ὅπη ἀνεῖται· ἀλλὰ φραζώμεθα[5] θᾶσσον.

εἰ γὰρ εἰρήκει, ὦ φίλοι, φραζώμεθα θᾶσσον, ἐτά-

14 Mon. ἵνα σὲ προσείπω. Gorg. p. 467. B. 15 Symp. p. 185. C. 16 Vind. οὕτωσίν. 17 Il. β. 758. 18 de fals. leg. p. 418. 1 εἶναι Mon, om. 2 Port. ὑπερβατόν ἐστιν. 3 Ald. Mon. οὐ μόνον οὐκ ἔστι. Port. Vind. οὐκ ἔστι om. Gregor. Cor. in cod. Vind. οὐ μόνον οὐκ ἔστι. in Med. 1. οὐ μόνον ἐστί. 4 Vind. τ' om. — Od. κ. 190. 5 Ald. Mon. φρασώμεθα. bis. Port. Vind. φραζώμεθα.

ραξεν ἂν αὐτοὺς, καὶ ἐποίησε [6] τί γέγονεν ἐρωτῆσαι. διὰ τοῦτο διὰ μέσου τὰς αἰτίας [7] τοῦ φράζεσθαι θᾶσσον ἔταξε. καὶ ὁ [8] Θουκυδίδης· οἱ δὲ Ἀθηναῖοι [9] ἐφοβήθησαν μὴ πολέμιαι ἦσαν [10] αἱ νῆες. διὰ τί, ὁ [11] Θουκυδίδης ἔταξε διὰ μέσου [12] τὴν αἰτίαν τοῦ φόβου; ἦν γὰρ νύξ. διὰ τοῦτο καὶ ὁ τὴν αἰτίαν σημαίνων σύνδεσμος προηγεῖται, ὁ γάρ. μακρὸν δὲ γίνεται ὑπερβατὸν, ὁπόταν ἡ αἰτία [13] ἑτέρας αἰτίας χρείαν ἔχῃ, οἷον, ἐπειδὴ δὲ οἵ [14] τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπιπολὺ καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι καὶ τελευταῖοι πλὴν τῶν ἐν Σικελίᾳ ὑπὸ Λακεδαιμονίων κατελύθησαν. πῶς ὦ Θουκυδίδη; ἡ γὰρ Λακεδαίμων μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων ἐν αὐτῇ Δωριέων ἐπὶ πλεῖστον χρόνον στασιάσασα, ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη καὶ ἀεὶ ἀτυράννευτος ἦν, αἰτίαν τῆς αἰτίας ἀποδίδωσιν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια, ἃ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται, καὶ δι' αὐτὸ δυνάμενοι καὶ τὰ ἐν ταῖς ἄλλαις πόλεσι καθίστασαν· [15] εἶτα ἐπανέρχεται ἐπὶ τὴν ἀρχὴν, μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν. τὸ δὲ παρ' Ὁμήρῳ,

Αὐτὰρ ἐπεὶ [16] διά τε σκόλοπας, καὶ τάφρον ἔβησαν
Φεύγοντες,

οὐκ ἔστιν, ὡς δοκεῖ τισιν, ὑπερβατόν. οὐδεμία γὰρ αἰτία

---

6 Vind. ἐποίησεν ἐρωτῆσαι, τί γέγονεν. 7 Vind. αἰτ. ἔταξε τοῦ φράζεσθαι. 8 Vind. ὁ om. 9 Thuc. I. 51. Gregor. Cor. T. VII. p. 1246. v. 5. σφάλμα ἐστὶ γραφικὸν, οὐ γὰρ οἱ Ἀθηναῖοι ἐφοβήθησαν, ἀλλ' οἱ Κερκυραῖοι. 10 Vind. οὖσαι. 11 Ald. διατί ὁ Θουκυδ. Port. διὰ τί; Mon. Vind. διατί; ὁ Θουκυδ. [Port. ὁ Θουκυδ. om.] 12 Vind. διὰ μέσου ἔταξε. 13 Vind. αἰτία αἰτία χρείαν. 14 Ald. ὅτε. — Thuc. I. 18. 15 Ald. Codd. καθιστᾶν. Port. καθίστασαν. 16 Ald. ἐπειδὴ διά. — Il. o, 1.

μέση κεῖται, ἀλλ᾽ ὡς ἐγένετο ἡ δυσκολία τῆς ὁδοῦ διὰ σκολόπων καὶ τάφρου, εἶτα ὁμαλὴ ἔξοδος ἐν τῇ φυγῇ, οὕτω καὶ ἡ ἑρμηνεία ἔχει, τὸ πάθος τῶν φευγόντων τῆς λέξεως μιμουμένης.

## Cap. XV.

### ΠΕΡΙ ΑΝΤΙΘΕΤΟΥ.

Τὸ ἀντίθετον σχῆμα ἀναντίῤῥητόν ἐστι. γίνεται γὰρ διὰ τῶν ὁμολογουμένων. ἔστι δὲ διανοήματι διανόημα ἀντικείμενον. ἁπλούστατον δὲ ὂν ἰσχυρόν[1] ἐστιν· οἷον,
154 ἐδίδασκες γράμματα, ἐγὼ δ᾽ ἐφοίτων· ἐτέλεις, ἐγὼ δ᾽ ἐτελούμην· ἐτριταγωνίστεις, ἐγὼ δ᾽ ἐθεώρουν· ἐγραμμάτευες, ἐγὼ δ᾽ ἐκκλησίαζον· ἐξέπιπτες, ἐγὼ δ᾽ ἐσύριττον. τοῦτο δὲ τὸ[1*] ἀντίθετον ὁ Δημοσθένης ἐποίησε κακόηθες, τὸ μὲν πρᾶγμα ἀληθὲς λαμβάνων, τὸ δὲ ἀντικείμενον ψευδὲς ὄν. ὡς ἐν τῷ περὶ[2] τῆς παραπρεσβείας εἰσάγει συμπόσιον Φιλίππου καὶ τῶν Ὀλύμπια[3] νενικηκότων, καὶ διάλογον Σατύρου τοῦ κωμικοῦ ὑποκριτοῦ. οὕτω[4] δὲ ψυχαγωγεῖ τοὺς ἀκούοντας, ὥστε οἴεσθαι[5] ἐν συμποσίῳ εἶναι. εἶτα ἀντιτίθησι συμπόσιον ἕτερον ὡς γενόμενον Αἰσχίνῃ,[6] ψευδόμενος, μηδέποτε γενόμενον, ἵνα ἐψυχαγωγημένοι διὰ τῶν προτέρων λόγων οἱ δικασταὶ πιστεύωσι καὶ τοῖς ἐπιφερομένοις ὡς ὁμοίως ἀληθέσι. τοῦτο κακόηθες ἀντίθετον.

1 Mon. ἰσχυρότερον. — mox Vind. δὲ ἐτελ. δὲ ἐθεώρουν. δὲ ἐκκλησ. δὲ ἐσύρ. — pro cor. p. 315. 1* τὸ Ald. Codd. om., habet Port. 2 περὶ Vind. om. 3 Par. ad marg. γρ. τῶν ἐν Ὀλυμπίᾳ. Non cogitandum de inclytis ludis Olympicis, sed de aliis Macedonicis, apud Pellam actis. vide Reisk. et Schaef. ad Dem. de fals. leg. p. 401. v. 12. 4 Vind. καὶ οὕτω ψυχαγ. 5 Vind. οἰηθῆναι. 6 Vind. Αἰσχίνου.

## Cap. XVI.

### ΠΕΡΙ ΠΑΡΙΣΟΥ.

*Πάρισον σχῆμα ἔστι τε καὶ λέγεται, ὅταν τὸ αὐτὸ ὄνομα ἄλλην καὶ ἄλλην προσλαβὸν συλλαβὴν διαφόρους*[8] *διανοίας ἔχῃ. παρὰ μὲν Ἰσοκράτει οὕτως*[9] *Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής. τὸ γὰρ μανθάνειν ἐν ἀμφοτέροις ἐστίν· ἀλλ᾽ ὅπου μὲν τὸ πολὺ πρόσκειται, καὶ σημαίνει τὸν πολλὰ εἰδότα· ὅπου δὲ τὸ φίλον*[10] *πρόσκειται, καὶ ἔστιν ὁ ἡδέως μανθάνων. καὶ παρὰ τῷ Θουκυδίδῃ, καὶ ἐπιβουλεύειν*[11] *αὐτοῖς μᾶλλον, ἢ ἀντεπιβουλεύειν· τὸ γὰρ ἐπιβουλεύειν ἐν ἀμφοτέροις ἐστίν.*[12] *ἀλλ᾽ ὅπου μὲν πρόσκειται τὸ πρὸ, καὶ σημαίνει τὸ φθάνειν ἐπιβουλεύοντα· ὅπου δὲ ἡ*[13] *ἀντὶ πρόθέσις, καὶ δηλοῖ τὸ ἀμύνεσθαι δεύτερον.*

---

## Cap. XVII.

### ΠΕΡΙ ΠΡΟΣΠΟΙΗΣΕΩΣ ΣΧΕΔΙΑΣΜΟΥ.[1]

*Πότε ῥήτωρ προσποίησεται σχεδιάζειν; τριῶν οὐσῶν ἰδεῶν ῥητορικῆς, ἐν τῇ συμβουλευτικῇ μάλιστα δεῖ καὶ ὁμολογεῖν ὅτι ἐβουλεύσατο. οὐ γὰρ ἀνέχεται ὁ συμβουλευόμενος, τὰ ἐπιόντα λέγοντος τοῦ συμβουλεύοντος. τοὐναντίον δὲ χρὴ ἐσκέφθαι ὁμολογεῖν καὶ πεφροντικέναι,*

---

7 Vind. *περὶ παρίσου σχήματος.* 8 Vind. *διαφερούσας.* 9 ad Dem. §. 18. p. 7. Bekk. — Ceterum orationem hanc ad alium Isocratem, qui Ciceronis temporibus floruit, refert Muret. Var. Lect. L. 1. c. 1. 10 Mon. *τὸ φίλτρον.* Vind. *τὸ φιλῶ.* 11 Vind. *προσεπιβουλεύειν.* — Thuc. I. 33. 12 Mon. Vind. *εἴρηται.* 13 ἡ Ald. om., est in Port. Mon. Vind. sed Vind. *πρόθεσις* om.

1 Vind. titulum habet: *πότε προσποιήσεται σχεδιάζειν ὁ ῥήτωρ.*

ὡς ὁ Δημοσθένης. ἀλλ', ὡς ἔοικεν, ὁ καιρὸς ἐκεῖνος οὐ μόνον εὔνουν ὑμῖν καὶ πλούσιον ἄνδρα[2] ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα ἐξ ἀρχῆς τοῖς πράγμασι μάλιστα. τοῦτο γὰρ δεῖ προσεῖναι τῷ συμβούλῳ, ἐμπειρίαν πραγμάτων. ἐν δὲ τῇ δικανικῇ κἂν ἐσκεμμένος ἥκῃς, προσποιοῦ αὐτόθεν λέγειν, ὅπερ ποιοῦσι πάντες οἱ παλαιοί.[3] γράψαντες γὰρ πάντες ὑποκρίνονται σχεδιάζειν. διὰ τί; ὅτι ὁ δικαστὴς ὑποπτεύει τὸν ῥήτορα καὶ δέδοικε μὴ ἐξαπατηθῇ τῇ δυνάμει τῆς ῥητορικῆς. αὐτὸ τοίνυν τοῦτό[4] ἐστι τεχνίτου ῥήτορος, τὸ δοκεῖν αὐτόθεν λέγειν, ἵνα καὶ οὕτως[6] ὁ δικαστὴς ταραχθῇ.[7] καὶ προοίμια, ὡς αὐτόθεν εὑρίσκοντες, λέγουσι, πάλαι σκεψάμενοι, καὶ κεφάλαια, ὡς μεταξὺ ἀναμνησθέντες[8] κατὰ πάσας τὰς δίκας. ἐν δέ γε[9] ἐγκωμιαστικῇ ἰδέᾳ οὐ κωλύει ἀμφοτέροις χρῆσθαί ποτε, καὶ ὁμολογίᾳ γραφῆς, καὶ προσποιήσει σχεδίου.

---

## Cap. XVIII.

### ΠΕΡΙ ΑΥΞΗΣΕΩΣ ΕΝ ΔΙΚΑΙΣ ΚΑΙ ΤΩΝ ΑΠΟΔΕΙΞΕΩΝ.[1]

Πότε ῥήτωρ αὐξήσει χρήσεται ἐν δίκαις, εἶτα πότε[2] ταῖς ἀποδείξεσι; δύο δὴ[3] καιροὶ τῆς χρήσεως καὶ μέθο-

---

2 Mon. ἄνδρα ἡμῖν. Greg. Cor. εὔνουν ἡμῖν. — pro cor. p. 285. 3 Mon. ποιηταί, ad marg. γρ. ἀρχαῖοι. 4 Vind. καὶ τοῦτο. 5 Vind. τοῦ τεχνικοῦ ῥήτ. Par. ad marg. γρ. τεχνητοῦ ῥήτ. 6 Ald, Mon. οὗτος. Port. Vind. οὕτως. 7 Mon. παραχθῇ. Gregor. Cor. p. 1273, v. 10. τινὰ δὲ τῶν βιβλίων παραχθῇ ἔχουσιν ἀντὶ τοῦ παρασυρῇ καὶ ἀπατηθῇ. 8 Mon. μνησθέντες. 9 γε Vind. om.

1 In Vind. tit. πότε ὁ ῥήτωρ αὐξήσει χρήσεται. 2 Ald. Port. Mon. τότε. Vind. et Gregorii Cor. Cod. Vind. πότε. 3 Port. δὴ om.

δοι, ὅταν τὸ πρᾶγμα ἀμελῆται,[4] ἢ τὸ πρόσωπον τὸ κρινόμενον ἔνδοξον ᾖ. ταύτῃ τῇ τέχνῃ χρῆται Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου καὶ ἐν τῷ κατὰ Κτησιφῶντος. ἐν μὲν γὰρ[5] τῷ κατὰ Τιμάρχου καὶ τὸ πρᾶγμα ἀμελεῖται· λοιδορία γὰρ δοκεῖ ἡ ἑταίρησις εἶναι καὶ σκῶμμα ταπεινότερον, καὶ τὸ πρόσωπον τὸ κρινόμενον ἔνδοξόν ἐστιν. ὁ γὰρ Τίμαρχος τιμᾶται καὶ λελειτούργηκε καὶ ἀρχὰς ἦρξε καὶ ἔστι περὶ μέσην ἡλικίαν. καὶ ἐν τῷ κατὰ Κτησιφῶντος ἡ τῶν παρανόμων γραφὴ ἀμελεῖται διὰ τὰς συμφορὰς τῆς πόλεως, τό τε πρόσωπον τιμᾶται Δημοσθένους καὶ ἀξίωμα ἔχει. διὰ τοῦτο πρότερον αὔξει, εἶτα τότε ἀποδείκνυσιν, ἵνα ἐπιστρέψῃ καὶ ἀναγκάσῃ προσέχειν τοὺς δικαστὰς,[7] καὶ μήτε τιμῇ τοῦ προσώπου μήτε καταφρονήσει τοῦ πράγματος μὴ θέλωσιν ἀκούειν. αὕτη ἡ αἰτία τοῦ καὶ τῇ αὐτῇ[8] τάξει ἐν ἀμφοτέροις τοῖς βιβλίοις τὰ περὶ τῶν πολιτειῶν διεξελθεῖν.

## Cap. XIX.

### ΠΕΡΙ ΕΓΝΩΣΜΕΝΟΥ ΨΕΥΔΟΥΣ, ΚΑΙ ΠΟΤΕ ΧΡΗΣΤΕΟΝ ΑΥΤΩι.[9]

Πότε ῥήτωρ ψεύσεται συνειδότων τῶν ἀκροατῶν ὅτι ψεύδεται; ὅταν τὸ ψεῦδος συμφέρῃ τοῖς ἀκούουσι. διὰ γὰρ τὸ οἰκεῖον λυσιτελὲς οὐκ ἐλέγχουσι τὸν ῥήτορα. οὕτω Δημοσθένης ἐψεύσατο ἐν τῷ περὶ τοῦ στεφάνου. Αἰσχίνου γὰρ λέγοντος, ὅτι οἱ Ἀθηναῖοι ὑπὸ τὸν αὐτὸν καιρὸν πρέσβεις πρὸς Φίλιππον ἔπεμψαν περὶ εἰρήνης, καὶ πρὸς τοὺς συμμάχους περὶ συμμαχίας κατὰ Φιλίπ-

4 Ald. ἀμελεῖται. 5 γὰρ Vind. om. 6 Vind. τὰς τῆς. 7 Mon. τοὺς δικ. προσέχειν. 8 Ald. Mon. αὐτῇ om., recepi ex Port. Vind. 9 In Vind. tit. πότε ὁ ῥήτωρ ψεύσεται.

που, καὶ τοῦτο πεποιηκότων Ἀθηναίων, φησὶν, ὅτι καὶ διαβάλλει τὰ μέγιστα τὴν πόλιν [10] ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν ἄλλους Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ περὶ εἰρήνης πρὸς Φίλιππον [11] πρέσβεις ἐπέμπετε, Εὐρυβάτου [12] πρᾶγμα, οὐ πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων [13] διεπράττεσθε.

## Cap. XX.

### ΠΕΡΙ ΟΡΚΟΥ ΠΟΙΟΝ ΟΜΕΙΤΑΙ ΚΑΙ ΠΟΙΟΝ ΟΥ. [1]

Οὐδέποτε ἐπὶ πράγματος ὀμεῖται. οἷον, ἐποίησεν οὗτος φόνον ἢ προδοσίαν [2] ἢ τόδε τι, ἀλλ' ἐπὶ ἤθους βεβαιώσει. ὡς ὁ Δημοσθένης· ὡς μὲν ἐμοὶ δοκεῖ, δι' ἀμφότερα, [3] ὦ Ἀθηναῖοι, νὴ τοὺς θεούς, κἀμὲ νομίζοντες δεινὰ πεπονθέναι. καὶ πάλιν, πολλὰς δεήσεις, καὶ νὴ Δία ἀπειλὰς ὑπομείνας. ἐκ τούτου δηλοῦται, ὅτι ῥήτωρ [4] πραγματικὸν ὅρκον οὐκ ὄμνυσιν, ἀλλ' ἠθικόν. πρῶτος [5] δὲ ὅρκον ἠθικὸν Ὅμηρος ὤμοσεν, εἶτα Πλάτων ἐμιμήσατο; εἶτα Δημοσθένης [6] ἐκληρονόμησε πάντων. ἠθικὸν δ' ἕκαστος ὀμόσας,

10 Vind. τὴν πόλιν τὰ μέγιστα. v. 3. ἄλλους abest ab Ald. Codd., habet Port. — pro cor. p. 233. 11 Vind. πρὸς Φίλ. περὶ εἰρήνης. 12 Eustath. ad Od. I. p. 1864. Εὐρυβάτης, πονηρὸς ἀνὴρ, ὃ καὶ Εὐρύβατος. — καὶ ἔστι τις αὐτοῦ μνήμη καὶ ἐν ἐξηγήσει τῶν εἰς τὸ τέλος τοῦ Ἑρμογένους. vide Gregor. Cor. T. VII. p. 1277. 13 Ald. Mon. ἀνδρῶν. Port. Vind. ἀνθρώπων. 1 In Vind. tit. πότε ὁ ῥήτωρ ὀμόσει. 2 Vind. ἢ προδίδωσιν. 3 Ald. Mon. Vind. δι' ἀμφότερ' ὦ Ἀθην. Port. δι' ἀμφότερα, ὦ ἄνδρες Ἀθ. — in Mid. init. 4 Vind. ὁ ῥήτωρ. Mon. ῥήτορες — ὀμνύουσιν. 5 Vind. πρῶτον, δ' ὅρκ. 6 Quintil. XI. 3. quid denique Demosthenes? — Non illud jusjurandum per caesos in Marathone et Salamine propugnatores

καὶ ἰδίᾳ ἕκαστος τοῦ ἤθους ἰδέᾳ [7] ἐχρήσατο. Ὅμηρος μὲν τραγικόν·

Οὐ μὰ Ζῆν' Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο. [8]

τὰς συμφορὰς τοῦ πατρὸς ὅρκον ἐποιήσατο. Πλάτων δὲ ἠθικὸν μὲν ὁμοίως, ἠθικὸν δὲ ἐκ [9] τοῦ ἐναντίου ἤθους· οὐ μὰ τὸν Ζῆν' [10] ὦ Καλλίκλεις. Δημοσθένης δὲ ἠθικὸν πολιτικόν· [11] οὐ μὰ τοὺς ἐν Σαλαμῖνι παραταξαμένους καὶ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας.

## Cap. XXI.

### ΠΟΤΕ ΡΗΤΩΡ ΔΩΣΕΙ ΣΥΝΗΓΟΡΟΥΣ, ΚΑΙ ΚΑΤΑ ΠΟΣΟΥΣ ΤΡΟΠΟΥΣ.

Πότε ἐν τοῖς προβλήμασι [12] ῥήτωρ μέρεσί τισι συνηγόρους δώσει, καὶ κατὰ πόσους τρόπους; τέσσαρας· ἢ διὰ φύσιν, εἰ γυνή τίς ἐστιν, συνήγορον δώσομεν· ἢ δι' [13] ἡλικίαν, εἰ παιδίον ἐστὶν, ἢ ὑπέργηρως καὶ ἀσθενής· [14] ἢ διὰ τύχην, εἰ δοῦλός ἐστιν [15] ἢ ἄτιμος, ὥσπερ ἐν τῷ κατὰ Μειδίου [16] Δημοσθένης Στράτωνι συναγορεύει· ἢ εἰ δι' εὐπρέπειαν κατέγνωσταί τις, καὶ τούτῳ δώσομεν συνήγορον.

reip. satis manifesto docet, praeceptorem ejus Platonem fuisse. 7 Vind. ἰδέᾳ τοῦ ἤθους. 8 Ald. Port. Mon. ἐμεῖο. Vind. Jos. Rhacend. ἐμοῖο. Od. υ. 339. 9 Mon. δ' ἐκ. 10 Port. κύνα. — Gorg. p. 489. E. Gregor. Cor. p. 1282. ἰστέον δὲ, ὡς σφάλμα ἐστὶ γραφικὸν τὸ οὐ μὰ τὸν Ζῆνα, ἐν ἅπασι γὰρ τοῖς Πλατωνικοῖς βιβλίοις τὸν Ζῆθον ἀπόμνυσιν. 11 pro cor. p. 297. Mon. Vind. οὐ μὰ τοὺς ἐν Μαρ. προκινδ. καὶ τοὺς ἐν Σαλ. παραταξαμ. 12 Ald. προελλήμασι. marg. Vict. προελλείμμασι. Port. Mon. Vind. προβλήμασι. 13 Vind. διὰ ἡλικ. 14 Vind. addit: ἐστιν. 15 Vind. εἰ δοῦλός ἐστιν, εἰ ἄτιμός ἐστιν. 16 p. 541.

## Cap. XXII.

### ΜΕΘΟΔΟΣ[1] ΤΟΥ ΤΑ ΕΝΑΝΤΙΑ ΛΕΓΟΝΤΑ[2] ΟΙΣ ΒΟΥΛΕΤΑΙ ΓΕΝΕΣΘΑΙ, ΚΑΤΟΡΘΟΥΝ Ο ΒΟΥΛΕΤΑΙ, ΜΗ ΔΟΚΟΥΝΤΑ ΕΝΑΝΤΙΑ ΟΙΣ ΕΘΕΛΕΙ ΛΕΓΕΙΝ.

Τίς μέθοδος τοῦ τὰ[3] ἐναντία λέγοντα οἷς βούλεται γενέσθαι, κατορθοῦν ὃ βούλεται, μὴ δοκοῦντα ἐναντία οἷς ἐθέλει[4] λέγειν; ἡ κακία ἐν λόγοις ἐνταῦθα[5] ἀρετὴ φαίνεται. τίς δέ ἐστι κακία ἐν λόγοις; εὐδιάλυτα λέγειν καὶ ἐναντία καὶ στρεφόμενα. ταῦτα ἐν τούτῳ τῷ σχήματι τῶν[6] λόγων ἀρετὴ γίνεται. Ὅμηρος αὐτὸ πεποίηκεν. ὁ[7] Ἀγαμέμνων ἐστὶν ἀποπειρώμενος τοῦ Ἑλληνικοῦ καὶ βουλόμενος αὐτοὺς μένειν, λέγων, δεῖν[8] μὴ μένειν, ἀλλὰ φεύγειν. καὶ δι' ὅλης τῆς δημηγορίας εὐδιάλυτα λέγει καὶ στρεφόμενα, διδοὺς[9] ἀντιλαβὰς τοῖς ἐναντιουμένοις, ἐπὶ τέλει δὲ καὶ ἐναντιώματα λέγων· τὸ γὰρ φάναι,

Καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται,[10]

δῆλον ὅτι ἐναντίον ἐστὶ φανερῶς τῷ φεύγωμεν. πῶς γὰρ φεύξονται ναῦς οὐκ ἔχοντες; τοῦτο δ' ἂν εἶπε[11] καὶ κωλύων τις αὐτοὺς ἀποπλεῖν, οὐ κελεύων δὲ μένειν[12] τοῖς λόγοις. ἐν δὲ ταῖς σχολικαῖς ὑποθέσεσίν ἐστι καὶ ἄλλη τις τέχνη μελετωμένη,[13] ἣ βοηθεῖται[14] ταῖς τοῦ ἀντι-

---

1 In Vind. tit. περὶ τοῦ τὰ ἐναντία λέγοντα κατορθοῦν ἐναντία. 2 Port. λέγοντος et μὴ δοκοῦντος. scripsi λέγοντα et μὴ δοκοῦντα, ut initio capitis: Ald. Port. Vind. λέγοντος et μὴ δοκοῦντος. Par. Mon. λέγοντα et μὴ δοκοῦντα, sed in Par. altera lectio per o supra syllabas τᾶ positum innuitur. 3 Par. Vind. Mon. τὰ om. 4 Vind. Mon. θέλει. 5 ἐνταῦθα Mon. om. 6 τῶν Mon. om. 7 Ald. Port. Mon. Ἀγαμέμνων ἐστὶν ὁ ἀποπειρ. Vind. Greg. Cor. ὁ Ἀγαμ. ἐστὶν ἀποπειρ. 8 Ald. Port. Mon. δεῖ. Vind. δεῖν. 9 Ald. ὁ διδούς. Mon. καὶ δούς. Port. Vind. δίδους. 10 Il. β. 135. Vind. νεῶν om. 11 Vind. εἶπεν. 12 Mon. βαίνειν. 13 μελετωμένη Mon. Vind. om. 14 Mon. βοηθεῖ.

δίκου προτάσεσι, καὶ διὰ μακρῶν προβάλλεται, καὶ διὰ μαρτυριῶν[15] ἐσθ' ὅτε. ἀλλὰ ἀντιλέγειν προσποιοῦ, οὕτω γὰρ λέγων οὐχ ὑποπτευθήσῃ,[16] καὶ ὃ βούλει σοὶ ἔσται. ἐν γὰρ τῷ τοιούτῳ σχήματι τῶν λόγων τὸ[17] μὲν νικῆσαι λέγοντα ἡττηθῆναί ἐστι, τὸ δὲ ἡττηθῆναι λέγοντα, νικῆσαί ἐστι. γέγονε γὰρ ὃ βουλόμεθα.

## Cap. XXIII.

### ΠΩΣ ΔΕΙ ΠΡΟΤΕΙΝΕΙΝ ΤΑΣ ΤΟΥ ΑΝΤΙΔΙΚΟΥ ΠΡΟΤΑΣΕΙΣ.[1]

Ὁ κατηγορῶν τὰς τοῦ μέλλοντος ἀποκρίνεσθαι οὐχ ἁπλῶς προτίθησι[2] προτάσεις, ἀλλὰ κατὰ τρόπους τρεῖς, ἐπιστήμην, δόξαν, ἀκοήν. ἐπιστήμην μέν, οἶδα ὅπερ νὴ Δία ἐρεῖ, καὶ ὅσα τοιαῦτα· δόξαν δὲ, οἷον, τάχα τοίνυν ἴσως ἐρεῖ, ὡς ἀμφιβάλλων περὶ τῆς προτάσεως· ἀκοὴν δὲ, ὡς ἀκούων περὶ τῆς προτάσεως, πυνθάνομαι τοίνυν μέλλειν αὐτὸν[3] λέγειν. τὰ μὲν δὴ σχήματα τῆς προτάσεως τῶν τοῦ[4] ἀπολογουμένου κεφαλαίων ταῦτα, ὁ δὲ καιρὸς ἑκάστου τίς; δεῖ γὰρ εἰδέναι πότε τῇ ἐπιστήμῃ καὶ τῇ δόξῃ καὶ τῇ ἀκοῇ χρησόμεθα. ἡ γὰρ ἀκαιρία πολλάκις καὶ ἐναντία ποιεῖ[5] τῶν μελλόντων προτείνεσθαι ὑπὸ τοῦ ἀπολογουμένου. τοῦ οὖν ἀντιδίκου τὰ μὲν ἐστιν ἰσχυ-

15 Par. ad marg. γρ. καὶ διαμαρτυρίαις. 16 Vind. ὑποπτευθείσῃ. 17 Ald. Mon. τῷ. Port. Vind. τό.

1 In Vind. tit. περὶ τοῦ προτείνειν τὰς τοῦ ἐναντίου προτάσεις. 2 Mon. Vind. προτείνει. 3 Vind. αὐτὸν μέλλειν. 4 Ald. Port. τῶν ἀπολογουμένων κεφαλ. Mon. Vind. τῶν τοῦ ἀπολογουμένου κεφ. 5 Port. Mon. interpungunt: ποιεῖ. τῶν μελλόντων προτείν. ὑπὸ τοῦ ἀπολογουμένου τὰ μέν. Ald. ποιεῖ τῶν μελλόντων προτ. ὑπὸ τοῦ ἀπολογουμένου. καὶ τὰ μέν. Consentit Vind. sed post ἀπολογουμένου legit: τοῦ οὖν ἀντιδίκου τὰ μέν.

ρότερα,[6] τὰ δὲ ἀσθενῆ, τὰ δὲ μέσα. τὰ μὲν οὖν ἀσθενῆ τοῦ ἀντιδίκου ὡς εἰδὼς τῇ ἐπιστήμῃ προβαλῇ· τὰ δὲ μέσα τῇ ἕξει[7] ὡς στοχαζόμενος, ὅπερ ἐστὶ τῇ δόξῃ. τὰ δὲ ἰσχυρὰ ὡς πυνθανόμενος, ἵνα δοκῇς ἀκούειν αὐτὰ, μὴ συνειδέναι δὲ ἰσχυρὰ ὄντα·[8] οὕτω μὲν δὴ δεῖ προ-
156 τείνειν. Δημοσθένης δὲ τὰ ἄμικτα ἔμιξεν ἐν τῷ κατὰ Μειδίου, ἐπιστήμην ὁμοῦ καὶ ἀκοὴν, λέγων οὕτως· ἔστι δὲ πρῶτον μὲν ἐκεῖνο[9] οὐκ ἄδηλος ἐρῶν, ἐξ ὧν ἰδίᾳ πρός τινας αὐτὸς διεξιὼν ἀπηγγέλλετό[10] μοι. διὰ μὲν γὰρ τὴν φύσιν τοῦ πράγματος καὶ τὴν ἰσχὺν τοῦ κεφαλαίου τῇ ἀκοῇ κέχρηται, διὰ δὲ τὴν προσποίησιν τῆς καταφρονήσεως τῇ ἐπιστήμῃ. ἀλλὰ καὶ ἐν τῷ περὶ τῆς ἀτελείας ἰσχυρότατον προτείνων τοῦ Λεπτίνου κεφάλαιον, τὸ τῆς ἀξίας, τῇ ἐπιστήμῃ προέτεινεν οὕτως· ἔστι δ' οὐκ ἄδηλον,[11] ὅτι Λεπτίνης, κἄν τις ἄλλος ὑπὲρ τοῦ νόμου λέγῃ, δίκαιον μὲν οὐδὲν ἐρεῖ περὶ αὐτοῦ, φήσει δ'[12] ἀναξίους τινὰς ἀνθρώπους εὑραμένους[13] ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουργίας. λέγομεν οὖν, ὅτι ὁ[14] Δημοσθένης χρῆται τοῖς σχήμασι καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν.[15] καὶ ἐνταῦθα τῷ μὲν Λεπτίνῃ ἰσχυρότατόν ἐστι τοῦτο τὸ κεφάλαιον· τῷ δὲ Δημοσθένει εὔλυτον.

---

6 Port. ἰσχυρώτερα, et bis infra v. 13. et 21. ἰσχυρώτατον, notatur a Schaefero ad Dem. p. 457. v. 3. 7 Vind. δόξῃ. 8 ἰσχυρὰ ὄντα Vind. om. 9 Ald. ἐκεῖνος. — in Mid. p. 522. 10 Ald. Port. ἐπηγγέλλετο. Mon. Vind. ἀπηγγ. ut Dem. 11 Mon. τοῦθ', ὅτι. — in Lept. init. 12 Ald. Mon. Vind. δέ. Port. δ' ἄν. 13 Par. εὑρομένους. 14 ὁ Mon. om. 15 καὶ παρὰ φύσιν Mon. Vind. Par. om. Par. ad marg. γρ. καὶ κατὰ φύσιν καὶ κατὰ τέχνην. ἢ οὕτως καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν.

## Cap. XXIV.

### ΠΕΡΙ ΤΟΥ ΔΕΔΗΘΟΤΩΣ ΤΑ ΑΥΤΑ ΛΕΓΕΙΝ Η ΕΑΥΤΩι Η ΑΛΛΟΙΣ, ΜΗ [1] ΔΟΚΟΥΝΤΑ ΤΟΥΤΟ ΠΟΙΕΙΝ.

Τοῦ τὰ αὐτὰ λέγοντα [2] ἢ ἑαυτῷ ἢ ἄλλῳ τινὶ μὴ δοκεῖν τὰ αὐτὰ λέγειν διπλῆ μέθοδος, τάξεως μεταβολή, καὶ μήκη καὶ βραχύτητες. ἡ δὲ αὐτὴ καὶ τοῦ παραφράζειν μέθοδος. ἢ γὰρ τὴν τάξιν μεταβάλλεις, [3] ἥπερ ἐκεῖνος ἐχρήσατο, ἢ τὸ μέτρον. εἴπερ γὰρ διὰ μακρῶν ἐκεῖνος, ταῦτα ἐν βραχέσι συνελὼν λέγεις, ἢ τὸ ἐναντίον. τίς δὲ ἑκατέρου τούτων ὁ καιρός; ἡ μὲν συμβουλευτικὴ μήκη καὶ βραχύτητας ἐπιδέχεται. τῆς γὰρ τάξεως μεταβολὴν οὐ δύναται ἔχειν, ὅτι ἐν μὲν [4] συμβουλῇ πάντως πρῶτον τὸ κατεπεῖγον εἶναι δεῖ παρὰ παντὶ συμβουλεύοντι. ἐν δὲ τῇ πανηγυρικῇ νόμος ἐστὶ τῶν κεφαλαίων τῆς τάξεως ἀμετάβλητος ἡ φύσις τῶν πραγμάτων. χρώμεθα οὖν τοῖς μήκεσι καὶ ταῖς βραχύτησιν, ὥσπερ ἐν συμβουλευτικῇ μὲν ἰδέᾳ ἐποίησεν ὁ Δημοσθένης ἔν τε τοῖς Ὀλυνθιακοῖς καὶ ἐν τοῖς περὶ τῶν ἐν τῇ Χερρονήσῳ στρατιωτῶν. τὰ αὐτὰ γὰρ λέγων ἑαυτῷ μάλιστα ἔλαθεν. ἐν δὲ πανηγυρικῇ ἰδέᾳ Πλάτων τὰ αὐτὰ λέγων Θουκυδίδῃ [5] ἐν τῷ ἐπιταφίῳ οὐ μόνον ἔλαθεν, ἀλλὰ καὶ ἄλλα λέγειν ἔδοξε. τὰ γοῦν περὶ [6] τῶν πολεμίων Θουκυδίδης μὲν ἐπιμνησθεὶς παρῆκεν, ὁ Πλάτων δὲ ἐπεξειργάσατο. τοὐναντίον δὲ Πλάτων μὲν παρῆλθε [7] περὶ τῆς πολιτείας, Θουκυδίδης δὲ ἐπεξῆλθεν. ἐν δὲ τῇ δικανικῇ ἰδέᾳ καὶ ἡ τῆς τάξεως μεταβολὴ χώραν ἔχει· ὥσπερ Δημοσθένης ἐποίησεν ἐν τῷ περὶ τῆς ἀτελείας. Φορμίωνος γὰρ προκατηγορήσαντος τοῦ νόμου

---

1 μὴ δοκοῦντα τ. ποιεῖν Vind. e titulo om. 2 Ald. Port. λέγοντος Mon. Vind. ταὐτὰ λέγοντα. 3 Mon. μεταβαλεῖς. 4 μὲν Mon. om. 5 Vind. τῷ Θουκυδίδῃ. 6 Vind. ἐπὶ τῶν πολέμων. 7 Vind. παρῆκε. Port. ad marg. γρ. παρῆκε.

καὶ χρησαμένου τοῖς κεφαλαίοις τῆς διαιρέσεως, τῷ δικαίῳ, τῷ συμφέροντι, τῷ καλῷ, τῷ τῆς ἀξίας, ἀνέστρεψε τὴν τάξιν μεταβαλών· [8] πῶς δὲ τοῦτο ἐποίησεν, ἐν τοῖς περὶ τούτου [9] λόγοις διεξήλθομεν.

## Cap. XXV.

ΠΕΡΙ ΤΟΥ ΑΝΕΠΑΧΘΩΣ ΕΑΥΤΟΝ ΕΠΑΙΝΕΙΝ.

Τοῦ ἑαυτὸν ἐπαινεῖν ἐπαχθοῦς ὄντος καὶ εὐμισήτου, ἀνεπαχθῶς ποιῆσαι μέθοδοι τρεῖς· κοινότης λόγου, ἀνάγκης προσποίησις, προσώπου ὑπαλλαγή. τούτων παράδειγμα [1] ὁ Ἰσοκράτης ἐν τῷ πρώτῳ λόγῳ τῶν παραινέσεων τὸ πρῶτον προοίμιον [2] ἑαυτοῦ ἔπαινον κατεσκεύασε. [3] θέλει γὰρ εἰπεῖν, ὅτι ἐγὼ ἀνὴρ εἰμι σπουδαιότατος καὶ μόνος φίλος ἀγαθὸς ἀποθανόντος τοῦ πατρὸς, ὦ Δημόνικε, σοὶ εὐνοῶν· [4] πῶς οὖν αὐτὸ ποιεῖ; κοινῷ τῷ λόγῳ χρῆται, περί τε σπουδαίων ἀνδρῶν καὶ φαύλων λέγων καὶ διακρίνων ἤθη ἀγαθῶν καὶ πονηρῶν φίλων. οὕτω δὲ [5] φαίνεται αὐτὸς ὢν τῶν ἀγαθῶν ἀνδρῶν. ὁ δὲ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου μέλλων ἑαυτὸν ἐπαινεῖν καὶ τὴν ἑαυτοῦ πολιτείαν, πολλάκις χρῆται τῇ ἀνάγκῃ [6] λέγων, ἐὰν δὲ [7] ἐφ' ἃ καὶ πεποίηκα καὶ

8 Vind. μεταβαλλὼν [sic]. 9 Ald. Port. Mon. περὶ τοῦ λόγου. Vind. περὶ τούτου λόγοις. sc. ἐν τοῖς ὑπομνήμασιν εἰς τὸν Δημοσθένην, quorum mentionem facit Syrianus in Prolegom. ad Ideas Tom. VII. p. 90. cfr. Westerm. hist. eloqu. Gr. p. 220.

1 Vind. παραδείγματα. 2 Ald. προείμιον. 3 Ald. Port. παρεσκεύασε. Vind. Mon. κατεσκεύασε. 4 Vind. εὐνοῶ. 5 δὲ Vind. om. 6 Vind. τῇ ἀνάγκῃ χρῆται. Marg. Vict. laudat Ciceronem pro Sulla c. 12. atque hoc vos iudices testor, mihi de memet ipso tam multa dicendi necessitas quaedam imposita est ab illo. 7 pro cor. p. 226. fin.

πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. ἐπεὶ [8] δὲ τῇ ἀνάγκῃ πολλάκις χρώμενος ὑποπτός ἐστι, καὶ τῇ τοῦ προσώπου ὑπαλλαγῇ χρῆται. ἔστι δὲ τοῦτο, ὅταν τι μέτριον λέγῃ, τότε πρὸς τοὺς Ἀθηναίους λέγει. ὅταν δὲ ὑπερήφανον καὶ ἐπαχθὲς, πρὸς Αἰσχίνην· οὐ λίθοις [9] ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγὼ, ἀλλὰ τὸν ἐμὸν τειχισμὸν εἰ βούλει σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ συμμάχους. καὶ πάλιν ἀλλαχοῦ· [10] ὧν μέντοι ἐκ τῆς ἰδίας οὐσίας ἐπέδωκα, οὐδὲ μίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι. ἀκούεις Αἰσχίνη; ἀπέστρεψε [11] τὸν λόγον, ἵνα δοκοίη τὸν ἐχθρὸν λυπεῖν, καὶ μὴ Ἀθηναίοις ὀνειδίζειν. 157

## Cap. XXVI.

### ΠΕΡΙ ΠΑΛΑΙΣΜΑΤΩΝ ΔΙΚΑΣΤΗΡΙΩΝ Α ΔΗΜΟΣΘΕΝΗΣ ΕΠΕΤΕΧΝΗΣΑΤΟ.

Δύο παλαίσματα δικαστηρίων Δημοσθένης ἐπετεχνήσατο, τό τε οἰκεῖον ἰσχυρὸν, κἂν μὴ κρινόμενον ᾖ, εἰς κρίσιν ἀγαγεῖν, καὶ τὸ τοῦ ἀντιδίκου ἰσχυρὸν κρινόμενον ἐκβαλεῖν. ταῦτα τοίνυν ἀμφότερα ποιεῖ Δημοσθένης καὶ λανθάνει πράττων. ὅταν γὰρ τὸ οἰκεῖον εἰσάγῃ [3] χαριζόμενος ἑαυτῷ, ἀνάγκην προσποιεῖται. ὅταν δὲ τὸ τοῦ ἀντιδίκου ἐκβάλλῃ πανουργῶν, ἁπλότητα ὑποκρίνεται. τοῦτο ἐποίησεν [5] ἐν δυσὶ λόγοις, ἔν τε τῷ περὶ στε-

8 Vind. ἐπειδὴ δέ. 9 pro cor. p. 325. 10 p. 263. 11 Mon. ἐπέστρεψε.

1 In Vind. tit. περὶ παλαισμάτων τῶν δικαστηρίων. Par. ἐπιτεχνήματα Δημοσθένους. 2 Vind. ἐτεχνήσατο. 3 Ald. Mon. Vind. εἰσάγει. Port. εἰσάγῃ. 4 Vind. καὶ ἁπλότητα. 5 Ald. Mon. ἐποίησε καὶ ἐν. Port. Vind. ἐποίησεν ἐν.

φάνου καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους. ὅταν γὰρ τὸ τῆς πολιτείας καὶ ἀξίας ἐπάγῃ, ἀνάγκην ὑποκρίνεται· ἐὰν [7] δὲ ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. ὅταν δὲ τοὺς νόμους κλέπτῃ, ἁπλότητα προσποιεῖται, λέγων οὕτως· [8] ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, ὡς παρέργου μνημονεύων τοῦ ἰσχυροῦ τῷ ἀντιδίκῳ. καὶ πάλιν [9] ἐν τῷ κατὰ Ἀριστοκράτους εἰσάγων τὸν περὶ Χερρονήσου λόγον οὐδὲν προσήκοντα τῷ ἀγῶνι φησὶν, ἀνάγκη δὲ [10] πρῶτον ἁπάντων δεῖξαι, τί ποτ' [11] ἐστὶ τὸν Χερρόννησον ἀσφαλῶς ἔχειν ὑμᾶς [12] πεποιηκός. εἶτα πανουργῶν καὶ πολίτην ἐργαζόμενος τὸν Χαρίδημον, ἵνα αὐτῷ ἰσχύῃ ὁ περὶ τῶν νόμων λόγος, ἐπιφέρει, Θεάσασθε [13] τοίνυν, ὡς δικαίως καὶ ἁπλῶς ποιήσομαι τοὺς λόγους, ὃς εἰς μὲν ταύτην τίθεμαι τὴν τάξιν αὐτὸν, ἐν ᾗ πλείστης ἂν τυγχάνοι [14] τιμῆς· ἃ δ' οὐδ' ἡμῖν [15] τοῖς γένει πολίταις ἐστὶν, οὐδ' [16] ἐκείνῳ δεῖν οἶμαι γενέσθαι παρὰ τοὺς νόμους.

Cap.

---

6 Vind. ἐπαγάγῃ. 7 pro cor. p. 226. fin. 8 pro cor. p. 244. 9 Vind. καὶ πάλιν λέγων, Θεάσασθε τοίνυν, ὡς ἁπλῶς καὶ δικαίως ποιήσομαι τοὺς λόγους, καὶ πάλιν ἐν τῷ κατὰ Ἀριστοκρ. [p. 623.] 10 Vind. δέ ἐστι. 11 Ald. Port. Mon. τί ποτέ ἐστι. Vind. τί ποτ' ἐστί. 12 Ald. Mon. Vind. ἡμᾶς. Port ὑμᾶς. 13 Port. Θεάσ. δὴ πρὸς Διὸς, ὡς ἁπλῶς καὶ δικαίως χρήσομαι τῷ λόγῳ, ex or. in Aristocr. p. 628. 14 Ald. Vind. τυγχάνει. Port. Vind. τυγχάνοι. 15 Vind. ὑμῖν. 16 Vind. οὐδὲ ἐκείνῳ.

## Cap. XXVII.

### ΠΕΡΙ ΔΕΥΤΕΡΟΛΟΓΙΩΝ.

Δευτερολογιῶν εἴδη τάδε. ἤτοι γὰρ διὰ μέγεθος τοῦ ἀγῶνος μερίζεται ἡ κατηγορία ἢ ἡ ἀπολογία, ἢ προκατηγορήσαντός τινος καὶ προαγωνισαμένου, ὁ δεύτερος λέγων αὐξήσει χρῆται, ὥσπερ οἱ κατὰ Ἀριστογείτονος λόγοι ἔχουσιν· ἢ τὰ αὐτὰ [1] ὁ δεύτερος λέγων οὐκ αὔξει μὲν, προστίθησι δέ τι [2] ἢ ἀφαιρεῖ, ὥσπερ κατορθῶν τὰ εἰρημένα, ὡς ἔχει ὁ τοῦ Νέστορος λόγος ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ μετὰ τὴν Ὀδυσσέως δημηγορίαν· ἢ προαγωνισαμένου ἑτέρου, ὁ δεύτερος λέγων τὰ μέλλοντα δεύτερα λέγεσθαι ὑπὸ τοῦ ἀντιδίκου προκαταλαμβάνει λέγων, ὥσπερ ὁ κατ' Ἀνδροτίωνος ἔχει· προκατηγορήσαντος γὰρ Εὐκτήμονος [3] ἃ μέλλει λέγειν Ἀνδροτίων, ὁ Διόδωρος προκαταλαμβάνει. οὗτοι τέσσαρες τρόποι [4] δευτερολογίας.

---

## Cap. XXVIII.

### ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ [5]

Οἱ παλαιοὶ διηγούμενοι διπλῇ τινι μεθόδῳ χρῶνται, ἀναφορᾷ δι' ἀσφάλειαν, καὶ διὰ [6] πίστιν βεβαιώσει. οἷ-

---

1 Vind. ταὐτά. 2 Vind. τινα. 3 Vind. Εὐκτήμωνος 4 Vind. λόγοι ἢ τρόποι. 5 In Vind. tit. περὶ διηγήσεως παλαιᾶς. 6 διὰ a codd. antiquis abfuisse apparet ex Gregor. Corinth. p. 1311. τινὲς εἰς τὸ ἀσφάλειαν στίζουσιν, εἶτα τὸ ἑξῆς ἀναγινώσκουσι· καὶ πίστιν βεβαιώσει, ἐξυπακούοντες τὴν διὰ ἔξωθεν. — Ἔνιοι δὲ „δι' ἀσφάλειαν καὶ πίστιν" ἀναγινώσκουσιν, εἶτα τὸ ἑξῆς· βεβαιώσει. ἐμοὶ δὲ τὸ πρῶτον δοκεῖ. — Isocr. locus est ad Demonic. §. 50. p. 15. Bekk.

ον Ἰσοκράτης, Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι· τὸ μὲν, ὡς οἱ [7] μῦθοι λέγουσιν, ἀναφορά. τὸ δὲ καὶ πάντες πιστεύουσιν, ἡ βεβαίωσις. καὶ Εὐριπίδης, [8] Ζεὺς, ὡς λέλεκται, ἀναφορά· τῆς ἀληθείας ὕπο, βεβαίωσις. καὶ Ἡρόδοτος, οὕτω δὴ λέγουσι Κορίνθιοι, ἀναφορά· ὁμολογέουσι [9] δέ σφι Λέσβιοι, βεβαίωσις. καὶ Θουκυδίδης, λέγουσι δὲ, ἀναφορά. καὶ οἱ τὰ σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον [10] δεδεγμένοι, βεβαίωσις. καὶ Δημοσθένης, ὡς δὲ ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς [11] ἤκουον, ἀνδρὸς οὐδαμῶς οἷόν τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους. καὶ τοῦτο παρὰ [12] Πλάτωνος ἔλαβεν ὡς ἐγώ ποὺ παρὰ βασιλέως ἐλθόντος ἤκουσα ἀνδρὸς ἀξιοπίστου.

---

## Cap. XXIX.

### ΠΩΣ ΚΟΙΝΑ ΔΙΑΝΟΗΜΑΤΑ ΙΔΙΩΣΟΜΕΝ [1]

Οἱ παλαιοὶ κοινὰ λέγοντες διανοήματα ὁμολογίᾳ τῆς

---

7 οἱ Vind. om. 8 Ald. Mon. Vind. Εὐριπίδου. Port. Εὐριπίδης. — Greg. Cor. p. 1312. οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῷ λεγομένῳ Πειρίθῳ καὶ ἐν τῇ σοφῇ Μελανίππῃ. vide Aristoph. Ran. 1244. Valck. Diatr. p. 37. 9 Ald. Port. ὁμολογοῦσι. Mon. Vind. ὁμολογέουσι. Mon. σφιν. — Herod. I. 23. 10 Ald. Codd. προτέρων. Port. πρότερον. L. I. 9. 11 Vind. ἤκουσά τινος ἀνδρός. — Ol. II. p. 23. 12 παρὰ Ald. Vind. om., est in Port. Mon. — Greg. Cor. p. 1314. ἐν οἵῳ δὲ λόγῳ τὸ τοῦ Πλάτωνος κεῖται ῥητὸν, καὶ περὶ ποίου βασιλέως φησὶ, παρῆκεν ὁ ἐξηγούμενος. Nominatur a Syriano in recensione codicis Veneti T. IV. p. 118. not. Alcibiades I. c. 40. p. 123. ἐπεί ποτε ἐγὼ ἤκουσα ἀνδρὸς ἀξιοπίστου ἀναβεβηκότος παρὰ βασιλέα. 1 Vind. περὶ κοινῶν

κοινότητος ἴδια αὐτῶν ποιοῦσιν. Ἰσοκράτης·[2] Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα μέγιστα φάσκειν εἶναι, περὶ ὧν ἂν αὐτοὶ ποιῶνται τοὺς λόγους. οὐ μὴν ἀλλ' εἴ τῳ καὶ ἄλλῳ ταῦτα ἥρμοσε λέγειν, καὶ ἐμοὶ προσήκει. καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους,[3] Εἰώθασι μὲν οὖν οἱ πολλοί. καὶ Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου,[4] καὶ, ὡς ἔοικεν, οἱ εἰωθότες λόγοι λέγεσθαι ἐπὶ τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ[5] ψευδεῖς. αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦσι. καὶ πάλιν Αἰσχίνης ἐν[6] τῷ αὐτῷ. οὐκ ἀγνοῶ δὲ ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν. ἐν δὲ τοῖς Ὀλυνθιακοῖς Δημοσθένης, ἐν[7] τῷ πρώτῳ λόγῳ χρώμενος κοινῷ διανοήματι, τῷ[8] ἀντὶ πολλῶν χρημάτων αὐτοὺς αἱρήσεσθαι τὸ κοινῇ συμφέρον, οὐ χρῆται τῇ ὁμολογίᾳ τῆς κοινότητος, διότι πανουργῶν χρῆται, καὶ παραλείπει τὴν ὁμολογίαν. προκατασκευάζει δὲ διὰ τοῦ προοιμίου, τὰ θεωρικὰ χρήματα δεῖν ἀποδοῦναι τοῖς στρατιώταις. εἰ μὲν οὖν ὡμολόγει τὴν κοινότητα, ἔφασκε δὲ λυσιτελεῖν καὶ αὐτῷ εἰπεῖν, ὑπωπτεύετο. νῦν δὲ κοινῷ χρησάμενος διανοήματι καὶ λαθὼν αὐτοὺς ὁμολογοῦντας ὕστερον αὐτοὺς[9] ἀναμιμνήσκει αἱρεῖσθαι,[10] αἰσχυνομένους περὶ τῶν θεωρικῶν χρημάτων. διὰ τοῦτο καὶ ἐπεσφραγίσατο ἐν ἀρχῇ τὴν διάνοιαν[11] οὕτως, ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει. ἔθος δὲ Δημοσθένους[12] ἐστὶν, ὅταν τι διοικήσηται ἑαυ- 158

διανοημάτων. 2 de pac. init. 3 p. 701. 4 §. 2. — Vind. sqq. καὶ ὡς ἔοικεν — ἐν τῷ αὐτῷ om. 5 Ald. Mon. Vind. εἰσίν. Port. εἰσί. 6 Ald. ἐν, om., Port. habet. Mon. καὶ πάλιν Αἰσχ. ἐν τῷ κατὰ Τιμάρχου. [§. 4.] 7 Mon. Vind. ἐν om. 8 Port. τό. 6 Port. αὐτοὺς om. 10 Edd. Codd. ἀρνεῖσθαι. Port. ad marg. γρ. αἱρεῖσθαι. 11 Mon. τὸ διανόημα. 12 Vind. et Gregor. Cor. in cod. Vind. Δημοσθένει.

τῷ χρήσιμον, μὴ πρότερον ἀφίστασθαι, πρὶν ἢ ἐπισφραγίσηται. πεποίηκε τοῦτο [13] ἐν τέτρασι λόγοις· ἐν τῷ περὶ τοῦ στεφάνου, ἐν τῷ κατὰ Μειδίου, ἐν τῷ κατὰ Ἀριστοκράτους, ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν.

---

## Cap. XXX.

ΠΕΡΙ ΧΡΗΣΕΩΣ ΕΠΩΝ ΕΝ ΠΕΖΩι ΛΟΓΩι. [1]

Κατὰ πόσους τρόπους ἐν [2] πεζῷ λόγῳ χρῆσις ἐπῶν γίνεται; κατὰ δύο, κόλλησιν καὶ παρῳδίαν. καὶ [3] κόλλησις μέν ἐστιν, ὅταν ὁλόκληρον τὸ ἔπος εὐφυῶς κολλήσῃ τῷ λόγῳ, ὥστε συμφωνεῖν δοκεῖν. οἷον παρὰ τῷ Αἰσχίνῃ ἐν τῷ κατὰ Τιμάρχου [4] ἐπιστᾶσά που ἡ τοῦ Πατρόκλου ψυχὴ καθεύδοντι τῷ Ἀχιλλεῖ ἐπισκήπτει περὶ τοῦ ὁμόταφος αὐτῷ γενέσθαι·

Οὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
Βουλὰς ἑξόμενοι βουλεύσομεν. [5]

καὶ τὰ ἑξῆς. καὶ πάλιν [6] φησὶν Εὐριπίδης·

[Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' [7] ἄγων ἔρως]
Ζηλωτὸς ἀνθρώποισιν, ὧν εἴην ἐγώ. [8]

κατὰ παρῳδίαν δέ, ὅταν μέρος εἰπὼν τοῦ ἔπους παρ' αὐτοῦ τὸ λοιπὸν πεζῶς ἑρμηνεύσῃ· καὶ πάλιν τοῦ ἔπους εἰπὼν ἕτερον ἐκ τοῦ ἰδίου προσθῇ, ὡς μίαν γενέσθαι τὴν ἰδέαν· οἷον Δημοσθένης ἐν τῷ περὶ [9] παραπρεσβείας,

---

13 Vind. δὲ τοῦτο. tum Ald. Vind. ἐν τοῖς τέτρασι. Port. Mon. τοῖς om.

1 In Vind. tit. κατὰ πόσους τρόπους χρῆσις ἔπους ἐν τῷ πεζῷ λόγῳ γίνεται. 2 Vind. ἐν τῷ. 3 καὶ Vind. om. 4 §. 149. p. 298. Bekk. 5 Il. ψ. 77. 6 Apud Aeschin. c. Timarch. §. 151. p. 299. Versus ex Steneboea esse, monet Gregor. Cor. p. 1321. 7 Vind. ἐπ' ἀρετῇ. 8 Vind. κἀγώ. 9 περὶ Ald. Codd. om., est in Port. — p. 417.

ὅστις δ' ὁμιλῶν ἥδεται ταὐτὰ πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα γινώσκων, ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥσπερ Φιλοκράτης ὁμολογῶν.

## Cap. XXXI.

### ΠΕΡΙ ΤΩΝ ΚΕΚΡΑΤΗΚΟΤΩΝ ΕΝ ΤΟΙΣ ΑΚΡΟΑΤΑΙΣ ΠΑΘΩΝ. [10]

Πρὸς τὰ κεκρατηκότα πάθη οὐ δεῖ ἀντιτείνειν, ἀλλ' [11] εἴκοντα παραμυθεῖσθαι. Ὅμηρος ἐποίησε, Θουκυδίδης ἐμιμήσατο, Δημοσθένης διεδέξατο, Ἰσοκράτης παρέδωκεν. Ὅμηρος, [12]

Ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι,
Καὶ γάρ τις θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο [13]
Ἀσχαλάᾳ σὺν νηῒ πολυζύγῳ.

Θουκυδίδης ἐν Περικλέους λόγῳ, [14] δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ πλείστῳ παραλόγῳ ξυμβαῖνον. Δημοσθένης, εἰ δέ τις ὑμῶν τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, [15] σώφρονος μὲν ἀνδρὸς [16] λογισμῷ χρῆται. μεγάλη γὰρ ῥοπή. Ἰσοκράτης δὲ σαφῶς οὕτως αὐτὸ παραδίδωσι. [17] μηδὲ πρὸς τὰς τῶν παραπλησιαζόντων ὀργὰς ταχέως ἁπάντων, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων.

---

Alludit ad notos versus ex Eurip. Phoenice Fr. IX. 10 In Vind. tit. περὶ τῶν κεκρατηκότων ἐν τοῖς ἀκούουσι παθῶν. 11 Vind. ἀλλά. 12 Il. β. 291. 13 Vind. ἀλόχου. 14 L. II. 61. 15 Ald. νομίζοι. Port. Mon. Vind. νομίζει. — Ol. II. p. 24. 16 Port. ἀνθρώπου. 17 ad Demon. §. 31. p. 10. Bekk.

## Cap. XXXII.

### ΠΕΡΙ ΤΩΝ ΟΜΟΛΟΓΟΥΜΕΝΩΝ ΑΔΙΚΗΜΑΤΩΝ.

Τῶν [1] ὁμολογουμένων ἀδικημάτων μία [2] παραμυθία, ἡ ὁμολογία καὶ ἀπολογία. Ὅμηρος τοῦτο ἐδίδαξεν, Ἡρόδοτος ἐμιμήσατο. οἷον, Ἑλένη τῶν κακῶν αἰτία πᾶσι καὶ Ἕλλησι καὶ βαρβάροις καὶ μάλιστα τοῖς Τρωσὶν ὁμολογουμένως κακῶς ἐλήλυθε, τί οὖν ποιεῖ; ὅταν [4] διαλέγηται τῶν Τρώων τινὶ, ἑαυτῆς κατηγορεῖ καὶ ὁμολογεῖ τὴν ἀδικίαν. καὶ τοῦτο οὐ μόνον αὐτῇ ἀπολογίας, ἀλλὰ καὶ ἐλέου καὶ [5] παραμυθίας αἴτιον γίνεται. αὐτῷ γοῦν τῷ Πριάμῳ διαλεγομένη ἑαυτῆς κατηγορεῖ, ὥστε τὸν γέροντα, εἰ καὶ ἐμίσει αὐτὴν, μεταβάλλεσθαι [6] καὶ ἐλεεῖν. ἀποκρίνεται οὖν,

Οὔτι μοι αἰτίη ἐσσὶ, θεοὶ νύ μοι αἴτιοί εἰσι.

καὶ παρ᾽ Ἡροδότῳ [8] ὁ Ἄδραστός ἐστιν ὑπὸ Κροίσου εὐεργετηθεὶς καὶ καθαρθεὶς καὶ φύλαξ τοῦ παιδὸς αὐτοῦ ἐκπεμφθεὶς, εἶτα [9] ἀποκτείνας τὸν Ἄτυν ἐν τῇ θήρᾳ· καὶ τοῦ Κροίσου βοῶντος καὶ ἀγανακτοῦντος, ἑαυτὸν προτείνων κατηγορεῖ ἑαυτοῦ καὶ ἀποκτεῖναι κελεύει, ὥστε τὸν Κροῖσον παρ᾽ Ἡροδότῳ τὴν τοῦ Πριάμου φωνὴν ἀφιέναι πρὸς τὸν νεανίσκον, εἷς δέ μοι οὐ σὺ τούτων αἴτιος, ἀλλὰ θεῶν κού [10] τις ὅς μοι προεσήμαινεν ἐν τῷ ὀνείρῳ.

---

1 Ald. Port. τῶν δέ. Mon. Vind. δὲ om. 2 Vind. μία ἀπολογία [ἀπολογία expunctum et supra lin. παραμυθία] ἡ ἀπολογία καὶ ὁμολογία. 3 Mon. ἡ om. 4 Mon. ὅτε. 5 καὶ Edd. om., recepi ex Mon. Vind. 6 Mon. Vind. μεταβαλέσθαι. 7 Il. γ. 164. 8 Lib. I. 9 Vind. εἶτα αὐτὸς ἀποκτ. 10 Ald. Mon. Vind. κοὔτις. Par. κοὐτις. ad marg. γρ. καὶ οὔτις ἄλλος. Port. κου τίς.

## Cap. XXXIII.

### ΠΕΡΙ ΤΟΥ ΤΡΑΓΙΚΩΣ ΛΕΓΕΙΝ.

*Τὸ τραγικῶς λέγειν Ὅμηρος* [1] *μὲν ἐδίδαξε, Δημο-* 159
*σθένης δὲ ἐμιμήσασο. ὅτι μὲν γὰρ τραγῳδὸς καὶ πατὴρ τραγῳδίας Ὅμηρος, Πλάτων* [2] *μαρτυρεῖ. ὅπως δὲ ἐτραγῴδησεν ἐν τῇ ἑαυτοῦ ποιήσει, θεωρητέον. Ἰλίου* [3] *ἅλωσιν οὐκ εἶπε τέχνῃ παραλιπὼν,* [4] *οὐ γὰρ ἥρμοζεν αὐτοῦ τῇ τῆς ποιήσεως τραγῳδίᾳ ἑνὸς πολιχνίου πόρθησις. τί οὖν ποιεῖ; πάσης πόλεως εἶπε πόρθησιν ἐν δυσὶν ἔπεσιν,* [5]

*Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,*
*Τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας.*

*ἂν δ' Ἕκτωρ ἀποθάνῃ, Ἀνδρομάχῃ λέγει τι καὶ Ἑκάβῃ, ἀλλὰ καὶ Ἑλένῃ καὶ χορὸς τῶν Τρῳάδων, καὶ πολλὰ δράματα, ὡς εἰπεῖν, ἀποπληροῦντα τὴν τραγῳδίαν. τί οὖν ἐκ τούτων τὸν χρηστὸν νομίσομεν Ὅμηρον λέγειν ἡμῖν;* [7] *τὰ μεγάλα τῇ βραχύτητι τῆς ἑρμηνείας φυλάττει* [8] *μεγάλα, τῆς συντομίας τὸ μέγεθος αὐτοῖς διασωζούσης· τὰ δὲ σμικρὰ* [9] *καὶ φαῦλα τῇ περιβολῇ τῶν λόγων μέγεθος προσλαμβάνει, ταὐτὰ* [10] *ποιεῖ Δημοσθένης, καὶ οὕτω* [11] *τραγῳδεῖ Φωκέων ἅλωσιν, ἔθνους ὅλου,* [12] *ἐν ὀλίγοις ῥήμασι λέγων· ἦν ἰδεῖν οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα,* [13] *χώραν ἔρημον*

---

1 Vind. Homerus *μὲν ἐδίδαξεν.* Etiam alibi nomina propria latine expressa sunt. 2 Polit. X. p. 598. D. *ἐπισκεπτέον τήν τε τραγῳδίαν καὶ τὸν ἡγεμόνα αὐτῆς Ὅμηρον.* 3 Vind. *Ἰλ. γὰρ ἅλωσιν.* 4 Mon. *καταλιπών.* 5 Il. ι, 593. 6 Vind. *τῶν* om. Mon. *Τρωιάδων.* 7 Vind. *ἡμῖν Ὅμηρον λέγειν.* 8 Vind. *φυλάττειν.* 9 Vind. *μικρά.* 10 Ald. Mon. Vind. *ταῦτα.* Port. *ταὐτά.* 11 Vind. *οὕτως.* 12 Mon. *ὀλίγου.* 13 Ald. Vind. *περιειρημένα*, corrigit marg. Vict. Port. Mon. — de

τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρια ὀλίγα [14] καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς. μονονουχὶ παρέφρασε τὸ Ὁμηρικόν. ἐν δὲ τῷ κατὰ Κόνωνος αἰκίας τῆς ὕβρεως περιήγησιν ἐποίησεν ἀκριβῶς ἕκαστα διηγούμενος, δηλονότι τὴν φαυλότητα τοῦ πράγματος αἴρων εἰς μέγεθος τῇ περιττοτέρᾳ ἑρμηνείᾳ, καὶ τὴν ὕβριν τραγῳδῶν. [15]

---

## Cap. XXXIV.

### ΠΕΡΙ ΤΟΥ ΚΩΜΙΚΩΣ ΛΕΓΕΙΝ.

Τοῦ κωμικῶς λέγειν ἅμα [1] καὶ σκώπτειν ἀρχαίως τρεῖς μέθοδοι, τὸ κατὰ παρῳδίαν σχῆμα, τὸ παρὰ προσδοκίαν, τὸ ἐναντίας ποιεῖσθαι τὰς εἰκόνας [2] τῇ φύσει τῶν πραγμάτων. τούτων παραδείγματα λάβωμεν τὰ μὲν ἐκ τοῦ κωμικοῦ, τὰ δὲ ἐκ τοῦ βιολόγου, [3] τὰ δὲ ἐκ τοῦ ῥήτο-

---

fals. leg. p. 361. 14 ὀλίγα Ald. Mon. om. Par. ad marg. γρ. γύναια δὲ καὶ παιδία ὀλίγα. Port. Vind. et Gregor. Cor. ὀλίγα habent. 15 Vind. τραγῳδεῖ.

1 Vind. ἅμα λέγειν. 2 Ald. εἰκότας. 3 Edd. et Codd. βίου. In Vind. supra lin. τοῦ Μενάνδρου. quod cave pro lectione varianto sumas: est enim glossa, cui similis alia in cod. Par. 2977. τοῦ Μενάνδρου δηλονότι. [vide T. V. p. 573.] Scriptorem aliquem innui nexus verborum aperte docet, eumque Menandrum esse apparet ex nobili illo Aristophanis Grammatici dicto apud Syrianum T. IV. p. 101. Absurdas commentatorum interpretationes refert Gregor. Cor. p. 1333. τὰ δὲ ἐκ τοῦ βίου τινὲς μὲν ἐξηγήσαντο ἀντὶ τοῦ, ἐξ ὧν ἡμεῖς λέγομεν καὶ ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων, ἕτεροι δὲ λόγον ἐδέξαντό τινα τοῦ Ἑρμογένους, ὃς βίος οὐκ οἶδ' ὅθεν ὠνόμασται. — His scriptis G. H. Schaeferum Lipsiae salutavi, qui, qua est humanitate, haec mecum communicavit: „βίου Hermogenis mutandum censeo in βιολόγου. βιολόγος aptissime dicitur Menan-

ρος. τὰ μὲν κατὰ παρῳδίαν οὕτως ἔχει. [4]

ὁλῶς; [5] Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.

θέλων [6] γὰρ εἰπεῖν, τὴν κεφαλὴν κόρακος ἔχει, διὰ τὸ τραυλὸς εἶναι δῆθεν ἁμαρτὼν [7] τῇ φωνῇ διεκωμῴδησε τὸν τρόπον. τὸ δὲ παρὰ προσδοκίαν οὕτω· [8]

βδελυρὸν μὲν οὖν τὸ πρᾶγμα, κοὐκ [9] ἂν ἐβουλόμην λαχεῖν, [10] ἐπειδὴ δ' [11] ἔλαχον,

προσδοκᾷ μὲν ὁ ἀκροατὴς ἀκοῦσαι, ὑπομενῶ· φησὶ δὲ οὐκ ἂν ἐβουλόμην. τὸ δὲ ἐναντίως χρῆσθαι ταῖς εἰκόσι πρὸς τὰ μεγέθη τῶν πραγμάτων οὕτω γίνεται, ἐὰν μεγάλῳ μικρὸν ἀντιτιθῶμεν, καὶ μικρῷ μέγα. [12] οἷον, ἐμαχέσαντο οἱ ὄρτυγες ὡς [13] Αἴας καὶ Ἕκτωρ· καὶ Ἕκτωρ καὶ Ἀχιλλεὺς ἐμαχέσαντο ὡς [14] ἀλεκτρυόνες. τούτοις δὲ [15] πᾶσι χρῆται Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, ἔνθεν [16] δηλοῦται, ὅτι κωμῳδεῖν ἐπίσταται. τῇ μὲν παρῳδίᾳ οὕτως· [17] τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίη-

---

der, cuius dramata vere fuerunt βιολογούμενα s. βιολογικά. Cave autem intelligas mimos posteriorum temporum. Fons mutationis vox est Aristophanis Grammatici: Ὦ Μένανδρε καὶ βίε, πότερος ἄρα [minus probo ἆρ'] ὑμῶν πότερον ἐμιμήσατο; ubi qui scripserunt ἀπεμιμήσατο, ne versus scilicet claudicaret, ut Hermannus apud Erfurdtium ad Ammianum Marcell. XXX. 4. 21., non minus errarunt, quam qui Laconis prosam refinxerunt, ut versus claudicaret. De quo ioculari errore v. Plutarchea mea T. IV. p. 380." 4 Vind. ἔχει οὕτως. 5 Vind. ὁλᾷς; θεόδωλος τὴν κεφ. κόλακος. etiam Greg. in Cod. Vind. ὁλᾷς; θεόδωλος. Mon. θέολος. — Ar. Vesp. 45. 6 θέλων γὰρ εἰπεῖν — ἔχει Vind. om. 7 Vind. τὴν φωνὴν ἁμαρτών. 8 Vind. τοῦτο. 9 Edd. Codd. καὶ οὐκ. scripsi κοὐκ. 10 Vind. λαθεῖν. 11 Edd. Codd. δέ. scr. δ'. 12 Vind. μέγαν. 13 Vind. οἱ ὄρτυγες ὁ Αἴας καὶ ὁ Ἕκτωρ. 14 Mon. τοὺς ἀλεκτρυόνας. 15 Mon. Vind. δὲ om. 16 Vind. ὅθεν. 17 Vind. οὕτω. — p. 270.

σεν Ἀτρόμητον. τῷ[18] δὲ παρὰ προσδοκίαν οὕτω περὶ Αἰσχίνου λέγων, οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ἡ πόλις[19] κατᾶται. τῇ δ' ἐναντιώσει τῶν εἰκόνων οὕτως· αὐτοτραγικὸς[20] πίθηκος, ἀρουραῖος Οἰνόμαος.

## Cap. XXXV.

### ΠΕΡΙ ΑΜΦΙΒΟΛΙΑΣ.

Τοῖς μὲν πολλοῖς δοκεῖ πολλὰς ἐν τοῖς βιβλίοις ἀμφιβολίας γίνεσθαι ὑπὸ τῶν παλαιῶν, ἡμεῖς δέ φαμεν, ὅτι οὐ δύναται ἔν τῳ παλαιῷ βιβλίῳ ἀμφιβολία εἶναι· ἀνάγκη γὰρ τὴν διάνοιαν ἄτοπον εἶναι[1] τὴν ἑτέραν, ἢ τὴν σύνταξιν τῆς λέξεως. τὸ γοῦν[2] παρ' Ὁμήρῳ,[3]

— — θεοῖσι δὲ θῦσαι ἀνώγει
Πάτροκλον ὃν ἑταῖρον·

τοῦτο λέγουσιν εἶναι ἀμφιβολίαν, πότερον Πάτροκλον[4] κελεύει σφαγιασθῆναι, ἢ τῷ Πατρόκλῳ προσέταξε τοῖς θεοῖς θῦσαι. καὶ τό[5]

ὦ Ζεῦ γένοιτο καταβαλεῖν τὸν σὺν ἐμὲ,

ἀμφίβολόν φασιν εἶναι, λέγοντες καὶ τοῦτον εἶναι δύνασθαι[6] τὸν νοῦν, εὐχομένου[7] τῷ Διὶ ὑπὸ τοῦ συὸς καταβληθῆναι. οὕτω μὲν δὴ ὁ νοῦς ἄτοπός ἐστιν. ἡ δὲ ἑρμηνεία ἄλογος τὸν αὐτὸν[8] τρόπον· στασιάσαντες δὲ ἔτη πολλὰ, ὡς λέγεται, ἀπὸ πολέ-

18 Vind, τό. 19 Vind. ὁ δῆμος, ut Dem. p. 270. 20 Ald. Port. αὐτοτράγικος. πίθηκος ἀρουραῖος. Οἰνόμαος. [Port. commata habet].

1 Vind. Mon. εἶναι ἄτοπον. 2 Vind. δέ. 3 Il. ι, 220. 4 Vind. Πάτροκλον om. 5 Port. τῷ. Versus sumtus videtur ex Eurip. Meleagro. 6 Vind. δύνασθαι καὶ τοῦτον εἶναι. 7 Vind. εὐχομένῳ Port. ad marg. γρ. εὐχόμενον. 8 Ald. Codd. ins. δέ. Port.

μου τινὸς [9] τῶν προσοίκων βαρβάρων ἐφθάρησαν. ζητοῦσιν, ὑπὸ τίνος [10] ἐφθάρησαν, ὑπὸ τοῦ πολέμου εἶναι τὴν φθοράν. ὃ δὲ λέγει, [11] τοιοῦτόν ἐστι. στασιάσαντες ἀπὸ πολέμου, ἐφθάρησαν· ἵνα ἡ μὲν στάσις ᾖ γεγονυῖα ἐκ τοῦ πολέμου, ἡ δὲ φθορὰ ἐκ τῆς στάσεως· οὐδεὶς [12] γὰρ λέγει ἀπὸ πολέμου ἐφθάρησαν. τοσαῦτα περὶ ἀμφιβολίας.

---

## Cap. XXXVI.

### ΠΕΡΙ ΔΗΜΗΓΟΡΙΑΣ, ΔΙΑΛΟΓΟΥ, ΚΩΜΩΙΔΙΑΣ, ΤΡΑΓΩΙΔΙΑΣ ΚΑΙ ΣΥΜΠΟΣΙΩΝ ΣΩΚΡΑΤΙΚΩΝ.

*Δημηγορία, διάλογος, κωμῳδία, τραγῳδία, συμπόσια Σωκρατικὰ διά τινος διπλῆς μεθόδου πάντα πλέκεται. ἡ μὲν δημηγορία ἐπιτίμησιν ἔχει καὶ παραμυθίαν,* 160 *τῆς μὲν ἐπιτιμήσεως κολαζούσης καὶ παιδευούσης τὰς γνώμας τῶν ἀκουόντων, τῆς δὲ παραμυθίας τὸ λυπηρὸν ἐκβαλλούσης [1] ἐκ τῆς ἐπιτιμήσεως. παραδείγματα ταύτης τῆς πλοκῆς πάντες οἱ Φιλιππικοὶ ἀναμὶξ συγκείμενοι. Κωμῳδίας δὲ πλοκὴ πικρὰ καὶ γελοῖα, τῶν μὲν πικρῶν σωφρονιζόντων, τῶν δὲ γελοίων παραμυθουμένων· ὅπερ καὶ ἐξ αὐτῶν τῶν ποιημάτων ἐστὶ καταμαθεῖν. οὐχ ἥκιστα δὲ ἐν τοῖς Ἀχαρνεῦσιν ὁ Ἀριστοφάνης δηλοῖ λέγων οὕτως,*

*ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν*

*τὸ πικρόν·*

*ἤσθην [2] δὲ βαιά,*

---

om. Idem v. 21. legit: *ἐν ἀλλήλοις ἔτη.* 9 Vind. *τινές.* — Thuc. I. 24. 10 Ald. *ὑπό τινος.* 11 Vind. *ὃ λέγει δὲ, τοῦτό ἐστιν.* 12 Utique Thucydides ita dixit: vide exemplorum copiam apud Popp. ad I. 17. 1 Ald Port. Mon. *ἐκβαλούσης* Vind. *ἐκβαλλούσης.* 2 Ald. Port. *ἤυθην.* — Ach. 2.

λέγων γελοῖον 2* πάθος. Τραγῳδίας πλοκὴ οἶκτος καὶ θαῦμα. ὥρπερ ἐστὶ καταμαθεῖν καὶ ἐκ τῶν τραγῳδιδιῶν, οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τοῦ Ὁμήρου. τοῦτον γὰρ ἔφη ὁ 3 Πλάτων πατέρα τραγῳδίας εἶναι 4 καὶ χορηγόν. εὑρήσομεν οὖν ἐν τοῖς προοιμίοις αὐτοῦ ἀναμὶξ οἶκτον καὶ θαῦμα. Συμποσίου Σωκρατικοῦ πλοκὴ σπουδαία καὶ γελοία, καὶ πρόσωπα καὶ πράγματα. ὥσπερ καὶ ἐν τῷ Ξενοφῶντος καὶ ἐν τῷ Πλάτωνος συμποσίῳ, ἀλλὰ καὶ ἐν τῇ Κύρου παιδείᾳ φησὶ Ξενοφῶν· ἀεὶ μὲν οὖν 5 ἐπεμελεῖτο ὁ Κῦρος ὁπότε συσκηνοῖεν, ὅπως εὐχάριτές 6 τε λόγοι ῥηθήσονται καὶ παρορμῶντες εἰς ἀρετήν. Διαλόγου πλοκὴ ἠθικοὶ λόγοι καὶ ζητητικοί. ὅταν ἀναμίξῃς προσδιαλεγόμενος καὶ 7 ζητῶν, οἱ 8 ἠθικοὶ παρεμβληθέντες λόγοι ἀναπαύουσι τὴν ψυχήν. ὅταν δὲ 9 ἀναπαύσηται, ἐπάγεται ἡ ζήτησις ὥσπερ ἐν ὀργάνῳ ἡ τάσις καὶ ἄνεσις γίνεται.

---

## Cap. XXXVII.

### ΠΕΡΙ ΑΠΟΦΑΣΕΩΣ. 1

Ἡ ἀπόφασις 2 τῇ καταφάσει ποτὲ μὲν τὸ ἴσον δύναται, ποτὲ δὲ τὸ ἔλαττον, ποτὲ δὲ τὸ πλέον. ἴσον μέν, ὅταν δι' ἐγγύτητα τῆς λέξεως φεύγων τις τὴν ταυτότητα μεταβάλλῃ τὴν λέξιν. οἷον, 3 θύων τε γὰρ φανερὸς ἦν καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν· ταὐ-

---

ων

2* Vind. γελοῖον. 3 ὁ Vind. om. — Polit. X. p. 598. D. 4 εἶναι Vind. om. 5 οὖν Vind. om. 6 Mon. Vind. εὐχαριτώτεροί τε. — Cyrop. II. 2, 1. 7 Vind. καὶ om. 8 Vind. οἱ om. 9 Mon. δ' αὖ. Vind. δ' οὖν.

1 Vind. addit: καὶ καταφάσεως. 2 Mon. ἡ ἀπόφασις καὶ ἡ κατάφασις — δύνανται. 3 Xen. Memor. I. 1, 2.

τὸ ἐδήλωσεν. ἔλαττον δὲ, καὶ πλέον, ἤτοι [4] ὑποστελλομένων ἡμῶν δι᾽ ἀσφάλειαν, ἢ ἐπιτεινόντων δι᾽ αὔξησιν κατὰ ἤθους προσθήκην.

ξεῖν᾽, [5] ἐπεὶ οὔτε κακῷ οὔτ᾽ ἄφρονι φωτὶ ἔοικας.

ἐνταῦθα τὸ οὐ [6] κακῷ καὶ ἄφρονι ἔλαττόν ἐστι τοῦ ἀγαθοῦ καὶ φρονίμου. οὐ γὰρ δὴ οἶδεν αὐτὸν ἵνα αὐτῷ ταῦτα [7] μαρτυρῇ, ἀλλ᾽ ἱκανὴν φιλοφροσύνην εἶναι νομίζει, κακίαν ἀφελεῖν, οὐχὶ ἀρετὴν προσθεῖναι. [8] ὅταν δὲ λέγῃ, [9]

— — ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ᾽ Ἀχαιῶν,

μεῖζον ἡ ἀπόφασις δηλοῖ τῆς καταφάσεως. τὸν γὰρ πάνυ ἰσχυρὸν δεῖξαι θέλει. [10] ὁμοίως δὲ ἔχει καὶ τὸ,

— — οὐδ᾽ ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς. [11]

τὸ γὰρ λίαν λυπεῖσθαι [12] τῇ ἀποφάσει δεδήλωκεν. [13]

## ΤΕΛΟΣ ΕΡΜΟΓΕΝΟΥΣ. [14]

---

4 Ald. Port. εἴτε. Mon. Vind. ἤτοι. 5 Ald. Mon. ὦ ξεῖν᾽. Vind. ὦ ξέν᾽. Port. ὦ om. — Od. ζ. 187. 6 οὐ Ald. Port. Mon. om., recepi ex Vind. 7 Mon. πάντα. ad marg. ταῦτα. 8 Ald. Vind. προσθῆναι. Port. Mon. προσθεῖναι. 9 Il. ο, 11. 10 Vind. θέλει δεῖξαι. 11 Il. α, 330. 12 Ald. λυπῆσθαι. 13 In Cod. Ambr .Q. 47. [bombyc. fol. sec. 14.] et B. 101. [bombyc. fol. sec. 15.] additur: Ὅμως οὖν τὸ λυπηρὸν τοῦ ἥρωος τῆς ἑτέρων γηθοσύνης μᾶλλον ἀνέσιμον, καὶ οὕτως ἀμφοτέρωθεν αὐτῶν ἡ γηθοσύνη. Super ὅμως οὖν, in cod. Q. 47. manu rec. scriptum est: τέλος ὧδε. In B. 101. post γηθοσύνη sequitur: Τέλος τῆς ῥητορικῆς.

Ῥητορικὴ τελέθω πολυδαίδαλος Ἑρμογενείη,
Ἀγρώτην ἐσάγουσα ἀπὸ χθονὸς ἐς νόον ἐσθλόν.

14 Vind. τέλος τοῦ περὶ δεινότητος μεθόδου λόγου καὶ ἑπομένως πάσης ῥητορικῆς Ἑρμογένους ῥήτορος.

# ΡΟΥΦΟΥ
## ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ.

Libellum hunc sine nomine auctoris edidit Thom. Galeus inter Rhetores selectos Oxon. MDCLXXVI. typis repetivit Fischerus, Lips. MDCCLXXIII. Rufi nomine in Cod. Par. 2918. invento una cum Tiberio edidit Boissonadius Lond. MDCCCXV.. Nos idem auctoris nomen in Codice Mutinensi 116. sec. 15, invenimus. Fortasse Rufus noster est sophista ille Perinthius, *ἐσχηματισμέναις ὑποθέσεσι* tractandis praecipue clarus, cuius vitam scripsit Philostratus Vit. Soph. II. 17.

Nostra de Rufo merita admodum exigua sunt. Cum Boissonadii editione contulimus Codicem Medic. 55. 10. in quo ad marginem Theonis *ἀνώνυμος περὶ ῥητορικῆς* allitus est ita, ut non raro longior verborum series interierit, et codex initio absorpto in litt. *έ.* a verbis *ἀπὸ τῶν ἀντιδίκων* incipiat. Lectionum bonarum seges admodum tenuis, non tamen nulla fuit. Quae quum ita sint, optimum factu censui, si Boissonadii commentarium, cui Galei notae insertae sunt, reciperem, mea autem utpote perpauca et vilissima uncis includerem.

# ΡΟΥΦΟΥ

## ΤΕΧΝΗ ΡΗΤΟΡΙΚΗ [1]

ά. Ἡ Ῥητορικὴ ἐστιν ἐπιστήμη [2] τοῦ καλῶς καὶ πειστικῶς πάντα τὸν προκείμενον διαθέσθαι λόγον.

Εἴδη τοῦ ῥητορικοῦ ἐστι τέσσαρα· [3] δικανικὸν, συμβουλευτικὸν, ἐγκωμιαστικὸν, ἱστορικόν.

Δικανικὸν μὲν οὖν ἐστιν, ἐν ᾧ κατηγορούμενοι ἀπολογούμεθα, ἢ ἄλλως ἐν δικαστηρίῳ [4] ἀμφισβητοῦμεν.

Συμβουλευτικὸν δὲ, ἐν ᾧ προτρέπομέν τινα ἢ ἀποτρέπομεν.

Ἐγκωμιαστικὸν δὲ, ἐν ᾧ ἐγκωμιάζομέν τινα ἢ ψέγομεν.

---

1 Gal. Ἀνωνύμου περὶ Ῥητορικῆς. Titulum mutavi ex Cod. 2 „ Quintilianus ii. 14. Rhetorice est scientia bene dicendi. Ceterum stricte loquendo, scientia non est, sed ars aut potius facultas.“ — GALE. 3 „ Contra veteres omnes, qui numero ternario contenti sunt. Aristoteles Rhet. 1, 3. τῆς ῥητορικῆς εἴδη τρία τὸν ἀριθμόν. Emporius rhetor [p. 313.] ex Cicerone haec ipsa, praeter ἱστορικὸν, allegat.“ GALE. Matthaeus Camariota initio Compendii Rhetoricae: Ῥητορικοῦ λόγου τρία καθέστηκεν εἴδη, δικανικὸν, συμβουλευτικὸν, καὶ πανηγυρικόν: cf. ibid. not. Scheff. 4 „ Bene addit ἢ ἄλλως ἐν δικαστηρίῳ: nam ad hanc speciem pertinent querelae, et, ut Cassiodorus, praemii petitio vel negatio.“ GALE. Cf. Cassiod. Compend. Rhet. p. 370. edit. Capper. Sed editio Rotomag. T. 2. p. 563. non petitio habet, sed pensio.

Ἱστορικὸν δὲ, ἐν ᾧ διηγούμεθα πράξεις τινὰς μετὰ κόσμου ὡς γεγενημένας. [5]

γ'. Μέρη δὲ τοῦ δικανικοῦ λόγου τέσσαρα· προοίμιον, διήγησις, ἀπόδειξις, ἐπίλογος. [6]

---

## ΠΕΡΙ ΠΡΟΟΙΜΙΟΥ.

δ'. Προοίμιόν ἐστι λόγος παρασκευάζων [7] τὸν ἀκροατὴν εἰς τὴν προκειμένην ὑπόθεσιν ἐπιτήδειον. Ἔργον δὲ αὐτοῦ τό τε προσεκτικοὺς τοὺς ἀκροατὰς παρασκευάζειν πρὸς τὰ ῥηθησόμενα, καὶ τὸ εὔνοιαν ἢ μῖσος ἀπεργάζεσθαι.

ε'. Λαμβάνεται δὲ τὰ προοίμια ἀπὸ προσώπου, ἤτοι τοῦ

---

5 „ Confundit cum narratione. Narratio duplex est: pars et membrum orationis; atque ita, omnium consensu, ad dispositionem pertinet: sin autem separata spectetur, erit alterius facultatis, nempe historicae. Non est ergo εἶδος, sed μέρος." GALE. Credo Galeum hic errare. Rufus ἱστορικὸν Rhetoricae specimen esse credebat et certe potuit credere. De narratione mox agit inter τοῦ δικανικοῦ partes. — Gal. γεγενομένας. Fischer. γενομένας. Cod. γεγενημένας. 6 „ Exordium et epilogum non sunt absolute necessariae partes. Aristoteles Rhet. iii. 13. s. 4. Quod hic scriptor διήγησιν, Aristoteles vocat πρόθεσιν." Gale. — Statim addidi titulum Π. ΠΡ. quo carent Gal. et Cod. Nam reliquae Judicialis partes titulos praemissos ferunt, et satius visum fuit unum addere quam tres delere. 7 „ Quod in fabulis est prologus, in canticis ἀναβολή, in tibiis προαυλία, in odis προῳδικά, id in oratione est προοίμιον, non a πρὸ et οἶμος semita, sed πρὸ et οἴμη h. e. ᾠδή. V. Ger. Vossium Institt. Oratt. iii. 2. 1. et Cassiodorum in Compendio Rhetoricae. — παρασκευάζων. Vide Scholiastem Aphthonii in Prolegomenis." GALE.

τοῦ [8] ἰδίου, ὅταν ἑαυτοὺς συνιστῶμεν· οἷον „Πρῶτον [9] „μέν, ὦ Ἀθηναῖοι, θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην „εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι καὶ παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα." Ἢ ἀπὸ τῶν ἀντιδίκων τὰ προοίμια λαμβάνεται, ὅταν αὐτοὺς διαβάλλωμεν· [10] οἷον· „Τὴν [11] μὲν „ἀσέλγειαν, ὦ Ἀθηναῖοι, καὶ τὴν ὕβριν ἣ πρὸς ἅπαν„τας ἀεὶ χρῆται Μειδίας, οὐδένα ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἶομαι."

στ'. Ἔστι δὲ προοίμια λαβεῖν καὶ ἀπὸ τῶν δικαστῶν, ὅταν αὐτοὺς προσάγωμεν τῷ πράγματι· οἷον· „εἰδότες [12] „ὑμᾶς, ὦ Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως „βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐεργέταις μεγίστην χά„ριν ἀποδιδόντας, ἤκομεν ἱκετεύσοντες μὴ περιϊδεῖν ἡμᾶς „ἀπὸ Θηβαίων ἀναστάτους γεγενημένους."

ζ'. Ἔστι προοίμια λαβεῖν καὶ ἀπὸ τῶν συνηγορουμένων, ὅταν, αὐτῶν ὡς ἀδυνάτων ὑπεραπολογεῖσθαι, λέ-

---

8 Addidi τοῦ e codice. — „A persona, iuxta Aristotelem, trifariam; secundum Quintilianum, quadrifariam: sed in genere iudiciali, quod nunc est prae manibus, Aristoteles exordia ducit a persona rei, adversarii, auditoris, et a re ipsa; a pluribus Anonymus [Rufus] noster." GALE. 9 Exord. Orat. de Corona. [in sq. ἀπὸ incipit Cod. Med.] 10 Gal. διαβάλλομεν [Med. Vat. διαβάλλωμεν]. Simili modo, posito ω pro ο, videor mihi restituere posse Plutarchi locum in De aud. Poet. p. 66. Krebs. καὶ τὸ „Χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ" τοιοῦτον ἐπιλογισμὸν δίδωσι, μήτε πλουσίῳ τινὶ, μήτε καλῷ .. τὴν θεὸν χαίρουσαν, ἀλλὰ φρονίμῳ καὶ δικαίῳ ποιήσας. Structurae rationem non perspicio, quae plana erit et facilis, reponendo καὶ τῷ pro καὶ τό. 11 Exordium Midianae. 12 Nescio unde petitum sit hoc exordium. Gal. ἀδίκοις. Cod. ἀδίκως. Sed deest aliquid. Forte legendum: τοῖς ἀδικουμένοις. [ita Med. ex quo restitui.] Scribendi compendium non intellectum pepererit ἀδίκως.

γωμεν· οἷον· „τὴν μὲν [13] ἀπειρίαν τοῦ λέγειν καὶ ὡς ἀ-
„δυνάτως ἔχει Φορμίων, πάντες ὁρᾶτε, ὦ δικασταί.“

ή. Ἔτι δ' ἔστι προοίμια λαβεῖν καὶ ἀπὸ τῶν θεῶν, ὅταν τὴν αὐτῶν εὔνοιαν ἐκφαίνωμεν· οἷον· „ἐπὶ πολλῶν [14]
„ἄν τις ἴδοι, ὦ δικασταὶ, τὴν παρὰ τῶν θεῶν εὔνοιαν
„τῇ πόλει φανερὰν γιγνομένην, οὐχ ἥκιστα δ' ἐν τοῖς
„παροῦσι πράγμασιν.“

θ'. Ἀπὸ δὲ πραγμάτων λαμβάνεται τὰ προοίμια, προαγγελίᾳ, [15] συγκρίσει, μερισμῷ, [16] ἐφόδῳ, χρόνῳ, αἰτίᾳ, γνώμῃ.

ι. Προαγγελία [17] μὲν οὖν ἐστι δήλωσις κεφαλαιώδης περὶ ὧν λέγειν μέλλομεν· οἷον· „ἀλλ' εἴπερ [18] ἄρα
„ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, περὶ τοῦ Χερρόννη-
„σον ἔχειν ἡμᾶς ἀσφαλῶς καὶ μὴ παρακρουσθέντας ἀπο-
„στερηθῆναι πάλιν αὐτῆς, περὶ τούτου μοι ἔστιν ἅπα-
„σα ἡ σπουδή.“

---

13 Exordium Orat. pro Phorm. — Gal. et Cod. ἀπειρίαν τούτου λέγειν: quod mutavi ex editione Demosth. 14 Exordium Olynth. ii. Sed editiones Demosth. paulo aliter locum exhibent [cfr. Schaef. Apparat. ad Dem. T. I. p. 231.] Scripsi ἴδοι pro ἴδῃ, quod habent Gal. et Cod. Capperonnerius non aliter legebat. — Cod. οὐχ ἥστα. 15 Sic Cod. — Gal. παραγγελίᾳ. Statim Codex habebit παραγγελία, sed et hic reponam προαγγελία, quod definitioni aptior esse videtur. Capperonnerius quoque legi volebat quod edidi. 16 [μερισμῷ et sqq. usque ad litt. ιά. πρὸς ἔχθραν Med. om.] 17 Gal. et Cod. παραγγελία: cf. not. 3. 18 Ex Exordio Orat. adv. Aristocrat. — Gal. χερρόνησον: praetuli scripturam Codicis. Cf. Schol. ad Philostr. Her. p. 541. Apud Aeschin. adv. Ctesiph. p. 475. R. pro Ἀλόνησον, Cod. Coislinianus 249. habet Ἀλόννησον. Reiskius (vide not. ad Orat. de Pace s. 4. p. 72. Beck.) curavit, ut ubique πελοποννήσιοι geminato ν exararetur: cur non simili modo exaravit omnia vocabula cum νῆσος composita?

ιά. Σύγκρισις δέ ἐστι προσώπων ἢ πραγμάτων ἐξέτασις· προσώπων μὲν οὖν, οὕτως· „ἔδει μέν, [19] ὦ Ἀ„θηναῖοι, τοὺς λέγοντας ἅπαντας, μήτε πρὸς ἔχθραν ποι„εῖσθαι τοὺς λόγους μηδένα, μηδὲ πρὸς χάριν, ἀλλ' ὃ „βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτο ἀποφαίνεσθαι" πραγμάτων δὲ, [20] οὕτως· „ἀντὶ πολλῶν, ὦ Ἀθηναῖοι" .. Συγκρίνει γὰρ συμφέρον καὶ χρήματα. [21]

ιβ. Μερισμὸς δ' εἰς μέρη τῆς δικαιολογίας περιγραφή· οἷον· „ἐξελέγξω, [22] πρῶτον μὲν ὡς αὐτὸς ὑβρίσθην, „ἔπειτα, ὑμεῖς ὅσα ἠδίκησθε, μετὰ ταῦτα δὲ, καὶ τὸν „ἄλλον αὐτοῦ βίον ἐξετάσω, καὶ δείξω πολλῶν θανάτων, „οὐχ ἑνὸς, ὄντα ἄξιον."

---

19 Exordium Orat. de Chersonneso. — Gal. *μηδένα πρὸς χ.* Capperon. proponit *μηδὲ πρ. χ.* Exhibui codicis lectionem. [20 Med. δ' οὕτως. Sqq. *ἀντὶ πολλῶν — χρήματα* Med. om.] 21 Exord. Olynth. 1. *Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἐλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει.* Sic vulgo distinguunt. Sed Dupinus, vir doctissimus, qui nuper Oratoris Olynthiacas fecit Gallicas, commate posito post *γένοιτο*, non *εἰ φανερὸν γένοιτο*, sed *τὸ μέλλον συνοίσειν* a verbo *ἐλέσθαι* pendere notavit; quae sententia omnino vera esse videtur, et commode firmari a Rufo qui *συμφέρον καὶ χρήματα συγκρίνεσθαι* animadvertit, non *χρήματα* et *τὸ φανερόν*. Demosthenes qui hic *ἐλέσθαι τὸ μέλλον συνοίσειν* scribit, paucis interiectis dicet *ῥᾳδίαν τὴν τοῦ συμφέροντος αἵρεσιν γενέσθαι*: et hoc Dupinianam interpretationem tuetur. Manuel Palaeologus in Notitiis Manuscriptorum T. 8. p. 345. s. 10. Demosthenis verba forte respexit: *πολλοῦ μὲν γὰρ, εὖ ἴσθι, πριαίμην ἄν, εἴ τίς μοι παρεῖχεν ἀμέσως σοι δύνασθαι διαλέγεσθαι.* Ubi si quis et post *παρεῖχεν* distinguere vellet, non valde resisterem: nihil tamen mutare satius est. 22 Midian. p. 521. 20. R.; c. 8. p. 13. Spald. — Gal. *ὑμᾶς ὅσα ἠδίκησθαι.* Fischerus ausus est *ἠδίκησθαι* mutare in *ἠδίκησθε*. Cod. *ὑμεῖς ὅσα ἠδίκησθαι.*

ιγ'. Ἔφοδος δ' ἔστιν εὔλογος αἰτία διηγήσεως· οἷον· „βούλομαι [23] δ' ἕκαστα ὧν πέπονθα ἐπιδείξειν καὶ περὶ „τῶν πληγῶν εἰπεῖν, ἃς τὸ τελευταῖον προσέτεινέ μοι· „οὐδὲν γάρ ἐστιν ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δίκαιος „ὢν ἀπολωλέναι φανήσεται."

ιδ'. Τὰ δ' ἀπὸ χρόνου λαμβανόμενα προοίμια ἐστιν εὑρεῖν πανταχοῦ, καὶ ἐν τῷ πρώτῳ λόγῳ· „ὁ μὲν [24] οὖν „παρὼν καιρός"...

ιέ. Ἡ δ' αἰτία, δι' ἣν ἐπὶ τὸν ἀγῶνά τις ἀπήντηκε, σύστασιν ἔχει τοῦ πράγματος· ὡς ἐν τῷ κατὰ Νεαίρας· „πολλὰ [25] μὲν ἦν τὰ παρακαλοῦντα, ὦ Ἀθηναῖοι, „γράψασθαι Νέαιραν τὴν γραφὴν ταυτηνί." Ἡ γὰρ γνώμη [26] σεμνοτέραν τὴν προκατάστασιν τοῦ λόγου ποιεῖ· ὡς ὁ Θουκυδίδης πανταχῇ.

---

## ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ.

ιστ'. Διήγησίς ἐστι τῶν ἐν τῇ ὑποθέσει πραγμάτων δήλωσις, περὶ τὸ τοῦ λέγοντος μέρος ῥέπουσα. Ἀρεταὶ δὲ διηγήσεως τρεῖς, σαφήνεια, συντομία, πιθανότης. [27]

ιζ'. Σαφήνεια μὲν οὖν λέγεται, ὅταν μήτε λέξεσι ξέναις χρώμεθα, μήτε διανοίαις, μήτε ὑπερβατοῖς.

---

23 Midian. p. 518., 23. R. — c. 5. p. 9. Spald. 24 Ex Exordio Olynth. I. [Med. λόγῳ sqq. usque ad litt. ιζ'. om.] 25 Exordium Orat. Contra Neaeram. 26 Vel excidit quod Rufus de sententia praemiserat, vel pro γὰρ legendum δέ; et hinc incipiet paragraphus περὶ γνώμης. Capperonnerius: „scribe a linea, ἡ δὲ γνώμη." 27 „Sit brevis, dilucida, verisimilis. Sic Theo in Progymn. 4.: sic Cic. de Invent. i. 20. Sed longa, si necessaria est, longa non debet censeri." GALE.

ιή. Συντομία δὲ, ὅταν αὐτὰ μόνα τὰ ἀναγκαῖα διεξίωμεν, μήτε πόῤῥω ἀρχόμενοι, μήτε ἐπὶ μακρότατα παυόμεναι.

ιθ'. Πιθανότης δὲ, ὅταν τὰ ἀληθῆ καὶ δυνάμενα πιστευθῆναι δηλῶμεν.

κ'. Τρόποι δὲ τέσσαρες, [28] διήγησις, παραδιήγησις, προδιήγησις, καὶ ὑποδιήγησις.

κά. Διήγησις μὲν οὖν ἐστιν, ὥσπερ ἔφημεν, ἁπλῆ τῶν γεγενημένων φράσις· οἷον· „Ἐπεὶ [29] γὰρ οὐ καθε„στηκότος χορηγοῦ τῇ Πανδιονίδι φυλῇ τρίτον ἔτος του„τὶ, παρούσης δὲ τῆς ἐκκλησίας ἐν ᾗ τὸν ἄρχοντα ἐπι„κληροῦν ὁ νόμος τοῖς χοροῖς τοὺς αὐλητὰς κελεύει, λό„γου καὶ λοιδορίας γενομένης, καὶ κατηγοροῦντος τοῦ „μὲν ἄρχοντος τῶν ἐπιμελητῶν τῆς φυλῆς, τῶν δ' ἐπι„μελητῶν τοῦ ἄρχοντος, παρελθὼν ὑπεσχόμην ἐγὼ χορη„γήσειν ἐθελοντής.[30]

κβ'. Παραδιήγησις [31] δέ ἐστιν ἡ πρὸς τὸ χρήσιμον τοῦ ὑποκειμένου λόγου ἔξωθεν προστιθεμένη καὶ παραλαμβανομένη διήγησις ἐν τρόπῳ ἀφηγήσεως· οἷον· „ἐπεὶ [32] „γὰρ εἶλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει· εἰς „δὲ τὴν θυσίαν ταύτην καὶ τὴν πανήγυριν πάντας τοὺς „τεχνίτας συνήγαγεν. Ἑστιῶν δ' αὐτοὺς καὶ στεφα„νῶν τοὺς νενικηκότας, Σάτυρον τουτονὶ τὸν κωμικὸν „εἶδεν ὑποκριτὴν, ὃς οὐδὲν ἐπαγγέλλεται." Καὶ ὁ Ξενα-

---

28 Fortunatianus [p. 81.] genera facit quinque; deinde species octo, inter quas hae quatuor, excepta προδιηγήσει, continentur." GALE. 29 Midian. p. 518, 27. R. c. 6. p. 9. Spald. — Gal. et Cod. ἐπὶ pro ἐν ᾗ, quod reposui ex Edit. Oratoris. — Gal. ἐθελοντής. [30 Boiss. ἐθελοντί. A Med. παρελθὼν — ἐθελοντὴς abest.] 31 „Victorinus in Ciceronis Rhet. 1, [p. 148.] aliud genus narrationis est, quod extra causam est, sed ad causam facit." GALE. 32 Orat. π. παραπρ. p. 401, 12. R.

φῶν· „Ἐνταῦθα ἦν παρὰ τὴν [33] ὁδὸν κρήνη Μίδου „καλουμένη τῶν Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μί„δας τὸν Σάτυρον θηράσαι οἴνῳ κεράσας αὐτόν." Καὶ πάλιν· „ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν „ἐρίζοντα οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν „τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί· διὰ τοῦτο δὲ [34] ὁ ποτα„μὸς καλεῖται Μαρσύας."

κγ'. Προδιήγησίς ἐστιν ἡ πρὸ τῆς εἰς τὸ πρᾶγμα τελούσης διηγήσεως αἰτία παραλαμβανομένη· δι' ἣν ἐπὶ τὸν ἀγῶνά τις ἀπήντηκεν· οἷον· „ἐγὼ γάρ, [35] ὦ Ἀθη„ναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθή„μονι καὶ θεῶν ἐχθρῷ, ᾧ τελευτῶσα ὅλη προσέκρουσεν „ἡ πόλις, Ἀνδροτίωνι λέγω."

κδ'. Ὑποδιήγησις [36] δὲ, ὅταν μετὰ τῶν πραγμάτων καὶ τὰς γνώμας τῶν πραξάντων ἑκάστου καὶ τὰς αἰτίας λέγωμεν· οἷον· „οὐκ ἦν [37] τοῦ πρὸς ἡμᾶς πολέμου πέ„ρας οὐδ' ἀπαλλαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετ„ταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλί„ως καὶ κακῶς τῶν στρατηγῶν τῶν ἡμετέρων πολεμούν„των αὐτῷ, ὅμως ὑπὸ τοῦ πολέμου καὶ τῶν λῃστῶν „μυρία ἔπασχε κακά."

---

33 Prior locus est Anab. i. p. 14. Hutchins. posterior Anab. p. 11. Utroque loco libri Xenophontis et scripti et editi discrepant non semel a libris Anonymi [Rufi]." Fischer. [34 δὲ Gal. Vat. om., recepi ex Med.] 35 „Ex oratione Demosthenis adversus Timocratem, p. 462. C. [Wolf. p. 701, 23. R.] Ulpianus ad hunc locum notat *παραδιήγησιν* esse: sed vitiosam esse Ulpiani lectionem constat ex iis quae ibidem sequuntur, si quis cum his conferre velit." GALE. Cod. λέγω: sic. Cf. not. ad Tiber. s. 27. 36 „Obscure satis definit Fortunatianus [p. 81.]: est et *ὑποδιήγησις*, quando quaestionem narrativo modo approbamus." GALE. 37 De Corona p. 275, 28. R.

## ΠΕΡΙ ΑΠΟΔΕΙΞΕΩΣ.

κέ. Ἀπόδειξίς ἐστι [1] τῶν ἀμφισβητουμένων ἐν τῇ ὑποθέσει πραγμάτων εἰς ὁμολογίαν ἀποκατάστασις. Ἀποδείκνυται δ' ἕκαστον πραγμάτων [2] ἐξ ἐπιχειρημάτων.

κϛ. Ἐπιχείρημα [3] δέ ἐστιν ἐπινόημα ὃ κατασκευάζει τὸ ζητούμενον. Τῶν δ' ἐπιχειρημάτων τρόποι τέσσαρες· τὰ μὲν γὰρ λαμβάνεται ἀπὸ προσώπων, τὰ δὲ ἀπὸ πραγμάτων, τὰ δὲ ἀπὸ παραδειγμάτων, τὰ δὲ ἀπὸ τῶν ἀτέχνων.

κζ. Τὰ μὲν οὖν ἐκ προσώπων λαμβανόμενα θεωρεῖται ἀπὸ τούτων, ἀφ' ὧν καὶ τὰ ἐγκώμια· γένους, φύσεως, ἀγωγῆς, τύχης, ἐπιτηδευμάτων, πράξεων, [4] διαθέσεων. [5]

κή. Τὰ δὲ ἐκ τῶν πραγμάτων, ἀπὸ οὐσίας καὶ ἰδιότητος. [6] Οὐσία [7] δὲ, τὸ κοινῶς καὶ γενικῶς θεωρούμε-

---

1 Hanc ab effectu Aristoteles vocat *πίστιν*; Cicero, orationis fidem; Quintilianus 5. 10. probationem. Est argumentorum locus." GALE. 2 Gal. et Cod. *ἐκ πραγμ.* Delevi *ἐκ*, monente etiam Capperonnerio. 3 „Plena huius vocis et rei cognitio ex logicis petenda est. Multa monet de ea Fabius loco iam citato. Fortunatianus [p. 87.]: Quid est *ἐπιχείρημα*? executio sive approbatio propositionis aut assumtionis. Cassiodorus in Compendio Rhetoricae, et, post eum, Isidorus 11. Origg. c. 9. voluere vim vocis explicare." GALE. [4 *πράξεων* usque ad v. sq. *οὐσίας καὶ* Med. om.] 5 De capitibus encomii cf. Aphthon. Progymn. p. 50. Commel. 6 „Theodori Gadaraei haec erat divisio. Vid. Aurelii Augustini Principia Rhetoricae [p. 322."] GALE. „Sed ibi agitur de statibus, non de argumentationibus." CAPPER. 7 Scripsi hic et infra e codice *οὐσία* pro *οὐσίας* Galeanae. In argumento Ctesiphonteae Aeschinis tria causae capita sunt, quorum *ἓν μὲν περὶ οὐσίας*. Cf. Liban.

νον· οἷον· τί φόνος; τί ἱεροσυλία; τί μοιχεία; Οὐσία δὲ καὶ τὰ θετικά· οἷον· τί φύσει καλόν; ἡ εἰρήνη; τί φύσει φαῦλον; ὁ πόλεμος. Ἰδιότης δὲ, ὅταν τὸ ἴδιον τοῦ ὑποκειμένου πράγματος θεωρῶμεν, ἐκ μὲν τοῦ κατηγόρου, κατὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ἐκ δὲ τοῦ φεύγοντος, κατὰ τὰς εὐλόγους αἰτίας. Συνεστᾶσι δὲ αἱ ὑποθέσεις ἐξ αἰτίου, καὶ συνέχοντος, καὶ κρινομένου. Αἴτιον μὲν οὖν, δι' ὃ ἡ κατηγορία· συνέχον δὲ, δι' ὃ ἡ ἀπολογία· τὸ δὲ κρινόμενον τοῖς δικασταῖς καταλείπεται. [8]

κθ'. Τὰ δὲ [9] ἐκ τῶν παραδειγμάτων λαμβανόμενα θεωρεῖται ἀπὸ τριῶν χρόνων. Ἢ γὰρ γεγενημένου τοῦ πράγματος μνημονεύομεν, καὶ τοῦτο καλεῖται παράδειγμα. ἢ γινομένου καὶ συμβαίνοντος, καὶ τοῦτο καλεῖται παραβολή· [10] ἢ οὔτε γεγενημένου οὔτε γινομένου, ἀλλ'

---

Argum. Orat. Dem. π. παραπρ.; Quintil. ix. 1. 8. cum nota Capperonn.; Ernesti Lexic. Technol. 8 „Resultat κρινόμενον et quasi efflorescit ex primaria defensoris ratione, quam αἴτιον appellant. et ex accusatoris firmamento, quod vulgo συνέχον, sive continens, vocatur. Vossius Institt. Orat. i. 6. 6. Hos terminos ex Hermagorae Schola fluxisse colligo ex Augustini Principiis Rhetoricae [p. 323.]. Fortunatianus [p. 54.]: Quid est Aetion? Causativum litis, propter quod res in iudicium devocatur.... Quid est Synechon? Quo continetur omnis defensio. Ex Aetio et Synechonte quid nascitur? Crinomenon. Quid est Crinomenon? Id de quo iudicandum est." GALE. Verba Fortunatiani quae paulo indiligentius descripserat Galeus, sinceriora adposui. [9 Med. δ' ἐκ.] 10 Differentiam innuit inter παράδειγμα et παραβολήν. Explicat Trypho libro περὶ τρόπων. Exemplum sumitur a rebus iam factis; Parabola ἐξ ἀορίστων καὶ ἐνδεχομένων γενέσθαι." GALE. Cfr. Tryphonem p. 52, 53. editionis quam Blomfieldius curavit, ubi inter alia: παράδειγμά ἐστι τοῦ προγεγονότος πράγματος παρένθεσις, καθ' ὁμοιότητα τῶν ὑποκειμένων: lege, παράθεσις. In

ὑποτιθεμένου τοῦ ῥήτορος εἰ τὸ καὶ τὸ γένηται, τί ἂν συμβαίη, καὶ καλεῖται καθ' ὑπόθεσιν.

λ'. Παράδειγμα μὲν γάρ ἐστι γεγενημένου πράγματος ἀπομνημόνευσις πρὸς ὁμοίωσιν τοῦ ζητουμένου· οἷον· „ἐκεῖνοι [11] τοίνυν οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' „ἐφίλουν αὐτούς, ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ „τεσσαράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω „δὲ ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον·" καὶ τὰ ἑξῆς.

λά. Παραβολὴ δέ ἐστιν ὄντος καὶ γινομένου πράγματος [12] ἀπομνημόνευσις πρὸς ὁμοίωσιν τοῦ ζητουμένου· „ὥσπερ [13] γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, καὶ τῶν „ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότερα εἶναι δεῖ, „οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις „ἀληθεῖς καὶ δικαίας."

λβ'. Τὸ δὲ καθ' ὑπόθεσιν οὔτε γεγενημένου οὔτε γινομένου πράγματος δήλωσις, ἀλλ' ὑποτιθεμένου τοῦ ῥήτορος εἰ τὸ καὶ τὸ γένηται, τί ἂν συμβαίη· οἷον· „φέρε, ἂν δὲ δὴ [14] πέμψας πρὸς ἡμᾶς Λεύκων ἐρωτᾷ „τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν „αὐτὸν ἀφῃρήμεθα, τί, πρὸς θεῶν, ἐροῦμεν;"

λγ'. Τὰ δ' ἐκ τῶν ἀτέχνων θεωρεῖται ἐκ τῶν ἐγγράφων, νόμων, συμβολαίων, διαθηκῶν. Ἄτεχνα δὲ κα-

---

Tiberii libro s. 32. hae voces permutantur. Ipse Trypho ibid. *Παραβολή ἐστι λόγος διὰ παραθέσεως ὁμοίου πράγματος τὸ ὑποκείμενον μετ' ἐνεργείας παριστάνων.* forte, *μετ' ἐναργείας.* Cf. not. ad Tiber. s. 15. 11 Olynth. i. p. 35, 3. R. 12 „Est species *ὁμοιώσεως.* Sic Trypho; sic Rufinianus [s. 22. p. 213. Ruhnk. p. 34. Capper.]. Ciceroni similitudo, vel collatio dicitur." GALE. [*πράγματος — ὥσπερ γὰρ* Med. om.] 13 Olynth. ii. p. 21, 4. R. — Gal. non *οἶμαι* quod obtulit Codex. 14 Leptin. p. 468. 20. R. — c. 30 Wolf.

λεῖται [15] ἐπεὶ μηδεμιᾶς ἐστι τέχνης ἀναγνῶναί τι ἔγγραφον [16] καὶ δι' αὐτοῦ δεῖξαι τὸ παράδειγμα. [17]

λδ'. Ἕπεται δὲ τῷ ἐπιχειρήματι ἐνθύμημα ἢ γνώμη.

λέ. Ἐνθύμημα [18] μὲν οὖν ἐστι τὸ τοῦ προηγουμένου ἐπιχειρήματος συμπέρασμα, προσαγόμενον τῷ ζητήματι ἐν μιᾷ περιόδῳ· οἷον· „ὥσπερ οὖν [19] διὰ τούτων „ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾠ„οντό τι πράξειν· οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων „καθαιρεθῆναι πάλιν, ἐπεὶ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν „ἐξελήλεγκται."

---

15 De inartificialibus, vide Voss. Inst. Orat. I. 2. — Modo distinxi post *ἐγγράφων*. Galeus vertit „penes scriptas leges:" immo „penes scripta, leges." Statim *τὶ ἔγγραφον*. [16 *ἔγγραφον — ἕπεται δὲ* Med. om.] 17 „Lego *πρᾶγμα*." Capper. Bene. *Πρᾶγμα* saepe cum aliis vocibus permutatur; exempli causa cum *γράμμα* (cf. notas ad Gregorium Corinthium Schaeferianum, et quae scripsi ad Eunapium. p. 421., et Vales. ad Euseb. Vit. Constant. ii. 72. Plurima ibi adferuntur exempla quibus firmari possunt coniecturae Boherelli ad Origen. in Cels. p. 367., Hasii, viri doctissimi, ad Timarion. p. 283.); cum *τάγμα* (Heliod. I. 3. *ἱππέων δύω τοῦ τάγματος ἡγουμένων*. Cod. Venet. 409. *τοῦ πράγματος*: male. Sic permutantur *πρᾶξις* et *τάξις*: cf. not. ad Eunap. p. 327.); cum *πνεῦμα* (Psell. de Daemon. p. 18. *τοῖς ἀντικειμένοις πράγμασιν*, ubi Gaulminus legere iubet *πνεύμασιν*, quod sensus postulat.); cum *τραῦμα*: cf. not. ad Gregor. Cor. Nondum vidi permutationem vocum *πρᾶγμα* et *παράδειγμα*: sed est tamen probabilis valde Capperonnerii coniectura. 18 „Definit illud enthymema quod Aristoteles *ἐλεγκτικὸν* vocat: et Cicero ex contrariis collectam sententiam sic dici observat Topic. 13. Ulpianus ad Demosthenis verba quae statim subiiciuntur ex Olynthiaca ii., notat esse quidem *ἐνθύμημα*, sed quod vocatur *ἀκολουθία*. Vide Demetrium s. 22." GALE. Cod. *προηγουμένου*, non *προκειμένου*, ut est in Galeana. 19 Olynth. ii. p. 20, 8. R.

λς'. Γνώμη δέ ἐστι [20] κοινόν τι πρᾶγμα ὅπως δέον γίνεσθαι ἀποφαινόμενον· οἷον· „πέρας [21] μὲν ἅπασιν „ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις „αὐτὸν καθείρξας τηρῇ. Δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας „ἐγχειρεῖν μὲν ἅπασι τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλ- „λομένους δ' ἐλπίδα φέρειν ὅ τι ἂν ὁ [22] θεὸς διδῷ γενναίως."

λζ'. Ταῦτα ἤρτηται [23] ἐκ προτάσεων καὶ ἀνθυποφορῶν.

λή. Πρότασις μὲν οὖν ἐστιν, ἐν μὲν κατηγορίᾳ, ἡ τοῦ ἐγκλήματος αἰτία, ἐν δὲ συμβουλῇ, ἡ [24] τῆς ἀξιώσεως δήλωσις.

λθ'. Ὑποφορὰ δέ ἐστι, τὸ ὑποβαλεῖν ἔννοιάν τινα, εἶτα ἀπαντῆσαι. Προσέοικε δὲ ἡ μὲν [25] ὑποφορὰ τοῖς συμβουλευτικοῖς λόγοις, ἡ δὲ ἀνθυποφορὰ, ἤτοι τὸ ὑπενεγκεῖν τὸν λόγον, ᾧ χρῆται ὁ ἀντίδικος, τοῖς δικανικοῖς.

μ'. Διείληπται δὲ ὁ δικανικὸς λόγος καὶ ὁ συμβουλευτικὸς τοῖς κατὰ διάνοιαν καὶ κατὰ λέξιν σχήμασι.

---

20 „Recte enthymemati subiungitur *γνώμη*: ea est affinitas ut haec saepe eius pars sit. Est oratio de vita sumta, aut quid sit, aut quid esse oporteat in vita, docens. A. ad Her. iv. 17." GALE. 21 De Coron. p. 258, 19. R. 22 [Med. ὁ δὴ θεός.] 23 Gal. ἤρτεται, quod non mutavit Fisch. mutandum monuerat Capperonn. Cod. ἤρτηται recte. 24 Par. [et Med.] dedit ἡ, quo caret Galeana. 25 „Hypophora est intentio adversae partis; antypophora responsio eius. Fortunatianus [p. 86. cum nota Capperonn.]" GALE. Scripsi ἡ μὲν pro ἡμῖν. Hanc lectionem, quam proposuerat Galeus, obtulit Codex. [etiam Med.] Mox Capperonnerius malit *ἀνθυπενεγκεῖν*. Monente Galeo, delevi *ἐν* post *ἀντίδικος*. — De figura cf. Ernesti Lexic. Technol. in voce; Matth. Camariot. p. 8.; Ulpian. ad Lept. p. 10. Ed. Wolf.

## ΠΕΡΙ ΕΠΙΛΟΓΟΥ.

μά. Ἐπίλογός ἐστιν [1] ὁ ἐπὶ τοῖς ἀποδεδειγμένοις λόγοις λεγόμενος πρὸς αὔξησιν [2] ἢ ὀργήν, ἢ περὶ τὸν δικαστὴν ἢ τὸν ἐναντίον, ἤτοι πρὸς ἀνάμνησιν, [3] ἅπερ ἀνακεφαλαίωσιν καλοῦμεν.

---

1 „Quatuor partes orationis [Juridicialis] supra [s. 3.] constituit. Probationem ideo sequitur Epilogus. Nec plures Fortunatianus.“ GALE. Mox e codice scripsi *λόγοις*. Gale *λάγος*, quod mutavi. 2 „Haec videntur desumpta fuisse ex 3. lib. Rhet. Aristotelis c. 19. s. 1.“ GALE. — Mox Galeana ἢ τοὐναντίον. Galeus volebat verba ἢ τοὐναντίον poni post ὀργήν. Equidem e coniectura scripsi τὸν ἐναντίον pro τοὐναντίον. Galeus et Capperonnerius coniecerunt, ἢ τοὐναντίον περὶ τὸν δικαστήν. Praetuli meam emendationem. — De Epilogo cf. Ernesti Lexic. 3 „Ea est Aristotelis dictio; posteriores dixere ἀνακεφαλαίωσιν, quam Latinam Fortunatianus fecit, cuius ratio tradendae Rhetoricae cum ista qua utitur Anonymus [Rufus] noster, magna ex parte consentit; utrumque ex Hermagora profecisse verisimile est.“ GALE. Vide Ernesti Lexicon in voce Ἀνάμνησις.

# ΑΝΩΝΥΜΩΝ
# ΣΥΝΟΨΕΙΣ ΡΗΤΟΡΙΚΗΣ.[1]

## I.

### ΤΙΣ Ο ΣΚΟΠΟΣ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΩΝ ΣΤΑΣΕΩΝ.

Σκοπός ἐστιν ἐν ταῖς στάσεσιν Ἑρμογένει διελεῖν τὰ συνεστῶτα ῥητορικὰ ζητήματα, ταὐτὸν δ' εἰπεῖν πολιτικά, εἰς κεφάλαια ὡρισμένα. Ἔστι δὲ πολιτικὸν ζήτημα ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους ἐκ τῶν παρ' ἑκάστοις κειμένων νόμων ἢ ἐθῶν περὶ τοῦ νομισθέντος δικαίου ἢ καλοῦ ἢ συμφέροντος, ἢ καὶ πάντων ἅμα, ἤ τινῶν· τὸ γὰρ ὡς ἀληθῶς καὶ καθόλου καλὸν καὶ συμφέρον καὶ τὰ τοιαῦτα ζητεῖν οὐ ῥητορικῆς. Στάσις τοίνυν ἐστὶν ἀμφισβήτησις λογικὴ, καθ' ἣν αἱ διαιρέσεις τῶν κεφαλαίων γίγνονται, ἢ ζήτησις πολιτικὴ, ἐφ' ἣν αἱ κατὰ μέρος πίστεις ἀνάγονται. κ. τ. λ.

**Sequitur:** πῶς ἐπιγνωσόμεθα τὰς στάσεις. Διαίρεσις πραγματικῆς, στοχασμοῦ, μεταλήψεως, κατὰ ῥητὸν καὶ διάνοιαν, ἀντινομίας, συλλογισμοῦ, ἀμφιβολίας, περὶ τῶν συνιστάντων τὰς στάσεις κεφαλαίων. tum Fol. 184. b. Ὅρος ῥητορικῆς. Ῥητορική ἐστὶ δύναμις τεχνικὴ πιθανοῦ λόγου, διὰ τὴν τεκτονικὴν καὶ τὰς ἄλλας πραγμα-

1 Exilium horum opusculorum, quae silentio praeterire sine iniuria poteram, specimina dedisse satis esse censui.

Nro. I. continetur codice Vat. 1361. Fol. 181—206.

Nro. II. Codice Vat. 12. chartac. sec. XVI. 8.

τείας καὶ βαναύσους τέχνας, ἐν πράγματι πολιτικῷ διὰ τὴν γραμματικὴν καὶ διαλεκτικήν, ὧν ἡ μὲν περὶ τόν γε χρόνον, πνεύματα καὶ πάθη λόγων, ἡ δὲ περὶ πάντα, τέλος ἔχουσα τὸ εὖ λέγειν κατὰ τὸ ἐνδεχόμενον. Τοῦτο ἐκ τοῦ τέλους παρείληπται, οὐ γὰρ πανταχοῦ πείθει ὁ ῥήτωρ, ἀλλ' ἔσθ' ὅτε καὶ ἀποτυγχάνει. δεῖ μέντοι τοῦτον τὰ πείθειν πεφυκότα διεξιέναι. Sequitur Epitome rhetoricae Hermogenis.

Explicit: Τρόποι δὲ λόγων τρεῖς, ἔνδοξος, παράδοξος, ἀμφίδοξος· εἴδη δὲ λόγων, ἠθικόν, ἀξιωματικόν, δεινόν, σαφές.

Ἠθικὸν μέν, ὡς ὁ συντακτήριος κατὰ βαρύτητα εἰσαχθείς· ἀξιωματικὸς δὲ, ὡς ὁ μέγας ἐπιτάφιος, ἢ καὶ αὐτὸς ὁ συντακτήριος· εἰ γὰρ καὶ ἠθικὸς κατὰ βαρύτητα ἐκφέρεται, ἀλλὰ διὰ τὸ μέγεθος τῶν πραγμάτων καὶ τῶν πράξεων ἀξιωματικός ἐστι· σαφεῖς δὲ καὶ εὐκρινεῖς κατὰ λέξιν καὶ τὰ ἑπόμενα ταύτῃ πάντες σχεδὸν, εἰ καὶ ἀπὸ μέρους δεινότητος μετέχουσι, γοργὸς δὲ καὶ κεκαλλωπισμένος ὁ τῶν ἐγκαινίων, δεινὸς δὲ, ὡς τὰ περὶ τριάδος· οἰδεὶς δὲ οὕτως αὐτάρκης, ὡς εἰδέναι τοὺς αὐτοῦ χαρακτῆρας ἀκριβῶς· ποῦ μὲν γὰρ κατὰ τὰ προοίμια ἐμμένει καὶ ἐπεξεργάζεται, ὡς ἐν τῷ περὶ φιλοπτωχίας πορρώθεν δοκῶν ἀπὸ τῆς ἀπαριθμήσεως τοῦ πράγματος ἄρχεσθαι, τὸ δ' οὐχ οὕτως ἔχει, ὅτι καὶ αἰτιατικαὶ τῆς ἀγάπης πᾶσαι αἱ ἀρεταὶ, καὶ οὐ κατὰ περιβολὴν, ἀλλ' εὐκρίνειαν ἀμίμητον καὶ ὑψηλήν· τὸ δὲ ἐνδιάθετον καὶ οἰκτρόν· οἷον θαυμάσειε δ' ἄν τις τοῦ Θεολόγου τὴν ἐπιστήμην καὶ τὴν περὶ λόγους [2] ἕξιν ἀπὸ πολλῶν μὲν, δύο δὲ μάλιστα, τῆς τε μίξεως τῶν ἰδεῶν καὶ τῶν δογμάτων, μήθ' ὅτε πανηγυρίζει τῶν θεολογικῶν καὶ τῶν ἄλλων ἰδεῶν ἀπεχόμενος, μηθ' ὅτε τι ποιῶν ἄλλο ταῦ-

2 Cod. περιλογίαν.

τα παρωθῶν· δικανικὰς γὰρ καὶ συμβουλευτικὰς προτείνων ἀντιθέσεις πανηγυρικὰς ἐπάγει τὰς λύσεις, ὡς ἐν τῷ τῶν γενεθλίων, ὅταν λέγῃ, καλὸν μὲν τὸ φυτὸν, εὐκαίρως μεταλαμβανόμενον, οὐ καλὸν δὲ, ἀκαίρως, καὶ οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς. διλημμάτων γάρ ἐστι ταῦτα λύσεις. Προκαταρκτικὰ μὲν οὖν τῶν αὐτοῦ λόγων ἐστὶν ἐν προοιμίοις, καὶ ταῖς τούτων οἰκονομίαις, πιστωτικὰ δὲ ἐν τοῖς ἀγῶσιν· ἀντιθέτων δὲ λυτικὰ ποτὲ μὲν πρὸ τῶν ἀντιθέσεων, ποτὲ δὲ μετὰ ταῦτα, ποτὲ δὲ καὶ τούτων χωρίς· ἐν τοῖς ἐπιλόγοις δὲ οὐ χρονοτριβεῖ, ἀλλὰ καὶ ἐν τούτοις σύμμετρά ἐστι, νῦν μὲν συστρέφων τὰς ἀποδείξεις κατὰ διάνοιαν καὶ καταδρομὴν ποιούμενος, ποτὲ δὲ τοῦ παθητικοῦ μερίζων τὰς διατυπώσεις οὐ μόνον ἐν ἐπιλόγοις, ἀλλὰ καὶ ἐν τοῖς ἀγῶσι θαυμαστός ἐστι καὶ παράδοξος καὶ πάντων τῶν ἐν λόγοις κρατῶν, ἤδη δέ ποτε καὶ δι' ἑνὸς κεφαλαίου τοῖς ἄλλοις ἐπιφωνηματικῶς χρησάμενος πέλαγος ἠνέῳξε λόγου, ὡς ἐν τῷ ἀπολογητικῷ διὰ μόνου τοῦ χρώματος, καὶ τὸν συντακτήριον διὰ τοῦ ἀντιστατικοῦ τῷ συντελεῖ τῶν καλῶν. Θεῷ χάρις.

Συνόψεως Ἑρμογένους τέλος.
τέλος τέλος
τέλος.

---

## II.

Μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν, καὶ διαιρεῖται εἰς ἠθικὸν, ὅταν ἄλογα πρὸς ἄλογα φθέγγωνται, εἰς λογικὸν, ὅταν λογικοὶ πρὸς λογικοὺς, καὶ εἰς μικτὸν, ὅταν λογικοὶ πρὸς ἄλογα. Ἡ παραίνεσις τούτου προταττομένη προμύθιον λέγεται, ἐπιταττομένη δὲ

ἐπιμύθιον. Sequuntur definitiones progymnasmatum ab iis, quae Cod. 1461. continentur, parum differentes. Transit inde ad ἐξέτασιν προσώπων et πραγμάτων et a Folio 69—86. Synopsin rhetoricae Hermogenis exhibet.

Explicit: Ὁ κάλλιστος πανηγυρικὸς ταῖς μὲν τὸ μέγεθος ποιούσαις ἰδέαις πλὴν σφοδρότητος καὶ τραχύτητος γίνεται πάσαις. [1] Διήκειν δέ πως χρὴ διὰ τούτων τὴν ἀφέλειαν, μὴ ἐλαττουμένην αὐτῶν, ποσότητος ἕνεκα, πλὴν ὅπου καθαρῶς ἐξαίρειν τὸν λόγον εἰς σεμνότητα δεῖ. Αἱ γλυκύτητες δὲ, εἴπερ καὶ ἄλλοθί που, καιρὸν ἐνταῦθα ἔχουσι μάλιστα, αἱ τὸν ἁβρὸν καὶ ὡραῖον ποιοῦσαι λόγον. Δεινότης δὲ ἡ μὲν κατὰ μέθοδον, ἥπερ ἥκιστά ἐστι φανερὰ, πάντως ὕπεστι καὶ τῷ πανηγυρικῷ· ἡ δ' ἄλλη ἐν τούτῳ οὐδαμῶς· γοργός γε μὴν ὡς ἐλάχιστον ἐν πανηγυρικῷ λόγῳ ὁ λόγος εἶναι ὀφείλει· ἀφήγησις γάρ ἐστι σχεδὸν ἅπας, τοῖς δὲ ἄλλοις εἴδεσιν ἢ καὶ μέρεσι τοῦ πολιτικοῦ λόγου παραπλησίως χρῆται ὁ πανηγυρικὸς, καθάπερ ὁ συμβουλευτικὸς καὶ ὁ δικανικός.

1 Cod. πάσης.

# ΙΩΣΗΦ ΤΟΥ ΡΑΚΕΝΔΥΤΟΥ
## ΣΥΝΟΨΙΣ ΡΗΤΟΡΙΚΗΣ.

Josephi Rhacendytae nomen silentio praetereunt plurimi historiae litterariae scriptores. Solus Fabricius Bibl. Gr. T. XII. p. 639. de medicis Graecis disserens, Josephum Rhac. Actuarii [qui circa A. Ç. 1300 vixit] et Apocauchi, qui apud Joannem Cantacuzenum gratiosus fuit, praeceptorem fuisse tradit. Quantum ex iis, quae de vita sua ipse refert, intelligimus, in Ithaca insula natus fuit, sed vitae contemplativae dulcedine allectus patrium solum reliquit, habituque monachico sumto peregrinari coepit. Multis urbibus peragratis Constantinopolem, omnis doctrinae sedem, diu vehementerque desideratam, venit, ibique virorum summa doctrinae laude florentium scholas adivit; sed quum propter ingenii imbecillitatem progressus satis mediocres faceret, compendio Rhetoricae compilando sibi ipse satisfecit: medicae artis, quam in titulo libri sui jactat, in prolegomenis nullam mentionem fieri, valde miror.

Epitome ejus exstat in Bibl. Vindobonensi, teste Nesselio IV .p. 41. n. LXX. Coll. Lambecio VI. p. 112. et Jo. Boivinio ad Nicephorum Gregoram p. 778. Equidem eam descripsi e codice Veneto, quo haec editio tanquam funda-

mento nititur. Passim contuli Codicem Vatic. 1361. fol. chart. sec. XVI. litteris minutissimis pessime scriptum, et tres Mediceos, chartaceos, sec. XV. Plut. 58. 2. [Med. 1.] Plut. 58. 21. [Med. 2.] Plut. 58. 1. [Med. 3.] Praeterea capita nonnulla in Ven. 444. et Par. 2918. diversis commentationibus rhetoricis inserta inveni, sine dubio ex eodem, quem Josephus noster expilavit, fonte desumta. Capita *περὶ σχημάτων* et *περὶ τρόπων* cum aliis de eadem re commentationibus ad verbum consentientia ad Volumen octavum rejeci.

# ΙΑΤΡΟΥ
# ΙΩΣΗΦ ΠΙΝΑΡΟΥ ΡΑΚΕΝΔΥΤΟΥ.[1]

Ἐμοὶ δ' ἄρα καὶ λίαν ἐπέραστος ἔδοξεν ὁ κατὰ θεωρίαν βίος καὶ ἀπαθὴς, καὶ κρείττων πολλῷ μετασχεῖν ἀνθρώπῳ, ἤγουν ὁ πρακτικὸς, ὅσος γε ὁ πολιτικός τε καὶ μετριοπαθὴς, ὧν δὴ καὶ ὁ Σταγειρόθεν σοφὸς τὴν ἀνθρωπίνην δίαιταν ἐξαρτᾷ. Τὸ δὲ αἴτιον ἡ περὶ τοὺς βίους ἀρχῆθεν ἡμετέρα κρίσις, ὅτι ὁ μὲν θεωρητικὸς οὗτος μόνῳ τῷ λόγῳ διαφερόντως ἀποκεκλήρωται, καθ' ὃν τις ἀξιωθεὶς ζῆν, θεοῦ δηλαδὴ τυχὼν ἵλεω ὄρει μὲν ἐκείνῳ προσβαίνει Σιὼν, καὶ πρὸς τὰ ἄνω πτερύσσεται καὶ μετέωρος φέρεται, βλέπων ἐκεῖθεν καθαρῷ ὄμματι διανοίας τὸν τῶν ἀνθρώπων ταλαιπώρων βίον, ὅσου τε ἰλίγγου καὶ ζάλης πεπλήρωται, καὶ τὰς ἀχράντους ὅσον τὸ κατ' αὐτὰς ψυχὰς, ὅπως τῷ ὀστείνῳ [2] δὴ κελύφει συνδεδεμέναι τῷ σώματι κατασπῶνται βιαίως τῆς ἀνέτου διαγωγῆς, καὶ ταῖς τοῦ σώματος ἀταξίαις συμφέρωνται, οὐκ ἐώμεναι βλέπειν αὐτὸ δὴ τὸ ὄντως ὄν, τὸ ὄντως καλὸν καὶ ἐπέραστον, ᾧ δὴ καὶ τὸ πτερὸν ἐκείνων κουφίζεται, καὶ οὕτως τοὺς τῶν ἄλλων βλέπων κλυδωνισμοὺς καὶ τὸν τῶν ἀλλοκότων [3] πραγμάτων τάραχον, πολλῶν

1 Prolegomena haec solo Med. 3. continentur. 2 Med. στρείνῳ scripsi ὀστείνῳ. 3 Med. ἀλωκότων.

γε ὄντων καὶ διαφόρων καὶ δεινῶν ψυχῆς φθορὰν ἀπεργάσασθαι, ὧν ὁ παρὼν ἐμπέπλησται βίος. Μακαρίζει μὲν ἑαυτὸν τῆς ἀπαρχῆς τῶν τοσούτων κακῶν, οἰκτείρει δὲ τοὺς ἄνω καὶ κάτω στρεφομένους καὶ μὴ δυναμένους ὅλως ἀνακύψαι τῶν δυσχερῶν, καὶ τὸ ὄντως ποθῆσαι καὶ ζητῆσαι καλὸν, διὰ συνεθισμὸν τῶν κακῶν ἴδιον στέργοντας ὄλεθρον, καὶ τῆς μακαρίας ἀποπλανωμένους διαγωγῆς, λογιζομένους ὡς ἑστῶτα τὰ φεύγοντα, καὶ τὰ ῥεύντα μόνιμα· μόνος γὰρ ἐκεῖνος λόγῳ ζῶν ἀσχέτως καὶ θεωρίας ἀκραιφνοῦς ἐπιβαίνων γεφύραις χρωμενός ἐστιν, ὅτι καὶ τοῖς παθήμασι τὸ διανοητικὸν ἐξάπτουσι καὶ καθαίρουσιν· οἶδε μὲν ἀληθῶς τὸ καλὸν, οἶδε δὲ καὶ τὸ αἰσχρὸν, καὶ τῷ μὲν προστίθεται, τὸ δ' ἀποπέμπεται· ὁ δέ γε μετριοπαθής τε καὶ πολιτικὸς τὰ πολλὰ τῷ χειρονι σύνεστι τῆς ψυχῆς μέρει, τὸν ἀκραιφνῆ λόγον μὴ φθάσας, καὶ τὸ κατ' ἐκεῖνον διοικεῖται, ὃς ἀκούει μὲν τοῦ λόγου, παρακούει δὲ κατὰ τοὺς ταχεῖς τῶν ὑπηκόων, οἳ πρὶν ἀκοῦσαι πᾶν τὸ λεγόμενον ἐκθέουσιν· ὅθεν καὶ ὡς ἀνθρώπων λόγου καὶ τῶν ἐκεῖθεν εἰσηγήσεων ἑαυτοῦ ῥυθμίζει καὶ τοῖς καλοῖς προβαίνειν ἐθέλει, ἀλλ' ἀποδυσπετεῖ πρὸς τὰ κάλλιστα, δι' ἣν ἀνωτέρω αἰτίαν εἰρήκαμεν, καὶ πολλῶν κατευστοχεῖ, πολλῶν δὲ καὶ ἀποτυγχάνει, τοὺς τοῦ λόγου ῥυτῆρας δακὼν καὶ καθ' αὑτὸν ἀκαθέκτως φερόμενος. Ἐπαινετὸς μὲν οὖν διὰ ταῦτα καὶ οὗτος, εἰ καὶ μὴ πάντως μηδὲ τελέως προσέσχηκε τῷ καλῷ. Τούτοις δὴ τὸν ἐμὸν βίον ἀρχῆθεν συστρέφων τοῖς λογισμοῖς, ἐξότου περ καὶ φρονεῖν ἠρξάμην, εἰ καὶ μὴ ὅσον ἔδει κατανενόηκα, ἀνὴρ παρὰ πατράσι μὲν καὶ γεννηθεὶς καὶ τραφεὶς, οἷς μέτριος μὲν ὁ βίος, μέτρια δὲ τὰ ἐπιτηδεύματα, ἐκ δὲ τῆς μικροτάτης καὶ κραναῆς Ἰθάκης ὁρμώμενος, καὶ παρίημι τὰ ἐκείνης, ὡς ἂν μὴ τοῖς οἰκείοις πλέκων τὸν ἔπαινον ἢ τὸν ψόγον ὑποπτευθείην. Τούτοις τοίνυν ἐνασχολήσας τὸν νοῦν ἀρχῆθεν,

ὡς οἷόν τε ἦν ἐμοὶ τῷ τότε διαιρεῖν καὶ διακρίνειν τό τε σύνοικον καὶ μή, καὶ τὸ μὲν ἄνω τιθεὶς, τὸ δὲ κάτω, τὸν ἀπολαυστικὸν βίον δηλαδὴ, καὶ τὸ λοιπὸν τρίτον τάττων [4] ἐν μέσοις, τὸ μὲν πρῶτον ὑλικῶς ἠσπασάμην καὶ ἐθέμην προὔργου τῶν ἄλλων, καὶ διαφερόντως ἐνστερνήσασθαι πάσῃ σπουδῇ καὶ προθυμίᾳ κατένευσα, τὰ δὲ τοῖς βουλομένοις παρῆκα· καὶ ἡ μὲν ῥοπὴ τῆς ψυχῆς καὶ τὸ ἐξ ἐμαυτοῦ τόσον· θεῷ δ' ἐπέτρεπον τὰ ἐμὰ, καὶ προσελιπάρουν, ἐκεῖθεν τῷ σκοπῷ γενέσθαι βοήθειαν· μέντοιγε καὶ συναίρεται μὲν τὸ θεῖον ἐμοὶ τῆς προθέσεως, καὶ τί γὰρ ἄν τις ἕτερον εἴποι; ὁδηγεῖ δὲ κρεῖττον ἢ ὥστε κἀμὲ ἰσχύειν ἀνακηρύττειν τὸν ἔλεον· καὶ πατρίδα μὲν ἐκείνην, πατέρας δὲ καὶ πᾶσαν [5] συγγένειαν καὶ συνήθειαν ἀφεὶς ἐξενίτευσα, καὶ ῥάκος ἐνδὺς πολλῶν μὲν ἀνθρώπων ἄστεα εἶδον, ὁμηρικῶς εἰπεῖν, ἀλλ' οὔτοιγε καὶ νόον ἔγνων· σκοπὸς δ' ἦν μοι, τἀληθὲς εἰπεῖν, τὴν ἀρχῆθεν ἐπαύξειν πρόθεσιν, εἴ πη καί τινος ὁδηγίας τύχοιμι σὺν θεῷ τῷ τῶν καλῶν ἁπάντων αἰτίῳ, ἐς ὅπερ καὶ κατὰ θυμὸν πράξαιμι· τέλος ἐπιδημῶ καὶ τῷ τῶν λόγων ἐδάφει, τῇ Κωνσταντίνου, καὶ τοῖς ἐν ταύτῃ πνευματικοῖς καὶ σοφοῖς ἀνδράσι συγγίνομαι. Παρὰ τούτοις μὲν οὖν ἦν τελειοποιὸν εἶδος διαφόρου παιδεύσεως· ἐμοῦ δὲ τὸ ἐνεργὸν τῆς ὕλης πάντως ἀπῆν· κἀκεῖνοι μέν, ὡς ἡ κατ' αὐτοὺς ἕξις ἐδίδου, οὐδὲν ἦν [6] παιδίας λόγου καὶ ἀρετῆς εἶδος, ὃ μὴ προὔφερον· καὶ μάλα καλῶς καὶ ἐντέχνως ἐπετίθουν· ἀλλ' ἀπούσης τῆς ἐπιτηδειότητος, τὰ τῶν ἀγαθῶν εἴδη ἀρετῆς τε καὶ λόγου δηλαδὴ οὐμενοῦν ἐντυποῦσθαι συνέβαινεν· ἐμοὶ μὲν οὖν ἱκανὸν ἐδόκει γοῦν σκοπὸς ἀγαθὸς, καὶ πρόθεσις ἔμμονος περὶ τὰ καλὰ, εἰ καὶ ἀμέτοχος μὲν παντὸς ἀγαθοῦ, ἄμοιρος δὲ ἀρετῆς, καὶ τῶν τοῦ λόγου καλῶν παντάπασι

4 Med. θᾶττον. 5 Med. πάσας. 6 Med. ἐν.

ξένος ἦν· οὐδὲν δὲ πρὸ τούτων ἄλλο τι κρεῖττον καὶ θαυμασιώτερον οὔτε πρεσβεύων ἦν, οὔθ' ἡγούμενος· τὸ γὰρ ἐξ ἀρχῆς ποθητὸν ἐμοὶ, εἰ καὶ οὐδόλως ἀφῖγμαι εἰς ἃ δι' ἐφέσεως εἶχον· ἀλλ' οὖν οὐδαμῶς τινι τῶν κατὰ τὸν [7] βίον ἀνιαρῶν τῶν πολλάκις προσπιπτόντων ἐκκέκρουσται· ἀλλ' ὁ αὐτός εἰμι τῇ προθέσει, εἰ καὶ τοῦ τέλους δι' ἀνεπιτηδειότητα φύσεως καὶ προαιρέσεως ῥᾳθυμίαν διήμαρτον. Δῴη δὲ θεός ποτε πρὸς τὸν σκοπὸν καὶ τὸ τέλος ἀγαθὸν· τῷ γὰρ κρούοντι ἀνοιγήσεται, τὰ θεῖα λέγουσι λόγια· [8] ὃ δὲ τέως ἐπῆλθέ μοι πρᾶξαι, ὡσὰν ἐκκλίνοντι καὶ τὴν ἐν πολλαῖς βίβλοις ἀσχολίαν, καίγε αὖθις ἐχομένῳ τῶν ἐξ ἀρχῆς· οὐδὲ γὰρ ἀρετῆς καὶ τῆς κατ' αὐτὸν ἐπιμελείας τὴν τοῦ λόγου προθήσομεν, ἀλλ' ἐκείνη τὰ πρῶτα τούτου φερέτω, καὶ ταύτης ἀναχάριν τὰ τῆς λογικῆς συστελλέσθω παιδεύσεως. Ὅ γοῦν τέως κατεπράχθη μοι, τοῦτό ἐστιν· ἐνέκυψα βίβλοις σοφῶν διαφόροις πραγματείαις ἐσχόλακότων, καὶ ὁ μὲν τὴν πυρίπνουν ῥητορικὴν συνεπτυγμένως ἀναφυσῶν οἷον τῷ λόγῳ καὶ σπινθῆρα λαμπρὸν ἐξανάπτων συνήψεως, ἐπὶ τοῖς λοιποῖς τῶν μαθημάτων οὐδ' ἵκταρ τὸν νοῦν ἔβαλλεν· [9] ὁ δὲ τὰ τῆς λογικῆς φιλοσοφίας, καὶ μὴν καὶ τὰ τῆς φυσικῆς φιλοσόφως καὶ γενναίως διῄει, τὸ δέ γε κρεῖττον τῆς λογικῆς μέρος, λέγω δὴ τῆς πάσης ἐπιστήμης ἀρχὴν, τὴν περιλάλητον ἀποδεικτικὴν, ἔτι δὲ μὴν καὶ τὴν πολυθρύλλητον καὶ χαριεστάτην διαλεκτικὴν παρελίμπανεν ὕψος, καὶ τὸ κάλλιστον τῆς φιλοσοφίας ὄργανον· προσέτι δὲ καὶ τὴν τετρακτὴν τῶν μαθημάτων ἀνακινῶν τῇ μὲν συνήψει τὰ τούτου ὄργια εὐπερίγραπτα καθίστα, τὴν δ' ἐπὶ πλέον ἀνάπτυξιν παῤ οὐδὲν ἐτίθει, ὡς πόῤῥω συνόψεως· ἕτερος τὰς τοῦ ἀνθρωπείου σώματος

---

7 Cod. τῶν βίου. 8 Matth. VII. 8. 9 Cod. δ' ἔβαλλεν.

ἐκφάσεις καὶ ἀλλοιώσεις, καὶ πάθη καὶ μέρη καὶ μόρια κατὰ λεπτὸν διαρθρώσας, περὶ ψυχῆς τι εἰπεῖν ἀπενάρκησεν· ἄλλος περὶ μόνης ψυχῆς ἀκριβῶς διελθὼν, περὶ τῶν τελειουσῶν αὐτὴν, πράξεώς φημι καὶ θεωρίας, αἵτινες εἰς ἀρετὴν καὶ πίστιν ἀνάγονται, οὐδ' ὁτιοῦν διὰ φροντίδος πεποίηκεν· εὐφυῶς δὲ πάντες καὶ ἀναγκαίως περὶ τῶν κατεπειγόντων διεξερχόμενοι, ἀντιλογίας ἐκείνας καὶ δεινὰς ἀντιθέσεις καὶ ἀποδείξεις τοῦ Σταγειρίτου διὰ κόρον παρέλειψαν. Ταῦτα δὴ πάντα διελθὼν ἐγὼ μετὰ τὰς διεξοδικὰς ἀνελίξεις [10] τῶν παθημάτων, θέλων ἐκφυγεῖν τὸ κενόσπουδον, ἔνθεν μὲν τοῦτο, ἔνθεν δ' ἐκεῖνο, ἄλλοθεν δ' ἄλλο, καὶ αὖθις ἀλλαχόθεν ἕτερον συνεραϊσάμενος καὶ συνθεὶς ὀστέα εἴποι τις προφητῶν πρὸς ὀστέα καὶ ἁρμονίαν, ὁλομέλειάν τινα μίαν καὶ συνεχῆ ἐκ πολλῶν καὶ διαφόρων πραγματειῶν μίαν ταύτην συνεστησάμην, καὶ ὡς εἰκόνα φιλοσοφίας καὶ μαθημάτων τὴν παροῦσαν ἀνεβίβλωσα βίβλον, ᾗ δὴ καί τις ἐνατενίζων, ὁσσάκις ἐθέλοι, οὐ μικρὰ ζητήσει, οὐδὲ περιθρέξεται κύκλῳ, ἀλλ' αὐτόθεν ἕξει τὸ χρήσιμον· μιμήσεται δ' αὕτη τὴν παὸ Αἰγυπτίοις τοῦ Ἑρμοῦ διπρόσωπον εἰκόνα, νεανικὰ μὲν καὶ γενναῖα ἁπανταχοῦ κεκτημένη τὰ θεωρήματα, πρεσβύτατα [11] δέ γε καὶ χρόνῳ καὶ τιμῇ καὶ ἕξει φέρουσα τὰ νοήματα· ἐπιβαλεῖ δ' αὖθις συντόμως καὶ ἀπαλλάξει τάχιον, ὡς μήτε τριβὴν καὶ ἀσχολίαν τὴν βραδύτητα ποιοῦσαν, τῶν ἄλλων ἀναγκαίων ὄντων ὡς εἰκὸς πόρρω ποιεῖν, μήτ' αὖθις τῶν καλῶν ἀνήκουον [12] μένειν τὸν τῶν καλλίστων φιλοθεάμονα, ἀλλὰ διὰ ῥᾳδίας καὶ ταχυτάτης τρίβου τὰ τίμια ἐκπορεύεσθαι· οὗτος ὁ σκοπὸς, τοῦτο τὸ περὶ τὴν βίβλον ταύτην μυστήριον· οὐδὲ ἦν γὰρ, οὐκ ἦν Ῥακενδύτην ὄντα καὶ

10 Med. ἀνελίξεις. 11 Med. πρεσβύτα. 12 Med. ἀνήκιον.

ψυχῆς δι' ἀρετῶν πρὸς τοῦ ἐπαγγέλματος ἀπαιτούμενον, τελειότητα τῆς ἐμμόχθου καὶ πολυπόνου καταῤῥαθυμοῦντα πρακτικῆς λόγοις διεξοδικωτέροις σχολάζειν καὶ κατατρίβειν τὸν βίον, οὓς ἀρχῆθεν ἠγάπησα, ἀλλ' ἀγαπητὸν, εἰ καὶ ποτέ τις κατ' ἄνεσιν ἀναγκαίαν ἀναπτύξας τὴν βίβλον, ἐκ τοῦ παραχρῆμα τὸ χρήσιμον λήψεται καὶ ἀναζωπυρήσει τὸν πόνον, καὶ τὸν κατὰ πόδας οὐ καταστήσεται· οὔτε γὰρ πυρὸς χρῆσις ὑπὲρ τὸ μέτρον συνῆσεν, ἀλλὰ καὶ μῶμον τῷ πλησιάζοντι ἐλυμήνατο, οὔτε μαθημάτων ὑπὲρ τὸ δέον ἀνάπτυξις τοῖς ἄλλο τὸ προηγούμενον ἔχουσι καλῶς ἂν ἔχοι καὶ λίαν ἀσφαλῶς τε καὶ ἐπαινετῶς. Ἀλλὰ ταῦτα μὲν οὖν οὕτως ἐμοὶ καὶ συνῆκται καὶ σεσαφήνισται κατὰ δύναμιν· ἱκετεύω δὲ καὶ τοὺς ἐντυγχάνοντας τούτοις, εἰ μὲν εὑρίσκοιέν[13] τινα καὶ αὐτοὶ ἐκ τούτων ὠφέλειαν, πολλὴν τὴν δοξολογίαν προσάγειν τῷ τῶν ἁπάντων ἀγαθῶν δοτῆρι καὶ παροχεῖ θεῷ· ἡμῖν δὲ τοῖς ἐν τέλεσιν ἀδελφικὴν καὶ μόνην ἀπονέμειν εὐχήν· εἰ δ' οὖν ὥσπερ πᾶσα παθεῖν ἀνάγκη, ὡς ἐξ ἀμαθοῦς διανοίας καὶ ἀσθενοῦς ὀργάνου προενηνεγμένων, συγγνωμονείτωσαν δι' ὠφέλειαν· καὶ μόνην ἐμὴν ταῦτα συνειληχότι καὶ συνειψίσαντι, καὶ διορθούτωσαν ἠπίως[14] τὸν οὐκ ἐθέλοντά τι τῶν συμφερόντων ἀγνοεῖν, καὶ χειραγωγείτωσαν συμπαθῶς καὶ ἀδελφικῶς τὸν ὀρθῶς βαίνειν ἐπιθυμοῦντα.[15] Ἀλλὰ ταῦτα μὲν ἐν τούτοις. Θεῷ δὲ τῷ ἐν μονάδι φύσεως καὶ τριάδι ὑποστάσεων ὑμνουμένῳ καὶ προσκυνουμένῳ, δόξα, τιμὴ, προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

13 Med. εὑρίσκει ἕν. 14 Med. ἥπερα. fort. scribendum ἐπηράτως, posui ἠπίως. 15 Med. ἐπιθυμοῦντι.

*Τοῦ αὐτοῦ στίχοι ἰαμβικοὶ περιέχοντες ἐν ἐπιτομῇ τὴν ἅπασαν ὑπόθεσιν καὶ δύναμιν τῶν ἐγκειμένων τῇδε τῇ βίβλῳ εὐσυνάπτων μαθημάτων.*

Ὁρῶν θεατὰ βίβλον ἠὐτελισμένην
Μὴ παραδράμῃς τῶν γεγραμμένων λόγους,
Ἀλλ' εἴγε πολλαῖς μὴ προσανέχειν θέλεις
Βίβλοις τὰ πολλὰ καὶ δαπανᾶν τὸν χρόνον,
Κενὸν τιθεὶς σπούδασμα πάντα τὸν βίον·
Ποθεῖς δ' ἔχειν ἄριστον ἐν βραχεῖ τύπον
Ἠθῶν, ἔργων, λόγων τε καὶ θεωρίας,
Κόλπους ἐρευνῶν τοὺς ἐμοὺς πόθου τύχῃς.
Πηγὴ γάρ εἰμι παγκάλων σοφῶν λόγων,
Οἷς ἄρδεται νοῦς καὶ ποτίζονται φρένες,
Καὶ κόσμον ἤθη τὸν πρέποντα λαμβάνει.
Πάσας γὰρ ἔνδον τὰς ἐπιστήμας φέρω,
Κατὰ τρόπον πρέποντα συντεταγμένας,
Νοῦν γῆθεν ἀνυψούσας εἰς πόλου πλάτη.
Ἔχω γὰρ ἰδοὺ τὰς ἀπαρχὰς τῶν λόγων,
Τὴν ῥητορικὴν ἐν βραχεῖ συνηγμένην,
Γλῶσσαν παροτρύνουσαν ἀτρέστως λέγειν,
Πυρὸς μένει πνείουσαν ὅπου τις ἔφη,
Θέμεθλον[1] ὥσπερ ἀκλόνητον τῶν λόγων.
Στερρὰς στάσεις φέρουσαν ἡδραιωμένας·
Μακρὰς τὰς εὑρέσεις τε καὶ πολυτρόπους,
Μεθ' ὧν χορείαν[2] ἰδεῶν καλλιφραδῶν.
Ἔτι τε δεινοτάτην τεχνιαστάτην.
Ὄργανον εὐθὺς τῆς λογικῆς τὸ κλέος,
Ἡ συλλογισμῶν πλεκτάνη καὶ σφενδόνη.
Ἀντιθέσεις τε καὶ στροφὰς τὰς ἐν λόγοις
Δυσεξοδεύτους λαβυρινθώδεις ἄγαν
Δεινῶς ἀνατρέπουσα λίαν ἐντέχνως.
Νόθους ἀποπτύουσα, τοὺς δ' αὖ γνησίους

1 Med. θέμιθλον. 2 Med. χωρείαν.

Ποθοῦσα καὶ στέργουσα καὶ κολπουμένη.
Κανὼν ἀκριβῶς τοῦ σοφοῦ τεχνογράφου,
Λίθος δοκιμάζουσα Λυδία λόγους,
Αὔχμημα τερπνὸν τῶν Σταγειρίτου βίβλων.
Βοὴ καταπλήττουσα τοὺς ἐναντίους.
Φρικτὴ βελῶν φαρέτρα τοῖς ἀλλοτρίοις.
Χρηστῶν ταμεῖον ὀργάνων τῶν ἐν μάχαις.
Ἄθρει θεατὰ καὶ φυσικῶν τοὺς λόγους,
Ἄνωθεν ἐκλάμποντας ἐκ τῶν ἀδύτων,
Τῆς πανσθενουργοῦ καὶ σοφῆς πανταιτίας,
Καὶ μέχρι γῆς πυρός τε καὶ τῶν ἐν μέσῳ
Ἰκνουμένους νεύματι τοῦ παντεργάτου,
Πέρατα καὶ σχήματα καὶ διαστάσεις,
Ὅρους, ἀριθμοὺς, ἰδέας διαφόρους,
Ῥυθμοὺς, κινήσεις, ἠρεμίας καὶ στάσεις,
Ποιὰ, ποσὰ, χρώματά τε ποικίλα,
Διδόντας αὐτοῖς ποικιλοτρόπως ἄγαν,
Καὶ τὴν ἀκαλλῆ τρύγα τῶν ὄντων τέως,
Εἰς τάξιν ἀμείβοντας εἰδῶν κοσμίως,
Ζώων φυτῶν τε καὶ βοτανῶν καὶ λίθων.
Βροτῶν ὑπερβαίνοντα γνῶσιν καὶ λόγον.
Φύσις γάρ ἐστιν ὄργανον τεχνουργίας,
Τῆς παραγωγοῦ τῶν ἁπάντων αἰτίας.
Μὴ δὴ παρέλθῃς καὶ φύσιν τὴν ἰδίαν,
Ἄνθρωπε, μαθεῖν αὖθις ἐκ τῶν κειμένων.
Ἀλλ' εἴγε ταύτην ἀσφαλῶς γνῶναι θέλεις
Πρόκυψιν, ἰδοὺ τὰ γεγραμμένα σκόπει.
Περὶ ψυχῆς γὰρ οὐσίας ἀσωμάτου
Καὶ πηλίνου σώματός εἰσιν οἱ λόγοι.
Ἄμφω δὲ πράξεις, ἔργα, δυνάμεις, πάθη,
Ἴδια καὶ κοινά τε καὶ κατὰ μέρος,
Ἄριστα δεικνύοντες ἐντέχνως λίαν.
Καὶ δοξάσεις μάλιστα τὸν κουμεργάτην,
Ἀῤῥήτον ἰδὼν δημιουργίας τρόπον,
Καὶ κρᾶσιν ἀσύγχυτον ἐξ ἐντεχνίας [3]

3 Med. ἐντεχνίαις.

Εἴδους νοητοῦ καὶ παχυτάτης ὕλης.
Οἶμαί σε καὶ γὰρ αὐτάπτως [4] τεθηπότα
Δαυὶδ τὰ ῥητὰ κατὰ νοῦν ἀεὶ στρέφειν.
Ἐξῆς δὲ τούτων ἡ τετρὰς μαθημάτων
Δίκην κλίμακος ἐν μέσῳ πως κειμένη
Τῶν φυσικῶν ὁμοῦ τε καὶ νοουμένων
Θαυμασίως ἄγει σε καὶ κατὰ λόγον,
Ἐκ τῶν ὑλικῶν εἰς ἄϋλον οὐσίαν.
Ὡς πού τις ἐφθέγξατο τῶν σοφῶν πάλαι·
Ἀνελθε λοιπὸν καὶ ταπεινὰ μὴ φρόνει,
Κτίσματα λιπὼν καὶ λόγους τούτων κάτω,
Τὸν νοῦν τὸν οὐράνιον ἐξάρας ἄνω,
Ζητοῦντα καλῶς τοὺς ψυχοτρόφους λόγους
Τῆς ὑψοποιοῦ πρακτικῆς καὶ δογμάτων.
Ἐξῆς μὲν ἠθῶν καὶ λόγων καὶ πρακτέων
Χάριν ἀπαντλήσειας ἀφθονωτάτην.
Τέθριππον εὑρὼν ἀρετῶν ὑπερτάτων.
Ἅρμα φαεινὸν, σεμνὸν, οὐρανοδρόμιον,
Ἅρμα φλέγον κάκιστα δαιμόνων στίφη,
Κατάγων αὐτοὺς μέχρις Ἅιδου πυθμένος,
Πιστοὺς δ' ἀνάγων τῶν ὁρωμένων ἄνω,
Ἐν ᾧ καθήσας καὶ κρατήσας ἡνίας,
Ὡς πρὶν Ἠλίας Θεσβίτης [5] ὁ πυρίπνους
Κούφως ἐπαρθεὶς γῆθεν ἀπτέρῳ τάχει.
Πόλου τὰ λαμπρὰ καταλάβῃς χωρία,
Ἔνθα κατιδὼν ἀγαθῶν εὐδενδρίαν,
Κήπου νοητοῦ, τοῦ παραδείσου λέγω,
Καρποὺς ἀρίστους καὶ τρυγήσεις καὶ φαγεῖς,
Καὶ τὸν φυτουργὸν εὐλογήσεις δεσπόταν,
Ἀφ' ὧν δ' ἀμυδρὰς εἰκόνας τε καὶ τύπους
Ὡς ἐν κατόπτρῳ τῆς διανοίας βίβλῳ
Λάβῃς ἀληθῶς [6] τῆς θεοῦ φαντασίας
Ἐκ τῶν ἀληθῶν πνευματολέκτων λόγων.

---

4 Med. αὐτόπως. 5 Med. Θεσβητής 1 Reg. XVII. 1. Θεσβίτης. 6 Med. ἀληθῆς.

Εἰ δ' οὖν πόνον σώματος ἀργείαν ἄγεις,
Καὶ τὴν λύχνον αἴσθησιν ἄγχεις ἐμφόνως,
Ἔνθα κἀκεῖθεν ἀλόγως στροβουμένην,
Ἄγαν ἀκρατῶς ἐμμενῶς οἰστρουμένην,
Καταχαλῶσαν καὶ κατασπῶσαν κατὰ
Οὐράνιον νῦν αἰθροδρόμον φύσιν.
Τῆς δ' αὖ γε φαντασίας ὄγκους [7] καὶ τύπους
Χρώματα πάντα καὶ πάσας διαστάσεις
Στερρῶς καθείρξεις κατὰ χώραν ἐμμένειν.
Τὰν νοῦν δ' ἀμιγῆ παντὸς ὄγκου καὶ τύπου
Καθαρὰν, ἀσύγχυτον, ἁπλοῦν καὶ μόνον
Εἰς ὕψος ἀρεῖς τοῦ θεοῦ θεωρίας.
Πάντως μυηθῇς, ὡς ἐφικτόν σοι, φίλος,
Ἐν ἡσύχῳ σοῦ τοῦ νοὸς καταστάσει,
Ἄρρητα μυστήρια τῶν ἀποκρύφων,
Τῆς προσκυνήτου πανσθενουργοῦ τριάδος.
Τὰ δ' εἰσὶ ταῦτα, καὶ σκόπει μετὰ δέους
Ἓν αὐτολαμπὲς παράγωγον τῶν ὅλων,
Ὂν αὐτάγαθον, αὐτόφως, αὐτουσίαν,
Ἄναρχον ἀρχὴν, αὐθέδραστον αἰτίαν,
Ζωὴν προαιώνιον ἀεὶ ζωΐαν,
Δύναμιν ἀκάματον, ἄτρυτον κράτος,
Ἀπειρίαν ἄπειρον, αὐταπειρίαν,
Νοῦν δημιουργὸν, τεχνίτην παντεργάτην,
Σοφίαν ἀνείκαστον, αὐτογνωσίαν,
Πέρας ἀπειρότατον ἐξ ἀπειρίας,
Αἴγλην μίαν τριφοτον ἀπείρου φάους,
Φῶς τρίτον ἁπλοῦν τῆς μιᾶς θεαρχίας,
Ἕνωσιν ἀσύγχυτον ἀφράστῳ τρόπῳ,
Διαίρεσιν ἄτμητον ἀῤῥήτῳ λόγῳ,
Ἄτμητον ἀσύγχυτον ἁπλῆν τριάδα.
Τριῶν ἀπείρων ἄπλετον συμφυΐαν.
Πατὴρ, λόγος καὶ πνεῦμα, ταῦτα τὰ τρία,
Ἐν τρισὶ μία φύσις, ἓν δὲ τὰ τρία.

---

7 Med. ὄγγους.

Ὧ δόξα, τιμὴ καὶ κράτος πρέπει μόνῳ.
Ἀεί τε καὶ νῦν καὶ τὸν ἅπαντα χρόνον.
Τούτοις ἰθύνων σαυτὸν οὐχ ἕξεις ψόγον,
Κλεινὸς τρόποις ἔσῃ δὲ καὶ σοφὸς λόγοις.
Εἰδὼς ἀκριβῶς τοὺς λόγους τῶν κτισμάτων.
Ἔτι τε τὸν κτίσαντα ταῦτα δεσπότην.
Μέμνησο δ' ὧ τὰν Ἰωσὴφ Ῥακενδύτου,
Μετὰ πόνου πλείστου με συντεταχότος.

# ΣΥΝΟΨΙΣ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.[1]

*Μέλημα καὶ φρόντισμα καὶ γλυκὺς πόνος*
*Οἰκτροῦ*[2] *Πιναροῦ Ἰωσὴφ Ῥακενδύτου.*

## Cap. I.

[3]*Ἀπροοιμιάστως ἐπὶ τὴν τῶν προοιμίων καὶ λόγων μητέρα ἐρχόμεθα, ὅπως ἡ πάντα λόγον προοιμιάζουσα ἀπροοιμίαστος*[3] *εἰκότως εἴη. Λέγομεν τοίνυν, ὅτι ὁ πολιτικὸς λόγος, ὅς ἐστι συμβουλευτικὸς, δικανικὸς καὶ*[4] *πανηγυρικὸς, ἐμψύχῳ ἔοικε σώματι ζώου· εὕρηται γὰρ ἐν αὐτῷ στάσις, εἰς ἣν ἀναχθήσεται, καὶ ἀναλογεῖ τῇ διαπλάσει τοῦ σώματος. Ὡς γὰρ μέρη ἔχει τὸ σῶμα, οὕτω τὰ κεφάλαια ἡ στάσις τὰ ἑαυτῆς, πλὴν ἄψυχα, οἷόν εἰσιν οὕτως ἀνεπιχείρητα*[5] *καὶ ἀκατάσκευα κείμενα· ἀλλ' ἔχει καὶ ἐκ τῶν εὑρέσεων τὴν ἐμψύχωσιν· εὕρηνται γὰρ ἐν ταύταις τὰ ἐκ τῶν ἓξ περιστατικῶν*[6] *ἐπιχειρή-*

---

1 Vat. τοῦ Ῥακενδύτου εἰς σύνοψιν τῆς τέχνης τῆς καλουμένης ῥητορικῆς. Med. 1. 2. σύνοψις τῆς ῥητορικῆς. Ven. Med. 3. σύνοψις ῥητορικῆς. 2 Med. 3. οἰκτροῦ. reliqui ἰατροῦ. 3 Med. 1. ἀπροοιμιάστως. 4 καὶ Vat. om. 5 Med. 1. Vat. ἀνεπιχείρητα. Ven. ἀνεπιχείρωτα. 6 Ven. Vat. Τί διαφέρει περίστασις ὕλης, ὅτι [haec in Vat. praefixa Ven. omittit] περίστασις λέγεται, ὅτι ἐν αὐτῇ περιΐσταται καὶ συνέχεται πᾶσα πρᾶξις καὶ πᾶσα ὑπόθεσις, κατὰ ἀκριβεστέραν ἐπιβολήν· ὕλην δὲ [Ven. δὲ om.] λέγει τὴν ἑπακολουθοῦσαν ποιότητα τοῖς περιστατικοῖς, οἷον τόπῳ τὸ ἐπιτήδειον ἢ ἀνεπιτήδειον, [ἢ ἀνεπιτήδειον Vat. om.] χρόνῳ τὸ πρόσφορον ἢ ἀπρόσφορον· τρόπῳ τὸ δικαίως ἢ ἀδίκως,

ματα, ἐξ ὧν κατασκευάζεται τὸ κεφάλαιον καὶ αἱ ἓξ ἐργασίαι, ἡ ἐκ τοῦ μείζονος, ἡ ἐκ τοῦ ἐλάττονος, ἡ ἐκ τοῦ ἴσου, ἡ ἐκ τοῦ ἐναντίου, ἡ ἐκ παραβολῆς, καὶ ἡ ἐκ παραδείγματος. Αἱ δὴ ἐργασίαι ἕκαστον ἐπιχείρημα κατασκευάζουσιν, ὡς γίνεσθαι ταύτας λς'. Εὕρηνται ἐπὶ ταῖς ἐργασίαις τὰ ἐνθυμήματα, ἐκ τῶν ἓξ περιστατικῶν καὶ αὐτὰ λαμβανόμενα, ἅπερ δόξαν δριμύτητος [7] ἀποφέρονται συγκριτικῶς μεταχειριζόμενα, καὶ ἐφ' ἑκάστῃ ἐργασίᾳ χωροῦσι καὶ τὰ ἓξ ἐνθυμήματα, ὡς γίνεσθαι ταῦτα σις'. Ἐπὶ τούτοις κεῖνται τὰ ἐπενθυμήματα, διπλῆ δηλονότι συγκριτικὴ ἐπίτασις, καὶ τὰ πλαστὰ, ὡς τὸ δεινὸν ἀδικεῖν τὴν [8] πατρίδα· τοῦτο κεφάλαιον· καὶ ταῦτα πολίτην, τοῦτο ἐπιχείρημα· ἐχθρὸν γὰρ ἀνεπίφθονον ἀδικεῖν, τοῦτο ἐργασία ἐκ τοῦ ἐναντίου· καί τοι γε οὐδ' ἐχθρὸς τοιαῦτα ἂν ἐτόλμησε, τοῦτο ἐνθύμημα ἐκ τοῦ πράγματος συγκριτικῶς παρεισαχθέν· σὺ δὲ πολίτης ὢν καὶ ταῦτα ἐν τοῖς μάλιστα παρ' αὐτῇ λογιζόμενος τοιαῦτα κατ' αὐτῆς ἐβουλεύσω, ὃν ἔδει ὑπὲρ αὐτῆς ἀγωνίζεσθαι· τοῦτο ἐπενθύμημα· ἔχει δὲ διπλῆν [9] τῆς συγκρίσεως ἐπίτασιν, καὶ ἐκ τοῦ πολίτης εἶναι καὶ ἐκ τοῦ τιμώμενος ἐν αὐτῇ, καὶ ἐπὶ τούτοις τὸ πλαστόν· εἶτα εἴπερ μόνον ἠκούσθη παρά τινων φημισθέν, ὅτι τοιαῦτα τολμήσεις, κατεδέξατό τις τὸν λόγον· οὐκ εὐθὺς ἐπὶ σὲ πάντες ὡρμήσαμεν; δεινὸν τοίνυν, εἰ μέχρι μὲν λόγου καὶ φήμης τοσοῦτον ἂν τὸν ὑπὲρ τῆς πατρίδος ζῆλον ἐνεδειξάμεθα, προβάντος δὲ τοῦ ἔργου καταφρονήσαιμεν· ταῦτα πάντα τὸ κεφάλαιον ἐνεψύχωσαν, καὶ καλῶς ἐλέ-

---

προσώπῳ τὸ πένης ἢ πλούσιος, καὶ ὅσα τοῖς προσώποις ἑπακολουθεῖ, γένος, φύσις, ἀγωγή· ὕλην ἕτεροι τὰς τῶν προσώπων φασὶ ποιότητας, οἷον ῥήτορας, στρατηγοὺς, δημαγωγοὺς, τυράννους, μοιχοὺς, πατέρας, καὶ τὰ ὅμοια· ἄλλοι τὰ ὄργανα λέγουσι, δι' ὧν τινες ἀμύνονται, λίθους, ξύλα, σίδηρον. 7 Med. 1. δρυμύτητος. 8 τὴν Vat. om. 9 Med. 3. inserit τὴν.

γομεν, ὅτι αἱ εὑρέσεις ἐμψυχοῦσι τὸ τοῦ λόγου σῶμα. οὕτω τοίνυν ἐμψυχωθὲν αἱ ἰδέαι κινοῦσιν αὐτὸ, πλὴν διαφόρως, ἄλλα γὰρ σφοδρυνομένων, καὶ ἄλλα ἐπιεικευομένων κινήματα, ἄλλα [10] τῶν ἀφελῶν τε καὶ ἠθικῶν, καὶ ἄλλα τῶν δεινῶν τε καὶ ἀκμαζόντων· ἄλλα τῶν καθαρῶς ἐξαγγελλόντων καὶ ἄλλα τῶν περιβαλλόντων καὶ περινενοημένων τὰ ἐπιτηδεύματα. Ὁ γοῦν πολιτικὸς οὗτος λόγος, εἰ μὲν δικανικός ἐστι, στασιάζεται καὶ ποιεῖ τὰς δώδεκα στάσεις, στοχασμόν, ὅρον, ἀντίληψιν, ἀντίστασιν, ἀντέγκλημα, μετάστασιν, συγγνώμην, καὶ τὰς νομικὰς τέσσαρας, ῥητὸν καὶ διάνοιαν, ἀντινομίαν, συλλογισμὸν καὶ [11] ἀμφιβολίαν, καὶ ἐπὶ τούτοις τὴν μετάληψιν, ἥτις ἐστὶν ἡ μὲν ἔγγραφος, [12] ἡ ἀπὸ ῥητοῦ καὶ περὶ ῥητὸν τὴν ζήτησιν ἔχουσα, οἷον δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι, κρινόμενός τις [13] φόνου ἀπέφυγεν, ὕστερον χρωμένῳ αὐτῷ ὁ θεὸς ἀνεῖλεν, ἀνδροφόνοις οὐ χρῶ, καὶ πάλιν ἕλκεται εἰς δικαστήριον. ἐνταῦθα γάρ ἐστιν ἀπαγωγὴ τῆς ἐνθυδικίας, καὶ ἔστιν ἡ ζήτησις καὶ ἀπὸ ῥητοῦ καὶ περὶ ῥητόν· ἀπὸ ῥητοῦ μέν, ὅτι δὶς περὶ τῶν αὐτῶν δίκας μὴ εἶναι, περὶ ῥητὸν δὲ, ὅτι περὶ τοῦτο γίνεται ἡ ζήτησις, τί [14] δηλοῖ, καὶ ὁ μὲν φεύγων φήσει, ὅτι δίκας τὰς κρίσεις λέγει, ὁ δὲ διώκων [15] ἐρεῖ, ὅτι δίκας τὰς τιμωρίας λέγει, καὶ ἔστιν ἡ πρώτη ζήτησις κατὰ ἀμφιβολίαν, τουτὶ σημαίνει τὸ δίκας· ἡ δὲ δευτέρα κατὰ στοχασμὸν, εἰ ἐφόνευσε δήπου, πάλιν κρινόντων τῶν δικαστῶν, καὶ αὕτη μὲν ἡ ἔγγραφος μετάληψις, ἥτις οὐδὲ ἴδια κεφάλαια ἔχει, ἀλλὰ τὰ τῶν στάσεων ἐκείνων κεφάλαια, ἐξ ὧν καὶ συνίσταται· ἡ δὲ ἄγραφός ἐστιν, ἥτις ἀπὸ ῥητοῦ μὲν τὴν ζήτησιν ἔχει, οὐ μὴν δὴ [16] καὶ περὶ ῥη-

---

10 Vat. καὶ ἄλλα. 11 καὶ Vat. om. 12 Vat. ἔγγραφος; Ven. ἄγραφος. 13 τις Vat. om. 14 Vat. τί Ven. τοῦ. 15 Vat. ὁ δὲ διώκων, ὅτι τὰς τιμωρίας. 16 Vat. δέ.

ῥητόν· δέχεται γὰρ τὸ ῥητὸν ὁ ἀκούων, καὶ οὐδεμία ἀμφισβήτησις γίνεται περὶ τούτου· μεταλαμβάνει δὲ ἔξωθεν ἔν τι τῶν περιστατικῶν, οἷον [17] ἢ πρόσωπον ἢ πρᾶγμα, ἢ χρόνον, ἢ τρόπον, ἢ τόπον, ἢ αἰτίαν· οἷον ἔξεστιν ἀποκτιννύναι καὶ τὸν μοιχὸν καὶ τὴν μοιχευομένην· ἀπέκτεινέ [18] τις ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν μόνον, καὶ τὴν μοιχευομένην εὑρὼν ὕστερον ἐπὶ τῷ τάφῳ δακρύουσαν τοῦ μοιχοῦ ἀπέκτεινε καὶ αὐτήν, καὶ κρίνεται φόνου· ἐνταῦθα γὰρ τὸν [19] μὲν νόμον δέχεται ὁ διώκων, προβαλλομένου τοῦτον τοῦ φεύγοντος, καὶ τὴν κρίσιν παρακρουομένου· τὸν χρόνον δὲ ἢ τὸν τόπον αἰτιᾶται· ὁμοίως καὶ εἴπερ ἡ ἐρωμένη [20] κατὰ νόμον ἀπέκτεινε, τὸ πρόσωπον αἰτιάσεται· καὶ εἰ ἄλλό τι ποιοῦντα παρὰ τὴν μοιχείαν ἀπέκτεινε, [21] τὸν μὲν νόμον συγχωρήσει, τὸ δὲ πρᾶγμα αἰτιάσεται, καὶ εἰ ἄλλως ἐτιμωρήσατο, καὶ οὐ κατὰ τὸν νόμον, τὸν τρόπον αἰτιάσεται· καὶ εἰ δι' ἑτέραν αἰτίαν, τὴν αἰτίαν· τὸν δὲ νόμον ἐπὶ πᾶσι δέξεται, διὰ τοῦτο καὶ ἡ μετάληψις αὕτη ἄγραφος λέγεται, ὅτι ἀπὸ ῥητοῦ, οὐ μὴν δὲ καὶ περὶ ῥητὸν τὴν ζήτησιν ἔχει. [22] Καὶ αὗται μὲν αἱ δώδεκα στάσεις τοῦ δικανικοῦ εἴδους εἰσὶ, μόνη δὲ ἡ πραγματικὴ τοῦ συμβουλευτικοῦ εἴδους ἐστὶ, καὶ ἔχει τὰ τελικὰ κεφάλαια, τὸ νόμιμον, τὸ [23] δίκαιον, τὸ συμφέρον, τὸ δυνατὸν, τὸ ἔνδοξον, τὸ ἀποβησόμενον· ἔστι δὲ καὶ αὐτὴ ἡ μὲν [24] ἔγγραφος, ἡ δὲ ἄγραφος· οἷον νόμος ἦν, ἐν τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι. Ἐλάτειαν καταλαβόντος Φιλίππου συμβουλεύει Δημοσθένης λελύσθαι τὸν νό-

17 οἷον ἢ πρόσωπον — αἰτίαν, οἷον Vat. om. 18 ἀπέκτεινέ τις — τὴν μοιχευομένην Vat. om. 19 Vat. τὸ μὲν μόνον. 20 Vat. ἱερώμενοι. 21 ἀπέκτεινε Vat. om. 22 Vat. ἔχει τὴν ζήτησιν. 23 τὸ ante δίκαιον et sqq. quinquies om. Vat. 24 Vat. καὶ ἔγγραφος καὶ ἄγραφος, ἡ μὲν ἔγγραφος, νόμος ἦν.

μον· ἡ δὲ ἄγραφος νόμιμον μὲν οὐκ ἔχει κεφάλαιον, τῷ δὲ ἔθει ἀντὶ νόμου χρήσεται· οἷον Κλέων μετὰ τὰ κατὰ Πύλον Πύθιος ἀξιοῖ καλεῖσθαι, συμβουλεύει τις τοῦτο γίνεσθαι, ἐπεὶ καὶ Περικλῆς ἄλλοτε Ὀλύμπιος ἐκλήθη, τοῦτο δὲ ἔθος καὶ οὐ νόμος· καὶ οὕτω μὲν ὁ πολιτικὸς λόγος, εἴτε δικανικός ἐστιν,[25] εἴτε συμβουλευτικὸς, στασιασθήσεται· ὁ δέ γε[26] πανηγυρικὸς οὐ στασιάζεται ὁλοτελῶς· ἐπαινουμένου γάρ τινος ἐν πανηγύρει, τίς χρεία ἀντιλέγειν τινά; εἰ δέ γε πολλάκις ἐστὶ τὸ πανηγυρικὸν, ὡς μέρος τοῦ συμβουλευτικοῦ ἢ τοῦ δικανικοῦ στασιασθήσεται καὶ αὐτὸ, οἷον βουλεύονται Ἀθηναῖοι περὶ Νικίου, εἰ δεῖ πεμφθῆναι αὐτὸν εἰς Σικελίαν στρατηγόν· ἐνταῦθα γὰρ τὸ συμβουλευτικὸν πάντως στασιάζεται, πλὴν ἐπεὶ ὁ ἀξιῶν πεμφθῆναι αὐτὸν[27] ἐκ τῶν ἐγκωμιαστικῶν τόπων αὐξήσει τὸ κλέος αὐτῷ, ἔχει ὁ ἀντιλέγων εἰς ψόγον θεῖναι κατ' ἐκείνου τοὺς ἐγκωμιαστικοὺς τόπους καὶ περᾶναι τὴν συμβουλὴν, ὡς οὐκ ἄξιόν ἐστιν ἀποσταλῆναι. Ὁ τοιοῦτος πολιτικὸς λόγος ἔχει προοίμια, διηγήσεις, ἀγῶνας, ἐπιλόγους, καὶ τὰ μὲν προοίμια λαμβάνονται[28] ἐξ ὑπολήψεως, ἐξ ὑποδιαιρέσεως, ἐκ περιουσίας, καὶ[29] ἀπὸ καιροῦ. ταῦτα δέ εἰσιν ἰδικὰ προοίμια ἐπὶ τοῖς πολιτικοῖς[30] ζητήμασι καὶ οὐκ ἐπὶ πᾶσι τοῖς λόγοις ἁπλῶς, καὶ τὰ μὲν ἐξ ὑπολήψεως οὕτως εἰσὶν[31] ἢ ἀπὸ πράγματος ἢ ἀπὸ προσώπου, καὶ τὸ μὲν πρᾶγμα ὑπολαμβάνεται ἢ χρηστὸν ἢ φαῦλον, ὅθεν καὶ τὰ προοίμια λήψει, τὸ δὲ πρόσωπον ἢ οἱ δικάζοντές εἰσιν, ἢ οἱ κατηγοροῦντες ἢ ἀπολογούμενοι, δηλονότι οἱ συνήγοροι, ἢ οἱ ἔχοντες τὰ ἐγκλήματα, ἢ οἱ ἔξωθεν ἐμφαινόμενοι, οἷον Φίλιππος, ἢ πολέμιοι. οἱ τοίνυν δικάζοντες οὐκ ἔχουσιν

---

25 ἐστιν Vat. om. 26 γε Vat. om. 27 πεμφθῆναι αὐτὸν Vat. om. 28 Vat. λαμβάνεται. 29 καὶ Vat. om. 30 Ven. πολικοῖς. 31 οὕτως εἰσὶν Vat. om.

ἰδίας ὑπολήψεις. εἰ δ' ἐμφαίνεται δωροδοκία ἐν τούτοις, ἀλλ' ἄδοξόν ἐστι τὸ περὶ τούτου λέγειν, ὅθεν ἐμπλέκεται [32] τῇ ὑπολήψει τῶν δικαζόντων ἡ τοῦ πράγματος ὑπόληψις, ἤ τις εἰ μὲν χρηστή ἐστιν, εἰκὸς ἐστὶ γεγηθέναι τούτους καὶ ἀγάλλεσθαι, εἰ δὲ φαύλη, εἰκὸς ἐστι τούτους ἢ μισεῖν ἢ ἐλεεῖν τὸν πράξαντα, ἢ ἀμφότερα πάσχειν· ἐκ τούτων οὖν τὰ προοίμια ληφθήσεται, οἱ δὲ κατηγοροῦντες ἔχουσιν ὑπολήψεις, ὡς ἢ ἔχθρας χάριν ἢ φθόνου λέγοντες. Τὸν γοῦν φθόνον ἀποκρουστέον πανταχοῦ, τὴν δὲ ἔχθραν, εἰ μὲν πρὸς ὑπερέχον πρόσωπόν ἐστιν ὁ ἀγών, οὐχ ὁμολογητέον, εἰ δὲ εἰς ἴσον, καὶ ὅτι φθάσας τις ἠδικήθη παρ' ἐκείνου, ὁμολογητέον· ὁμοίως οἱ ἀπολογούμενοι ἔχουσιν ὑπολήψεις ἢ εὐνοίας χάριν ἢ κέρδους λέγοντες. Τὸ γοῦν κέρδος ἀποκρουστέον, εἰ μήπως πιθανῶς λέγεις, [33] ὅτι κέρδος ὁμολογῶ λαμβάνειν τῶν λόγων καὶ μισθὸν μέγαν τὴν σωτηρίαν τῆς πόλεως, τὴν δὲ εὔνοιαν ὁμολογητέον. Ὁμοίως οἱ ἔχοντες τὰ ἐγκλήματα ὑπολήψεις ἔχουσιν ἢ χρηστὰς ἢ φαύλας· ἐὰν μὲν οὖν κατηγορῶμεν, τὰς μὲν χρηστὰς διαλύσομεν, τὰς δὲ φαύλας βεβαιώσομεν· εἰ δὲ ἀπολογούμεθα, τὰς μὲν χρηστὰς βεβαιώσομεν, τὰς δὲ φαύλας διαλύσομεν· οἱ μέντοιγε [34] ἔξωθεν ἐμφαινόμενοι ὑπολήψεις ἔχουσι τοῦ θέλειν ποιεῖν ἡμᾶς τὰ ἐκείνοις συνοίσοντα. Ἀξιώσομεν γοῦν προοιμιαζόμενοι μὴ τοιαῦτα ποιεῖν, ἃ οἱ πολέμιοι εὔξαιντ' ἂν γενέσθαι παρ' ἡμῶν, [35] καὶ οὕτως πληροῦνται τὰ ἐξ ὑπολήψεως προοίμια· [36] τὰ δὲ ἐξ [37] ὑποδιαιρέσεως τριχῶς γίνονται, ἢ ὅταν δύο ἐγκλήματα ὦσι δυνάμενα κρίσιν ἀναδέξασθαι· καὶ ὑποδιαιροῦντες τὸ μὲν ἓν κατὰ παράληψιν λέγωμεν, θάτερον δὲ κρίνωμεν, ἢ ὅταν ἴδιαι παρακολουθῶσιν [38] ὑπολήψεις τοῖς κρινομέ-

32 Vat. πλέκειαι. 33 Vat. λέγεις. 34 γε Vat. om. 35 γενέσθαι παρ' ἡμῶν Vat. om. 36 προοίμια Vat. om. per lacunam. 37 δ' ἐξ Vat. omisso sq. γίνονται. 38 Ven.

νοις προσώποις, καὶ ταύτας μὲν κατὰ παράληψιν λέγωμεν· τὸ δὲ προκείμενον προβαλλώμεθα, ἢ ὅταν ὑποδιαιρῶμεν τὸ παρὸν ἔγκλημα πρὸς τὸ μέλλον· δίκαιον γάρ ἐστι, λέγοντες, δοῦναι δίκην τὸν τολμήσαντα καὶ διὰ τὴν πρᾶξιν αὐτοῦ καὶ ἵνα μὴ πάλιν εἰς τὸ μέλλον ἐνεργηθῇ, τὰ δὲ ἐκ περιουσίας ἔν τε κατηγορίαις καὶ ἐν ἀπολογίαις εὑρίσκονται· ἐὰν γὰρ φόνον κατηγοροῦντές τινος λέγωμεν, ἠδυνάμην καὶ δημοσίων κρίνειν ἀδικημάτων, τὸ ἐκ περιουσίας ποιοῦμεν προοίμιον· πλὴν μικροτέρου κρίνοντας δεῖ λέγειν, ὅτι καὶ μείζονος ἠδυνάμην, οὐ μὴν τὸ ἀνάπαλιν, ἄτεχνον γάρ. τῷ γὰρ μείζονος κατηγοροῦντι οὐ χρεία τοῦ ἐλάττονος μνημονεύειν· ἐν δὲ ταῖς ἀπολογίαις σαφέστερον εἴρηται,[39] λέγοντος τοῦ ἀπολογουμένου, ὅτι ἐγὼ μὲν καὶ στεφάνους ἐξεδεχόμην, μήτοι γε δὴ κρίσεις καὶ εὐθύνας. Τὸ δ' ἀπὸ καιροῦ προοίμιον[40] ἔστιν ὅτε τὴν ἀξίωσεν αὐτὴν, ἣν προβαλλόμεθα, τρόπον τινὰ δεικνύομεν πεποιηκότας τοὺς πρὸς οὓς ἡ ἀξίωσις· ἐγὼ μὲν οὖν νῦν ἀξιῶ περὶ τούτου, λέγοντες, ὑμεῖς δὲ εἰ σκέψοισθε, εὑρήσετε, καὶ πρὸ χρόνου πεποιημένην αὐτὴν παρ' ὑμῶν, καὶ οὕτω πεπλήρωται ἡ χρεία τῶν προοιμίων. Τὸ δὲ τέλειον προοίμιον σύγκειται ἐκ προτάσεως, κατασκευῆς, ἀποδόσεως καὶ βάσεως, ἥτις ἐστὶ σύνδεσμος τῆς τε προτάσεως καὶ τῆς ἀποδόσεως, ὑπεξαιρουμένης τῆς κατασκευῆς· ὅτε δὲ καὶ ἐπιφωνηματικὴ εἰσάγεται, πανηγυρικὸν τὸ προοίμιον λέγεται· ἐπιφώνημα δέ ἐστι τολμηρὸν μὲν διανόημα, ὅμως δὲ ἔχεται τῶν προηγησαμένων· καὶ οὐκ ἀλλότριόν ἐστι τοῦ πράγματος· οἷον τὰ μὲν τούτῳ πεπραγμένα λέληθεν ὑμῶν οὐδένα· τοῦτο ἡ πρότασις· οὐδὲ γὰρ μικρά ἐστιν, ὥστε ἀφανῆ διαμεῖναι· τοῦτο ἡ κατασκευή· δεῖ δὲ ὑμᾶς μὴ

---

παρακολουθοῦσιν. Vat. παρακολουθῶσιν. 39 Vat. εἴρηται.
40 προοίμιον Vat. om.

ἀμβλεῖς φανῆναι πρὸς [41] τὸν ἀδικήσαντα, τοῦτο ἡ ἀξίωσις, δι' ὃν ἄθεσμοι πράξεις, δι' ὃν ἀσεβεῖς μυσαρίαι, δι' ὃν σατανικὰ ἔργα προέβησε· τοῦτο ἡ ἐπιφωνηματικὴ βάσις· τὸ γὰρ σατανικὸν καὶ ἀλλότριον τοῦ πράγματός ἐστι, καὶ αἰθις τῶν πραγμάτων ἐξέρχεται, καὶ οὕτως πληροῦνται τὰ περὶ τῶν προοιμίων τοῦ πολιτικοῦ λόγου. αἱ δὲ διηγήσεις εὕρεσιν μὲν οὐκ ἔχουσι, τὰ πραχθέντα δὲ [42] λεγόμενα διηγήσεις γίνονται· εὑρίσκονται δὲ προδιηγήσεις αὐτῶν ἐκ τῶν ἀρχαιοτέρων καὶ πρεσβυτέρων τῶν ὑποθέσεων εἴτι γέγονε, καὶ χρήσιμόν ἐστι πρὸς τὰ παρόντα· πλατυσμὸς δὲ διηγήσεως ἐκ τῆς τέχνης εὑρίσκεται· πλατύνεται δέ, ἢ ἐξ ὧν οὐκ εἶπεν, ἢ ἐξ ὧν εἶπεν, ἢ ἐξ ὧν οὐκ ἔπραξε καὶ ἐξ ὧν ἔπραξε· καὶ ἐκ τῶν λογισμῶν, οἷον [43] ὁρῶν γὰρ καὶ λογιζόμενος, ὡς εἰ τόδε ποιήσειε, [44] γενήσεται τό, εἰ δὲ τὸ ποιήσειεν, ἀποβήσεται τὸ, ταῦτα λογισάμενος ἐποίησε τοῦτο· ταῦτα δὲ διὰ πολλῶν καὶ ταυτοσήμων κώλων καὶ λέξεων πλατυνεῖς, καὶ ἡ μὲν ἁπλῆ διήγησις ἀπέριττός ἐστιν, [45] ἡ δὲ ἐνδιάσκευος τρόποις πλατύνεται. Τρίτον μέρος τοῦ πολιτικοῦ λόγου οἱ ἀγῶνες εἰσὶ, καὶ οὗτοι δέχονται τὰ τῶν εἰρημένων στάσεων κεφάλαια, ἃ δὴ ἐπιχειρήμασιν, ὡς εἴρηται, καὶ ἐργασίαις καὶ ἐνθυμήμασι καὶ ἐπενθυμήμασι καὶ τοῖς πλαστοῖς πολλάκις κατασκευάζονται· πλὴν οὐ πᾶσι τούτοις καθ' ἕκαστον κεφάλαιον, ἄπειρος γὰρ ὁ πλατυσμὸς γενήσεται· ἀλλ' ἀρκεῖ καὶ ἓν ἐπιχείρημα ἢ καὶ δεύτερον, καὶ μία ἐργασία ἢ καὶ δευτέρα, καὶ ἐνθύμημα ἓν ἢ καὶ πλείονα, καὶ οὕτω κατασκευασθήσεται τὸ κεφάλαιον, περὶ ὧν κεφαλαίων ἑκάστης στάσεως ἐν τοῖς [46] ἑξῆς ἐροῦμεν. Τοὺς δὲ ἐπιλόγους οὐ χρεία ἐστὶ πλατύνειν εἰ πλασματῶδές ἐστι τὸ ζήτημα· εἰ δ ἀληθινὸν, ἐπὶ τοσοῦτον ἐκ-

41 Vat. περί. 42 Vat. τὰ γὰρ πραχθέντα λεγ. 43 οἷον Vat. om. 44 Ven. ποιήσει. Vat. ποιήσειε. 45 Vat. ἐστί. 46 ἐν τοῖς Vat. om.

τείνονται ὥστε καὶ δευτερολογίαν γίνεσθαι τούτους, ἀνακεφαλαιουμένων ἡμῶν ὅσα ἐν τοῖς ἀγῶσι προαπεδείξαμεν, καὶ ἐπιτρεχόντων, καὶ κοινὸν τόπον ποιούντων, κατά τε τοῦ ἐγκλήματος καὶ τοῦ πράξαντος. τῶν δ' αὖ ἀπολογουμένων καὶ αὐτῶν ἀνακεφαλαιούντων ὅσα ἐν τοῖς ἀγῶσιν ἐρρήθη, καὶ ἐλεεινολογουμένων, καθ' ὅσον οἷόν τε, καὶ ἐξαιρούντων ἢ μειούντων τὸ ἔγκλημα. Ὁ τοιοῦτος πολιτικὸς λόγος καὶ πρόσωπα ἔχει καὶ πράγματα, καὶ ἰσχυροτάτην[47] μὲν δύναμιν ἔχουσι τὰ ὡρισμένα καὶ κύρια, οἷον[48] Περικλῆς, Δημοσθένης, δευτέραν τὰ πρός τι, οἷον πατὴρ, υἱὸς, δοῦλος, δεσπότης· τρίτην τὰ διαβεβλημένα, οἷον ἄσωτοι, κόλακες· τετάρτην τὰ ἠθικά, οἷον γεωργοὶ, λίχνοι· πέμπτην τὰ κατὰ συμπλοκὴν δύο[49] προσηγοριῶν, οἷον νέος πλούσιος· ἕκτην τὰ κατὰ συμπλοκὴν προσώπου καὶ πράγματος, οἷον μειράκιον καλλωπιζόμενον· ἑβδόμην τὰ ἁπλᾶ προσηγορικὰ, οἷον ῥήτωρ, στρατηγὸς, πρεσβευτής. Ὁμοίως ἔχουσι καὶ τὰ πράγματα· πρώτη τάξις αὐτῶν, εἰ ἐξ ὧν αὐτός τις ἐποίησε, κρίνεται· δευτέρα, εἰ ἐξ ὧν ἕτεροι πεποιήκασι καὶ ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται· οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ προδοσίας φεύγει· τρίτη, εἰ ἐξ ὧν ἕτεροι πεποιήκασι, καὶ οὐκ ἄντικρυς εἰς αὐτὸν ἀναφέρεται· οἷον Περικλῆς ἔγραψεν ἐν τοῖς λογισμοῖς, ὅτι εἰς δέον ἀνήλωσε πεντήκοντα τάλαντα, καὶ Ἀρχίδαμος ἐν Λακεδαίμονι δώρων φεύγει, διότι τοὺς ἀγροὺς αὐτοῦ οὐκ ἐδήωσε· τὸ γὰρ τοιοῦτον οὐκ εἰς αὐτὸν ἄντικρυς ἀναφέρεται τὸν Ἀρχίδαμον· ὅμως διὸ οὐκ ἐδήωσε τοὺς ἀγροὺς ὑποπτεύεται. Εἰ γοῦν ἀφανὲς εἴη τὸ κρινόμενον, ζητοῦμεν τὸ εἰ ἔστι, καὶ ἔστι στοχασμὸς· ἔστι γὰρ στοχασμὸς

47 Ven. Vat. ἰσχυρωτάτην. 48 Vat. ἔχει. 48* οἷον Vat. om. septies. δοῦλος, δεσπότης Vat. om. 49 δύο Ven. om., recepi ex Vat.

ἀδήλου πράγματος ἔλεγχος ἀπό τινος φανεροῦ σημείου, ἢ ἐκ τῆς περὶ τὸ πρόσωπον ὑποψίας, οἷον σκηπτοῦ κατενεχθέντος ἐν τῇ Περικλέους οἰκίᾳ, εὑρηνται χίλιαι πανοπλίαι, καὶ τυραννίδος φεύγει· ἐνταῦθα γὰρ αἱ χίλιαι πανοπλίαι τὸ σημεῖον, τὸ δὲ πρόσωπον ὁ Περικλῆς, εἰ δὲ φανερὸν εἴη τὸ κρινόμενον καὶ ἀτελὲς, τὸ τί ἐστι ζητοῦμεν, καὶ ποιεῖ ὅρον· ἔστι δὲ ὅρος ὀνόματος ζήτησις περὶ πράγματος, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος, οἷον φιλόσοφος ἔπεισε τύραννον καταθέσθαι τὴν τυραννίδα, καὶ ζητεῖ τυραννοκτόνου γέρας· ἐνταῦθα γὰρ λείπει τὸ ἀποκτεῖναι τὸν τύραννον. Εἰ δέ ἐστι φανερὸν καὶ τέλειον, τὸ ὁποῖόν τι ζητοῦμεν, καὶ ἢ περὶ μέλλοντός ἐστιν, ἢ περὶ τοῦ ἤδη γεγονότος. καὶ εἰ περὶ μέλλοντος, ποιεῖ πραγματικήν· πραγματικὴ δέ ἐστιν ἀμφισβήτησις περὶ πράγματος μέλλοντος εἰ δεῖ γενέσθαι τι ἢ μὴ γενέσθαι, δοῦναι, ἢ μὴ δοῦναι· οἷον βουλεύονται Ἀθηναῖοι, εἰ χρὴ θάπτειν τοὺς ἐν Μαραθῶνι πεσόντας τῶν βαρβάρων· ἂν μέντοιγε πεπραγμένον εἴη, περὶ οὗ ἡ κρίσις, ἢ ἐρεῖ ὁ φεύγων πεποιηκέναι ὡς ἀδίκημα, ἢ οὔ· κἂν μὴ ὁμολογῇ τὸ πρᾶγμα ὡς ἀδίκημα, ποιεῖ ἀντίληψιν· ἔστι δὲ ἀνευθύνου πράγματος εἶναι δοκοῦντος, ὡς ὑπευθύνου κατηγορία· οἷον πορνοβοσκός τις ἔθετο ταῖς ἑταίραις [50] τὰ τῶν Μουσῶν ὀνόματα· εἰ δὴ ὁμολογῇ ὡς ἀδίκημα, ἢ εἰς ἑαυτὸν ἀναδέχεται τοῦτο, ἀντιτίθησι δὲ εὐεργέτημα, δι' αὐτοῦ τοῦ ἀδικήματος πεπραγμένον, καὶ ποιεῖ ἀντίστασιν, οἷον ἐν λιμῷ καὶ πολιορκίᾳ στρατηγὸς ἔλαθε τὸ τεῖχος διακόψας ἐξελθεῖν καὶ νικῆσαι· ἢ εἰς αὐτὸν τὸν παθόντα τὴν αἰτίαν τίθησι, καὶ ποιεῖ ἀντέγκλημα, οἷον ἀρίστευς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε καὶ φόνου φεύγει· ἢ μεθιστᾷ εἴς τι τῶν ἔξωθεν, κἀκεῖνο ἢ ὑπεύθυνόν ἐστι καὶ γίνεται μετάστασις, οἷον πρεσβευτὴς μὴ λαβὼν τὰς χιλίας δραχμὰς τοῦ τα-

50 Ven. ἑτέραις.

μίου μὴ διδόντος ὑπερέθετο τὰ τῆς πρεσβείας· ἐνταῦθα γὰρ μεθίστησι τὸ ἀδίκημα εἰς τὸν ταμίαν· ἢ ἀνεύθυνόν ἐστιν, εἰς ὃ μεθιστᾷ τὸ ἀδίκημα καὶ ποιεῖ συγγνώμην, οἷον χειμὼν ἢ βάσανοι ἢ ἀγριαίνουσα θάλασσα· εἰσὶ δὲ καὶ αἱ τέσσαρες νομικαὶ, οἷον ῥητὸν καὶ διάνοια, οἷον, ξένας εἰ ἀνέλθοι ἐπὶ τὸ τεῖχος, τεθνάτω· οὗτος ὁ νόμος· ἀνελθών τις ἠρίστευσε[51], καὶ ὑπάγεται τῷ νόμῳ. Ἀντινομία, οἷον ὁ ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπότης ἔστω τῆς νηός· ἀποκήρυκτος ἐπέμεινε πατρῴᾳ νηΐ, καὶ εἴργεται αὐτῆς ὡς πατρῴας· ἐνταῦθα οὐκ εἰσὶν οἱ νόμοι φύσει ἐναντίοι, ἀλλὰ κατὰ περίστασιν· προσώπου ὄντος τοῦ ἀποκηρύκτου· συλλογισμὸς, ἐν ᾧ συνάγεται τὸ ἄγραφον τῷ ἐγγράφῳ, οἷον τὸν ἐκ πόρνης μὴ λέγειν· ἐκ πόρνου τις γέγονὼς κωλύεται λέγειν· ἡ δὲ ἀμφιβολία ἢ περὶ προσῳδίαν ἐστὶν, ἢ περὶ διάστασιν συλλαβῶν· οἷον ἦσάν τῳ παῖδες Λέων καὶ Πανταλέων· καὶ διέθετο, ἐχέτω τὰ ἐμὰ πάντα Λέων· ἑκάτερος ἀντιποιεῖται πάντων, ὁ μὲν ὑφ' ἕν ἀναγινώσκων, ὁ δὲ τὰς συλλαβὰς διϊστάς· ἐπὶ τούτοις ἐστὶ καὶ ἡ μετάληψις, ἡ τῆς εὐθυδικίας ἀπαγωγὴ, περὶ ἧς καὶ προείπομεν· ἀλλ' ἀναληπτέον μιᾶς ἑκάστης τὰ κεφάλαια. Ὁ στοχασμὸς διαιρεῖται παραγραφικῷ, ὅτε ἐξ ὧν ἕτεροι πεποιήκασι κρίνηταί τις· ἐλέγχων ἀπαιτήσει, ὅτι, τίς ὁ ἰδών; ἢ τί ἰδών, πότε, καὶ τὰ ἕτερα περιστατικά· εἰσὶ δὲ ταῦτα τοῦ φεύγοντος, βουλήσει, δυνάμει, καὶ εἰσὶ ταῦτα κοινὰ καὶ τοῦ κατηγόρου· τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἅπερ εἰσὶ τοῦ κατηγόρου· αὐτὸ λέγω τὸ σημεῖον αἱ χίλιαι πανοπλίαι· ἀντιλήψει τοῦ φεύγοντος· ὅτι ἐξῆν ἔχειν πανοπλίας, πρὸς γὰρ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἵσταται ἡ ἀντίληψις· ἡ δὲ μετάληψις τοῦ διώκοντος πρὸς αὐτὴν, κατά τε ἔνστασιν καὶ ἀντιπαράστασιν εἰσαγομένη· ὅτι οὐκ ἔξεστιν, εἰ δὲ καὶ ἔξε-

51 Ven. ἠρίστησε et v. 8. ἀντονομία.

στιν, ἀλλ᾽ οὐχ οὕτως κρυφίως· τῇ μεταθέσει τῆς αἰτίας, ὅτι δι᾽ αἰτίαν τοιάνδε καὶ οὐ διὰ τυραννίδα εἶχον τὰς πανοπλίας· ἢ ὡς ὁ θάπτων τὸ νεοσφαγὲς σῶμα ἐρεῖ, ὅτι ἐλεήσας ἔθαψα. Ἔστι δὲ τοῦ φεύγοντος τὸ κεφάλαιον· ὁμοίως καὶ ἡ ἐπὶ ταύτῃ πιθανὴ ἀπολογία· καὶ μὴν εἰ ἐφόνευσα, οὐκ ἂν ἔθαπτον, καὶ περιήργουν ἐκεῖσε, ἵνα θεαθῶ· ἐπὶ τούτοις ἐστὶ καὶ τὸ ἐπιλογικὸν κεφάλαιον, ἡ κοινὴ ποιότης, ὅπερ ἐστὶ καὶ αὐτὸ κοινόν· ἐξετάζεται γὰρ ἡ ποιότης τοῦ πράγματος ἢ καὶ τοῦ προσώπου, εἰ ὡρισμένον μᾶλλόν ἐστι· καὶ ταῦτα μὲν περὶ στοχασμοῦ.

Ὁ δὲ ὅρος καὶ αὐτὸς διαιρεῖται προβολῇ, δηλονότι αὐξήσει τινὶ μετρίᾳ τοῦ πράγματος· καὶ εἰ μέν ἐστι κατὰ αἴτησιν δωρεᾶς ἡ προβολή, καὶ τὰ τοῦ διώκοντος κεφάλαια τῷ αἰτοῦντι ἀποκληρωθήσονται· εἰ δὲ κατὰ φυγὴν καὶ δίωξιν, τῷ διώκοντι, τὰ δὲ λοιπὰ ὥσπερ ἐκεῖ τῷ ἀντιλέγοντι, οὕτως ἐνταῦθα τῷ φεύγοντι· ὅρῳ, ὃς ἐστιν ἐκ τῶν παρειμένων καὶ ἔστι τοῦ φεύγοντος· ἀνθορισμῷ καὶ συλλογισμῷ, καὶ εἰσὶ ταῦτα τοῦ διώκοντος, ἐκ τῶν πεπραγμένων συνάγοντος τὰ παρειμένα τοῖς πεπραγμένοις· γνώμη νομοθέτου κοινή, πρὸς τὸ οἰκεῖον συμφέρον ἐξηγουμένου ἑκατέρου τὸ ῥητόν· πηλικότητι καὶ πρός τι, ἅτινά ἐστι τοῦ αἰτοῦντος τὴν δωρεάν, ἢ μὴν τοῦ κατηγόρου, ἐν μὲν τῇ πηλικότητι αὔξοντος τὸ πραχθέν· καὶ ὅσα οὐκ εἶπεν ἐν τῇ προβολῇ, ἵνα μὴ αὐθάδη δόξῃ, ἐν ταύτῃ λέγοντος ἐν αὐξήσει τελείᾳ, ἐν δὲ τῷ πρός τι συγκρίνοντος τοῦ φιλοσόφου τό τε παρειμένον, ἤγουν τὸν φόβον τοῦ τυράννου, καὶ τὸ πεπραγμένον, ὅπερ ἐστὶν ἡ τῆς τυραννίδος ἀπόθεσις, καὶ μεῖζον ἐκείνου τὸ τοιοῦτον δεικνύντος, μιᾷ τῶν ἀντιθετικῶν πολλάκις, ἥτις ἐμπέσοι, ἐπεὶ ἡ μετάληψις ποῦ μὲν τῇ ἀντιλήψει μάχεται, ποῦ δὲ τῇ ἀντιθέσει· εὑρεθήσεται καὶ μετάληψις, ἢ ἐνστατικῶς ἢ παραστατικῶς· καὶ εὐθὺς πάλιν παρὰ τοῦ φεύγοντος ἡ ἀντίληψις· εἶτα ποιότητι καὶ γνώμῃ, καὶ ἡ μὲν

γνώμη ἐστὶ προσωπικὴ, ζητούντων ἡμῶν, μεθ' ἧς γνώμης διεπράξατο τὸ πραχθὲν, καὶ ὁ μὲν κατήγορος ἐρεῖ, ὡς κακότροπος ὤν, ὁ δὲ φεύγων, ὅτι ἀναγκασθείς· ἡ δὲ ποιότης καὶ προσωπικὴ, εἰ ὡρισμένον ἐστὶ τὸ πρόσωπον, καὶ πραγματικὴ ὡς αὐξησάντων ἡμῶν, καὶ ἔστι ταῦτα κοινὰ τὰ κεφάλαια. Εὐθύς ἐστιν ἀντίληψις, ἥτις ἔχει κεφάλαια προβολὴν τοῦ κατηγόρου, μόριον δικαίου ἐκ τῶν τεσσάρων ἑνὸς, ἤγουν δικαιολογίας· ἢ γὰρ ἀπὸ τέχνης, ὡς ὁ ζωγράφος, ἢ ἀπὸ φύσεως, ὡς ὁ γελάσας παῖς ὀλισθήσαντος τοῦ πατρὸς, ἢ ἀπὸ νόμου, ἢ ἀπὸ τοῦ μὴ κεκωλύσθαι, ὡς ἐπὶ τοῦ πορνοβοσκοῦ τοῦ θέντος ταῖς ἑταίραις τὰ τῶν Μουσῶν ὀνόματα· τὸ γοῦν παρὸν μόριον καὶ τὸ ἑξῆς κεφάλαιον τὸ πρόσωπον ἐνίοτε ἐμπίπτον καὶ οὐ πάντοτε, ἐν παραγραφικοῦ μοίρᾳ τέτακται, ὡς ὁ ζωγράφος ἐρεῖ, καὶ ὅτι ἐξῆν γράφειν, καὶ ὅτι οὐκ ἔστιν αὐτὸς πρόσωπον τοιοῦτον, οἷον ὑπολάβοι τις ἀδικεῖν δημοσίᾳ· καὶ εὐθὺς εἰσάγεται ὁ ὅρος ἐκ τῶν παρειμένων, ὅτι πάντως οὐ προδέδωκα ναῦς, οὐ μυστήρια ἐξεῖπον τῆς πόλεως, πρὸς ὃν ὁ ἐκ τῶν πεπραγμένων ἀνθορισμὸς καὶ ὁ συλλογισμὸς καὶ τὰ ἑξῆς μέχρι τοῦ πρός τι· εἶτα ἕπεται ἡ ἀντίληψις, τὰ αὐτὰ λέγουσα τῷ τοῦ δικαίου μορίῳ, πλὴν ἰσχυροτέρως [52] καὶ ἀστατικωτέρως, πρὸς ἣν ἡ μετάληψις εἰσαχθήσεται παρὰ τοῦ κατηγόρου, καὶ εὐθὺς παρὰ τοῦ φεύγοντος ἀντίθεσις, ἐνταῦθα ἀντιστατικῶς λέγοντος τοῦ ζωγράφου, ὡς ὑπὲρ αὐτῶν τῶν πλεόντων πεποίηκα· εἶτα ἑτέρα μετάληψις πρὸς αὐτὴν, ὅτι ἄλλως ἔδει τοῖς πλέουσι βοηθεῖν, παραινοῦντα, παρακαλοῦντα, καὶ εὐθὺς ἡ θέσις κοινή· εἰ δεῖ ἐπιτρέπειν τοῖς θέλουσι τοιαῦτα τὴν πόλιν λυμαίνεσθαι, καὶ πάλιν εἰ δεῖ ἐπιτρέπειν τοῖς συκοφάνταις τοιαῦτα τοὺς πολίτας διαβάλλειν· εἶτα ἐπιλογικὰ κεφάλαια, ποιότης καὶ γνώμη, ὡς ἐν τῷ ὅρῳ ἐδείξαμεν. Αἱ δὲ τέσσαρες ἀντιθετικαὶ μίαν καὶ τὴν

52 Ven. ἰσχυρωτέρως.

αὐτὴν διαίρεσιν ἔχουσι πλὴν τοῦ ὁμωνύμου τῇ στάσει κεφαλαίου, ἤγουν τοῦ ἀντιστατικοῦ ἐν τῇ ἀντιστάσει καὶ τοῦ ἀντεγκληματικοῦ ἐν τῷ ἀντεγκλήματι, καὶ τῶν λοιπῶν· ἐν ταῖς λοιπαῖς δυσὶν ἀντιθετικαῖς τοίνυν ἔχουσι καὶ αὗται τὴν προβολήν, πρῶτον τοῦ κατηγόρου κεφάλαιον, ἔστιν ὅτε καὶ ὅρον παρὰ τοῦ φεύγοντος, ἐκ τῶν παρειμένων καὶ τούτου κειμένου· εὐθὺς ἑπόμενά εἰσι τὰ λοιπὰ μέχρι τοῦ πρός τι, καὶ τότε τίθεται ἡ διάνοια· ἔστι δὲ κοινή· ἐν ποίᾳ διανοίᾳ διέκοψεν ὁ στρατηγὸς τὸ τεῖχος; καὶ ἑκάτερος ἐρεῖ πρὸς τὸ οἰκεῖον συμφέρον· εἶτα τὸ ὁμώνυμον τῇ στάσει κεφάλαιον, οἷον ἀντιστατικὸν ἐν τῇ ἀντιστάσει, καὶ ταῖς λοιπαῖς τὸ ἑκάστῃ ὁμώνυμον, ὅτι ὑπὲρ τῶν πολιτῶν τὸ τεῖχος διέκοψα· καὶ εὐθὺς πρὸς αὐτὴν ἀεὶ εἰσάγεται ἡ μετάληψις· εἶθ' οὕτως πρός τι κοινόν, πότερον μεῖζον τὸ ἀδίκημα ἢ τὸ εὐεργέτημα· εἶτα ὅρος βίαιος, καὶ αὐτὸ τὸ κοινὸν κεφάλαιον, καὶ ὁ μὲν διώκων ἐρεῖ, ὅτι εἰ μὴ κατασκαφὴ τοῦτο τῆς πόλεως, παρὸ νίκη, ὁ δὲ φεύγων, εἰ μὴ ἀνάστασις τοῦτο τοῦ τείχους, παρὸ διακοπή· ἡ θέσις καὶ εὐθὺς ποιότης καὶ γνώμη ἀκόλουθοι. Ἡ μέντοι πραγματικὴ ὅπως διπλῆ ἐστιν, ἐρρήθη πρότερον, καὶ ποῖα ἔχει κεφάλαια. Τὸ γοῦν νόμιμον κατὰ μίαν τῶν νομικῶν διαιρεθήσειται στάσεων, ἐκ τῶν κεφαλαίων ἐκείνης συγκροτούμενον, περὶ ὧν αὐτίκα λέξομεν· τὸ δίκαιον αὖθις κατὰ μίαν τῶν δικαιολογικῶν, εἰσὶ δὲ δικαιολογικαὶ ἥ τε ἀντίληψις καὶ αἱ τέσσαρις ἀντιθετικαὶ, καὶ ἐκ τῶν κεφαλαίων τῆς ἀνηκούσης αὐτῷ διαιρεθήσεται, ὡς ἐγχωρεῖ, τὸ συμφέρον τί ποιοῦσιν ἡμῖν ἀπαντήσει, καὶ αὖθις τί μὴ ποιοῦσιν· ἑκάτερον δὲ τετραχῶς, οἷον εἰ προσλαβοίμεθα Ὄλυνθον, τὰ μὲν ὑπάρχοντα ἡμῖν ἀγαθὰ παραμενεῖ, τὰ δὲ μὴ ὑπάρχοντα προσέσται· καὶ τὰ μὲν ὑπάρχοντα κακὰ ἀπολεῖται, τὰ δὲ μὴ ὄντα καὶ προσδοκώμενα οὐ προσέσται· εἰ δ' οὐ προσλαβοίμεθα Ὄλυνθον, τὰ μὲν ὑπάρχοντα ἀγαθὰ ἀπολεῖται, τὰ

δὲ μὴ ὄντα καὶ προσδοκώμενα οὐ προσέσται· καὶ τὰ μὲν ὑπάρχοντα κακὰ παραμενεῖ, τὰ δὲ μὴ ὄντα, προσδοκώμενα δὲ ἐπελεύσονται. τούτοις δὲ οὐ πᾶσι χρησόμεθα· ἀλλά ταῦτα μὲν ἡ τέχνη ὑποβάλλει, ὁ δὲ ῥήτωρ κινεῖ τὰ ῥητέα, ὑπὸ τῆς ἱστορίας βοηθούμενος, ἐξ ἧς ἐρανίσεται καὶ τὰ ἀγαθὰ καὶ τὰ κακά. Καὶ τὸ ἔνδοξον ὁμοίως ὀκταχῶς μεταχειρισόμεθα, πλὴν ἐπὶ δόξης μόνης καὶ ἀδοξίας· καὶ οὐχ ἁπλῶς ἐπὶ ἀγαθῶν καὶ κακῶν, ποία δόξα παραμενεῖ ἢ προσέσται καὶ ποία οὐ παραμενεῖ ἢ οὐ προσέσται· ὁμοίως καὶ ποία ἀδοξία ἢ προσέσται ἢ παραμενεῖ, καὶ ἢ οὐ προσέσται ἢ οὐ παραμενεῖ· τὸ μέντοι γε δυνατὸν καὶ ἐκ τῶν ψυχικῶν καὶ ἐκ τῶν σωματικῶν καὶ ἐκ τῶν ἔξωθεν εἰσαχθήσεται· λοιπῷ τῷ ἐκβησομένῳ χρησόμεθα καθ' ὑπόθεσιν. Ψηφισώμεθα τὸν πόλεμον, κἂν νικήσωμεν, κἂν μὴ νικήσωμεν· συνοίσει γὰρ ἐπ' ἀμφότερα· ταῦτα δὲ λέξομεν ταῖς ἱστορίαις βοηθούμενοι. Ὁμοίως καὶ ἡ μετάληψις ὅπως διαλῇ ἐρρήθη, καὶ ὅτι ἡ μὲν ἔγγραφος ἴδια κεφάλαια οὐκ ἔχει, ἀλλ' ἐπεὶ ἐκ δύο ζητημάτων συνέστηκεν, ἐξ ἐκείνων καὶ διαιρεθήσεται· ἡ δὲ ἄγραφος διαιρεῖται προβολῇ παρὰ τοῦ κατηγόρου· παραγραφικῷ τῷ ἀπὸ ῥητοῦ, οἷον ἀριστεύσας τις ᾔτησε πολίτου φόνου, καὶ ἔλαβεν· εὕρηται προαπεκτονὼς αὐτὸν, καὶ φόνου φεύγει· ἡ προβολή· ἀνδροφόνος εἶ· παραγραφικὸν τὸ ἀπὸ ῥητοῦ, ὅτι καὶ ὁ δῆμος ἔδωκε· μεθ' ἣν ἡ μετάληψις, ἀλλ' οὐκ ἦν παραδεδομένος, ὅτε ἐφονεύετο· τὸ γὰρ κατὰ τὸν χρόνον μεταλαμβάνει ἐνταῦθα συλλογισμῷ, ὅτι ἔν ἐστιν, εἴτε πρότερον, εἴτε ὕστερον ἔδωκεν· ὁ ὅρος χωρίζει τὸ πρᾶγμα, ὅτι πάμπολυ διαφέρει· ἡ ἀντίθεσις ἐνταῦθα ἀντεγκληματικὴ, ὅτι ἄξιος ἦν, ὅπου γε καὶ ὁ δῆμος αὐτοῦ κατεψηφίσατο· πρὸς ἣν ἡ μετάληψις κείσεται κατὰ ἀντιπαράστασιν, ὅτι εἰ καὶ ἦν ἄξιος φόνου, ἔδει σε εἰπεῖν, ὡς ἀπέκτεινας, καὶ συγγνώμην αἰτεῖν· εἶτα εἰ συγχωροίη, καὶ κατ' ἔνστασιν·

τάξις δὲ ἐνστάσεως καὶ ἀντιπαραστάσεως καὶ οὐκ αἰὲν ἡ αὐτὴ, ἀλλὰ καθὼς ὁ γράφων κρινεῖ· θέσις ἕπεται μετὰ ταῦτα, καὶ ποιότης καὶ γνώμη, καθὼς καὶ ἐν τοῖς ἄλλοις ἐρρήθη. Τῶν δὲ νομικῶν στάσεων τὸ ῥητὸν καὶ ἡ διάνοια προβολῇ ῥητοῦ διαιρεῖται, ὅτι ξένος ὢν ἀνῆλθες, καὶ τῷ νόμῳ ὑπάγῃ· πρὸς ἣν ἡ διάνοια τοῦ ξένου, ἀξιοῦντος καὶ τὴν διάνοιαν σκοπεῖν μεθ' ἧς ἀνῆλθε, τῷ μὴ προσδιωρίσθαι· καὶ πῶς μὴ προδιωρίσατο τοῦτο ὁ νομοθέτης πλὴν εἰ ἐπὶ καλῷ καὶ εὐνοίᾳ ἀνέλθοι; καὶ εὐθὺς ἡ διάνοια τοῦ νομοθέτου· πῶς οὐ προδιωρίσατο τοῦτο; καὶ ἔστι κοινὴ, πρὸς τὸ οἰκεῖον συμφέρον ἑκατέρου ἐξηγουμένου· συλλογισμῷ, ὅτι ἔν ἐστι κἂν ἐγράφη, κἂν μὴ ἐγράφη· ὁ ὅρος, ὅτι πάμπολυ διαφέρει γραφὲν, καὶ πάλιν μὴ γραφέν· καὶ τὰ λοιπὰ, ὡς ἐρρήθη ἐν τοῖς ἄλλοις· οὐδὲ γὰρ ἀνάγκην ἔχομεν πάντα γράφειν, ἀλλ' ὅσα ἂν ὁ καιρὸς διδῷ καὶ ἐγχωρῇ· τρόπον τὸν αὐτὸν στρατιώτῃ, ὃς ἐπιφέρεται μὲν τὰ ὅπλα πάντα, οὐ μὴν ἐπὶ τῷ αὐτῷ πᾶσι χρῆται, ἀλλ' ἄλλοις ἐν ἄλλῳ· ἡ δὲ ἀντινομία οἷόν ἐστι διπλοῦν ῥητὸν καὶ διάνοια· ὅθεν καὶ πολλὰ μὲν κεφάλαια διὰ τὸ ἐξισάζειν ἐλλείπουσιν. ἔχει δὲ καὶ ἴδιον κεφάλαιον πρὸς τὰ τοῦ ῥητοῦ καὶ τῆς διανοίας κεφάλαια, τὸ πότερον τῶν ῥητῶν περιέχει καὶ πότερον περιέχεται, ᾧ δὴ χρήσῃ πανταχοῦ καὶ καθόλου· τοῖς δὲ ἄλλοις διπλοῖς τὸ μὲν σὸν ῥητὸν συνιστῶν, τὸ δὲ τοῦ ἀντιδίκου καταβάλλων. Ὁ συλλογισμὸς δὲ καὶ αὐτὸς διαιρεῖται προβολῇ πράγματος, ὅτι παρὰ τὸν νόμον κωμῳδεῖς τοὺς πολίτας; νόμου ὄντος μηδένα ὀνομαστὶ κωμῳδεῖν, εἰσάγων αὐτοπροσώπως· τῷ ῥητῷ παρὰ τοῦ φεύγοντος, καὶ μὴν οὐκ ὠνόμασεν οὐδένα· ὁ συλλογισμός δ' ἐν τούτῳ, ὅτι ἔν ἐστι ταῦτα· ὁ ὅρος, ὅτι πολὺ διαφέρουσι. γνώμη τοῦ νομοθέτου κοινή· ἡ πηλικότης, ὅτι μέγα τι ποιεῖς καὶ ἀλλόκοτον οὕτω κωμῳδῶν, τὸ πρός τι συγκριτικῶς καὶ παρ' ἀμφοῖν· ποῖον χεῖρον,

ὅπερ φησὶν ὁ νόμος, ἢ ὅπερ αὐτὸς ἐργάζεται· ὁ βίαιος ὅρος· τοῦτο τὸ αὐτοπροσώπως εἰσάγειν, αὐτό ἐστι κυρίως τὸ ὀνομαστί. ἐμπεσεῖται ἐνίοτε καὶ ἀντίθεσις, ὡς ἐνταῦθα, ἀντεγκληματικὴ, πρὸς ἣν μετάληψις ἕψεται. καὶ μετὰ ταῦτα ἀντίληψις, εἶτα ποιότητι καὶ γνώμῃ. Ἡ δὲ ἀμφιβολία γλίσχρον τί ἐστι, καὶ ὑποψυχρον, καὶ μᾶλλον ἐν τοῖς ἐπιλογικοῖς εὑρίσκεται, διαιρεῖται δὲ καὶ αὐτὴ προβολῇ ῥητοῦ, καὶ ἑτέρᾳ προβολῇ ῥητοῦ, κατὰ τὸ ἀμφίβολον τῆς ἀναγνώσεως· ἕκαστος γὰρ ὡς βούλεται τὸ ῥητὸν ἀναγνώσεται κατὰ τὸ συμφέρον ἑαυτῷ· διανοίᾳ τοῦ νομοθέτου κοινῇ, τῷ περιέχοντι καὶ περιεχομένῳ, οἷον ἑταίρα, χρυσία εἰ φοροίη, δημοσία ἔστω· εἴπερ αὐτὴ γενήσεται δημοσία, καὶ τὰ χρυσία δημοσιευθήσεται, οὐ μὴν δὴ τὸ ἀνάπαλιν· εἶτα ἀντιθέσει, ὡς ἐνταῦθα, ἀντεγκληματικῇ, καὶ τόπον ἐρεῖς κατὰ τῆς πόρνης, πρὸς ἣν ἡ [53] μετάληψις, ὅτι εἰ καὶ ἑταίρα καὶ ἀξία τιμωρίας, ἀλλ' ἔχει τὰ ἴδια ἐπιτίμια, καὶ εὐθὺς τὰ ἐπιλογικὰ κεφάλαια, ᾗ ποιότης κεῖσονται καὶ ἡ γνώμη. Αἱ δὲ κινοῦσαι τὸν λόγον ἰδέαι γενικαὶ μέν εἰσιν ἑπτὰ, σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης, ἀφ' ὧν ἡ μὲν σαφήνεια εἰς καθαρότητα καὶ εὐκρίνειαν διαιρεῖται, τὸ δὲ μέγεθος, ὃ δὴ καὶ ἀξίωμά ἐστι λόγου, εἰς σεμνότητα, εἰς λαμπρότητα, εἰς σφοδρότητα, εἰς τραχύτητα, εἰς ἀλμὴν καὶ εἰς περιβολήν· τὸ ἦθος εἰς ἐπιείκειαν, εἰς ἀφέλειαν, καὶ τὴν ἐπίτασιν ταύτης, γλυκύτητα, βαρύτητα καὶ ὀξύτητα. Ἡ δὲ ὀξύτης ἐστὶν ἐπιπόλαιος [54] δεινότης, ἡ δὲ δεινότης τριπλῆ ἐστιν· ἢ γὰρ καὶ ἔστι καὶ φαίνεται, ἢ ἔστι μὲν, οὐ φαίνεται δὲ, ἢ οὐκ ἔστι μὲν, φαίνεται δὲ· καὶ κατὰ μὲν τὴν οὖσαν καὶ φαινομένην [55] βαθείαις καὶ περινενοημέναις ἐννοίαις χρώ-

53 ἡ Ven. Med. 3. om., est in Med. 1. 45 Ven. ἐπιπόλεως. 55 Ven. φερομένην.

μεθα, καὶ αἷς ἂν οὐ χρήσαιτο ὁ τυχών· καὶ ἔστιν αὕτη περὶ τὴν ἔννοιαν· ἡ δὲ οὖσα μὲν, μὴ φαινομένη δὲ, ἔστιν ὅτε ἀφελῶς μὲν τῷ δοκεῖν λέγομεν, ὑπορύσσομεν δὲ βαθέα τινὰ, καὶ ἔστιν αὕτη περὶ τὴν μέθοδον· ἡ δὲ μὴ οὖσα μὲν, φαινομένη δὲ, ὅτε ἐννοίαις μὲν ταῖς τυχούσαις χρώμεθα, καὶ αἷς ἂν καὶ ὁ τυχὼν χρήσαιτο· δεινοποιοῦμεν δὲ ταύταις διά τε λέξεων καὶ τῆς συνεστραμμένης καὶ δυσχεροῦς κατανοῆσαι φράσεως, καὶ ἔστιν αὕτη περὶ τὴν λέξιν. Ἑκάστη δὲ ἰδέα ὀκτώ τινα μέρη ἔχει· ἔννοιαν, μέθοδον, σχῆμα, λέξιν, κῶλον, συνθήκην, ἀνάπαυσιν καὶ ῥυθμὸν, ὃς ἐκ τῆς ποιᾶς συνθήκης καὶ τῆς ποιᾶς ἀναπαύσεως ἀποτελεῖται. Ἐν δὲ τοῖς λόγοις οὐχ εὕρηται διαρκῶς, καὶ διόλου ἡ αὐτὴ καὶ κατὰ τὰ ὀκτὼ μέρη αὐτῆς, ἀλλ' ἀλλήλαις μέμικται, καὶ τοῦτο μάλιστά ἐστιν ἀρετὴ λόγου, τὸ ποικίλον ἐξ ἁπάντων καὶ μὴ ἁπλοῦν. Καλεῖται δὲ ἐκ τοῦ πλεονάζοντος, ἢ μᾶλλον ἐκ τῶν κρειττόνων μερῶν, ἐννοίας λέγω καὶ μεθόδου, λέξεώς τε καὶ σχήματος. Ἀλλὰ φέρε, μίαν ἑκάστην χαρακτηρίσωμεν, εἶθ' οὕτως λέξομεν, ἐκ ποίων ὁ τοιόσδε ἢ τοιόσδε πολιτικὸς σύγκειται λόγος· οὕτω γὰρ εὐμαθέστερον τὸ μάθημα θήσομεν. Ἡ καθαρότης τοίνυν ἔχει μὲν ἐννοίας τὰς κοινὰς πᾶσιν καὶ εἰς πάντας ἀνερχομένας, καὶ ἀφ' ἑαυτῶν γνωρίμους· μεθόδους, ὅταν ψιλόν τις τὸ πρᾶγμα ἀφηγῆται, καὶ ἀπὸ τούτου ἄρχηται, μὴ προστιθεὶς ἢ γένος εἴδει ἢ ὅλον μέρει, ἢ ἀόριστον ὡρισμένῳ, ἀλλ' αὐτὸ ψιλὸν λέγῃ τὸ πρᾶγμα προηγουμένως· λέξεις αὐτῆς αἱ κοιναὶ καὶ εἰς ἅπαντας ἥκουσαι, μηδὲ τετραμμέναι, καὶ ἀφ' ἑαυτῶν σκληραὶ, ὡς τὸ ἐκνενευρισμένοι, καὶ τὸ πεπρακὼς ἑαυτὸν, καὶ τὸ ἀταρπὸς καὶ τὸ ἔμαρπτε· τὰ γὰρ τοιαῦτα τὰ μὲν τροπικά, τὰ δὲ σκληρά. σχήματα τὰ κατ' ὀρθὸν καὶ μὴ κατὰ πλαγιασμόν· εἰ γὰρ πλαγιάσαις, κἂν ἀφηγῇ, ἐπεὶ καὶ ἡ ἀφήγησις μέθοδός ἐστι καθαρότητος, πάντως περιβαλεῖς. Ἡ δὲ περιβολὴ ἐναντία

τῇ καθαρότητι· κῶλα τὰ κομματικὰ καὶ κατ' αὐτὰς τὰς ἐννοίας ἀπαρτίζοντα. Ἐπεὶ δὲ αἱ κατὰ τοὺς λόγους συνθῆκαι διπλαῖ εἰσιν, ἡ μὲν γὰρ κατὰ τὰς λέξεις, ἡ δὲ κατὰ τὰς τῶν ποδῶν βάσεις συνθήκη καθαρότητος· κατὰ μὲν τὰς λέξεις ἡ μηδὲν περὶ συγκρίσεως φωνηέντων σμικρολογουμένη· δηλονότι εἰ χασμῳδία εἴη· ἡ δὲ κατὰ τὰς βάσεις, ἡ λογοειδεστέρα, οἷον ἰαμβική τις καὶ τροχαϊκὴ, πλὴν οὐδόλου, ἀλλ' ἱκανὸν, εἴπερ κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος αἱ τοιαῦται πλεονάζοιεν μᾶλλον τῶν ἀναπαίστων καὶ δακτύλων, οἳ δὴ τῆς σεμνότητός εἰσιν· ἡ δὲ ἀνάπαυσις τῆς καθαρότητος οἰκεία τοῖς ῥηθεῖσι ποσίν· ἱκανὴ γὰρ, εἴπερ εἰς ἴαμβον ἢ τροχαῖον καταλήγοιτο· ἐξ ὧν καὶ ὁ ποιὸς ῥυθμὸς ἀποτελεῖται· οὐ γὰρ ἐστιν ὁ ῥυθμὸς ἄλλο ἢ ἀπήχημα τοιόνδε, ἔκ τε τῆς συνθήκης καὶ τῆς ἀναπαύσεως. Καὶ ἡ μὲν καθαρότης οὕτως καὶ τοιαύτη τις οὖσα φαίνεται, ἡ δ' αὖ εὐκρίνεια ἐννοίας μὲν ἔχει τὰς καταστατικὰς, καὶ εἰς ἀρχὴν ἀναγούσας[56] τὸν λόγον, καὶ μὴν καὶ τὰς συμπληρωτικάς· οἷον, ἀλλὰ ταῦτα μὲν οὕτως ἔχει· τὰ μὲν γὰρ ῥηθέντα ἀναπαύουσι, τὰ δὲ ῥηθησόμενα προκατασκευάζουσι. Μέθοδοι δὲ τὸ κατὰ φύσιν τῶν πραγμάτων χρῆσθαι τῷ λόγῳ, τὰ πρῶτα τιθέντας καὶ τὰ δεύτερα· καὶ τὸ τὰς ἀντιθέσεις πρώτας τιθέναι τῶν λύσεων, λέξις δὲ εὐκρινὴς, ἥπερ καὶ καθαρά· σχήματα δὲ τὸ κατ' ἄθροισιν ὡρισμένον, οἷον ἐνταυθοῖ δύο εἴρηκε, τὸ καὶ τὸ, καὶ ὁ διὰ τοῦ μὲν καὶ δὲ τῶν συνδέσμων μερισμὸς, ὁ διὰ μετρίων τῶν κώλων συνιστάμενος, καὶ ἡ ἀπαρίθμησις, πρότερον[37] μὲν, δεύτερον δὲ, καὶ τὸ ἀπαριθμητικὸν, οἷον πρῶτον μὲν, ἔπειτα δὲ, καὶ τὸ ἐρωτᾷν τὸν ῥήτορα ἑαυτόν· εἶτα κατὰ διάστασίν τινα ἀποκρίνασθαι, οἷον, τίνος οὖν ἕνεκα ταῦτα λέγω; κἀὶ διὰ τί; καὶ μὴν καὶ αἱ ἐπα-

56 Ven. ἀναλογούσας. 57 in Ven. supra lin. scriptum πρῶτον.

ἐπαναλήψεις εὐκρινείας ἐργαστικαί. κῶλα μέντοι καὶ συνθῆκαι καὶ ἀναπαύσεις καὶ ῥυθμοὶ εὐκρινείας οἱ αὐτοί εἰσι τῇ καθαρότητι, τὸ δὲ μέγεθος τοῦ λόγου καὶ τὸ ἀξίωμα πρώτην ἔχει ἰδέαν τὴν σεμνότητα, ἧς ἔννοιαι μὲν αἱ περὶ θεοῦ καὶ ὡρῶν καὶ κτισμάτων καὶ περὶ νόμων, καὶ περὶ ἀρετῶν καὶ πραγμάτων μεγάλων, σεισμοῦ τε καὶ χειμῶνος, καὶ τῶν ἑξῆς· μέθοδοι τὸ κατὰ ἀπόφασιν καὶ χωρὶς ἐνδοιασμοῦ τὸν λόγον προάγειν μηδὲν ἐνδοιάζοντας, καὶ μὴν καὶ τὸ δι' ἐμφάσεων τὸν λόγον πληροῦν, ὡς τὸ, ἵν' οὕτως εἴποι τις· ὡς γὰρ αὐτοὶ μὲν εἰδότες, μὴ δυνάμενοι δὲ λέγειν τοῖς ἄλλοις τὸ μυστικὸν ἐμφαίνομεν· λέξις δὲ σεμνὴ ἡ πλατεῖα καὶ διογκοῦσα τὸ στόμα, κατὰ τὴν προφορὰν τοῦ ᾱ καὶ τοῦ ῶ μεγάλου· καὶ ἡ τροπικὴ, οὐ μὴν ἡ τραχεῖα καὶ σκληρά· ἡ γὰρ τοιαύτη τῆς τραχύτητός ἐστιν, ὥσπερ ἔχει τό· τὴν ἀγαθὴν ἐλπίδα προβάλλεται. σχήματα δὲ σεμνὰ, εἴπερ καὶ καθαρὰ, τὸ ἀποφαντικῶς ἐκφέρειν τὸν λόγον, καὶ τὸ εἰς τὴν ἑαυτοῦ γνώμην ἀναφέρειν τὸ ῥηθησόμενον. οἷον, ἐγὼ μὲν διακελεύομαι καὶ βούλομαι. κῶλα δὲ τὰ βραχύτατα, οἷον γὰρ ἀφορισμοὺς δεῖ εἶναι τοὺς σεμνοὺς λόγους· συνθήκη ἥ τε μὴ μικρολογουμένη περὶ συγκρούσεως φωνηέντων, καὶ ἡ δακτυλικὴ τε καὶ ἡ ἀναπαιστική· ἥκιστα δὲ ἡ ἰωνικὴ καὶ ἡ τροχαϊκή· ὅθεν καὶ ἡ ἀνάπαυσις μὴ εἰς τροχαῖον καταληγέτω· γοργότητος γὰρ ὁ τροχαῖος· ὁ δὲ σεμνῶς λέγων περιαργεῖν καὶ βεβηκέναι καθ' ἕκαστον τῶν λεγομένων ὀφείλει, καὶ ἀπὸ τούτων δῆλος καὶ ὁ ῥυθμὸς τῆς σεμνότητος. Ἡ δὲ τραχύτης ἐννοίας μὲν ἔχει τὰς ἐλεγκτικὰς, τὰς κατὰ μειζόνων προσώπων ἀπ' ἐλαττόνων· μέθοδον δὲ τὸ ἀπαρακαλύπτως καὶ δίχα τινὸς παραμυθίας τὸν λόγον εἰσάγειν· λέξεις δὲ τραχεῖαι αἱ τροπικαί τε καὶ σκληραὶ, ὡς τὸ ἔγραψε καὶ τὸ ἔμαρπτε· σχήματα δὲ τὰ προστακτικά, κῶλα δὲ τὰ βραχύτερα, καὶ μηδὲ κῶλα, κόμματα δὲ μᾶλλον λεγό-

μενα. συνθήκη δὲ ἡ συγκρούσεις ἔχουσα φωνηέντων καὶ ἀνακολούθους πόδας, οἷον δάκτυλον καὶ ἴαμβον, καὶ ἡ ἀνάπαυσις ἀνακόλουθος ἔστω· δεῖ δὲ μηδὲ ἡδονήν τινα τὸν λόγον ἢ εὐρυθμίαν ἔχειν, ἀλλ' οἷον ἄρρυθμον [57] εἶναι καὶ δύσηχον. Ἡ δὲ σφοδρότης ἐννοίας μὲν ἔχει καὶ αὐτὴ τὰς ἐπιτιμητικὰς καὶ ἐλεγκτικὰς, πλὴν ἀπὸ μειζόνων εἰς ἐλάττονα πρόσωπα, καὶ μέθοδον τὸ ἀπαρακαλύπτως λέγειν· λέξις δὲ σφοδρὰ ἡ αὐτὴ τῇ τραχείᾳ· ἐνταῦθα δὲ καὶ τὸ ὀνοματοποιεῖν χρήσιμον, ὡς τὸ ἰαμβειοφάγος, καὶ τὸ Εἰδωλιανὸς καὶ Καυσίταυρος. Σχῆμα σφοδρὸν τὸ κατὰ ἀποστροφήν, καὶ κῶλα τὰ βραχύτερα καὶ κομματικὰ, τὰ κατὰ μόνον ὄνομα, οἷον ὁ φαρμακὸς, ὁ λοιμὸς, τὰ δ' ἄλλα τὰ αὐτὰ τῇ τραχύτητι· ἡ δὲ λαμπρότης ἐννοίας ἔχει τὰς ἐφ' αἷς ὁ λέγων πέποιθε καὶ ἐλλαμπρύνεται· μέθοδος δὲ λαμπρότητος, ὅταν εἰσάγῃς τὰς ἐννοίας, θαῤῥῶν μετ' ἀξιώματος, ἀλλὰ μὴ ἐνδοιάζων· λέξεις δὲ λαμπραὶ, αἵπερ ἐλέγοντο εἶναι καὶ σεμναί. σχήματα αἱ ἀναιρέσεις, οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ· [58] καὶ αἱ ἀποστάσεις· αὔτη τῶν περὶ Θήβας [59] καὶ τὰ ἐξῆς διὰ μακροῦ ἐκφερόμενα. Τὰ δὲ κῶλα μακρότερα εἶναι δεῖ· συνθῆκαι δὲ καὶ ἀναπαύσεις λαμπρότητος αἱ σεμναὶ, ἵν' οἰκεῖος τούτοις καὶ ὁ ῥυθμὸς ᾖ. Ἡ δὲ ἀκμὴ μίγμα ἐστὶ λαμπρότητος καὶ τραχύτητος καὶ σφοδρότητος, ὥστε τραχύτητος [60] ἔννοιαι καὶ σφοδρότητος, ἔτι δὲ καὶ μέθοδοι διὰ κώλων καὶ σχημάτων, λαμπρότητος [61] δὲ ἐν λέξεσι τραχείαις καὶ σφοδραῖς ἐξαγγελλόμεναι, ἀκμὴν ποιοῦσιν. Ἐπὶ τούτοις λοιπή ἐστιν ἡ περιβολὴ, ἧς αἱ ἔννοιαι, ὅτε ἔξωθέν τι προσλαμβάνεις, ἢ γένος εἴδει, οἷον καὶ πᾶν μὲν ζῶον τοιόνδε, μάλιστα δὲ ἄνθρωπος· ἢ ὅλον μέρει·

57* Ven. ἄρυθμον. 58 pro cor. p. 325. 59 ibid. p. 291. 60 Ven. τραχύτητα ἔννοιαι καὶ σφοδρότητα. 61 Ven. λαμπρότητα.

ἀλλ' ὅλης οὔσης τῆς ἀκροπόλεως ἱερᾶς παρὰ τὴν χαλκῆν τὴν Ἀθηνᾶν ἔστηκεν·[62] ἢ ἀόριστον ὡρισμένῳ· ἐνταῦθα πολλὰ εἶπε, μάλιστα δὲ τὸ καὶ τό· μέθοδος δὲ τὸ ἀναστρέφειν τὰ πράγματα, καὶ τὰ πρῶτα τιθέναι δεύτερα, καὶ τὰ δεύτερα πρῶτα· εἶτα ἐπεμβάλλειν ἀναγκάζεσθαι τὰ πρῶτα, καὶ τὸ[63] τὰς κατασκευὰς πρώτας τιθέναι τῶν προτάσεων· λέξις δὲ περιβολῆς ἡ ἐκ παραλλήλου· σχήματα δὲ περιβλητικὰ πάντα τὰ ἐφελκόμενα δευτέρας ἐννοίας, ὁ διὰ μακροῦ μερισμὸς, ἡ ἀπαρίθμησις, τὸ ἀπαριθμητικὸν, τὸ κατὰ προτίμησιν, οἱ πλαγιασμοὶ, τὸ κατὰ ἄρσιν καὶ θέσιν· κῶλα δὲ, ἀναπαύσεις, συνθήκας καὶ ῥυθμοὺς οὐκ ἔχομεν ἴδια περιβολῆς καθ' αὑτήν. Περὶ δὲ κάλλους τοῦτο φαμὲν, ὅτι ἐννοίας μὲν καὶ μεθόδους οὐκ ἔχει, τὰς τῶν ἄλλων δὲ ἰδεῶν ἐννοίας καλλωπίζει διὰ τῶν σχημάτων αὐτοῦ καὶ τῶν ἑτέρων· καὶ λέξεις μὲν κάλλους, αἵπερ καὶ καθαρότητος, σχήματα δὲ αἱ παρισώσεις, αἵπερ γίγνονται καὶ κατ' ἀρχὰς, ὡς τὸ προσήκει προθύμως· καὶ κατὰ τὸ τέλος, ὡς τὸ, τῇ τε πόλει βοηθεῖν ᾤετο δεῖν,[64] καὶ αἱ κατὰ κῶλον ἐπαναφοραὶ· ταξιάρχους παρ' ἡμῶν, ἱππάρχους παρ' ἡμῶν·[65] καὶ ἐπαναφοραὶ, καὶ τὸ κλιμακωτὸν, καὶ οἱ κατὰ συζυγίαν μερισμοὶ, καὶ τὸ διὰ δύο ἀποφάσεων κατάφασιν δηλοῦν, οἷον οὐκ ἄδηλον, καὶ οὐκ ἀγνοῶ, καὶ τὸ πολύπτωτον, καὶ ἄλλα πλεῖστα. κῶλα δὲ κεκαλλωπισμένα, τὰ μετρίως μακρότερα. ἡ δὲ συνθήκη ἀσύγκρουστος ἐν τοῖς φωνήεσι θέλει εἶναι· καὶ ἐγγὺς δεῖ μέτρου εἶναι τὸν λόγον· ὅπου καὶ στίχους παρυφαίνουσιν ἐν τῷ λόγῳ λελη θότως· ἀνάπαυσις δὲ μὴ βεβηκυῖα, ἀλλ' οἷον ἐκκρεμής· ὁ δὲ ῥυθμὸς ἐν τῷ μὴ εἶναι τὰς λέξεις ἰσοσυλλάβους καὶ ἰσο-

62 de fals. leg. p. 428. 63 Ven. τῷ. 64 c. Androt. init. 65 Phil. I. p. 47.

χρόνους εὐοδοῦται ἐν τῷ κάλλει· ἡ γοργότης δὲ ἔννοιαν οὐκ ἔχει· ἡ λέξις δὲ ὁποῖά ποτε ἢ βραχέα συντελεῖ πρὸς γοργότητα· ἡ μέθοδος διὰ τοῦ τμητικοῦ γίνεται τύπου, τῷ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις· σχήματα δὲ τὰ καθ' ὑποστροφήν· τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι·[66] καὶ τὸ ἐπιτρέχον ἐκ τοῦ ἐπεὶ ἀρχόμενον, τὸ ἀσύνδετον κομματικὸν, τὸ κατ' ὄνομα κομματικὸν, αἱ δι' ἐλαχίστου ἐξαλλαγαὶ, τὸ πρῶτον, εἶτα, πάλιν, μετὰ ταῦτα, αἱ δι' ἐλαχίστου μερισμοὶ, τὸ κατ' ἐπαναφορὰν κομματικὸν, αἱ δι' ἐλαχίστου συμπλοκαί. Ἔστι δὲ ὁ τμητικὸς λόγος τριχῶς ἢ ὢν ἢ φαινόμενος· ὅτε ἄλλα καὶ ἄλλα πράγματα συμπλέκομεν διὰ τοῦ καὶ, ἢ ὁ μὴ ὢν μὲν φαινόμενος δὲ, ὅτε συμπλέκομεν τὰ μέρη τοῖς ὅλοις, ὡς ἄλλα καὶ ἄλλα, λέγοντες τὰ αὐτά· ἢ ὁ ὢν μὲν, μὴ φαινόμενος δὲ, ὅτε διὰ τοῦ ἐπιτρέχοντος καὶ τῶν πλαγιασμῶν τὸν λόγον ἐκφέρωμεν· τότε γὰρ πολλὰ τέμνομεν, καὶ οὐ δοκοῦμεν τέμνειν. λέξις μέντοι, ὡς ἔφαμεν, ὀλίγα συντελεῖ πρὸς γοργότητα, οὐ μὴν ἀλλ' αἱ βραχεῖαι ἐπιτηδειότεραι τῶν μακροτέρων· κῶλα δὲ ταύτης βραχέα δεῖ εἶναι· συνθήκη δὲ ἥ τε ὀλιγάκις ἢ μηδόλως ἔχουσα συγκρούσεις φωνηέντων, καὶ ἡ τροχαϊκὴ μάλιστα, ὅπου καὶ τραγικοί τινες ἐν[67] ταῖς σπουδαῖς τῷ τροχαϊκῷ μέτρῳ ἐχρήσαντο· ὡς τό· Θᾶσσον, ἤ μ' ἐχρῆν ἰκόμην δι' ἄστεος.[68] Ἀνάπαυσις δὲ ἡ εἰς τὸ τροχαῖον καταλήγουσα καὶ μὴ βεβηκυῖα, ἐξ ὧν καὶ ὁ ῥυθμὸς ἐπὶ τούτοις δῆλος· ἡ δὲ διαιρουμένη ἐκ τοῦ ἤθους ἀφέλεια ἐννοίας ἔχει τὰς καθαρὰς προηγουμένως· ἔτι δὲ καὶ τὰς ἰδίως ἀφελεῖς, αἵτινες πλεονάζουσι παρὰ τῷ Θεοκρίτῳ· ἔτι καὶ τὰς ἐν τοῖς ἐπιχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων λαμβανομένας, ὡς

66 Ol. II. p. 19. 67 in Ven. supra lin. ἐπί. 68 Eur. Or. 719.

παρὰ Ξενοφῶντι. Μέθοδοι δὲ ἀφελείας, αἵπερ καὶ καθαρότητος, ὁμοίως δὲ καὶ λέξεις· εἰσὶ δέ τινες καὶ ὥσπερ ἴδιαι τῆς ἀφελείας, ὡς τὸ ἀδελφίζειν παρ' Ἰσοκράτει, καὶ ὁ παρὰ τῷ Ξενοφῶντι κλαυσίγελως,[69] σχήματα δὲ ἀφελῆ καὶ κῶλα τὰ καθαρὰ, συνθῆκαι δὲ ὡσαύτως· ἀφελέστεραι δὲ αἱ μᾶλλον λελυμέναι· οἷον ἀκούσατέ μου ἀπολογουμένου δικαίως· ἀπὸ δὲ τούτων δῆλα καὶ ἡ ἀνάπαυσις καὶ ὁ ῥυθμός ἐστιν. Ἡ δὲ γλυκύτης, ἥτις ἐστὶν ἐπίτασις ἀφελείας, ἐννοίας ἔχει τὰς μυθικὰς, καὶ τὰς ἐγγὺς τῶν μύθων διηγήσεις καὶ πάντα ὅσα τὰ ταῖς διηγήσεσιν ὑποπίπτοντα καὶ ἡδονήν τινα ἐργαζόμενα· καὶ τὸ τοῖς ἀπροαιρέτοις προαίρεσιν περιτιθέναι, καὶ τὸ ἐρωτᾷν τὴν κιθάραν καὶ τὰς Μούσας· μέθοδον δὲ ἔχει τὴν αὐτὴν τῇ καθαρότητι, καὶ πάντα τὰ, οἷς χαίρομεν διηγήματα, γλυκύτητός εἰσιν ἔννοιαι. Λέξις δὲ γλυκεῖα ἡ τῆς ἀφελείας, καὶ ἔτι ἡ ποιητικὴ καὶ πᾶσα ἡ τῶν ἐπιθέτων· σχήματα δὲ γλυκύτητος, ἅπερ καὶ ἀφελείας καὶ καθαρότητος, πρὸς δὲ τούτοις καὶ τὰ τοῦ κάλλους· συνθήκη δὲ ἥπερ ἦν καὶ τοῦ κάλλους, ἡ μὴ συγκρουομένη τοῖς φωνήεσι, καὶ τὸ ἐγγὺς μέτρου εἶναι, καὶ αἱ ἀναπαύσεις ὡσαύτως τοῦ κάλλους καὶ οἱ ῥυθμοί. Εἴπομεν τὴν ὀξύτητα ἐπιπόλαιον βαθύτητα, τῷ μὴ περινενοημένως λέγειν, ἁπλῶς δὲ καὶ ἀνειμένως τὰ περινενοημένα· ἴσως δὲ τοῦτο οὐδ' ἔννοια, ἀλλὰ μέθοδός ἐστι, διὸ καὶ ἴδιον τοῦτο ἀφελείας· ὅθεν τῇ ἀφελείᾳ προσήκει καὶ ἡ ὀξύτης. Ἕτερον δὲ εἶδος δριμύτητος τῆς καὶ ὀξύτητος, περὶ οὗ δυσχερὲς ἀποφαίνεσθαι εἴτε περὶ λέξιν, εἴτε περὶ ἔννοιαν γίνεται· λέξις γάρ ἐστι κυρίως δηλοῦσα σημασίαν, ἧς οὐκ ἔστι κυρία· ὡς τὸ φιλάνθρωπος, ἐπὶ κυνὸς,[70] καὶ τὸ ἀπάνθρωπον παρ' Αἰσχύλῳ[71] ἐπὶ τοῦ ὄρους·

Τῷδ' ἀπανθρώπῳ πάγῳ.

69 Xen. Hellen. VII. 2. 9. 70 Xen. Venat. III. 9.
71 Prom. 20.

καὶ εὔνους λόγος ὁ εἰνόητος, καὶ τὸ φιλανδρία ἐπὶ τῆς πόρνης, καὶ τὸ ἀτρέα δῆμον [72] ἀντὶ τοῦ ἄτρεστον καὶ ἄφοβον· Εἰσὶ δὲ καὶ ἕτερα αὐτῆς εἴδη τρία, οἷς ὁ ῥήτωρ χρῆται, ἃ δὴ πάντα κατ' ἀκολουθίαν τινῶν προῤῥηθέντων ἀπό τινος λέξεως γίνεται, καὶ τὸ μέν ἐστι καθ' ὁμοιότητα λέξεως, οἷον μέλλει πολιορκεῖν ὁ Φίλιππος, τοὺς Ἕλληνας ἐκ δίδωσι· μέλει γάρ τινι τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων· [73] ἕτερον εἶδος τὸ ἐκ παρονομασίας, [74] ὅταν κυρίῳ τινὶ ὀνόματι χρησάμενοι, εἶτ' εὐθὺς ἑπόμενοι τούτῳ χρησόμεθα καὶ ἐφ' οὗ μὴ κύριόν ἐστι πράγματος· οἷον, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσάγωσιν· [75] εἶτα δριμέως ἐπάγει· εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; καὶ πάλιν· [76] ἐγὼ δὲ οὐ τοῦτο δέδοικα, εἰ Φίλιππος ζῇ ἢ τέθνηκεν, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν. Τρίτον εἶδος δριμύτητος τὸ ἐξ ἀκολουθίας, ὅταν τροπῇ τινι χρησάμενοι μὴ σφόδρα ἀτηρᾷ μηδὲ ὀχληρᾷ κατ' ἀκολουθίαν ἐκείνης σκληρὰν ἑτέραν τροπὴν ἐπενέγκωμεν προμαλαχθεῖσαν ἐκ τῆς ἑτέρας, οἷον, [77] ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ· τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὐτὰ [78] καταῤῥεῖ· τὸ γὰρ ἤνθησε τροπικὸν, οὐ μὴν σκληρόν· τὸ δὲ καταῤῥεῖ σκληρὸν, ἐλεάνθη δὲ ἀπ' ἐκείνου. Ὁ δὲ ἐπιεικὴς λόγος γίνεται μὲν κατ' ἔννοιαν, ὅταν ἑκόντα τις αὐτὸν μειονεκτοῦντα δεικνύῃ, καὶ ὅταν εἰς ἴσον ἑαυ-

---

72 Euphorion apud Hermog. Id. II. 5. 73 de Chers. p. 96. 74 Ven. παρωνομασίας. 75 Phil. III. p. 113. 76 de fals. leg. p. 434. 77 Ol. II. p. 21. 78 Ven. αὐτά.

τὸν καταγάγῃ τοῖς πολλοῖς, καίπερ οὐκ ὢν τῶν πολλῶν εἷς· ἔτι ἐπιεικοῦς καὶ τὸ λέγειν, ὡς παρὰ γνώμην δικάζεται, δέον ἐπὶ τῶν φίλων διαλύσασθαι, καὶ τὸ φάσκειν ἀπείρως ἔχειν καὶ ἀνοήτως καὶ τὰ τοιαῦτα. Μέθοδος ἐπιεικείας ἡ σφόδρα ἐοικυῖα ταῖς ἐννοίαις· τὸ ἑκόντα ἐλαττοῦν τὰ ἑαυτοῦ χρηστὰ, ἢ ὅσα ἔχει κατὰ τοῦ ἐχθροῦ λέγειν σφοδρὰ, καὶ ἡ ἐκ παραλείψεως ἢ τῶν ἰδεῶν καλῶν, ἢ τῶν τοῦ ἐχθροῦ κακῶν· ἡ δὲ παράλειψις διχῶς γίνεται, ἢ ἄντικρυς παραλείπει καὶ οὐδὲν προστίθησιν, ἢ μόνῃ τῇ μεθόδῳ χρῆται παραλειπτικῇ· οὐδὲν δὲ ἧττον τὰ πράγματα λέγει· λέξιν δὲ ἐπιεικείας οὐκ ἔχομεν οὐδὲ τὰ λοιπά· ὁ δὲ ἀληθὴς καὶ οἷον ἔμψυχος λόγος τὸ μὲν πλεῖστον ἔχει περὶ τὴν μέθοδον καὶ τὰ σχήματα, τήν τε λέξιν καὶ ὅσα τούτοις ἕπεται· γίνεται δὲ καὶ κατ' ἔννοιαν· αἱ γὰρ ἀφελεῖς πᾶσαι πάντως ἂν εἶεν τοῦ ἐνδιαθέτου· ὁ γὰρ ἀφελῶς δοκῶν λέγειν οὐ δόξει ψεύδεσθαι· εἰσὶ δὲ καὶ αἱ σχετλιαστικαὶ ἔννοιαι τοῦ ἐνδιαθέτου λόγου· ὦ Ζεῦ καὶ φεῦ καὶ οἴμοι· αἱ δὲ μέθοδοι τοῦ ἀληθινοῦ λόγου σχεδὸν ἄῤῥητοί εἰσιν· εἴτε γὰρ εὐχάς ποιοίη τις, εἴτε ὅρκους, εἴτε τι ἐνθουσιαστικῶς λέγοι, τοῦ ἐνδιαθέτου εἰσὶν, οἷον, ἀλλὰ γὰρ ἐνταῦθα τῶν φόβων εἴημεν, καὶ ὡς ἀπόλοιτο ἡ κακία καὶ προώλης ἀπολοίμην, εἰ μὴ ἀληθῶς λέγω· εἴτε θαυμάζοι τις ἀπροόπτως, εἴτε ἐλεεῖ, εἴτε ἀγανάκτησιν ἐμφαίνει, εἴτε σὺν φόβῳ ὁ λόγος προΐοι, εἴτε πεποιθότως, τοῦ ἀληθινοῦ καὶ ἐνδιαθέτου λόγου εἰσίν· ἔτι δὲ καὶ τὸ μὴ ταῖς ἀκολουθίαις τοῦ λόγου χρῆσθαι, ἀλλ' οἷον ἐξίστασθαι καὶ μὴ σώζειν τὴν σύμφρασιν, ὡς τὸ, ἐπεὶ δὲ φθόνῳ διαβόλου·[79] καὶ τὸ ἀφ' οὗ δὲ Σῆξτοι καὶ Πύῤῥωνες· λέξις δὲ ἐνδιαθέτου ἡ σφοδρὰ πᾶσα καὶ τραχεῖα καὶ πεποιημένη, πλὴν ἐπὶ τῶν ἐπιφορῶν· ἐπὶ δὲ τῶν ἄλλων

79 Greg. Naz. Or. εἰς τὰ Θεοφάνια. p. 619. B.

παθῶν οὐχ ἁρμόζουσιν αἱ τοιαῦται, καὶ μᾶλλον ἐπὶ ἐλέους. σχήματα τὰ ἑλκτικὰ καὶ σφοδρὰ καὶ κατ᾽ ἀποστροφήν· καὶ τὸ δηκτικὸν καὶ τὸ διαπορητικόν· καὶ ἡ ἀποσιώπησις, οἷον, ἀλλ᾽ ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν ἀρχόμενος τοῦ λόγου. [80] Ἔτι ἐνδιαθέτου σχῆμα καὶ ἡ αὐξήσεως ἕνεκα παραλαμβανομένη ἐπιδιόρθωσις, οἷον, ὡς ἔστι τῶν δεινῶν, μᾶλλον δὲ τῶν αἰσχίστων. Ἐνδιαθέτου λόγου σχῆμα καὶ ὁ ἀπόλυτος μερισμὸς, κειμένου τοῦ μὲν δίχα τοῦ δέ. ἔστι δὲ ταὐτὸν σχεδὸν τῇ ἐπικρίσει, οἷον τὸ λέγειν μετὰ τὴν ἐρώτησιν· ἐγὼ μὲν οἶμαι· κῶλα δὲ καὶ συνθήκη καὶ ἀνάπαυσις καὶ ῥυθμὸς ἐν ταύτῃ τῇ ἰδέᾳ οὐκ εἰσίν· ἡ δὲ βαρύτης ἐννοίας ἔχει τὰς ὀνειδιστικὰς πάσας· ὅταν εὐεργεσίας τις ἑαυτοῦ λέγων, τοῦ μηδενὸς ἠξιῶσθαι, ἢ καὶ τοὐναντίον τιμωρίας ἐπιφέρῃ. Μέθοδοι δὲ, ὅταν ἀξιοῖ μειζόνων τὸν ἐχθρὸν, ἢ κατ᾽ εἰρωνείαν ἑαυτόν· οὐ πᾶσα δὲ εἰρωνεία βαρύτητα ἔχει· ἀλλ᾽ εἰ μὲν ἐφ᾽ ἑαυτοῦ τις χρῷτο τῇ εἰρωνείᾳ, ἢ ἐπὶ τῶν δικαστῶν, ἔστιν ἡ εἰρωνεία βαρύτητος· εἰ δὲ ἐπὶ τοῦ ἀντιδίκου, οὐ πάντοτε βαρύτητα ἔχει· τέως δὲ τὸ ἦθος πλέον ἴσχει· οἷον πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει· [81] παραπλήσιον τούτῳ καὶ τὸ ἐπικρίνειν τι ὡς δέον γενέσθαι, ὃ βούλεταί τις ἐνδείκνυσθαι, ὅτι οὐ δέον· οἷον [82] μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων. διὰ τοῦτο γὰρ καὶ τῇ ἐπικρίσει ἐνδοιαστικῇ κέχρηται τῇ ὡς ἔοικεν, ἵνα τὸ ἄκων αὐτὸ ποιεῖν ἐνδείξηται, καὶ ὡς ἀναγκάσαντος τοῦ Αἰσχίνου. Λέξιν δὲ βαρύτητος ἢ ἕτερον τῶν ἑπομένων ταύτῃ οὐκ ἔχομεν· εἰ μὴ ὅσα ταῖς ἠθικαῖς ἰδέαις ἥρμοστο. Ἐπὶ τούτοις πᾶ-

---

80 pro cor. p. 226. — v. 7. Ol. II. init. 81 Ol. III. p. 35. 82 pro cor. p. 227.

σιν ἡ δεινότης ἐστί· καὶ ἔστιν οὐδὲν ἄλλο ἢ τὸ εἰδέναι χρῆσθαι τοῖς λόγοις κατὰ καιρὸν, καὶ αὐταῖς δὴ ταῖς ἰδέαις προσηκόντως τοῖς ἐμπίπτουσιν· οὐδὲ γὰρ δεινός που ῥηθείη ῥήτωρ ὁ μόνον περινενοημέναις ἐννοίαις χρώμενος, ἀλλὰ καὶ ὁ σαφέσι καὶ ἀφελέσιν, ὅτε δεῖ· στοχαστὴς γὰρ τοῦ καιροῦ ἐστιν ὁ ῥήτωρ, καὶ κατὰ τοῦτον τοὺς λόγους ποιεῖται, ποῦ σεμνοὺς, ποῦ ἀφελεῖς, ποῦ καθαροὺς, ποῦ δεινούς, ποῦ τραχεῖς καὶ ἀκμαίους, ποῦ ἐπιεικεῖς καὶ ἠθικούς, καὶ οὕτως ὁ τοιοῦτος ῥήτωρ ἐστὶ δεινὸς, ἐπεὶ καὶ Ὀδυσσεὺς ἐν πρεσβείαις ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσι [83] προέφερεν· ἐν δὲ Φαίαξιν ἠθικούς τινας καὶ ἀφελεῖς τοὺς λόγους ἐποίει, καθὼς ἐδίδουν οἱ καιροὶ καὶ τὰ πράγματα. Καὶ ὅτι μέν ἐστιν ἡ δεινότης τριπλῆ δεῖ εἰδέναι· ἥ τε οὖσα καὶ φαινομένη κατ᾽ ἔννοιαν, καὶ ἡ οὖσα μὲν μὴ φαινομένη δὲ κατὰ μέθοδον, καὶ ἡ μὴ οὖσα μὲν, φαινομένη δὲ κατὰ λέξιν. ἀλλ᾽ ἔννοιαι μὲν τῆς καὶ οὔσης καὶ φαινομένης δεινότητος αἱ παράδοξοι καὶ βαθεῖαι καὶ ὅλως αἱ περινενοημέναι, οἷον οὐ μὴν [84] ἀλλ᾽ ἐπιεικῶς, ὦ Ἀθηναῖοι, τοῦτο, ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων καὶ βέλτιστον ἡμῖν· καὶ πάλιν, [85] ὃ γάρ ἐστι χείριστον ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει· καὶ πάλιν· [86] ἐγὼ δὲ οὐ συμπεπρεσβευκέναι φημί σοι· πρεσβεύειν μέντοι σὲ μὲν πολλὰ καὶ δεινά, ἐμαυτὸν δὲ ὑπὲρ τούτων τὰ βέλτιστα· αὗται τοίνυν τοῦ καὶ ὄντος καὶ δοκοῦντος δεινοῦ λόγου ἔννοιαι, καὶ ἔτι πρὸς ταύταις αἱ τὸ μέγεθος ποιοῦσαι σχεδὸν ἅπασαι. Μέθοδοί τε ἐκείνων, εἰ κατὰ καιρὸν γένοιντο καὶ λέξεις αἱ τούτων καὶ τὰ λοιπά· ὁ δ᾽ αὖ ὢν μὲν δει-

83 Ven. χειμερίοισιν. 84 Ol. I. p. 10. 85 Phil. I. p. 40. 86 de fals. leg. p. 400.

νὸς, οὐ δοκῶν δὲ γίνεται μὲν κατ' ἔννοιαν οὐδαμῶς, ἐν μεθόδῳ δὲ τὴν πᾶσαν ἔχει δύναμιν· τὸ γὰρ σφόδρα ἠθικαῖς καὶ ἀνειμέναις ταῖς ἐννοίαις καὶ τῇ λέξει καὶ πᾶσι τοῖς ἑπομένοις δοκοῦντα λέγειν ὑπορύττειν πως καὶ κατασκευάζειν ἃ βούλεταί τις, σφόδρα δεινοῦ λόγου τοιούτου. ταύτης τῆς δεινότητος ἡ μέθοδος καὶ πλείστου ἀξία ἐστίν· οὐ μὴν δὲ τῆς ἑτέρας, τῆς τρίτης, τῆς μὴ οὔσης μὲν, δοκούσης δὲ, ὅταν τις συμφορήσας λέξεις καὶ σχήματα, εἶτα ἐξαγγείλῃ ταύταις ἐννοίας ἐπιπολαίους· τῆς γοῦν μεθόδου ἐκείνης ἐστὶ παντοῖα τὰ κάλλιστα, ἡ περιττότης δηλαδὴ, ἥ τε κατὰ λέξιν καὶ ἡ κατὰ γνώμην, καὶ ἡ μὲν κατὰ λέξιν γίνεται διατριβῇ καὶ πλήθει· οἷον, τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες, καὶ τὴν ὕβριν·[87] διατρίβει γὰρ περὶ τὴν λέξιν· πλήθει δὲ οἷον·[88] τοῦ μὲν παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν, καὶ ὁμοῦ πάντα τὰ τοιαῦτα· ἡ δὲ κατὰ γνώμην καὶ αὕτη διπλῆ, κατά τε ἐπενθυμήσεις καὶ λόγων καθολικῶν τοῖς ἰδίοις συμπλοκήν· ταῦτα δὲ παραλλάξ εἰσιν ἐν τῷ Θουκυδίδου ἐπιταφίῳ, καὶ αὖθις πόσαι παραμυθίαι τῶν αὐθαδῶν διανοημάτων ἦγουν δύο· βραχεῖα προσθήκη, ὡς τὸ σχεδὸν ἢ ἴσως, ἢ μονονουχὶ, ἢ ὁμολογία τοῦ τολμήματος, ὡς τὸ, ὡς ἄν τις τολμηρῶς εἴποι· τολμηρὸν γὰρ τὸ λέγειν, φωνὴν ἀφίησιν ὁ καιρὸς·[89] προστίθησι τοίνυν τὸ μονονουχί. Ἡ δὲ ὁμολογία πολλὴ παρὰ τῷ Θεολόγῳ, ὅτε περὶ θεοῦ λέγοι, ἵν' οὕτως εἴπω, καὶ ὡς ἄν τις εἴποι καὶ τὰ τοιαῦτα, καὶ κατὰ παράλειψιν αὖθις μεθοδεύομεν, ὅταν βουληθῶμεν τὴν ὑπόνοιαν μείζονα καταστῆσαι τοῦ πράγματος ἐν τῇ γνώμῃ τῶν ἀκουόντων, ἢ εἰ λέγομεν· γίνεται δὲ κατὰ τρεῖς τρόπους, ἡ

87 in Mid. init. 88 pro cor. p. 329. 89 Ol. I. p. 9.

ὅταν τὰ πράγματα μικρὰ ᾖ, ἢ ὅταν γνώριμα, ἢ ὅταν ἐπαχθῆ καὶ ὀνειδιστικά· χρήσιμα δὲ ταῦτα τῷ λέγοντι· διὰ μὲν οὖν ἐκεῖνά φησι παραλείπειν, οὐχ ἧττον δὲ ταῦτα τῷ λέγοντι· διὰ μὲν οὖν ἐκεῖνά φησι παραλείπειν· οὐχ ἧττον δὲ ταῦτα ὡς χρήσιμα τίθησι, καὶ αὖθις πᾶς περιπλέκομεν καὶ κατὰ πόσους τρόπους· περιπλέκομεν γὰρ, ἢ ὅταν αἰσχρὰ ᾖ τὰ λεγόμενα, ὡς τὸ ἔδοξα αὐτὸν ἔνοχον ὄντα οἷς ὀλίγῳ πρώην ἠκούσατε· φυλάττεται γὰρ ταῦτα λέγειν ὁ ῥήτωρ διὰ τὸ αἰσχρὸν, καὶ περιπλέκων δηλοῖ πάλιν αὐτὰ, καὶ ποιεῖ πικρότερον τὸν λόγον· ἢ ὅταν λυπηρὰ ᾖ τοῖς ἀκούουσιν, ἢ ὅταν ἐπαχθῆ τοῖς λέγουσιν, ὡς δῆθεν ὀνειδίζουσι· τότε τοίνυν περιπλέκομεν αὐτά· εἶτά πως ἐπανάληψις γίνεται τριχῶς· ἐπὶ πράγματος διδασκαλίᾳ· Ἀντιοχείας, ἥτις περὶ τὴν κοίλην κεῖται Συρίαν. ἐπὶ προσώπου συστάσει, ἢ διαβολῇ, Νιρεὺς, καὶ αὖθις Νιρεὺς, καὶ πάλιν Νιρεὺς, ἢ ὡς τὸ Ἄρες, Ἄρες· καὶ τρίτον ἐπι ἤθους βεβαιώσει, ὡς Ἡρόδοτος, φονεὺς μὲν τοῦ ἑωϋτοῦ ἀδελφεοῦ, φονεὺς δὲ τοῦ καιθήραντος.[90]

Πῶς τὸ κατὰ πεῦσιν εἰσάγεται σχῆμα καὶ πότε; ὅτι ἐπὶ τῶν φύσει ὁμολογουμένων, ἢ τῶν προαποδεδειγμένων ἐν λόγοις· τότε γὰρ θαῤῥῶν ὁ ῥήτωρ ἐρωτᾷ, ἀπέδειξα αὐτὸν, ἢ φανερόν ἐστιν, ὅτι κατώρυξε τὴν οἰκίαν, ὡς τὸ καὶ τὸ ἐποίησεν, ἆρ' οὐκ ἔστι κλέπτης; πότε ἀσυνδέτως καὶ πότε μετὰ τῶν συμπλεκτικῶν λέγομεν, καὶ τὸ μετὰ τῶν συνδέσμων πραγματικὸν πλῆθος ἢ μέγεθός ἐστιν, οἷον Ὄλυνθον[91] μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ· τὸ δὲ ἄνευ συνδέσμων ἠθικὸν πλῆθος δηλοῖ, ἡνίκα Πύδνα,[92] Ποτίδαια, Μεθώ-

90 Herod. I. 45. 91 Phil. III. p. 117. 92 Ol. I. p. 11.

νη, Παγασαὶ, τἄλλα ἵνα μὴ καθ' ἕκαστον λέγων διατρίβω, πολιορκούμενα ἠγγέλλετο. Πῶς τὸ ὑπερβατὸν δηλονότι τὸ διὰ μέσου μεθοδεύεται, ἵνα μὴ ταράξῃ δηλαδὴ τὸν ἀκούοντα· τὴν γὰρ αἰτίαν μέσον τῆς ἀξιώσεως τίθεμεν, οἷον,

Ὦ φίλοι, οὐ γάρ τ' [93] ἴδμεν ὅπη ζόφος, οὐδ' ὅπη ἠώς,
— — — ἀλλὰ φραζώμεθα θᾶσσον.

καὶ ὁ Θουκυδίδης· [94] οἱ γὰρ Ἀθηναῖοι ἐφοβήθησαν, νὺξ γὰρ ἦν, μὴ πολέμιοι ὦσιν αἱ νῆες· προλαμβάνεται γὰρ ἡ αἰτία ἐν τοῖς ὑπερβατοῖς, καὶ γίνεται σαφηνείας ὄργανον τὸ τοιοῦτον. Μανθάνομεν ἐκεῖσε καὶ τὸ ἀντίθετον· ἔστι δὲ διανοήματι διανόημα ἀντικείμενον· οἷον ἐδίδασκες [95] γράμματα, ἐγὼ δὲ ἐφοίτων, ἐγραμμάτευες, ἐγὼ δὲ ἐκκλησίαζον, ἐξέπιπτες, ἐγὼ δὲ ἐσύριττον· ποιεῖ καὶ ὁ θεολόγος ἀντίθετον ἐπὶ τοῖς θανάτοις τοῦ Κωνσταντίου καὶ τοῦ Ἰουλιανοῦ. Μανθάνομεν ἐκεῖσε καὶ πότε ῥήτωρ προσποιήσεται σχεδιάζειν, καὶ ὅτι τριῶν ὄντων τῶν τῆς ῥητορικῆς εἰδῶν, ἐν τῇ συμβουλευτικῇ ὁμολογήσει ὁ ῥήτωρ ἐσκεμμένος ἥκειν, οὐ γὰρ ἀνέχεται ὁ συμβουλευόμενος τὰ ἐπιόντα τοῦ συμβουλεύοντος λέγοντος, ἐπὶ τῇ δικανικῇ· κἂν ἐσκεμμένος ἥκῃς, προσποιοῦ αὐτόθεν λέγειν, ἵνα μὴ ὁ δικαστὴς ὑποπτεύσει τὴν δημηγορίαν· ἐν τῇ ἐγκωμιαστικῇ δὲ ἰδέᾳ καὶ ἀμφότερα ἐγχωρεῖ. Ἔστι μέθοδος δεινότητος καὶ τὸ πρῶτον αὔξειν τὸ ἔγκλημα, εἶτα ἀποδεικνύειν, καὶ πότε; πάντως ὅτε καταφρονεῖται τὸ ἔγκλημα, ὡς ὁ Αἰσχίνης κατὰ Τιμάρχου λέγων τὴν κατεδήδοσιν τῶν πατρῴων· αὔξει καὶ ὁ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου τὸ περὶ τὴν ἑορτὴν ἀδικεῖν, οὐ γὰρ εἴθιστο τοῖς Ἀθηναίοις τοιαῦτα κρίνειν πλειστάκις· μανθάνομεν

93 Ven. τι. — Od. κ. 190. 94 I. 51. 95 pro cor. p. 315.

καὶ πότε ῥήτωρ ψεύσεται συνειδότων τῶν ἀκροατῶν, καὶ πάντως ὅτε συμφέροι τὸ ψεῦδος ἐκείνοις, οὐ γὰρ ἐλέγξουσιν ἀκούοντες, καὶ πότε ῥήτωρ ὀμνύει, καὶ ὅτι οὐ πραγματικὸν ὅρκον, οἷον νὴ Δία οὗτος κλέπτης ἐστὶν, ἀλλ᾽ ἠθικὸν, καὶ ὁ μὲν Ὅμηρος παθητικόν·[96]

Οὐ μὰ Ζῆν᾽ ἀγέλαε καὶ ἄλγεα πατρὸς ἐμοῖο.

ὁ δὲ Πλάτων ἠθικὸν ἐκ τοῦ ἐναντίου· οὐ μὰ τὸν[97] Ζῆν᾽, ὦ Καλλίκρατες. Δημοσθένης[98] δὲ ἠθικὸν πολιτικόν· οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων· διδασκόμεθά τε πῶς ἐναντία λέγοντες κατορθώσομεν ἐναντία, τῷ εὐδιάλυτα λέγειν καὶ σαθρὰ ἀντεισάγειν· ὡς εἶναι τὰς ἀντιθέσεις ἰσχυροτέρας[99] τῶν λύσεων· ὡς ὁ ποιητὴς ἐν τῷ δευτέρῳ.[1]

Καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

μανθάνομεν πῶς ἀνεπαχθῶς ἐπαινέσει τις ἑαυτόν· καί εἰσι τρόποι τούτου τρεῖς· κοινότης λόγου, οἷον οἱ καλοὶ φίλοι καὶ τελευτήσαντας τοὺς φίλους ἀγαπῶσιν· ἀνάγκης προσποίησις, ἵνα δόξῃ ἀναγκαζόμενος ἑαυτὸν ἐπαινεῖν· προσώπου ὑπαλλαγή· τὰ γὰρ ἑαυτοῦ ἀγαθὰ καταλέγων τοῖς Ἀθηναίοις ὁ Δημοσθένης τέλος ἐπιφέρει, ἀκούεις Αἰσχίνη, ὥσπερ ἂν αὐτὸς ἦν ὁ ἀναγκάζων. Μανθάνομεν, πῶς τὰ παλαίσματα τῶν δικαστηρίων καθίστανται· τὸ γὰρ οἰκεῖον ἰσχυρὸν εἰς κρίσιν ἄγομεν, ἀνάγκην προσποιούμενοι, τὸ δὲ τοῦ ἀντιδίκου ἰσχυρὸν ἐκβαλοῦμεν προσποιούμενοι ἁπλότητα, τὰ δὲ κοινὰ διανοήματα ἰδιώσομεν ὡς Ἰσοκράτης·[2] ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα τὰ μέγιστα φάσκειν, περὶ ὧν ἂν αὐτοὶ τοὺς λόγους ποιῶνται· οὐ μὴν, ἀλλ᾽ εἴ τῳ καὶ ἄλλῳ ταῦτα

---

96 Od. v. 539. 97 Ven. τό. — Plat. Gorg. p. 489. E.
98 pro cor. p. 297. 99 Ven. ἰσχυρωτέρας. 1 Il. β. 135.
2 de pace init.

ἤρεσκε λέγειν, καὶ ἐμοὶ προσήκει. Μανθάνομεν καὶ πῶς τοῖς ἔπεσιν ἐν πεζῷ λόγῳ χρώμεθα, ἢ κατὰ κόλλησιν, ἢ κατὰ παρῳδίαν, καὶ πῶς οὐ δεῖ ἀντιτείνειν πρὸς τὰ κεκρατηκότα πάθη, καὶ ὅπως ἀνύειν τὸ σπουδαζόμενον. Ὅμηρος·

Ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι. [3]

καὶ Ἰσοκράτης [4] παραδίδωσι· μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἁπάντων, ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· τῶν δὲ ὁμολογουμένων ἀδικημάτων μία παραμυθία ἡ ὁμολογία καὶ ἀπολογία, τοῦτο ἐν Ὁμήρῳ Ἑλένη πεποίηκε, καὶ ὁ παρ' Ἡροδότῳ Ἄδραστος ἐμιμήσατο, ἀποκτανθέντες ἐν θήρᾳ τοῦ παιδὸς Κροίσου Ἄτυος παρ' αὐτοῦ· διὰ γὰρ τὴν ὁμολογίαν Ἀδράστου Κροῖσος εἶπε πρὸς τὸν νεανίσκον, εἷς δέ μοι οὐ σὺ τούτων αἴτιος, ἀλλὰ θεῶν κού τις ὅστις προεσήμανεν ἐν τῷ ὀνείρῳ. μανθάνομεν ἐκεῖσε πλοκὰς, δημηγορίας, διαλόγους κωμῳδίας, τραγῳδίας καὶ Σωκρατικῶν συμποσίων, καὶ ἡ μὲν δημηγορία ἐπιτίμησιν ἔχει καὶ παραμυθίαν καὶ τὰ λοιπὰ διά τινος διπλῆς μεθόδου γίνεται· ἡ γὰρ ἐπιτίμησις κολάζει καὶ παιδεύει τὰς γνώμας τῶν ἀκουόντων· ἡ δὲ παραμυθία τὸ τῆς ἐπιτιμήσεως λυπηρὸν ἐκβάλλει, ἡ δὲ κωμῳδίας πλοκὴ πικρά τε καὶ γελοῖα ἔχει, τῶν μὲν πικρῶν σωφρονιζόντων, τῶν δὲ γελοίων παραμυθουμένων. Τραγῳδίας δὲ πλοκὴ οἶκτος καὶ θαῦμα, οἷον,

Οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν. [5]

καὶ

— — φεῦ ἥτις ἐκ τυραννικῶν δόμων
Δούλειον ἦμαρ εἶδες, [6]

---

3 Cod. ναίεσθαι. — Il. β. 291. 4 ad Demon. p. 10. Bekk. 5 Eur. Hec. 487. Matth. 6 ibid. 55.

καὶ διόλου τοιαῦτα ἡ τραγῳδία ἔχει· ἡ πλοκὴ δὲ τῶν Σωκρατικῶν συμποσίων, (ὁ γὰρ Σωκράτης παρὰ Πλάτωνι τούτων κατήρξατο) σπουδαῖα καὶ γελοῖα καὶ πρόσωπα καὶ πράγματα, ἐν οἷς καὶ διαφορὰν πολλὴν ἴδοι τις τοῦ Πλατωνικοῦ συμποσίου πρὸς τὰ τοῦ Ξενοφῶντος καὶ τὰ τῶν ἄλλων συμπόσια. Διαλόγου πλοκὴ δὲ ἠθικοὶ λόγοι καὶ ζητητικοί· οἱ γὰρ ἠθικοὶ λόγοι παρεμβληθέντες ἀναπαύουσι τὴν ψυχήν. ὅταν δ' οὖν ἀναπαύσηται, ἐπάγεται ἡ ζήτησις, ὥσπερ γίνεται ἐν ὀργάνῳ τάσις καὶ ἄνεσις ἀναμίξ, καθὼς καὶ ἐν τῷ χρυσορρήμονι εὑρήσει τις διδάσκοντι. Ταῦτα καὶ τοιαῦτ' ἡ τῆς δεινότητος μέθοδος ἔχει, ἣ καὶ πλείστου ἀξία τοῖς ῥήτορσίν ἐστιν, ὅτι καὶ πᾶσα δύναμις αὐτοῖς ἐν ἐννοίαις καὶ μεθόδοις κατανοεῖται· καὶ τὴν αὐτὴν ἔννοιαν πολλάκις ἄλλως εἴποι ὁ τυχὼν καὶ τῆς σπουδῆς ἀποτεύξεται, καὶ ἄλλως μεθοδεύσει ὁ ῥήτωρ κἀντεῦθεν πείσει, ἐπεί τοί γε καὶ ἡ ἐν τοῖς διηγήμασιν ἀναφορὰ καὶ βεβαίωσις τοῦτο ἐργάζεται, ὡς ἐγώ τινος ἤκουσα·[7] τοῦτο ἀναφορά· ἀνδρὸς μὴ οἷόν τε ψεύδεσθαι, τοῦτο βεβαίωσις· καὶ ὁ μὲν ῥήτωρ οὕτως εἴποι, ὁ δὲ τυχὼν μόνῃ πολλάκις τῇ ἀναφορᾷ βιασθεὶς χρήσεται καὶ τοῦ σκοποῦ ἀποτύχοι· καὶ πάλιν ὁ μὲν ῥήτωρ τὰ αὐτὰ λέξει ἢ ἑαυτῷ ἢ ἄλλῳ πλὴν λελῃθότως καὶ εὐμεθόδως· ὁ δὲ τυχὼν μὴ μεθοδεύσας καταγνωσθήσεται· ἡ δὲ μέθοδος τούτου διπλῆ, τάξεως μεταβολὴ καὶ μήκη καὶ βραχύτητες, ἡ αὐτὴ δὲ καὶ τοῦ παραφράζειν μέθοδος· ὁ δὲ καιρὸς αὐτῶν τοιοῦτος· ἡ μὲν συμβουλευτικὴ μήκη καὶ βραχύτητας δέχεται, τῆς γὰρ τάξεως μεταβολὴν οὐ δύναται ἔχειν, ὅτι ἐν συμβουλῇ τὸ κατεπεῖγον προτιμᾶται παρὰ παντὶ συμβουλεύοντι· ἐν δὲ τῇ πανηγυρικῇ νόμος ἐστὶ τῆς τῶν κεφαλαίων τάξεως ἀμετάβλητος· τοῖς μήκεσι γοῦν καὶ ταῖς βραχύτησι χρώμεθα· ὁ γὰρ Πλά-

7 Ol. II. p. 23.

των τὰ αὐτὰ τῷ Θουκυδίδῃ λέγων ἐν τῷ ἐπιταφίῳ ἔλαθεν, ὅτι ὁ μὲν Θουκυδίδης τὰ τοῦ πολέμου παρεὶς τὰ περὶ τῆς πολιτείας ἐπλάτυνε, Πλάτων δὲ τοὐναντίον ἐποίησε πλατύνας τὰ τοῦ πολέμου καὶ τὰ περὶ τῆς πολιτείας συστείλας. Ὁ γοῦν πολιτικὸς λόγος διὰ πασῶν μὲν τῶν προειρημένων γίνεται ἰδεῶν, οὐ μὴν ἁπλῶς γε, κραθεισῶν δὲ πρὸς ἀλλήλας, ὁ μὲν τῇ ἀρίστῃ μίξει χρησάμενος τὸν ἄριστον πολιτικὸν ἀπεργάσεται, ὁ δὲ μετ' ἐκεῖνον τὸν καταδεέστερον, ὁ δὲ μετὰ τοῦτον τὸν ἔτι καταδεέστερον. Ἐν γοῦν τῷ πολιτικῷ λόγῳ προηγουμένως πλεονάζειν δεῖ τὴν σαφήνειαν, εἴτουν τήν τε καθαρότητα καὶ τὴν εὐκρίνειαν, ἔπειτα τὸ ἠθικόν τε καὶ ἀληθινὸν, καὶ δεύτερον μετὰ ταῦτα τὸ γοργόν· τούτοις δὲ παραπλησίως καὶ τὴν περιβολήν· τραχύτητα δὲ καὶ σφοδρότητα οὐ παραπλησίως τῇ περιβολῇ· καταδεέστερον δὲ καὶ τρίτον λόγον, ἔτι δὲ ἐνδεέστερον τούτων σεμνότητα καὶ δεινότητα καὶ ἀκμήν. Δεινότητος δὲ τῆς μὲν ἐν μεθόδῳ μέτεστι τούτῳ μάλιστα, τῶν δὲ λοιπῶν ὡς ἐλάχιστα· κάλλους δὲ τοῦ κομμωτικοῦ πλεονάζοντος καὶ αὐτοῦ, πλὴν ἀνεμφάτως καὶ ἧττον τὸ φανερὸν ἔχοντος. Ἐπεὶ ὁ πολιτικὸς λόγος διαιρεῖται εἰς συμβουλευτικὸν, δικανικὸν καὶ πανηγυρικὸν, οἱ μὲν συμβουλευτικοὶ λόγοι οὐ πολὺ τὸ ἠθικὸν ἔχουσι καὶ ἐπιεικὲς, ἀλλὰ μᾶλλον τὰ μέγεθος ποιοῦντα μετὰ καὶ τῆς οὔσης τε καὶ φαινομένης δεινότητος· ἀξίωμα γὰρ θέλει ἔχειν ὁ σύμβουλος, ἤθους δὲ ὀλιγάκις μετέχειν δεῖ, πλὴν ὅσον ἐν βαρύτητι καὶ τοῦ κατ' εἰρωνείαν σφοδροῦ μετρίως μετέξει. Εἰ δὲ καί τινες συμβουλευτικοὶ πολὺ τὸ ἠθικὸν ἔχουσι παρὰ Δημοσθένει, ὡς ἰδίως συμβουλευτικοὶ ἐπιγραφόμενοι, οὐ δεῖ θαυμάζειν· προσώπων γὰρ ἰδιότης καὶ διαφοραὶ καιρῶν τὰ τοιαῦτα εἰσάγουσιν, οὐ μὴν τοῦ συμβουλευτικοῦ τύπου τὰ τοιαῦτά εἰσιν· ἐπεί τοί γε καὶ ἀκμῆς ὡς ἐλάχιστα μέτεστι τούτῳ· ἀλλ' ὅρα πῶς ἐν τοῖς Φιλιππικοῖς

πλεο-

πλεονάζει ἡ ἀκμὴ διὰ τὸ τοῦ Φιλίππου πρόσωπον· καὶ ὁ μὲν συμβουλευτικὸς τοιοῦτος· ὁ δ' αὖ δικανικὸς ἀνάπαλιν ἔχει, εἰ μὴ περὶ δημοσίων εἴη καὶ μεγάλων πραγμάτων, καὶ συμβουλῆς ἐγγύς, ὡς ἔχουσιν ὅ τε κατὰ Ἀριστοκράτους καὶ ὁ περὶ τοῦ στεφάνου· οὗτοι γὰρ δικανικοὶ ὄντες τύπον ἔχουσι συμβουλευτικόν. Τῷ μέντοιγε δικανικῷ ἤθους τε καὶ τοῦ κατ' ἐπιείκειαν καὶ ἀφέλειαν μέτεστι πλέον· βαρύτητος δὲ ἤ τινος τῶν τοιούτων ἥκιστα· ἢ ὅτι βραχύτητα πρὸς τὸν ἀντίδικον μόνον δηλαδή, μέγεθος δὲ τὸ κατὰ τὴν περιβολὴν πολὺ μὲν ἀπὸ ἐννοιῶν δέχεται, καὶ πλέον ἢ κατὰ τὴν μέθοδον, πλὴν δέχεται καὶ ταῦτα ὡς ἐλάχιστον, τὰς δὲ ἄλλας τοῦ μεγέθους ἰδέας οὐδαμῶς, πλὴν εἰ μή που τὴν κατ' ἔννοιαν σφοδρότητος μετὰ σχημάτων τῶν περὶ αὐτὴν καὶ τῶν λέξεων· τοῖς δὲ λοιποῖς μέρεσι τοῦ ἁπλῶς πολιτικοῦ χρῆται, καθάπερ ἐλέγομεν, καὶ ὥσπερ δὴ ὁ συμβουλευτικὸς μετὰ τῶν ἰδίων κἀκεῖνα ἐδέχετο.

Ὁ μέντοιγε πανηγυρικὸς οὐχ ὁ ἐν ζητήμασι πολιτικός, ἀλλ' αὐτὸ δὴ τοῦτο πανηγυρικός, ὃς οὐδὲ πολιτικὸς ἴσως ἂν κληθείη, δέχεται τὰς τὸ μέγεθος ποιούσας ἰδέας, πλὴν σφοδρότητος καὶ τραχύτητος· διήκειν δέ πως χρὴ διὰ τούτων καὶ τὴν ἀφέλειαν, μὴ ἐλαττουμένην αὐτῶν, πλὴν εἰ μήπως βούλεται ὁ ῥήτωρ ἐξαίρειν τὸν λόγον εἰς σεμνότητα· αἱ δὲ γλυκύτητες καὶ μάλα καιρὸν ἔχουσιν ἐνταῦθα καὶ αἱ ἐπιμέλειαι καὶ αἱ ὀξύτητες. δεινότης δὲ ἡ μὲν κατὰ μέθοδον, ἥπερ οὐ φαίνεται καὶ ἔστι, πάντως ὕπεστι καὶ τῷ πανηγυρικῷ· αἱ δὲ λοιπαὶ οὐδαμῶς, ἢ ὅτι ὡς ἐλάχιστον· γοργός τε μὴν ὡς ἐλάχιστον ὁ πανηγυρικὸς λόγος ὀφείλει εἶναι. ἀφήγησις γάρ ἐστι σχεδὸν ἅπας, τοῖς δὲ ἄλλοις μέρεσι τοῦ ἁπλῶς πολιτικοῦ λόγου χρήσεται καὶ αὐτὸς, καὶ μᾶλλον τῇ σαφηνείᾳ ἧς οὐδὲν χρησιμώτερον· οὐδὲ τοῖς ἀμοιβαίοις τῶν πανηγυρικῶν, ὡς ἔστιν ἰδεῖν παρὰ τῷ Πλάτωνι· ἤδη καὶ αἱ τρα-

χύτητες καὶ αἱ σφοδρότητες, καὶ αὖ καὶ τὰ τῆς δεινότητος εἴδη πάντα, καὶ αἱ ἄλλαι ἰδέαι καιρὸν ἐσχήκασι κατὰ τὰς μιμήσεις τῶν προσώπων, ὥσπερ ἐν Γοργίᾳ, καὶ ἡ μὴ οὖσα φαινομένη δὲ δεινότης· καὶ οὕτως ἔχουσι ταῦτα, ὥστε μὴ κεκρᾶσθαι, ἀλλὰ κεχωρισμένα εἶναι ἀπ' ἀλλήλων. Ἐπεὶ δὲ τῶν ἐπιχειρημάτων καὶ ἐργασιῶν καὶ ἐνθυμημάτων τὰ μέν εἰσι πολιτικὰ καὶ ἀγωνιστικά, τὰ δὲ παν ηγυρικά, ὡς τὰ ἀπὸ προσώπου, καὶ τὰ ἀπὸ τρόπου καὶ πράγματος· τὰ γὰρ ἀπὸ τῆς αἰτίας πολιτικά εἰσι· καὶ αὖθις τὰ ἀπὸ ἴσου καὶ ἐλάττονος καὶ μείζονος παν ηγυρικά, ἄλλως δὲ τὰ πολιτικά· ἔχομεν καὶ σχήματα καθ' ἃ τὰ τοιαῦτα ἐκφέρονται· τὰ γοῦν παν ηγυρικὰ καιὰ πνεῦμα ἐκφέρονται, τὸ πνεῦμα δὲ ἐλέγχει τὰ διάφορα κῶλα, καὶ οἱ ἐπὶ τούτοις συμπλεκτικοί· ἀλλ' [8] ὃ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ κατασκάπτων Πορθμὸν, καὶ καθιστὰς ἐν μὲν Ἐρετρίᾳ Φιλιστίδην τύραννον, ἐν δὲ Ὠρωπῷ Κλείταρχον, καὶ ποιῶν τὸ καὶ τό· τοῦτο γάρ ἐστι τὸ πνεῦμα. Τὰ δὲ πολιτικὰ κατὰ περίοδον· περίοδος δέ ἐστιν ἡ τοῦ ὅλου ἐπιχειρήματος κλείς· ὃ γὰρ [9] οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ συσκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ· ἔστι δὲ ἡ περίοδος καὶ μονόκωλος καὶ δίκωλος καὶ τρίκωλος καὶ τετράκωλος, καὶ ἡ τετράκωλος ποτὲ μὲν χιάζεται. Ἔστι καὶ τὸ ἀντίθετον σχῆμα, καθὸ καὶ τὸ πνεῦμα καὶ ἡ περίοδος ἐκφέρεται. Ἀντίθετον δέ ἐστι τὸ προηγησαμένου τοῦ κατὰ φύσιν τὸ ἀντίθετον ἐπιφέρεσθαι, καὶ πάλιν τὸ κατὰ φύσιν, ὡς τό· εἰ μὲν ἑώρων σε, ὦ Ἀλκιβιάδη, καὶ τὸ, εἰ μὲν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον· τοῦτο τὸ

8 pro cor. p. 248. 9 Phil. III. p. 115.

ἀντίθετον· ἐπεὶ δὲ τὸ καὶ τὸ, τοῦτο τὸ κατὰ φύσιν· Ἐκφέρεται γοῦν πνεῦμα κατὰ τὸ ἀντίθετον οὕτως· εἰ μὲν οὖν αὐτὸς παρῆν καὶ τὸ καὶ τὸ ἐποίει, οὕτω κἀγὼ ἐποίουν, ἐπεὶ δὲ αὐτὸς οὐ παρῆν, καὶ τοῦτο διὰ πολλῶν ἐκφερόμενον κώλων πνεῦμα γίνεται κατὰ τὸ ἀντίθετον. Τοῦτο δύναται καὶ κατὰ περίοδον συνταλῆναι· οἷον, ἃ γὰρ ἐποίησα παρόντος αὐτοῦ καὶ ἐνεργοῦντος, ταῦτα διὰ τὸ μὴ παρεῖναι τοῦτον ἠθέτησα. Λοιπόν ἐστι μαθεῖν καὶ περὶ τῶν ἐσχηματισμένων προβλημάτων, ὅτι τριχῶς γίνονται, καὶ τὰ μέν ἐστι κατὰ τὸ ἐναντίον, ὅτε τὸ ἐναντίον οἰκονομοῦμεν οὗ λέγομεν, οἷον τὸν μαινόμενον φεύγειν ὁ νόμος ἐκέλευε· φήμης οὔσης ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικὶ, ἀξιοῖ ὁ παῖς ὡς μαινόμενος φεύγειν· ἐνταῦθα γὰρ τὸ ἐναντίον οὐ βούλεται λέγειν διὰ τὸ μὴ ἔχειν παῤῥησίαν λέγειν κατὰ τοῦ πατρός· τὰ δὲ κατὰ τὸ πλάγιον, ὅτε σὺν τῷ ἐναντίῳ καὶ ἄλλο τι πλαγίως ἐκφαίνομεν· οἷον πλούσιος ἐν λιμῷ ὑπέσχετο θρέψειν τὴν πόλιν, εἰ λάβοι τὸν πένητα πρὸς σφαγήν· οὐκ ἔδωκεν ὁ δῆμος, καὶ ὁ πένης ἑαυτὸν προσαγγέλλει· ἐνταῦθα γὰρ πρὸς τὸ κατασκευάζειν τὸ ἐναντίον οὗ λέγει καὶ πλαγίως ἐμφαίνει, ὅτι οὐδὲ τόσον σίτου ἔχει ὁ πλούσιος, καὶ ὅτι εἰ καὶ εἶχεν, ἔδει καὶ ἄκοντος αὐτοῦ τὸν δῆμον ἀναλαμβάνειν. Τὰ δέ εἰσι κατὰ ἔμφασιν, οἷον φήμη ἦν, ὅτι σύνεστιν ὁ πατὴρ τῇ τοῦ υἱοῦ γυναικὶ, μοιχὸν καταλαβὼν ἐγκεκαλυμμένον ὁ υἱὸς ἀφῆκε καὶ ἀποκηρύσσεται, ὁ δὲ παῖς ἐσχηματισμένως κατὰ ἔμφασιν ἀπολογήσεται, μὴ ἔχων παῤῥησίαν ἄλλως εἰπεῖν· ἐν γοῦν τοῖς τοιούτοις ἐσχηματισμένοις μία ἐστὶ μεταχείρισις, ἡ τῶν ὑποφορῶν κατασκευὴ, ὥστε εἶναι αὐτὰς ἰσχυροτέρας τῶν λύσεων, ὧν αὐτὸς ἐκεῖνος ὁ ἐσχηματισμένως λέγων ἐρεῖ, ἐν δὲ τοῖς κατ' ἔμφασιν ἐσχηματισμένοις δεῖ

10 Ven. μεταχείρησις. scr. μεταχείρισις.

καὶ ὀνομάτων εὐπορῆσαι διττὰ δηλῶσαι δυναμένων· οἷά εἰσι τὸ συνέσται τῇ νύμφῃ καὶ συζήσεται· κοινὰ γάρ εἰσι καὶ τοῦ ἄλλου βίου τὰ τοιαῦτα ὀνόματα, καὶ δηλοῦσι καὶ τὸ ἀνεύθυνον καὶ τὸ σεσημασμένον· ἀλλὰ καὶ ἡ τῆς φράσεως ἀκολουθία συγκειμένη τε καὶ διαλυομένη ἄλλο καὶ ἄλλο δηλοῖ· οἷον καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων πατρὸς, σὺ δὲ ἦς οὐδαμοῦ· τῷ γὰρ μοιχῷ καὶ τῷ πατρὶ προστεθὲν τὸ σὺ δὲ ἦς, τῇ συνθέσει τὴν ἔμφασιν ἐδήλωσε, τὴν ἀσφάλειαν δὲ ἔχει ἑκάτερον ἀπὸ τοῦ οὐδαμοῦ.

---

## Cap. II.[1]

Ἀλλ' ἀναληπτέον τὸν λόγον καὶ σαφηνείας ἕνεκα τὰ περὶ τούτων ῥητέον, καὶ παραδειγματιστέον τὰ τῆς τέχνης ἐπεξεργαζομένους. Πᾶν εἶδος λόγου ἐκ μερῶν ὀκτὼ σύγκειται, ἐννοίας, λέξεως, σχήματος, μεθόδου, κώλων, συνθήκης, ἀναπαύσεως καὶ ῥυθμοῦ. Ἔννοια τοίνυν ἐστὶ παντὸς λόγου ἢ ῥητορικὴ ἢ φιλόσοφος· ῥητορικὴν λέγω τὴν σαφῆ καὶ κοινὴν, φιλόσοφον τὴν σεμνὴν καὶ ἐπηρμένην καὶ περὶ θεοῦ καὶ θείων πραγμάτων καὶ φυσικὴν ἤτοι περὶ στοιχείων ἢ ζώων ἢ φυτῶν καὶ τοιούτων. Ῥη-

---

1 In Med. 2. titulus est, Ῥητορική· περὶ τοῦ πανηγυρικοῦ εἴδους τοῦ λόγου. Ἔστω εἰς παράδειγμα λόγου βασιλικός· ὁ τοίνυν βασιλικὸς λόγος etc. Post hoc caput ponit: περὶ τῶν ὀκτὼ στιγμῶν. περὶ τρόπων ποιητικῶν. περὶ τῶν τῆς λέξεως παθῶν. In Par. MMCMXVIII. Fol. 174. b. fragmentum exstat sine titulo, incipiens: Πᾶσα λόγου ἰδέα ἐκ μερῶν ὀκτὼ σύγκειται, ἐννοίας κ. τ. λ. — καὶ ῥυθμοῦ, περὶ ὧν μάθῃς μὲν ἐν τῷ τῶν ἰδεῶν βιβλίῳ τοῦ Ἑρμογένους πλατύτερον καὶ σοφώτερον. ἐνταῦθα δὲ διδάξομέν σε ὡς ἐγχωρεῖ, καὶ μάλιστα κατὰ τὴν σήμερον τιμωμένην λογογραφίαν. Ἔνοια (sic.) τοίνυν etc.

τορικὴ οὖν ἐστιν ἡ τοιαύτη· πρόκειται ἡμῖν τοῖς Βυζαντίοις ζήτησις τυχὸν, εἰ δεῖ ὀρύξαι τὸν Ἰσθμὸν τὸν ἐν τῷ δεῖνι τόπῳ τῶν Ῥωμαίων· ὁ συμβουλέυων οὖν, ὅτι δεῖ ὀρύξαι προσθεὶς πάντως τοῦτο κεφάλαιον περὶ τῆς ὀρύξεως (τὰ τοιαῦτα γὰρ ἡ ῥητορικὴ κεφάλαια ὀνομάζει) εἴποι [2] οὕτως· ὀρυκτέον τὸν Ἰσθμὸν, εἶτα κατασκευάσει δι' ἐπιχειρημάτων ῥητορικῶν, ἅπερ ὁρμῶνται ἐκ τῶν ἓξ περιστατικῶν, προσώπου, πράγματος, τόπου, χρόνου, αἰτίας, [3] τρόπου, λέγων, μεγαλουργοὶ [4] οἱ Βυζάντιοι καὶ δεῖ θαῤῥῆσαι τούτους καὶ τὴν τοιαύτην ὄρυξιν· τοῦτο ἐπιχείρημα ἀπὸ [5] τοῦ προσώπου τῶν Βυζαντίων· ἐκ δὲ τοῦ πράγματος ἐπιχείρημα· ἄλλως τε καὶ ἡ ὄρυξις πολλοῖς πολλάκις ὡς ἐν μέρει παιδιᾶς ἀνύεται· ἐκ δὲ τοῦ τόπου, ὅτι καὶ ἡ γῆ τοῦ Ἰσθμοῦ ἐκείνου σομφὴ [7] καὶ χαύνη καὶ οὐ στεγανὴ καὶ πετρώδης· ἐκ δὲ τοῦ χρόνου, ὅτι οὐδὲ χειμὼν ἡμῖν ἐνοχλεῖ συστέλλων τὰς χεῖρας τῶν ὀρυσσόντων, καὶ τὴν γῆν κρύπτων ἐπὶ στοιβασμῷ χιόνος, ἀλλ' ἔαρ ἢ [8] θέρος ἐστίν· ἐκ δὲ τοῦ τρόπου, ὅτι ὀργάνοις τοῖς ἐκ σιδήρου ὀρύξομεν, ἰσχύουσι καὶ κατὰ τῶν σκληρῶν. ἐκ δὲ τῆς αἰτίας, ἵνα μὴ οἱ πολέμιοι διαβαίνοντες δι' ἐκείνου τοῦ Ἰσθμοῦ λῃΐζωνται τὰ ἡμέτερα· ἕως τοῦδε τὰ ἐπιχειρήματα, μετὰ δὲ ταῦτα αἱ ἐργασίαι· γίνονται δὲ αὗται ἐκ παραδείγματος, ἐκ παραβολῆς καὶ ἐξ ἑτέρων· ἐκ παραδείγματος οὖν κατασκευάσει ὁ γράφων οὕτως· πάλαι καὶ Ξέρξης ἐθαῤῥήσε τοῦτο τὸ ἔργον, καὶ ἤνυσε τὴν τοῦ Ἄθω ὄρυξιν· καὶ εἰθὺς τὰ ἐνθυμήματα, ἃ καὶ νοήματα λέγεται ἐκ τῶν ἓξ καὶ ταῦτα περιστατικῶν ὁρμώμενα καὶ κατὰ σύγκρισιν ἐκφερόμενα· καὶ μὴν ὁ Ξέρξης καὶ οἱ Πέρσαι οὐχ οὕτω μεγαλουργοὶ, ὡς ἡμεῖς·

---

2 Par. εἴπῃ. 3 Par. τρόπου, αἰτίας. 4 Par. inserit γάρ. 5 Par. ἐκ. 6 Par. παιδιᾶς. Ven. παιδείας. 7 Ven. ad marg. βουνοειδὴς ἢ χαῦνος. 8 Par. ἤ. Ven. καί.

τοῦτο ἐκ τοῦ προσώπου τὸ ἐνθύμημα· ἐκ δὲ τοῦ χρόνου· ἄλλως τε καὶ χειμῶνος ἐκεῖνος ὥρυξε, καὶ πολέμου τυχὸν ἐπικειμένου, ἡμεῖς δὲ ἔαρος, καὶ ἐν εἰρήνῃ· ἐκ δὲ τοῦ τόπου· ἐκεῖνος ὄρος λιθῶδες, ἡμεῖς γῆν ψαμμώδη· ἐκ δὲ τοῦ τρόπου· ἐκεῖνος χερσὶν ἴσως γυμναῖς, ἢ ὀργάνοις οὐ στερεοῖς, ἡμεῖς δὲ σιδηρέοις, ἔτι καὶ διὰ πολυχειρίας· ἐκ δὲ τῆς αἰτίας· καί τοι ἐκεῖνος διὰ μόνην φιλοτιμίαν ὤρυξε καὶ κόμπον ἄλογον, ἡμεῖς δὲ ἵνα τὴν ἔφοδον τῶν ἐχθρῶν ἀποκλείσωμεν· ἕως ὧδε τὰ ἐνθυμήμαται· τὰ δὲ μετὰ τὸ πρῶτον καὶ ἐπενθυμήματα λέγονται· οὔτε δὲ ταῦτα οὔτε τὰ ἐπιχειρήματα τάξιν ἔχουσιν ἐξ ἀνάγκης, ὡς πρῶτον μὲν τίθεσθαι τὸ ἐκ τοῦ προσώπου, εἶτα τὸ ἐκ τοῦ πράγματος, καὶ τόδε μετὰ τόδε, ἀλλ' ὡς παρέχει τὰ πράγματα καὶ ὡς ὁ γράφων κρίνει, οὕτω καὶ τίθενται· μάλιστα δὲ ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα δεῖ προσχωρεῖν, ὡς ἂν ὁ λόγος ἀκμάζοι· ἀλλ' οὐδὲ τὰ πάντα τιθέναι ἀνάγκην ἔχει ὁ ῥήτωρ. Ἐκ δὲ παραβολῆς ἐργασία, ὁρᾶτε ὡς ἑκάστοτε καὶ ζῶα χθόνια ἢ πτηνὰ ὄρυξιν ἐργάζονται, καὶ ὁ μὲν ὄρνις κολάπτει δρυὰς, μῦς δὲ γῆν ἀναχώννυσι, τὸ καινότερον καὶ μύρμηξιν· εἶτα τὰ ἐνθυμήματα κατὰ σύγκρισιν· καὶ μὴν ὁ δρυοκολάπτης μετὰ τοῦ ῥύγχους, καὶ χωρὶς ὀργάνων, καὶ ξύλον σκληρὸν καὶ ὑπὲρ μηδενὸς τυχὸν συμφέροντος, καὶ τὰ λοιπὰ ἀκολούθως· ἡμεῖς δέ τοι, ὡς δὲ καὶ διὰ τόδε καὶ ἑξῆς· εἰ δὲ θέλεις, καὶ δεύτερον ἐπάξεις παράδειγμα καὶ παραβολὴν, καὶ πάλιν οἰκεῖα τούτοις ἐνθυμήματα, καὶ οὕτος ἀμύθητος ὁ τοῦ λόγου γίνεται πλοῦτος· πάντα δὲ ταῦτα ῥητορικαὶ ἔννοιαι, ὡς ὁρᾷς· αἱ δὲ φιλόσοφοι τοιαίδε ἐπιχειρήσεις· ἐκ τοῦ προσώπου ἐπὶ τῇ ὀρύξει· οὕτως μεγαλουργοὶ γὰρ οἱ Βυζάντιοι, καὶ ἡ καρδία τούτοις εἰς ἀνδρίαν ἐπαίρεται καὶ ἀναζέει, καὶ τὸ αἷμα τὸ θυμικὸν οὐ ψύχεται φρίκῃ δειλίας καὶ πόνων ὄκνῳ· καὶ γὰρ ἐκ προγόνων εἰς αὐτοὺς τὸ γενναῖον προέβη, ὅτι καὶ ἡ τοῦ

γόνου καταβολή, καθὸ ἐκ τῶν καιριωτέρων τῆς τοῦ ζώου πλάσεως τῆς φύσεώς τι συνεπισπᾶται, καὶ ἡ ἀγωγὴ δὲ ἡ πατρόθεν τούτοις τοῖς ἀνδρείοις ἔργοις προσείθισεν· ἐκ δὲ τοῦ τόπου τυχὸν οὕτως· ψαμμώδης ἡ γῆ τοῦ Ἰσθμοῦ ὡς διὰ βάθους τῷ ἡλίῳ φλεγομένη καὶ ἐξικμαζομένη νοτίδα πᾶσαν, ὑφ ἧς ὁ διακεκριμένος χοῦς συμφορᾶται καὶ συγκολλᾶται, καὶ εἰς βώλους ἀποσκληρύνεται, ἡλίῳ συμμέτρῳ προσομιλῶν καὶ τὰ τοιαῦτα· ἐκ δὲ τοῦ χρόνου· οὐ γὰρ χειμὼν ἡμῖν ἐνοχλεῖ καὶ χιὼν ὕδωρ τὴν ὕλην ἔχουσα, νέφεσι μὲν ἐναπολαμβανόμενον, διαῤῥιπαζομένων δὲ τούτων ἀνέμοις, ἐξαφριζόμενον καὶ ἐκεῖθεν ἐκπεμπόμενον ἀφρῶδες· εἶτα πηγνύμενον εἰς νιφάδας τῷ ψύχει τοῦ περιέχοντος, ὡς τοῦ ἡλίου τὰ κάτω καὶ περὶ τὰ μεσημβρινὰ ἐλαύνοντος, καὶ μὴ τὰ ἐνταῦθα θάλποντος. οὕτω καὶ τὰ λοιπά· πλατύνεται δέ σοι εἰς μόνον ὑπόδειγμα· αὐτοὺς δὲ τοὺς λόγους οἰκονομήσεις ἐν κρίσει· ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμηθείης καὶ εἰς τὸ ἐναντίον, ἐὰν κατασκευάζῃς δηλονότι τὸ δεῖ μὴ ὀρύξαι· ἀλλὰ καὶ ἐγκωμιαστικῶς οὕτω δύναται καὶ τοῖς ῥητορικοῖς καὶ τοῖς φιλοσόφοις χρῆσθαι· οἷον ἐπαινῶν βασιλέα ἔλθοις τυχὸν εἰς τὸν σωφροσύνης λόγον,[9] καὶ θέλεις ἐξᾶραι τὴν ἀρετὴν ταύτην τοῦ βασιλέως· εἴποις· μέγα ἡ σωφροσύνη, ἡ δὲ τοῦ βασιλέως μεγίστη, καὶ τὰ ἐπιχειρήματα ἐκ τοῦ προσώπου· βασιλεὺς γὰρ σωφρονεῖ ἔχων περιῤῥεῖσθαι τρυφῇ ὅση βούλεται. καὶ ἐκ τοῦ χρόνου· νέαν ἄγω τὴν ἡλικίαν καὶ ἀκμάζουσαν, καὶ ἐν εἰρήνης καιροῖς καὶ πανηγύρεων· τὸ δὲ περὶ τῆς νέας ἡλικίας εἶναι δόξει καὶ ἀπὸ τοῦ προσώπου· ἐκ τοῦ τόπου· περὶ τὰ ἀνάκτορα στρεφόμενος καὶ τοὺς βασιλείους ἀναγκαίως θαλάμους, ἢ τὴν τοῦ κάλλους θρέπτειραν πόλιν· ἐκ τῆς αἰτίας· δι' αὐτὸ τὸ φύσει καλὸν καὶ τὸ τοῦ χρή-

9 Med. 1. μῦθον. ad marg. γρ. λόγον.

ματος θεῖον, οὐχ ἵνα μισθὸν τῆς σωφροσύνης ἐξ ἀνθρώπων ἀπενέγκηται, καὶ γέρας γήϊνον καὶ τιμὴν ἢ θρόνον· πῶς γὰρ ὁ ὑπὲρ πᾶσαν τὴν καθ' ἡμᾶς τίμησιν, καὶ πάντων ὄλβων κύριος καὶ τὰ τοιαῦτα; Φιλοσοφήσεις δὲ ἐν τούτοις καὶ φυσικεύσεις οὕτως· σωφρονεῖ ὁ βασιλεὺς, καίπερ ἀκμάζων, ἥτις ἡλικία πολὺ τὸ φλέγον ἐξ αἵματος, καὶ τοῦ ἐμφύτου θερμοῦ καὶ ζέουσαν κρᾶσιν καὶ εἰς Ἀφροδίτην ἐπαίρουσαν, καὶ τὰ δοχεῖα τῆς φύσεως πληρούμενα τοῦ λυποῦντος ἐζήτησε κούφισιν·[10] ὁ δὲ πλατυσμὸς τούτων ὡς ἐρρήθη[11] σοι πρὸς μόνον ὑπόδειγμα, οὐχ οὕτω δὲ μόνον, ὡς ἐδείχθη, τίθενται τὰ φυσικὰ, ἀλλὰ καὶ ἐν παραβολαῖς, οἷος πρᾷος ὁ βασιλεὺς καὶ τὴν ὀργὴν ἐπέχει καὶ ἐν τοῖς ὀργιστέοις μικρόν τι μόνον ἀπειλῶν πρὸς ἀναχαίτισιν[12] τῆς κακίας, καὶ ἡ παραβολὴ, ἡ βασίλειος ὀργὴ, ὡς ἄρα δὴ καὶ ἡ τεράστιος θάλασσα, τὸ μέγα κτίσμα τοῦ παντουργοῦ, ἐπειδὰν ἐναποκλεισθέντος τοῖς ὑγροῖς πνεύματος καὶ ζητοῦντος διέξοδον ἀνασοβεῖ τὸ ὕδωρ καὶ πρὸς τὴν ὑποκειμένην γῆν καὶ τὰς ἀκτὰς καταῤῥεῖ· κουφότερον γὰρ τὸ ὕδωρ καὶ ὑψηλότερον καὶ ἀπειλεῖ μὲν κατάκλυσιν τοῦ ὑποβεβηκότος στοιχείου, θαυμαστῶς δὲ πάλιν ὑπονοστεῖ, ὡς καὶ σωφρονίζειν τοὺς παροικοῦντας τῇ ἀπειλῇ, καὶ μὴ ἐξαφανίζειν ἐκ τῆς ὑπονοστήσεως· οὕτω τοι καὶ θυμὸς ὁ βασίλειος τοῖς ὑποτεταγμένοις ἀπειλήσας ἐπέχεται πάλιν, ἤ πάλιν ὡς ἐν παραδείγματι πραΰνεται τοῖς πταίουσιν ὁ κρατῶν, ὡς καὶ αὐτὸς ὁ θεός· τὸ γὰρ θεῖον πάντως πάθους ἐλεύθερον, μὴ ἀλλοιούσης κινήσεως καὶ θυμοποιούσης ἐξ ἱλαρότητος ὑπερκείμενον αὐτοὶ πλημμελοῦντες ἐκκαλοῦμεν εἰς ἡμετέραν παιδείαν· ὅμως καὶ οὕτως τὸν σωφρονίζοντα παταγμὸν ἔχει, εἰ μέχρι τέλεον ἀνεπι-

10 Ven. κούφησιν. supra η est ι. Par. κούφησιν. 11 Par. ἐρέθη. 12 Ven. ἀναχαίτησιν. apud Jo. Sicel. p. 233. v. 16. scribitur ἀναχαίτισις.

στρόφους ἡμᾶς ἴδῃ· οὕτω τοι καὶ ὁ βασιλεὺς θεοειδέστερος ἡμῖν πραΰνεται καὶ τὰ τοιαῦτα· σὺ γοῦν, εἰ θέλεις εὐδοκιμεῖν, καὶ μᾶλλον ἐν τοῖς ἄρτι καιροῖς μικτοὺς ἐργάζου λόγους ἔκ τε [13] τῶν ῥητορικῶν ἐννοιῶν καὶ τῶν φιλοσόφων· εἰ γὰρ μόνον ῥητορεύεις, ταπεινὸς λογογράφος δόξεις, εἰ δὲ πλέον τοῦ εἰκότος φιλοσοφεῖς, ξηρότερος καὶ ἄκαιρα γράφων, ὥστε ἡ μίξις ἐπαινετή. Εἰς παράδειγμα τῆς τοιαύτης μίξεως κείσθωσάν σοι [14] οἱ λόγοι τοῦ μεγάλου Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Νύσσης, οἱ τοῦ Ψελλοῦ λόγοι καὶ ἐπιστολαὶ, Συνέσιος, ὁ Θεμίστιος, ὁ Πλούταρχος καὶ ἀπὸ τῶν νεωτέρων ὅσους ἂν συνίδῃς [15] τούτοις ἀκολουθοῦντας· εἰς δὲ παράδειγμα πάλιν τῆς μόνως ῥητορικῆς λογογραφίας κείσθω σοι ὁ Χρυσόστομος, καὶ μᾶλλον ἐν τοῖς ἠθικοῖς αὐτοῦ ὁ Μεταφραστὴς, ὁ Λιβάνιος, ὁ Ἀφθόνιος, ὁ Προκόπιος Γάζης, ὁ Χορίκιος, ὁ Ἰμέριος, ὁ Λουκιανός· ἅπτεται δὲ οὗτός ποτε [16] καὶ φιλοσόφων ἐννοιῶν, ὁ Δημοσθένης, καὶ μᾶλλον εἰ ἐναγώνια [17] γράφεις καὶ ῥητορικῶς ἐγκατάσκευα, καὶ ὁ Λυσίας, καὶ ὁ Ἰσοκράτης, καὶ ἀπὸ τῶν νεωτέρων ὃν συνίδῃς τούτοις ἀκολουθοῦντα· ἐν δὲ ταῖς ἀφηγηματικαῖς ῥητορικαῖς ἐννοίαις ἡ Χαρίκλεια, [18] ἡ Λευκίππη, [19] ὁ Φιλόστρατος ἐν τοῖς περὶ τοῦ [20] Ἀπολλωνίου, ὁ Ξενοφῶν, ὁ Καισαρεὺς Προκόπιος· οὗτος ἔν τε δημηγορίαις καὶ συμβουλαῖς ἔχει τι καὶ ἐναγώνιον καὶ ἐγκατάσκευον, καὶ οὐχ ἁπλῶς ἀφηγηματικός ἐστιν· αἱ ἐπιστολαὶ τοῦ Λυκόφρονος, καὶ μᾶλλον εἰς ἀφελεῖς ἐννοίας καὶ εἰς τὴν αὐτοῦ φράσιν.

---

13 Par. ἔκ τε ῥητορικῶν ἐνοιῶν [sic] καὶ φιλοσ. 14 σοι Ven. om. recepi ex Med. 3. et Par. 15 Med. 3. et Par. συνειδῇς. 16 ποτε ex Par. recepi. 17 Ven. ἐναγώνιος. Med. 1. ἐναγωνίως. Med. 3. ἐν ἀγῶνι Par. ἐν ἀγώνια. 18 Heliodorus. 19 Achilles Tat. 20 τοῦ ex Par. recepi.

## Cap. III.

### ΠΕΡΙ ΤΟΥ ΑΦΗΓΕΙΣΘΑΙ ΚΑΙ ΕΝΘΥΜΗΜΑΤΙΖΕΣΘΑΙ. [1]

Τὸ διηγηματικὸν τήρει ἀεὶ, [2] ἐν οἷς δεῖ μέρεσι τῶν

---

1 In Med. 1. titulus: περὶ διηγηματικοῦ. Par. titulum om. — Idem habet ad marg. Πολυμάθεια, λογιότης, εὐφυΐα, τὰ τρία δι' ἐπιμελείας τῷ ἐνδεικτικῷ λογογράφῳ· καὶ τὴν μὲν πολυμάθειαν ἐπιδείξεται διὰ παραδειγμάτων πολλῶν καὶ διαφόρων, καὶ μᾶλλον οὐ πανδήμων ἀλλὰ σπανίων· τὴν δὲ λογιότητα διὰ παραβολῆς, οὐδ' ἐκ τῶν κοινῶν, ἀλλὰ φυσικωτέρων καὶ ἐμφιλοσόφων· τὴν δὲ εὐφυΐαν διὰ τῶν ἐπιχειρημάτων καὶ ἐνθυμημάτων. ταῦτα γὰρ κάλλιστα τοῦ οἰκείου νοὸς δοκοῦσιν ἐπιβολαί· καὶ πάλιν εὐφυΐας μὲν τοῦτο, ἐὰν μέλλω γράψαι πρὸς φίλον· ὑγιαίνοις καὶ σῶμα καὶ ψυχὴν, εἴπῃς οὕτω· τὸ σῶμά μέν σοι διαφυλάττοιτο ἀνεπιδεὲς τέχνης ἰατρικῆς, ἡ δὲ ψυχὴ τῆς κακοτεχνίας ἀνωτέρω τοῦ πονηροῦ· κἀκεῖνο μὲν τῶν νοσηλείων φαρμάκων, αὕτη δὲ δηλητηρίων κρείττων εἴη τοῦ ὄφεως. — Λογιότητος δὲ, ἂν εἴπῃς περὶ τῶν αὐτῶν οὕτω· τὸ μὲν σῶμά σοι εὐεκτοίη καὶ μή τινος πλεονεξία χυματικὴ τοῦτο παρενοχλοίη, μηδὲ καταστασιάζοιεν ἀλλήλων τὰ ἐν τούτῳ στοιχεῖα, τῆς ἐκ φύσεως ἰσονομίας ἐξιστάμενα καὶ εἰρήνης, εἴη δέ σοι τὸ ἀστασίαστον καὶ τὸ εὔτακτον καὶ ἐν τοῖς μέρεσι τῆς ψυχῆς εἴτε δυνάμεσι, καὶ ἄρχοι μὲν τὸ κρεῖττον καὶ λογιστικὸν, ἄρχοιτο (Cod. ἄρχοι) δὲ τὸ χεῖρον καὶ ἄλογον. Πολυμαθείας δὲ εἴτουν εὐπορίας ἐὰν ποικίλαις κέχρησαι ταῖς ἐννοίαις, καὶ ταύταις κἀκείναις ὁμοῦ· εὐκαίρως γε μὴν τὸν αὐτὸν τύπον τηρήσεις καὶ ἐν τοῖς ἀφηγηματικοῖς, πλὴν δὲ οὐ πάνυ καταπυκνώσεις τὸν λόγον, ἵνα μὴ νόημα νοήματι ἐπιπίπτον καὶ ἐπίδειξις ἐπιδείξει ἀπειρόκαλον δόξῃ καὶ συγχέῃ μᾶλλον τοῦ λόγου τὸ δόκιμον· ἀλλ' ἐν τῷ μεταξὺ καὶ ἁπλῶς ἀπαγγελῇς τὴν φράσιν, καὶ μὴ ἀφαμαρτὼν ἢ μᾶλλον ἐν τῇ ἀπαγγελτικῇ φράσει· μεταξὺ θήσει τὰ ἐπιδεικτικὰ, καὶ τοσαῦτα, ὁπόσα τυχὸν ἐν τοῖς τοίχοις τὰ ῥαβδώματα, ἢ τὰ γόνατα ἐν τῷ στάχυϊ, καὶ ἐν τοῖς καλάμοις οἱ σύνδεσμοι, ἴσως καὶ πυκνότερον καὶ μηδὲ τὰ μεταξὺ τοῦ λόγου ἄξεσια παρα-

λόγων, ἐφαρμόττων ταῖς πρεπούσαις ἐπιβολαῖς, ὡς καὶ ὁ θεολόγος ποιεῖ λέγων· [3] Κυπριανὸς τὸ μέγα ποτὲ Καρχηδονίων ὄνομα, νῦν δὲ τῆς οἰκουμένης ἁπάσης· ὁρᾷς πῶς [4] τὸν λόγον ἐκόσμησε, νῦν δὲ τῆς οἰκουμένης ἁπάσης, ὁ πλούτῳ περιφανὴς καὶ δυναστείᾳ περίβλεπτος καὶ γένει γνώριμος, εἴγε μέγιστον εἰς εὐγενείας ἀπόδειξιν συγκλήτου βουλῆς μετουσία καὶ [5] προεδρία· ὁρᾷς τὸ εἴγε μέγιστον καὶ τὰ ἑξῆς πῶς τὸν λόγον ἐλάμπρυνεν; οὗτος [6] δαιμόνων ἦν θεραπευτὴς, ὁ Χριστοῦ μαθητὴς ὕστερον, οὗτος δαίμων [7] καὶ διώκτης πικρότατος, ὁ μέγας τῆς ἀληθείας ἀγωνιστὴς, καὶ λόγῳ καὶ ἔργῳ ταράσσων τὴν ἡμετέραν ὁδὸν διὰ τὸ ἐν ἀμφοτέροις κράτος, ὁ κράτιστος ἀμφότερα μετὰ τοῦτο Χριστιανοῖς· ὁρᾷς τὰ ἐπικοσμήματα· οὐ γὰρ ἂν λόγος ἐκοσμεῖτο, εἰ οὕτως ἀπήγγειλεν· οὗτος δαιμόνων ἦν θεραπευτὴς πρότερον καὶ διώκτης τῆς ἀληθείας πικρότατος καὶ λόγῳ καὶ ἔργῳ ταράσσων τὴν ἡμετέραν ὁδὸν, καὶ σὺ γοῦν ἀφηγοῦ καὶ κόσμει τὰς ἀφηγήσεις ὡς δυνατὸν, μετὰ δὲ τὴν τοῦ πράγματος ἀφήγησιν εἰ θέλεις ἐμπλατύνεσθαι, ἐπίφερε ἅπερ οἱ πολλοὶ ταχέως οὕτω καλοῦσιν ἐνθυμήματα, κἂν ἐπιχειρήματα εἶεν, κἂν παραδείγματα κἂν παραβολαί· ἔχεις δ' ἂν θηρεύειν τὰ τοιαῦτα ἐνθυμήματα ἐκ τῶν ἓξ

---

τρέχων, ἀλλ' ὥσπερ ἐξομαλίζων (Cod. ἐξωμαλίζων) καὶ καλλωπίζων, ὡς ἔχει καὶ ἐπὶ τῶν παραδειγμάτων, τὰ μὲν τῶν ῥαβδωμάτων καὶ τῶν γονάτων καὶ τῶν συνδέσμων ἀσύνδετα ὄντα καὶ ὁμαλά· τῷ μέντοι ἐνδιαθέτῳ καὶ ἀληθεύοντι λόγῳ καὶ πιθανῷ λυμαίνονται αἱ περίεργοι ἐπιδείξεις, συνιστῶσι δὲ τὸν ἀφελέστερον καὶ ἁπλούστερον. 2 Par. ἀεὶ τήρει. 3 Greg. Naz. Or. εἰς τὸν ἅγιον Κυπριανόν p. 276. D. ed. Par. 4 Par. ὅπως τὸν λ. ἐκόσ. τὸ νῦν τῆς οἰκ. 5 Par. καὶ, Ven. ἐπί. 6 Or. laudata p. 278. A. 7 οὗτος δαίμων Par. om. Abest etiam a Gregorio.

περιστατικῶν, ἀντεξετάζων καὶ τὰ παρεπόμενα τούτοις, τίνα τε τῷ προσώπῳ καὶ τίνα τῷ τόπῳ καὶ τοῖς ἄλλοις ὁποῖα· πολλάκις γὰρ καὶ ἀπὸ τοῦ ὀνόματος τοῦ προσώπου ἢ τοῦ ἐπιτηδεύματος ἢ τῆς ἀξίας καὶ ἀπὸ τῆς τοῦ τόπου κλήσεως ἢ διαθέσεως πορίσασθαι σχοίης ἐνθυμήματα· οἷον ἐὰν βασιλεὺς ἐξορμᾷν μέλλοι κατ' ἐχθρῶν ἐπὶ μέσην τὴν χώραν αὐτῶν καὶ ὁ βασιλεὺς τυχὸν ἀγγελώνυμος, καὶ τῷ τόπῳ ὄνομα Κόραξ, οἷα πολλὰ τοιαῦτα, καὶ δυσχωρείαις περικλειόμενος, γράψεις οὕτω· τῷ βασιλεῖ ταχεῖα πρὸς τὸν πόλεμον ἡ παρασκευὴ, ὡς ἄλλῳ πρὸς πανηγύρεις καὶ θέατρα, καὶ λοχαγῶν καὶ στρατηγῶν καὶ στρατιωτῶν ἐπιμελέται, οὐ δρομέων καὶ ἡνιόχων, ἃ τὰς ὄψεις μόνον εἱστίασαν· περιδύεται δὲ τὴν πολεμικὴν σκευὴν καὶ τὸν θώρακα, ἄλλην ταῦτα νομίζων πορφύραν, καὶ μᾶλλον εἰ τοῖς λύθροις τῶν ἐχθρῶν ἐπιχρώσειε, καὶ ἀπτοήτως ἐπὶ τοὺς παλαμναίους χωρεῖ καὶ βασιλικώτερον, καὶ ἐπὶ τὸ μεσαίτατον τῆς ἐναντίας ὡς διερευνήσεται καὶ τὰ κρύφια· ἕως ὧδε τὸ ἀφηγηματικὸν μετ' ἐπιβολῶν· εἶτα αἱ παραβάσεις, εἰς τοὺς ἀρίστους πυγμάχους ἀναφέρων τὴν μίμησιν, οἳ τὴν τοῦ ἀντιπάλου καρδίαν εὐθὺς πλήξαντες καταβάλλουσι, καὶ ὡς ἀπὸ κέντρου τοῦ μεσαιτάτου τῆς πολεμίας τῷ δόρατι καὶ τῇ δυνάμει θέλων περιγράψαι καὶ περιλαβεῖν πολλήν τινα χώραν, καὶ κατὰ πτέρυγας ἀετῶν τῷ τόπῳ ταχὺς ἐπιῤῥήγνυται, παρακαλούμενος κἀκ τῶν κλήσεων τῆς ἐκείνου τε καὶ τῆς σφετέρας αὐτοῖ καὶ τῆς βασιλικῆς, καὶ τὰς λόχμας καὶ τὰς δυσχωρίας εἰσδύνει ὀξείᾳ τε καὶ τμητικῇ πτέρυγι· καὶ ἐπιῤῥοιζήσας ἐκεῖθεν ἐξαρπάζει τὸ θήραμα, ἐνδόμυχον εὐναζόμενον· τί πρὸς ταῦτα τὸ θρυλλούμενον ἔργον τοῦ δεῖνος ἢ τοῦ δεῖνος καὶ τὰ τοιαῦτα· αἱ δὲ ἱστορίαι σφόδρα χρήσιμοι τοῖς ῥήτορσιν ἐν τοῖς παραδείγμασιν, οἷον τὴν ἀνδρίαν τοῦ βασιλέως πρὸς τὴν τοῦ Ἀχιλλέως παραδειγματίσεις, τὸ ὀξὺ πρὸς

μάχας πρὸς τὸ τοῦ Ἀλεξάνδρου, τὴν σωφροσύνην πρὸς τὴν τοῦ Κύρου, τὸ φιλόδωρον πρὸς τὸ τοῦ Καίσαρος, καὶ τὰ τοιαῦτα· χορηγήσουσι δέ σοι ἱστορίαν ἡ Ἰλιὰς, ἡ Ὀδύσσεια, πάντες οἱ ποιηταὶ, ἡ βιβλιοθήκη τοῦ Ἀπολλοδώρου, ὁ Ἡρόδοτος, καὶ εἴτις τοιοῦτος, καὶ τὰ λεγόμενα χρονικά· ἐγγὺς δὲ ὡς αἱ ἱστορίαι χρήσιμα πολλάκις καὶ τὰ μυθικὰ τοῦ Αἰσώπου, ἔχεις καὶ θειογραφικὴν ἱστορίαν ἐν τῇ παλαιᾷ τῇ ὀκτατεύχῳ,[8] ἐν τῷ τετραβασιλείῳ, καὶ τοῖς ὁμοίοις.

---

## Cap. IV.

### ΠΕΡΙ ΛΕΞΕΩΣ.

Λέξις πολυσχεδής ἐστιν, ὡς ἐν ταῖς ἰδέαις τῆς ῥητορικῆς ἔγνως· ἄλλη γὰρ ἡ σαφὴς καὶ ἄλλη ἡ σεμνὴ καὶ ἐπηρμένη, καὶ ἑτέρα ἡ τοῦ κάλλους καὶ ἀλλοία ἡ τῆς γοργότητος· ὅμως ἡμεῖς εἰς δύο ταύτην διείλομεν, εἵς τε ταπεινοτέραν καὶ τὴν ὀγκηροτέραν. ἡ γὰρ αὐτῶν μέση ἐκ τῆς ἀντιπαραθέσεως τούτων ἀναφανήσεται· ταπεινοτέρα μὲν οὖν δοκεῖ ἡ καθαρὰ καὶ σαφὴς, οἷον κατέβην χθὲς εἰς τὸν Πειραιᾶ τῇ θεῷ προσευξόμενος, καὶ τὰ θεολογικὰ, Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς, ὑψώθητε, καὶ τὰ τοιαῦτα· ὀγκηραὶ δὲ λέξεις ἐκεῖναι, ἐμβολαὶ καὶ ἀντεμβολαὶ πνευμάτων, καὶ ἐκ τῆς ὑγρᾶς τὸν ἀγρευτῆρα λῖνον ἀνέσπασε, νυκτῶν πλήθοντα καὶ κολπουμενον εἰς Ἐρυχανδοὺς· καὶ τὸ ἀποπάλλονται σέλα δίσκον τοῦ ἡλειακοῦ, καὶ πυρσολαμποῦς καὶ παγκόσμιον τούτου τὸ φρύ-

---

8 Ven. ὀκτάχῳ. Med. 1. 3. et Par. ὀκτατεύχῳ, i. e. Pentateucho, libro Josuae, Judicum et Ruth. 1 Par. μάθης.

κτωρον, καὶ μεσημβριάζων θέρους βάλλει τὰ πυρὰ κατὰ καθετὸν, καὶ τὸ ἀναῤῥιχᾶται καὶ ἀναστέλλεται, καὶ τὸ ἀναβάλλεταί οἱ ἐκ τοῦ πυθμένος τῶν σπλάγχνων αἷμα ἐπὶ τὸν φάρυγγα, καὶ δι' αὐτοῦ διαυλονιζόμενον τοῦ στόματος ἐκκρουνίζεται, καὶ τὸ κρυπτάζομαι ἀντὶ τοῦ κρύπτομαι, καὶ λογάριον ἀντὶ τοῦ λογύδριον, καὶ ἀποδρασκάζω ἀντὶ τοῦ ἀποδιδράσκω, καὶ ἀφάντωσις ἢ ἀφάνισις, καὶ ἐκφάντωσις ἡ ἐκφαντορία· ταῦτα γὰρ τὰ ὀγκηρὰ καὶ οἷς χαίρουσιν οἱ καθ' ἡμᾶς καὶ νεώτεροι· σὺ δὲ καὶ ἐν τούτοις τὴν μεσότητα δήλωσον, καὶ τὴν κρᾶσιν ἀγάπησον, καὶ μετὰ τῶν ὑψηλῶν μίγνυε τὰ πεδηνὰ ὅτε δεῖ, καὶ εἰς ὅσον φεύγων τὸ πάνυ ἁδρὸν καὶ ὑποξενίζων, καὶ οὕτως εὐδοκιμήσεις. κείσθω σοι παραδείγματα τῶν ὀγκηρῶν λέξεων ἐν τοῖς παλαιοῖς ὁ Φίλων, ὁ Συνέσιος, ἴσως καὶ ὁ Φιλόστρατος. ἐν δὲ τοῖς καθ' ἡμᾶς, ὅσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρη· ἁδρὸς λέγεται καὶ ὁ παλαιὸς Θουκυδίδης· τῆς δὲ ταπεινοτέρας λέξεως, ἤγουν, τῆς καθαρᾶς παράδειγματά σοι ὁ Θεολόγος, ὁ Χρυσόστομος, ὁ Μεταφραστὴς, ὁ Λιβάνιος, ὁ Ἰσοκράτης, ὁ Προκόπιος Γάζης, ὁ Χορίκιος, ἡ Λευκίππη· αὕτη δὲ καὶ ἄνθους μετέχει πλείονος. ἔχεις καὶ νεωτέρους πολλοὺς, μεμιγμένοι δὲ κατὰ τὴν λέξιν καὶ μέσοι ὁ Θεμίστιος, ὁ Πλούταρχος, ὁ Νύσσης, ὁ Ἰώσηπος, καὶ μᾶλλον ἐν τῇ ἁλώσει ὁ Λουκιανὸς, ἡ Χαρίκλεια, ὁ Καισαρεὺς Προκόπιος, ὁ Ψελλός· οὗτος δὲ τἀληθὲς εἰπεῖν παντοδαπὸς καὶ τὴν λέξιν ἐστὶ καὶ τὴν ἔννοιαν, ἔχεις καὶ νεωτέρους.

Πάλιν εἰς δύο [2] τὴν λέξιν διέλωμεν· ἔστι γὰρ ἡ μὲν κομψὴ, ἡ δὲ φυσική· κομψὴ μὲν, οἷον καπυρὸν [3] ἀνεκάγχασε, φυσικὴ δὲ τὸ διακεχυμένον ἐγέλασεν, ὁ γέλως

---

2 Par. πάλιν εἰς δύο τὴν λέξιν εἰς δύο διέλ. 3 Par. καμπυρὸν. Dieuches Oribasii p. 40. Matth. καπυρὸν γελᾶν.

γὰρ τὰ γυῖα [4] λύει, ὥστε διὰ τοῦ εἰπεῖν διακεχυμένον τὴν φύσιν τοῦ γέλωτος ἐδήλωσε· [5] καὶ πάλιν κομψαὶ [6] μέν, τὸ εἰς ἄνδρας παρήγγειλε, τὸν παῖδα παρήμεψεν, εἰς οὐδὲν γήρως κατέλυσε· φυσικαὶ δὲ τὸ ἀνδρικῶς ἀνακμάζει, ἡ ἀκμὴ γὰρ κυρία λέξις ἐνταῦθα· τὸν παῖδα καὶ τὸν ἀντίπαιδα ὑπεραναβαίνει [7] κυρία καὶ φυσικὴ τὸ ἀντίπαις, ὃς ἐστιν ὁ δωδεκαέτης καί τι πρὸς, καὶ τὸ ἀνέβη· ἀναβαίνει γάρ τις τὰς ἡλικίας μέχρι καὶ τῆς ἀνδρικῆς ὡς ἐν κλίμακι· εἶτα καταβαίνει διὰ τοῦ ὠμογέροντος, γέροντος μέχρι καὶ τοῦ πεμπέλου [8] καὶ τὰ τοιαῦτα· χορηγεῖ δὲ τὴν μὲν φυσικὴν καὶ κυρίαν λέξιν ἡ φιλοσοφία μᾶλλον καὶ τὰ κατὰ ταύτην συγγράμματα· τὴν δὲ κομψὴν καὶ τροπικὴν ἡ ῥητορικὴ μᾶλλον καὶ οἱ κατὰ ταύτην γράφοντες. σὺ γοῦν εὐκαίρως παραλάμβανε τὰ κομψὰ καὶ τὰ φυσικά, κρεῖττον δὲ ὅμως, εἰ πλεονάζεις τοῖς φυσικοῖς, καὶ πάλιν εἰ πλεονάζει ταῖς λέξεσιν ὁ γράφων, καὶ ἐπιστοιβάζει πολλὰς ἐπὶ μιᾶς ἐννοίας, καὶ ἐμφαίνει μὲν τοῦτο πλουτισμὸν γλώσσης· νεωτέρων δέ ἐστι καὶ γυμναζομένων μᾶλλον, οὐ γυμνασθέντων καὶ βεβηκότων· ἢ τῇ καιρίᾳ καὶ ἀναγκαίᾳ μόνῃ χρώμενος λέξει ἀρκεῖται. Παράδειγμα δὲ τοῦ πρώτου· χαίρω καὶ γέγηθα καὶ ἡ καρδία μου διακέχυται καὶ πολὺς ἐνέστακταί μοι τῆς ἡδονῆς ὁ γάργαλος εἰς ψυχήν. καὶ πάσης αὖτη συνεχὴς ἀπολέλυται καὶ τὰ τοιαῦτα· κάλλιον γὰρ το τὴν ἔννοιαν πλεονάζειν ἤπερ τὴν λέξιν· σὺ δὲ καὶ ἐν τούτοις τὴν μεσότητα ζήτησον, μήτε πολλὰς ἐπιστοιβάζων, μήτε πάλιν ὀλίγος τῇ λέξει ὤν· τότε δὲ μᾶλλον πλεόναζε, ὅταν ἢ ἐξαπλοῦν ἀνάγκη τὸ πρᾶγμα καὶ ἀριδηλότερον παριστᾷν ἢ ἑρμηνεύειν τὸ φθάσαν ἴσως ἀσαφὲς ὄνομα, ἢ ὅταν

---

4 Par. γῦα. 5 Par. ἐδηλώσαμεν. 6 Par. κομψά. 7 In Ven. superscriptum ὑπερανέβαινει. Par. ὑπερανέβη. 8 Lycophr. 125. πέμπελος χρόνῳ.

ἐλλάμπῃ τῷ λεγομένῳ καὶ ἐναμβρύνῃ· τότε γὰρ καὶ διὰ πλειόνων λέξεων ἀλλὰ δὴ καὶ κώλων ἀπαγγείλαις αὐτό· τὸ γὰρ συστεῖλαι διὰ βραχέων οὐ τεχνικόν. Τὰς συνθέτους τῶν λέξεων πολλοὶ τῶν νεωτέρων ἐζήλωσαν, ἀλλὰ μὴ σύγε εἰ μὴ ἅπαξ ποτὲ, ὅτε κυριολεκτῆσαι θέλεις συντόμως, ὡς ὁ Πλούταρχος [9] εἰπὼν χαριτοδότην τὸν οἶνον, θερμουργὸν τὸν Ἀλέξανδρον, ἢ ὡς ἐάν τις θηροκτόνους τοὺς κυνηγέτας, ὠμοβόρους τοὺς θῆρας, αἱμοπότας τοὺς κύνας ἢ οἰκοφύλακας καὶ τὰ ὅμοια· χρήσει δὲ καὶ ἐν θυμῷ καὶ τραχύτητι τοῖς συνθέτοις, ὡς ὁ Δημοσθένης κατὰ τοῦ Αἰσχίνου· γραμματοκύφων [10] καὶ ἰαμβειοφάγε, [11] καὶ ὁ Θεολόγος κατὰ Ἰουλιανοῦ, Εἰδωλιανὲ καὶ Καυσίταυρε [12] καὶ τὰ ὅμοια. Ἐπαινετὴ καὶ ἡ λέξις ἡ καλουμένη δριμεῖα, ὡς εἴ τις λέγοι φιλανθρώπους τοὺς κύνας, φιλάνδρους τὰς πόρνας, μεγαλοφυεῖς τοὺς γίγαντας, τὸν εὑρετὴν τῶν γραμμάτων καὶ τῶν ψήφων Παλαμήδην γραμματοκομιστὴν [13] τοῖς Ἕλλησι καὶ ψηφιφόρον καὶ τὰ τοιαῦτα. Ἄριστον καὶ τὸ δι' ἐπιθέτων ὀνομάζειν τὰ προτιθέμενα· οἷον εἰ μέλλων εἰπεῖν θάλασσαν οὐκ εἴπῃς, ἀλλὰ τὴν ὑγρὰν τὴν κυματοτρόφον τὴν ῥευστὴν καὶ σαλεύουσαν, τὸ ψυχρὸν στοιχεῖον καὶ κάθυγρον, καὶ ἀντὶ τοῦ εἰπεῖν γῆν εἴποις τὴν ξηρὰν ἢ τὴν παμμήτορα [14] ἢ τὴν ζωοτρόφον ἢ [15] τὴν ζειδωρον, τὴν τροφοδότην, στοιχεῖον τὸ ξηρὸν καὶ ψυχρὸν καὶ τὰ τοιαῦτα· ἢ περὶ τοῦ Ἀχιλλέως λέγων τυχὸν προανατάξας [16] ἅπαξ τὸ κύριον ἐν τοῖς ἑπειτα ὀνομάζεις δι' ἐπιθέτων ὁ ἀλτικὸς ἢ ὁ βαρύχολος λέγων, [17] ἢ ὁ θηλύμορφος ἢ ὁ ἀν-

9 Conviv. VII. Sap. p. 158. E. 10 pro cor. p. 297. 11 pro cor. p. 274. 12 Par. καυσίτηρε. 13 Ven. γραμματιστήν. Par. γραμματοκομιστήν. 14 ἢ τὴν παμμήτορα Par. om. 15 ἢ Par. om. 16 Par. προσανατάξας. 17 λέγων Par. om.

ἀνδρικώτατος· ἐξ ἐπιθέτου δὲ καὶ τοῖς λοιποῖς [18] ἔκδηλον κακεῖνο· ὁ τοῦ Πηλέως, ὁ Πηλείδης· τοῖς ὁμοίοις χρήσῃ καὶ ἐπὶ τῶν ἄλλων· χρησιμώτατον καὶ ἡ περίφρασις, ἤγουν τὸ εἰπεῖν βίη Ἡρακληΐη ἀντὶ τοῦ ὁ Ἡρακλῆς, καὶ τὸ δόλιον τῆς ἀλώπεκος ἀντὶ τοῦ ἡ ἀλώπηξ, καὶ τὸ διὰ στοργῆς ἄγω σὲ ἀντὶ τοῦ ποθῶ σε, καὶ τὸ διαῤῥέει λόγος ἀντὶ τοῦ λέγεται καὶ τὰ τοιαῦτα· χρήσῃ δὲ καὶ τῇ περιφράσει οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ὅτε δηλῶν τὴν κυρίαν λέξιν οὐχ εὑρίσκεις ἢ εὑρίσκων διαγινώσκεις μηδὲν σοφὸν ἢ κομψὸν ἢ ῥητορικὸν ἔχειν ταύτην· οἷον τὸ ποθῶ καὶ ἀγαπῶ καὶ στέργω κοινά εἰσιν· ἀντὶ τούτων γοῦν κομψεύσει τῇ περιφράσει εἰπών, πρὸς θυμοῦ μοι τόδε ἐστὶ, προσπαθῶς ἔχω πρὸς τόδε, τῷ ἱμέρῳ τυραννοῦμαι τοῦ πράγματος, καὶ τὰ τοιαῦτα· ὅτε δὲ μὴ τὴν κυρίαν οἶδας τυχὸν ἐπὶ τῆς σέλλης ὅτι ἐφεστρὶς λέγεται, εἴποις ἢ τοῖς τοῦ ἵππου νώτοις ἔποχος ἐκ ξύλου κάθεδρα, καὶ ὅστις τὸ ὀρτάριον εἶπεν ἐξ ἐρίου ἐμβάδα, καὶ τὸ βαββάκιον ἔριον γήϊνον, καὶ σπέρματος ἄνθος ἐριῶδες καὶ τὰ τοιαῦτα· τοῖς δὲ βουλομένοις κυριολεκτεῖν συντελεῖ καὶ ὁ Πολυδεύκης παντὸς σχεδὸν καὶ ζώου καὶ μέλους καὶ μέρους καὶ τεχνικῶν ὀργάνων καὶ τοιούτων τὰ ὀνόματα ἐκτιθείς. Τά γε μὴν ἐν τούτῳ ὑπερξενίζοντα φεῦγε, τὸ ταυτολογεῖν παραιτοῦ, ἤγουν τὸ πολλάκις τιθέναι ἐν τῷ αὐτῷ λόγῳ τὴν αὐτὴν λέξιν· ἐμφαίνει γὰρ τοῦτο πτωχίαν ῥήτορος εἰς τὴν λεκτικήν, καίτοι πλουσία πάνυ ἐστὶν ἡ Ἑλληνικὴ γλῶσσα καὶ λέξις καὶ οὐκ ἄν τις ἀπορήσειε διαφόρων ὀνομάτων πεπαιδευμένος ὁπωσοῦν ἐν τοῖς λόγοις, εἰ μήπου κυρία ἐστὶν ἡ λέξις καὶ ἀπαραίτητος· τηνικαῦτα γὰρ πολλάκις αὐτὴν εἴποις, ὡς τὸ τήκεται ἐπὶ τῆς χιόνος καὶ τὸ φλοισβὸς ἐπὶ τῆς θαλάττης, οἷς καὶ Ὅμη-

18 Par. καὶ ἐν τοῖς πολλοῖς ἔκδ. κἀκεῖνο, ὁ τῆς Θέτιδος, ὁ τοῦ Πηλέως ἢ ὁ Πηλ.

ρος χρῆσθαι πολλάκις οὐκ ὤκνησε· καίτοι εὐπορήσει τάχα τις καὶ ἑτέρων λέξεων, γράφων ἐπὶ τῆς χιόνος, ὑποῤῥεῖ ἡ χιών, λύεται, κἂν οὐχ οἷον τὸ τήκεται ταῦτα· περιφραστικῶς δὲ τὸ συνεστὼς τῆς χιόνος, ἢ τὸ πεπηγὸς τοῦ κρυστάλλου, εἰς τὸ ῥευστὸν ἠρέμα χωρεῖ· οὕτω καὶ ἐπὶ τῶν ἄλλων δυνηθῇς καὶ διὰ περιφράσεως φεύγειν τὴν ταυτολεξίαν. [19]

## Cap. V.

### ΠΕΡΙ ΤΟΥ ΠΑΡΑ ΤΟΙΣ ΡΗΤΟΡΣΙ ΠΡΕΠΟΝΤΟΣ.

Πρέπον φασὶν οἱ ῥήτορες τὴν ἁρμόζουσαν φράσιν τῷ ὑποκειμένῳ πράγματι, κἂν γὰρ λειμῶνα ἐκφράζῃς, ἀνθηρᾷ ὀφείλεις χρήσασθαι τῇ λέξει καὶ λειοτέρᾳ, οἷον τὰ πετηλὰ τῶν δένδρων Ζεφύρῳ τρυφᾷ καὶ ὑποψιθυρίζουσιν ἠρέμα κινούμενα, οἱ ὄρνιθες ἐποχοῦνται τοῖς κλά-

19 Par. ad marg. λογιότης, πολυμάθεια καὶ εὐφυΐα δείκνυται καὶ ἀπὸ τῶν λέξεων· λογιότητι μὲν καὶ ἐν φιλοσόφοις ὀνόμασι χρώμεθα, περὶ ὧν προελέχθη τινά· πολυμάθεια δὲ, ἐὰν ποικίλα παραλαμβάνωμεν ὀνόματα, καὶ μηδὲ κοινὰ, ἔγκριτα μέντοι, οἷον τὸ ἀποσπόγγισμα· λέγοντες ἐπὶ τῆς χιόνος, καὶ τὸ φλοῖσβος ἐπὶ τῆς θαλάσσης, οἷς καὶ ὁ μέγας Ὅμηρος χρήσασθαι πολλάκις οὐκ ὤκνησε, καίτοι εὐπορήσει τάχα τις καὶ ἑτέρων λέξεων, γράφων ἐπὶ τῆς χιόνος, ὑποῤῥεῖ ἡ χιών, λύεται κἂν οὐχ ὁποῖον τὸ τήκεται. ταῦτα ἀποῤῥάγματα· τὸν αὐτόβουλον αὐθέκαστον καὶ αὐτόβουλον (cod. bis αὐθόβουλον) καὶ αὐθέκαστον καὶ αὐτόνομον, τὸν σφόδρα κωφὸν λασιόκωφον, τὸν περὶ τὸ θεῖον φόβον δεισιδαίμονα, τὸν αὐτόσοφον θυμόσοφον, τὴν μέλισσαν φυσίσοφον, τὸν χειρονόμον χειρίσοφον καὶ τὰ τοιαῦτα. Εὐφυΐα δὲ ἐμφαίνεται, ἐὰν τοῖς ῥητορικωτέροις χρώμεθα, περὶ ὧν καὶ αὐτῶν εἴρηται· τοιοῦτον ἡ περίφρασις, ὡς οἰκοθεν μᾶλλον εὑρισκομένη, καὶ οὐκ ἀπὸ τῶν τεθειμένων οὖσα ὀνομάτων.

δοις καὶ ἡ χελιδὼν τιτυβίζει τὸν Τηρέα περιτραυλίζουσα· ἡ πόα ὑπέστρωται μαλακὴ καὶ χλοάζουσα, κλίνη τις σχέδιος, ὕδωρ διὰ μέσων ἕλκον τῶν φυτῶν κελαρύζει, καὶ δίψαν ὑπομιμνήσκει τὸν βλέποντα ἢ τὸν ἀκούοντα. Ἐὰν πολέμου σύρρηξιν ἐκφράζῃς ταχύτερον ἀπαγγελεῖς, καὶ διὰ σχημάτων περιπεπλεγμένων καὶ μιμουμένων τοὺς τῶν μαχομένων ἐξελεγμούς· ὥστε καὶ αἰτιῶνται οἱ παλαιοὶ τεχνικοὶ τὸν εἰπόντα οὕτως, ὁ ποταμὸς πολὺς ῥεῖ οὐδὲ γὰρ ἐτήρησε, φασὶ, τὸ πρέπον τὸ πολύῤῥουν τοῦ ποταμοῦ συστεῖλαι διὰ τῆς ῥεῖ βραχυλεξίας· ἔδει γὰρ εἰπεῖν, ὁ ποταμὸς πολὺς σύρεται, ἵν' ἡμετέρα λέξις τὴν τοῦ πράγματος ἐμιμήσατο φύσιν, σὺ γοῦν πανταχοῦ τὸ πρέπον σπεῦδε τηρεῖν ἐν πανηγυρικοῖς, ἐν συνθρωποῖς, ἐν τοῖς ἄλλοις, καὶ οὕτως εὐδοκιμήσεις. Παράγγελμα ῥητορικόν ἐστι τὸ τὰ ὑψηλὰ ταπεινῶς ἀπαγγέλλειν, καὶ τὰ ταπεινὰ ὑψηλῶς, οἷον ἐὰν περὶ θεοῦ μέλλῃς[1] λέγειν, ὑψηλὴ τοῦτο ἔννοια, ἀπαγγέλλεις οὖν ταύτην διὰ φράσεως καὶ λέξεως ταπεινῆς, ἤγουν καθαρᾶς καὶ σαφοῦς, ὡς ὁ Θεολόγος ἐποίησε·[1*] θεὸς ἦν μὲν ἀεὶ, καὶ ἔστι καὶ ἔσται, καὶ τὰ ἑξῆς· ὁρᾷς ὅπως ἐν τοιούτοις καθαρά ἐστιν ἡ φράσις, ἐὰν δὲ ταπεινοτέρα πρόκειται ἔννοια, τυχὸν ὅτι ὁ βασιλεὺς ἔγημεν ἐπὶ τῷ τεκνοποιῆσαι, ἀπήγγειλας[2] διὰ ὑψηλοτέρας καὶ σεμνῆς εἰπὼν, πάντων ὁ ἄναξ κρατῶν, θείοις νόμοις δουλεύει, καὶ σωφροσύνην ἀσπάζεται καὶ συζυγίαν συναγομένην θεῷ, ὡς καὶ διαδόχους γνησίους τῷ κράτει χαρίσηται, καὶ τὰ ὅμοια. Ἐν τοῖς τοιούτοις καὶ ἡ ὀγκηροτέρα λέξις ἄχρηστος· ἡ μὲν γὰρ ὑψηλὴ ἔννοια καὶ βαθυτέρα, ἐὰν ὑψηλῶς ἀπαγγελθῇ, δύσληπτος ἔσται· ἡ δὲ ταπεινὴ, ἐὰν ταπεινῶς[3] ἑρμηνευθῇ, ἀχρεία, διὸ σπεῦδε τηρεῖν τὸ παράγγελμα.

1 Ven. μέλλεις. 1* Or. εἰς τὰ Θεοφάν. p. 615. C. 2 Ven. ἀπηγγείλεις. 3 Ven. ταπείνωσιν, scr. ταπεινῶς.

Παράγγελμα [4] ῥητορικόν ἐστι καὶ τὸ ὀνοματοθετεῖν, καὶ ἐκ μὲν ὀνομάτων ῥήματα, ἐκ δὲ ῥημάτων παράγειν [5] ὀνόματα· ὅτε δηλονότι τὸ [6] παραγόμενον σεμνότερον ἢ κομψότερον μέλλει φαίνεσθαι τοῦ πρωτοτύπου· καθὼς εἴπέ τις τὸ ἔξω τοῦ ὠκεανοῦ ἐξωκεανίζεσθαι, καὶ ἐκχεῖσθαι κρουνὸν ἐκκρουνίζεσθαι, καὶ τὸ ἀλλοιοῦσθαι τὸν χυμὸν μεταχυμίζεσθαι, καὶ πάλιν ἐκ τοῦ λείπω ἐπιλειπὲς καὶ διαλειπὲς, ἐκ τοῦ στέργω στέργηθρον, ἐκ τοῦ ἐπισπῶμαι ἐπίσπαστρον· τήρει γοῦν τὸ παράγγελμα, καὶ μᾶλλον ἡνίκα ἡ παραγωγὴ μηδὲν ἐμφαίνῃ τραχύτερον καὶ ξενίζον, ὡς ἐνταῦθα τὸ στέργηθρον καὶ ἐπίσπαστρον. Παραγγέλλουσιν οἱ τεχνικοὶ καὶ οὕτω, [7] ἀντὶ λόγου ποιεῖν ὄνομα καὶ ἀντὶ ὀνόματος λόγον· ἀντὶ λόγου ὄνομα τὸ ἐξωκεανίζεται, ἀντὶ τοῦ ἔξω τοῦ ὠκεανοῦ γίνεται, καὶ πάντα τὰ μικρὸν ἄνω ῥηθέντα· ἀντὶ δὲ τοῦ ὀνόματος λόγον ἢ περίφρασιν, περὶ ἧς καὶ αὐτῆς φθάσαντες ἐδιδάξαμεν.

Σπουδάζεται [8] καὶ τὸ ἀττικίζειν τοῖς ῥήτορσι. Τῶν οὖν Ἀττικῶν καὶ περιττολογία καὶ ἔλλειψις· περιττολογία μὲν ὡς τὸ λέγω λόγον, καὶ γράφω γραφὴν, καὶ τρέχω δρόμον καὶ οἷς ὅτι καὶ ὅτι οὕνεκα καὶ αὖ πάλιν, καὶ ἑκὼν εἶναι· τὸ γὰρ εἶναι περισσὸν καὶ τὰ τοιαῦτα· ἔλλειψις δὲ, ἐν Ἅιδου κατέβη, ἐν μυσταγωγοῦ ὥρμησε, καὶ τὸ τρέχει τὸν περὶ ψυχῆς, κίνδυνον δηλονότι, καὶ τὸ θαυμάζω σε τῆς σοφίας, τὸ ἕνεκα, τὸ ἔξωθεν καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ ἔλλειψις τῶν προθέσεων, ὡς τὸ νύκτα καὶ ἡμέραν ἀναγινώσκω, ἡ γὰρ κατὰ πρόθεσις ἔξωθεν, καὶ τῆς πατρίδος μετασκηνῶ, ἡ ἀπὸ ἔξωθεν, καὶ τὰ τοιαῦτα. Ἀττικὴ καὶ ἡ ἔλλειψις τοῦ ὑπαρκτικοῦ

---

4 In Par. est titulus: περὶ ὀνοματοποιΐας. 5 Par. ὀνόματα παράγειν. 6 τὸ ex Par. inserui. 7 Par. οὕτε.
8 In Par. titulus est: περὶ ἀττικισμοῦ.

ῥήματος, ὡς τὸ, σὺ μὲν λόγιος, ἐγὼ δὲ ἀμαθής· λείπει γὰρ τὸ ὑπάρχεις καὶ τὸ ὑπάρχω, καὶ ἡ ἔλλειψις τῶν ἄρθρων Ἀττική, ὡς τὸ, θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται· ὁ γὰρ θεὸς λέγομεν, καὶ βασιλέως προστάξαντος, καὶ ἦκεν ἡμῖν ἔαρ, χειμὼν ᾤχετο, καὶ τὰ τῶν ἑκατέρων πτώσεων ἄρθρα, καὶ τὰ ἑνικὰ καὶ τὰ πληθυντικά, ὡς τὸ ἐξώρμησαν Ἕλληνες κατὰ τῶν Τρώων καὶ τὰ τοιαῦτα. Ἀττικὴ καὶ ἡ ἔλλειψις ἡ ἀπὸ κοινοῦ λαμβάνουσα ῥῆμα ἢ ὄνομα, ὡς ἔχει τό· σοὶ μὲν περισπούδαστός ἐστιν ὁ πλοῦτος καὶ περὶ αὐτὸν κέχηνας καὶ ὅλως ἐκκέχυσαι, ἐμοὶ δὲ οὐκ ἀσπαστός ἐστι· τὸ γὰρ πλοῦτος ὄνομα ἀπὸ κοινοῦ ἐνταῦθα, ἤγουν ἐκ τῶν ὄπισθεν ἐλήφθη, καὶ ὡς ἐκεῖνο, σὲ μὲν μεγάλως ἡ πενία λυπεῖ καὶ τὰ ἐκ ταύτης κακὰ καὶ ὁ ἄπορος βίος, ἐμὲ δὲ μετρίως· τὸ γὰρ λυπεῖν ῥῆμα ἀπὸ κοινοῦ· ἀλλὰ καὶ τὸ φασὶ καὶ εἶπον καὶ φημὶ πολλάκις ἐλλειπτικὸν καὶ ἀπὸ κοινοῦ ἐπὶ τοῖς ἀπαρεμφάτοις ῥήμασιν, οἷον τὸν Ἀχιλλέα φασὶν ἀχθῆναι παρὰ τῆς μητρὸς εἰς παρθενῶνα, τοῦ Ἑλληνικοῦ συναγομένου κατὰ τῶν Τρώων, καὶ περισταλῆναι γυναικείαις ἀναβολαῖς, ὡς λαθεῖν ἐκεῖσε σκηνούμενον· Ὀδυσσέα δὲ τὴν σκηνὴν ἐλέγξαι μεθόδῳ σοφῇ, κακεῖνον ἐκβιασθέντα συγχωρῆσαι τοῖς ὁμοφύλοις ἐς πόλεμον. Ἐνταῦθα τὸ φασὶν ἄνω τεθὲν ἅπαξ ὡς ὁρᾷς προσελήφθη καὶ ἐν τοῖς ἑξῆς ἀπαρεμφάτοις μέχρι τέλους. Κρεῖττον οὖν ὡς κομψότερον εἰ χρῆται ταῖς Ἀττικαῖς ἐλλείψεσιν ὁ ῥήτωρ, ἥπερ ταῖς περιττότησι ταῖς ἄνωθεν ῥηθείσαις· ἡ γὰρ ἔλλειψις συντομίας, ἡ δὲ συντομία ῥητορικώτερον· πολλὰ δὲ καὶ ἄλλα ἰδιώματά εἰσιν Ἀττικά, ῥήτορσι χρήσιμα, οἷον καὶ ἡ ἀντίπτωσις, ὡς τὸ νυκτὸς καὶ ἡμέρας γίνεται τάδε, ἀντὶ τοῦ νύκτα καὶ ἡμέραν, καὶ χειμῶνος ἀπανθεῖ τὰ δένδρα· καὶ τὸ λαμβάνειν τὰ πληθυντικὰ ἀντὶ ἑνικῶν, ὡς τὸ χρῆμα τῶν νυκτῶν ὅσον,[9] ἀντὶ

9 Aristoph. Nub. 1.

τοῦ τῆς νυκτὸς, καὶ τὸ καλὸν οἱ λόγοι, κακὸν αἱ ἀλογίαι, καὶ τὸ λεκτέα ἀντὶ τοῦ λεκτέον, καὶ σὺ μὲν σοφὸς, ἡμεῖς δ' ἀμαθεῖς, ἀντὶ τοῦ ἐγὼ, καὶ ἔμπαλιν τὰ ἑνικὰ ἀντὶ τῶν πληθυντικῶν, τὴν πολεμίαν ἵππον ἤλασεν, ἤγουν τοὺς ἵππους τῶν πολεμίων, πολὺν τρέφει τὸν δοῦλον, ἤγουν τοὺς δούλους καὶ τὰ τοιαῦτα· ἔτι καὶ τὸ πολὺς ἡμῖν ἐπῆλθε, βαρὺς ἐπερρύγη, ἀπήντησεν ἄσμενος. Ἐρανίσῃ δὲ παντοίους Ἀττικισμοὺς ἐκ τοῦ κωμικοῦ Ἀριστοφάνους, ἄλλα δὴ καὶ ἀπὸ τοῦ συγγράμματος τοῦ περὶ διαλέκτων τῶν τε ἄλλων καὶ τῆς Ἀττικῆς· πλὴν ἐκ τούτων ὅσα εὔχρηστα ἔκλεγε· ὅσα δὲ ἀνακεχωρηκότα καὶ ξενίζοντα, πολλὰ δέ τοι ἐκτίθησι, φεῦγε, τοῖς γε μὴν ἐνταῦθα μικρὸν ἄνω παραγραφεῖσιν Ἀττικισμοῖς ἅπασι χρῶ, τῶν ἐν χρήσει γὰρ τοῖς λογογράφοις εἰσὶν, ὠφεληθείης ἂν καὶ ἄλλως πολλάκις ἐν τῇ φράσει σου παρὰ τῶν ποιητῶν· ὠφεληθείης δ' ἂν πλέον ἐν τούτῳ τῷ τῆς παρ' αὐτῶν τροπολογίας καλῷ· πλὴν τῶν ἐν αὐτοῖς τολμηρῶν ἀποφευκτέον τοῖς λογογράφοις· ὠφεληθείης δ' ἂν καὶ εἰς γλυκύτητα· γλυκύτης δέ ἐστι τὸ τοῖς ἀψύχοις [10] τὰ τῶν ἐμψύχων προσάπτειν, καὶ τὰ τῶν λογικῶν τοῖς ἀλόγοις, ὁποῖον τὸ ἐθνεα ποντοῖο· ἔθνος γὰρ ἐπὶ ἀνθρώπων· καὶ τὸ μῆνιν, ἣ μυρία τοῖς Ἀχαιοῖς ἄλγε' ἔθηκε, καὶ πολλοὺς Ἄϊδι προΐαψεν, ἐμψύχων γὰρ τὸ ποιῆσαι τόδε, καὶ προπέμψαι εἰς Ἅιδην, καὶ τὸ νοῦσον ὦρσεν ἀνὰ στρατὸν, οὐ γὰρ ἐγείρεται ἡ νόσος, ἀλλὰ τὰ ἔμψυχα· τοιοῦτο καὶ τὸ σκιρτᾷν τὰ ὄρη, κροτεῖν τοὺς ποταμοὺς, αἴρειν φωνὰς τοὺς λίθους ἢ καὶ κράζειν καὶ τὰ τοιαῦτα. [11]

---

10 Cod. τῷ τῆς ἀψύχοις. 11 Par ad marg. Ἐπεὶ δὲ ὁ λόγος σῶμα μιμεῖται, τὸ δὲ σῶμα μέρη ἔχει καὶ μόρια καὶ ἁρμοὺς καὶ συνδέσμους καὶ εὐθύτητας, ἐκτάσεις καὶ συστολὰς καὶ ἁπλῶς πλάσεις ποικίλας καὶ χρησίμους ἁρμοὺς, καὶ τὸν λόγον δεῖ

## Cap. VI.

### ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ.

*Τὰ σχήματα ποικίλα εἰσὶ καὶ αὐτὰ,* [1] *καὶ πλατύτερον ἐν τῇ ῥητορικῇ καὶ περὶ αὐτῶν διδαχθήσῃ· ἡμεῖς* [2] *δὲ νῦν εἰς δύο διέλωμεν ταῦτα· εἰσὶ γὰρ ἁπλᾶ σχήματα τὰ τῆς καθαρότητος καὶ τῆς σαφηνείας, καὶ περιπεπλεγμένα τὰ ἐμπερίβολα καὶ δεινότερα· ἁπλᾶ μὲν τὰ ἔχοντα σύντομον τὴν ἀπόδοσιν καὶ τὴν σύνταξιν τοῦ λόγου, οἷον* [3] *Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. Περιπεπλεγμένα δὲ τὰ διὰ μακροῦ ἔχοντα τὴν ἀπόδοσιν, οἷόν ἐστι τοῦ θεολόγου τὸ,* [4] *ἔμελλεν ἄρα*

---

*τισι τοιούτοις ποικίλλεσθαι σχήμασιν, εὐθυτέροις καὶ καμπύλοις διὰ μακροῦ ἀποδιδομένοις καὶ δι' ὀλίγου συγκλειομένοις· ὥραν γάρ τινα διὰ τῆς* (Cod. τό] *ποικιλίας τῶν σχημάτων ὁ λόγος λαμβάνει· πολύσχημος δὲ φράσις κατὰ τὰς πτώσεις τοῦ ὀνόματος· οὕτως πρὸς ὑπόθεσιν ὁ Δημοσθένης μὲν πολὺς τοῖς ὄντως δηλονότι, τοῦ* [Cod. 76.) *Ἰσοκράτους δὲ τὸ εὔμουσον Σειρῆνας μιμεῖται, τῷ Λυσίᾳ δὲ βαθύτης, τὸ ἀφελές· τὸν Πολέμωνα δὲ γνωρίζει τὸ πλῆθος τῶν νοημάτων,* [f. νοημ.] *σὺ δέ, ὦ καλὲ Ἀριστείδη, τῇ τῶν ἐνθυμημάτων χαίρεις δριμύτητι· τοῦτο δὲ σχῆμα καὶ ἀποστροφὴν ἔχει τὸ σχῆμα· ἀποτείνεται γὰρ ὁ λόγος πρὸς τὸν Ἀριστείδην αὐτόν· μονόσχημος δὲ φράσις ἡ ἐπὶ μιᾶς πτώσεως ἢ γενικῆς ἢ τινος ἑτέρας, οἷον Δημοσθένης μὲν πολὺς τὴν ὄντως δεινότητα· ὁ Ἰσοκράτης δὲ Σειρῆνας μιμεῖται τὴν εὐμουσίαν, ὁ Λυσίας δὲ ἐν ἀφελείᾳ βαθύς ἐστιν· ὁ δὲ Πολέμων πηγάζει τοῖς ἐνθυμήμασι, σὺ δὲ ὁ καλὸς Ἀριστείδης τῇ τῶν νοημάτων χαίροις δριμύτητι καὶ τὰ τοιαῦτα, πλὴν τοῦ ἀπὸ ποικίλου δοκιμώτερον τὸ σύμμετρον ποικίλον. τῶν καιρῶν δὲ ἑκάστης τῶν σχημάτων χρήσεως γνώσει σοι τὸ πρέπον, περὶ οὗ ἐν τοῖς περὶ λέξεως ὄπισθεν ἐδιδάχθης.* 1 Par. *καὶ αὐτὰ πλατύτερα.* 2 *ἡμεῖς δὲ νῦν εἰς δύο — — — καὶ τῆς σαφηνείας* Par. om. 3 Greg. Naz. Or. *εἰς τὰ Θεοφάνια εἴτουν γενέθλια τοῦ Σωτῆρος.* initio. 4 Epitaph. in Basil. M. initio.

πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος, (ἐφιλοτιμεῖτο γὰρ τοῖς ἐμοῖς λόγοις ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς,) ἑαυτὸν νῦν ἡμῖν προθήσειν ὑπόθεσιν ἀγώνων μεγίστην τοῖς περὶ λόγους ἐσπουδακόσι, καὶ τὸ Δημοσθενικὸν,[5] ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ· καὶ ἁπλῶς ὅσα ἢ μεσεμβολήματα ἔχουσιν, ἢ ἐκ πλαγίας ἄρχοντα συντάξεως, ὡς τὸ γεγονότος τοῦδε καὶ τοῦδε ἀπέβη τόδε, καὶ ὅσα ἀπὸ συνδέσμων αἰτιολογικῶν ἔρχονται, ὡς τὸ, ἐπεὶ γέγονε τόδε καὶ τόδε, ἀπέβη τόδε· ταῦτα γὰρ τὰ περιπεπλεγμένα καὶ ἐμπεριβολαὶ ἀγῶνος μᾶλλόν εἰσι καὶ κατασκευῶν, οὐ πανηγυρικὰ καὶ ἑορταστικὰ, καὶ τοῦ λόγου χαρίεντος, τὰ δὲ ἁπλᾶ καὶ ἀπόλυτα πανηγύρεως καὶ χοροῦ· ἵνα δὲ μὴ διὰ τῶν τοιούτων ἀπολύτων ἔκλυτος εἴη τέλεον ὁ λόγος καὶ διαῤῥέῃ, χρὴ τοῦτον συνάγειν καὶ συσφίγγειν περιβολαῖς, μετρίαις γε μὴν καὶ οὐ διὰ μακροῦ, καὶ μᾶλλον ἐν τοῖς ἐγκωμιαστικοῖς καὶ πανηγυρικοῖς, ἐν δὲ τοῖς διηγηματικοῖς πλεοναζέτω τὰ ἁπλᾶ καὶ ἀπόλυτα σχήματα. Ἐν δὲ τοῖς προοιμίοις χρήσιμά ποτε τὰ ἐμπερίβολα, συμμέτρως ὡς εἴπομεν τὸν ἀκροατὴν ἀνιστῶντα. Εἰ δέ ποτε διά τι καλὸν καὶ ἀναγκαῖον θέλεις δόξαι ῥήτωρ στρυφνότερος καὶ δεινότερος, κατάχρησαι τοῖς περιβεβλημένοις σχήμασιν, ὅτε καὶ μεστώσεις τὴν περιπλοκὴν, εἰ θελήσεις, οἷον γεγονότος τοῦδε καὶ τοῦδε διὰ τόδε καὶ τόδε, ἐπεὶ οὐκ ἦν ἄλλως γίνεσθαι ὑπό τινος τῶν πάντων διὰ τόδε, ἀπέβη τόδε· τηνικαῦτα δὲ χρήσιμοι καὶ αἱ βαθύτεραι ἔννοιαι καὶ σοφώτεραι, καὶ αἱ λέξεις, αἱ μὴ πάνυ κοιναί· εἰ μὲν τοί γε βούλει σκιρτᾷν καὶ χορεύειν σου

5 Phil. III. p. 115.

τὸν λόγον, τοῖς ἀπολύτοις σχήμασι καταχρῶ μετὰ μετρίων περιβολῶν καὶ λανθανουσῶν.[6]

---

## Cap. VII.

### ΠΕΡΙ ΜΕΘΟΔΟΥ.[1]

Ἡ μέθοδος σχῆμά ἐστι τῆς ἐννοίας, ἤγουν εἰσαγωγὴ ταύτης καὶ οἰκονομία, ποτὲ μὲν γὰρ μετὰ προκα-

---

6 Par. addit: σχεδόν. Exin Par. et Med. 3. transeunt ad Cap. περὶ μεθόδου. In Ven. sequitur expositio schematum, a Med. 3. post caput περὶ βασιλικοῦ λόγου illata, quae ita cum Zonaeo [vide Vol. VIII.] consentit, ut eam ad illum locum transtulerim. — Post hoc caput Med. 3. transit ad cap. περὶ τρόπων ποιητικῶν.

1 Par. ad marg. Μέθοδός ἐστι τὸ ὑπαλλάττειν τὴν τάξιν τῶν κεφαλαίων ἢ τῶν ἐπιχειρημάτων καὶ τῶν τοιούτων καὶ ὅλης διηγήσεως ἀκολουθίαν, καὶ τιθέναι τὰ πρῶτα ὕστερα καὶ τὰ ὕστερα πρῶτα, ἢ τὰ μέσα πρῶτα, ὡς Ὅμηρος ἐποίησεν ἐν τῇ Ἰλιάδι, ἀρξάμενος ἀπὸ τοῦ μέσου τῆς ἱστορίας τῆς μήνιδος τοῦ Ἀχιλλέως, εἶτα ἐπαγαγὼν τὰ πρόσθεν καὶ τὰ μετ' αὐτὴν θαυμασίως· ὁ δὲ ῥήτωρ Ἀφθόνιος καὶ πρὸ αὐτοῦ ὁ θαυμάσιος Αἴσωπος ἐν τῷ μύθῳ ὕστερον τηροῦσι τὸ κεφάλαιον, ὅ ἐστιν ἐν αὐτῷ τὸ ἐπιμύθιον, προτάττοντες τὸ κατασκευαστικὸν τοῦ κεφαλαίου παράδειγμα, τὸν μῦθον αὐτόν. Μέθοδος καὶ τὸ προϋποσχεθέντα κατασκευάσαι τι, μὴ κατασκευάσαι, καὶ ἀνάπαλιν τὸ ὑπουχεθέντα πολλὰ κατασκευάσαι ὀλίγα, καὶ τὸ ἐναντίον, καὶ τὸ δι' ἀφελείας δόξαι ἀληθεύειν καὶ τὸ ὑποσυγχέαι ἀναγκαίως τὸν ἀκροατὴν καὶ διὰ τῆς φαινομένης δεινότητος· ὁ πάντων μεθόδων πλήρης ὁ δεινότατος Δημοσθένης, ἀλλὰ δὴ καὶ ὁ πάνσοφος θεολόγος· ἑκάστης δὲ μεθόδου καιρὸν ὁ λογογράφος διακρινεῖ· συναναγκάσαι δὲ τοῦτον εἰς τὴν εὔκαιρον κρίσιν καὶ αὐτὴ ἡ ὑπόθεσις, φασὶ γὰρ, ὡς τὰ ἔργα τοὺς λόγους εὑρίσκεται, καὶ τὰς μεθόδους αἱ ὑποθέσεις καὶ οἱ καιρ-

ταστάσεως εἰσάγεται ἡ [2] ἔννοια, καὶ ἔστι τοῦτο μέθοδός τις, οἷον μέλλων [3] εἰπεῖν, ὅτι τὸ [4] τοῦ θεοῦ πρᾷον καὶ φιλάνθρωπον ἔχει ὁ ἡμέτερος βασιλεύς, οὐκ εὐθὺς τοῦτο [5] λέγω, ἀλλὰ πῶς; ζητῶ παρὰ τίνι τῶν νῦν ἢ τῶν πώποτε τὸ πρᾷον εὕρω τοῦ αὐτοκράτορος, τὸ συμπαθές, τὸ φιλάνθρωπον, καὶ τίς τῶν ἐπὶ τούτοις διαβοηθέντων ἐφάμιλλος τούτῳ, καὶ οὐδένα τῶν θνητῶν εὑρίσκω χωροῦντα τὴν ἀνταγώνισιν· τῇ θείᾳ δὲ μόνῃ φιλανθρωπίᾳ παραβαλλομένην εὑρίσκω τὴν τοῦ κρατοῦντος, ὅτι καὶ τῷ θεῷ οὗτος εὕρηται κατὰ τὴν καρδίαν αὐτοῦ. τοῦτο μετὰ προοικονομίας, ὡς ὁρᾷς, εἰσῆκται· χωρὶς δὲ ταύτης καὶ ἐξ ἐφόδου εἰ προφθάσας μισθῆναι τῆς φιλανθρωπίας τοῦ βασιλέως οὕτως ἐπενέγκῃς εὐθὺς, θεῷ κατὰ ταύτην οὐ θνητῷ ἀνδρὶ ἔοικεν ὁ κρατῶν καὶ τὰ τοιαῦτα· εἴτε οὖν οὕτως εἴτε ἐκείνως μεθοδευτέον, ὁ ῥήτωρ διακρίνει πρὸς τὸ λαλοῦν πάντως. Μέθοδος καὶ τὸ κατ' ἐπιστοιβασμὸν εἰσάγειν τὰ ἐπιχειρήματα ἢ τὰ νοήματα, ἢ διακόπτοντα καὶ ἀρχὴν ἄλλην διδόντα, καὶ τὸ προσκορὲς τοῦ ἐπιστοιβασμοῦ καὶ ἐπαχθὲς κολάζοντα· καλὸν γὰρ καὶ τὸ ἐκφεύγειν τὸν ἐπιστοιβασμὸν διὰ τὸ πλήσμιον,

---

ροὶ τὰ πρόσωπα, καὶ ἡ πανταχόθεν τῶν πραγμάτων ἀνάγκη. Μέθοδός τίς ἐστι καὶ τὸ πολλάκις τὸ αὐτὸ εἰπεῖν νόημα διὰ φράσεως διαφόρου, ὡς ὁ Δημοσθένης ἐποίησεν ἐν τῷ περὶ στεφάνου λόγῳ ἑξηκοντάκις ὑπαλλάξας, ὃν τῶν κατὰ τοῦ Αἰσχίνου νοημάτων σποράδην ἐν ὅλῳ τῷ λόγῳ, ἀλλὰ καὶ σὺ δὶς καὶ τρὶς ἴσως καλοῦντος καλοῦ. — Μέθοδος καὶ τὸ ἀπροοιμιάστως εἰσενεγκεῖν τὸν λόγον εἴτε καὶ μὴ, καὶ τὸ πόῤῥωθεν προοιμιάζεσθαι, εἴτε ἀπ' αὐτοῦ τοῦ πράγματος, καὶ τὸ ἑκάστην ἀρετὴν τοῦ ἐγκωμιαζομένου συγκρίνειν, εἴτε τὴν μίαν ἀποδοῦναι τελευταίαν ὑλικὴν σύγκρισιν, καὶ τὰ τοιαῦτα μέθοδος καὶ τὸ προσφώνημα ἢ τέλος λόγου, καὶ ἁπλῶς ἥ τε τοῦ σώματος ὅλου, καὶ τῶν μερῶν καὶ μορίων τοῦ λόγου οἰκονομία. 2 ἡ Par. om. 3 Par. μέλλει. 4 τὸ inserui ex meo, abest a Ven. 5 Par. οὕτω λέγει. ζητῶ.

καλὸν δέ ποτε καὶ τὸ ἐπιστοιβάζειν, ὅτε θέλοι τις δηλαδὴ δοκεῖν πλούσιος ταῖς ἐπιβολαῖς καὶ ποριμώτατος, καὶ κατακλύζειν τὸν ἀντικείμενον ἢ τὸν ἀκούοντα· ἐπιστοιβάσας δὲ ἀπολογήσῃ πολλάκις εἰ βούλει· ὦ τί πάθω, πλουσία ἡ ὑπόθεσις, καὶ πάντοθέν με περιῤῥεῖ τὰ νοήματα καὶ ἀναγκάζει πλατυλογεῖν· καὶ ἄλλως, ὡς ἀκορέστως ἔχω τοῦ πράγματος, οὕτω καὶ τοῦ λέγειν περὶ αὐτοῦ, καὶ ἄλλως· θέλω συστεῖλαι τὸν λόγον, καὶ ἡ πανήγυρις οὔ φησι συγχωρῆσαι, καὶ τὸ ἡμέτερον ἐν τοῖς τοιούτοις φιλήκοον. Μετὰ δὲ τὴν τοιαύτην ἀπολογίαν ἐπενέγκῃς καὶ ἕτερα νοήματα, ὑποθεραπεῦσαι φθάσας ἐκεῖθεν τὸ προσκορές. Μέθοδος καὶ τὸ ὁμολογεῖν[6] τι πταῖσμα, ὡς ὁ Συνέσιος ἐποίησεν· εἰπὼν γὰρ, ὁ χρυσοῦς Χρύσης, ἐπήνεγκεν, ἵνα ψυχρόν τι καὶ Γοργιαῖον εἴποιμι· ἀφαιρεῖ γὰρ τὸ πλημμελὲς ἡ ὁμολογία ἢ θεραπεία· καὶ ὁ Θεολόγος. ἔφεπε κλονέων τῷ λόγῳ τοὺς γεννάδας ἐκείνους, καὶ εὐθὺς, ἵνα τὸν ἄνδρα τελέως καθομηρίσω,[7] καὶ ὡς εἴτις εἰπὼν πεζαιτέραν λέξιν κατὰ χρείαν τινὰ ἐπενέγκῃ, ἵνα κατὰ τὴν δημώδη γλῶτταν εἴπω· ἢ θεὸν εἴπών τις τὸν ἐπαινούμενον, καὶ ἔνθεα τὰ αὐτοῦ ἐπάγῃ, ὡς ἂν τὰ τοῦ ἀνδρὸς ὑψηγορήσω[8] σεμνά. Ταῦτα καὶ τὰ τοιαῦτα μέθοδός τίς ἐστι, καὶ δεῖ χρῆσθαι καὶ ταύτῃ κατὰ καιρόν.

---

6 Ven. ἀναλογεῖν. scr. ὁμολ. coll. v. 15. — Synes. Epist. 83. (apud Petav. falso impressum est 82.) p. 229. A. „Χρύσῃ" inscripta: Οὐχ ὅτι μοι τῶν παιδίων συγγενής ἐστιν ὁ θαυμαστὸς Γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ· καὶ τοῦτο μὲν γάρ· ἀλλ' ὅτι πρέπων ἐστὶ τοῦ χρυσοῦ Χρύσου τοῖς τρόποις, εἰ δεῖ μέ τι καὶ ψυχρὸν εἰπεῖν καὶ Γοργιαῖον. Epist. 134. (apud Petav. falso 133.) p. 271. C.: Τρύφωνι τῷ χρυσῷ· δεῖ γάρ τι καὶ ἐν τούτοις ψυχρὸν εἰπεῖν καὶ Γοργιαῖον· Τρύφωνι τὰ δῶρα παρεσκευάσαμεν, ὀπὸν σιλφίου πολύν. κ. τ. λ. 7 Par. καθομηρίσαιμι. 8 Par. ὑψηλογήσω.

## Cap. VIII.[1]

### ΠΕΡΙ ΨΥΧΡΟΛΟΓΙΑΣ.

Ἡ δὲ ψυχρολογία πλημμέλειά ἐστι λόγου. θεραπεύειν δὲ ταύτην ἐν πολλοῖς ἐκ μεθόδου δυνάμεθα. Ψυχρολογία γοῦν ἀπὸ τόλμης πολλάκις τροπικῆς γίνεται, οἷον ὁ τῆς θλίψεως θὴρ τῇ καρδίᾳ ἡμῶν ἐνέπειρεν ἀκωκὰς ὀνύχων καὶ ὀδόντων ἀκμάς· σκληρὸν γὰρ ἐνταῦθα αἱ ἀκωκαὶ τῶν ὀνύχων καὶ αἱ ἀκμαὶ τῶν ὀδόντων, ὥστε κρεῖττον εἰπεῖν κατὰ εἰκασίαν ἤτοι παραβολὴν, ἡ θλῖψις ἡμῖν ὡς θὴρ ἀκωκὰς ὀνύχων ἐμπείρων τῇ καρδίᾳ μου καὶ ὀδόντων ἀκμάς· ἡ τοιαύτη εἰκασία θεραπεύει μεταβάλλουσα τὰς τροπικὰς θρασύτητας· ἡ μὲν γὰρ τροπολογία μεγαλοφωνίαν ἔχει τινὰ καὶ ποιητική ἐστιν, ὅμως καὶ κινδυνώδης, ἡ δὲ εἰκασία ῥητορικωτέρα τε καὶ ἀσφαλεστέρα γίνεται, καὶ ψυχρολογία πολλάκις καὶ ἐν τοῖς λεγομένοις παρὰ τῶν πολλῶν μελετήμασιν ἤγουν τοῖς παραδείγμασιν, ὅταν τυχὸν τὰ τοῦ Μωσέως προσαρμόζωμεν τοῖς τοῦ πατριάρχου, λέγοντες ὡς ἐκεῖνος καὶ σὺ τὴν κοσμικὴν καὶ βασιλικὴν τρυφὴν ἔφυγες, καὶ εἰς τὴν Μαδιὰμ ἀνεσώθης τὴν ὑψηλὴν, διὰ τῆς ὑπερφυοῦς πολιτείας, καὶ θεαματισθεὶς τὰ παράδοξα· οἷα καὶ θεωρικώτατα ἐπέτριψας τῷ νοητῷ Φαραὼ τὸ δεκάπληγον, ὅμως πληρεστάτην τὴν μάστιγα κατά γε τὸ τοῦ ἀριθμοῦ τούτου· τέλος καὶ τὸν ῥευστὸν τοῦτον βίον, ὡς ἄλλην ἐρυθρὰν διαβὰς ἐν ξηρῷ, μηδὲν ἐφ' ἁρμάτων παρασπάσας ὑγρότητος ἐπὶ τὴν ἐπηγγελμένην ἀναχωρεῖς· ὅτι καλῶς, ὅτι καὶ συμμέτρως· εἰ δέ τις καὶ τὸ τυχὸν τῶν Μωσαϊκῶν ἐπιχειροίη προσαρμόζειν τῷ προκειμένῳ, βίαιον πολλάκις καὶ ψυχρὸν τὸν λόγον ποιεῖ, φυλλοκρινῶν

---

1 Caput hoc, quod Par. solus habet, loco parum commodo post Rhacendytae cap. VII. inseritur.

λεπτῶς, καὶ τίς ἡ Μαδιὰμ ἡ τοῦ πατριάρχου, καὶ ὅτι τῷ Ἰωθὰρ ἐκεῖσε ἐπεγαμβρεύθη, καὶ τίς οὗτος καὶ τὸ δεκάπληγον, αὐτὸ δηλαδὴ τὸ εἶδος τῶν πληγῶν ζητῶν ἐφαρμόσαι τοῖς πατριαρχικοῖς καὶ τὰ τοιαῦτα σμικρολογῶν, προσληπτέον οὖν ἐν τοῖς τοιούτοις ὅσον ἐγχωρεῖ καὶ ἀλληγορητέον, τὸ δὲ λοιπὸν ὡς περίεργον ἀποπτυστέον. Ὅρα δὲ καὶ τὸ δι' ἀποφάσεως μεθοδεύειν τὸν λόγον ἐν τοῖς τοιούτοις πολλάκις θεραπευτικὸν, ὡς ἐνταῦθα διελέξαμεν τὸ ἐπέτριψας τῷ Φαραὼ οὐ δεκάπληγον μὲν, ὅμως πληρεστάτην μάστιγα, καὶ τὸ ἑξῆς. Τὰ δὲ παραγγέλματα ταῦτα τηρητέον καὶ ἐν τοῖς παραγγέλμασι τῶν ἔξω ἱστοριῶν· ψυχρὸν ὡς ἀπροσφυὲς καὶ ἀπαίδευτον καὶ τὸ τὰς ἔξω καὶ Ἑλληνικὰς ἱστορίας ἕλκειν εἰς τοὺς ἱεροὺς λόγους καὶ ἀρχιερατικούς· ἁρμόζουσαι γὰρ αὗται τοῖς βασιλέων καὶ λοιπῶν ἐγκωμιαστικοῖς ἐγκωσμίων ἀρχόντων. ἐκ μεθόδου ταύτης ἁρμόσεις καὶ τοῖς ἱεροῖς τῇ ἀρνήσει δηλονότι καὶ ἀποφάσει χρώμενος, καὶ τῶν αὐτῶν ἐκείνων περιυβρισμένων, ὡς ἐποίησεν ὁ Θεολόγος· εἰπὼν γὰρ, πάλιν Ἰησοῦς καὶ πάλιν μυστήριον, ἐπήγαγε τὰ Ἑλληνικὰ δι' ἀποφάσεως καὶ ὕβρεως· οὐ Διὸς ταῦτα γοναὶ καὶ κλοπαὶ τοῦ Κρητῶν τυράννου, καὶ τὸ καὶ τόδε· αἱ δὲ θειογραφικαὶ ἱστορίαι καὶ πατριαρχικαῖς καὶ βασιλικαῖς ἐμπρέπουσι· γίνεται καὶ ψυχρολογία πολλάκις καὶ ὅτε εἰς ταπεινότητα κατάγῃ τις τὸ μελέτημα καὶ τὴν ἀλληγορίαν· οἷον εἰ λέγεις τὸν πατριάρχην αὐχεῖν καὶ ἄλλην Μωσαϊκὴν ῥάβδον τὴν αἰσθητὴν ῥάβδον τῆς ἀρχιερωσύνης· καὶ εἰ λέγεις θρέψαι τοῦτον ἡμᾶς τῷ [2] μάννα, τοῖς ἐκ τοῦ πατριαρχικοῦ πρυτανείου ἄρτοις καὶ τὰ τοιαῦτα· ταῦτα τοίνυν φευκτέον· γίνεται ψυχρολογία πολλάκις καὶ ὅτε εἰς κωμικήν τινα γελοιότητα κατιφέρῃ τις τοὺς λόγους, ὡς ἐκεῖνο· μέλλων γάρ τις εἰπεῖν περὶ ὀπω-

2 Par. τό. scr. τῷ.

ρῶν, ὅτι οὐκ αὐθιγενεῖς καὶ ἐγχώριοι, ἀλλ' ἐξ ἀλλοδαπῶν κομίζονται πόῤῥωθεν, εἶπεν ὡς αἰχμάλωτοι ἄγονται· καὶ τὰ μὲν σύκα πρὸς τὸ πολὺ τῆς ὁδοιπορίας ἰλιγγιάσαντα ἐμεμήκασι τὸ μέλι· οἱ δὲ συκιοὶ ἐγγηράσαντες τοῖς φορμοῖς ὡς εἱρκταῖς ἐρυτιδώθησαν· καὶ οἱ ἄπεις παγκρατιασταὶ ἀλλήλους τραυματίσαντες ἐκ τοῦ συστενοῦσθαι ἐν τοῖς φορμοῖς· ταῦτα καὶ τὰ τοιαῦτα κωμικώτερα καὶ φευκτέα τοῖς λογογράφοις. Γίνεται ψυχρολογία καὶ ἀχρειότης λόγου καὶ ὅταν τὰ ὑψηλὰ ταπεινοῖς παραβάλλῃ τις, λέγων πρὸς βασιλέα τυχὸν, οὕτω δικαιοπραγεῖς καὶ ἐφαρμόζεις ἑκάστῳ τὴν ἐπιπρεπῆ ἀξίαν, ὡς ἄρα καὶ ὁ δεξιὸς σκυτοτόμος τοῖς διαφόροις ποσὶ τὰς ἐπιβλύσεις προσέφυσε· φεῦγε οὖν καὶ τῶν τοιούτων παραβολῶν τὸ ἀχρεῖον· εἰ δὲ θέλεις ἀναγκάσαι καὶ ὑποθεραπεῦσαι μεγαληγορήσας τὴν βάναυσον τέχνην, εἰ τύχοι τὴν σκυτοτομικὴν, τοῦτο μὲν ἀποσιωπήσας τὸ ὄνομα, εἰπὼν δὲ ταύτην σοφὴν τέχνην καὶ σοφοῦ νοὸς εὕρημα καὶ σωμάτων ἀνθρωπίνων ἢ βημάτων θαυμασίαν ἐπίστροφον, καὶ ἐπίκουρον κατὰ τῆς ἀναγκαιοτάτης τὸν βίον κινήσεως μεταβατικῆς, καὶ ἐμποδιστὰ ταύτην ἀποτιναχτικὴν ἤ τι τοιοῦτον. Πλημμελὲς καὶ τὸ τὰ μικρὰ πρὸς τὰ πάνυ μείζονα παραβάλλειν, καὶ ἥλιον τυχὸν ὀνομάζειν ἰδιώτην ἄνδρα ἢ δημότην· καὶ οὐρανὸν κατάστερον καὶ πεδιάδα κατάφυτον, ἢ τὸν πέπλον τὸν κατεστιγμένον χρυσῷ· τὸ πλημμέλημα τοῦτο καὶ ἀθεράπευτον σχεδὸν· ἴσως δέ τι κολακευθήσεται, ἐὰν ὁμολογήσῃς, ὅτι μεγάλοις παραβάλλεις τὸ προτεθειμένον καὶ ἀσυγκρίτοις· ἀποδοὺς ὅμως καὶ αἰτίαν τινὰ τῆς συγκρίσεως.

## Cap. IX.

### ΠΕΡΙ ΚΩΛΩΝ.

Κῶλα λέγονται αἱ τῶν ἐννοιῶν ἀπαρτήσεις, ἔνθα καὶ στίζομεν, οἷον πάλιν Ἰησοῦς ὁ ἐμὸς, καὶ πάλιν μυστήριον· κῶλον τοῦτο· μυστήριον οὐκ ἀπατηλὸν οὐδὲ [1] ἄκοσμον, κῶλον τοῦτο [2] ἕτερον, καὶ πλατεῖα μὲν καὶ ἡ περὶ τούτου διδασκαλία ἐν ταῖς ἰδέαις τῆς ῥητορικῆς· ὅμως ἡμεῖς εἰς δύο καὶ ταῦτα τέμωμεν. Τῶν κώλων τὰ μὲν βραχύτερα, τὰ δὲ μακρότερα· βραχύτερα, [3] οἷον Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς, ὑψώθητε, καὶ τὰ τοιαῦτα· μακρότερα, ἔμελλον ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος, ἕως ὧδε κῶλον ἐκκρεμὲς, ἐφιλοτιμεῖτο γὰρ τοῖς ἐμοῖς λόγοις, ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς· ἕως ὧδε ἕτερον καὶ τὰ ἑξῆς· γίνεται δὲ τὸ μὲν βραχὺ κῶλον διὰ βραχυτέρων λέξεων καὶ ἐννοιῶν ἀφωρισμένων, καὶ ἐκ τοῦ μὴ ἀναδιπλοῦν τὰς λέξεις, τὸ δὲ μακρὸν ἐκ πάντων τῶν ἐναντίων τούτοις. Ἁρμόζει δὲ ἡ μὲν βραχυκωλία [4] διηγήμασι μᾶλ-

---

1 Par. οὐδ'. 2 τοῦτο Par. om. 3 Par. καὶ τὰ μὲν βραχύτερα, Χριστὸς Χριστὸς γιν. 4 Par. ad marg. Ἀκριβέστερον δὲ ἡ βραχυκωλία μὲν ἁρμόζει διηγήματι, διδασκαλίᾳ καὶ πάθει. Διηγήματι μὲν, ἵνα τὸ ἀγνοούμενον εὐσύνοπτον καὶ εὐκατάληπτον γίνηται τοῖς ἀκούουσι· διδασκαλίᾳ δὲ ὡσαύτως, ἵνα τὸ ἀφωρισμένον εὐμαθὲς εἴη τῷ διδασκομένῳ, τῷ λέγοντι, ὡς παθαινομένῳ· ἡ δὲ μακροκωλία ὡς λαμπρὰ προσήκει ἐγκωμιαστικοῖς καὶ αὐξήσεσι καὶ τοῖς ἄλλοις ἑορταστικοῖς καὶ πανηγυρικοῖς· καὶ ἐν σώματι τῷ λόγῳ δεῖ μόρια εἶναι καὶ μικρὰ καὶ μείζω, καὶ ἐκτεταμένα τὰ κῶλα καὶ συνεσταλμένα καὶ διὰ τῶν σχημάτων εὐθέα τε καὶ καμπύλα, ὡς προείρηται εὐθέως ἕκαστον, καὶ οὕτω καλὸν ἦν τινα λαμβάνειν τὸ σῶμα τοῦ λόγου διὰ τῆς ποικιλίας· ἐπεὶ δὲ τὸ

λον· δεῖ γὰρ τὸν διηγούμενον ὡς διδάσκοντα δι' εὐσυνόπτων διδάσκειν, ἡ δὲ μακροκωλία ἐγκωμίοις καὶ αὐξήσεσι. Λαμπρὰ γὰρ αὕτη καὶ ἀκμαία· ἀλλὰ τῶν καθ' ἡμᾶς πολλοὶ τὴν βραχυκωλίαν ἐν παντὶ λόγῳ ἐπαινοῦσιν ἀλόγως, οἰόμενοι ταύτην ἀστεῖόν τι, σὺ δὲ σπεῦδε καὶ ταύτῃ χρῆσθαι συμμέτρως καὶ ὅτε δεῖ, καὶ μετὰ τῶν ἐναντίων κιρνᾷν, ἀλλὰ καὶ τὸ μέσον μὴ ἀπαρνοῦ, ἐκ τῶν ἀκροτήτων τοῦτο μαθών.

---

## Cap. X.

### ΠΕΡΙ ΣΥΝΘΗΚΗΣ.

Συνθήκη λόγου ἤτοι σύνθεσις τῶν ἐν αὐτῷ λέξεων ἡ μέν ἐστι χασμωδιώδης, ἡ δὲ ἀχασμώδητος· χασμωδιώδης μέν, ἐγὼ εἶπόν σοι, ἵνα ἔλθῃς τάχιον· ἀχασμώδητος, ἐγὼ τάχιον ἐλθεῖν εἶπόν σοι, ἀλλὰ καὶ ἀπὸ τῶν λέξεων τῶν ἐχουσῶν μακρὰ ἢ βραχέα φωνήεντα γίνεται τοιάδε ἡ συνθήκη· ἡ μὲν ἀπὸ μακρῶν ἢ μακρυνομένων φωνηέντων τοῦ ᾱ καὶ τοῦ ῱ μεγάλου μέγαν ὄγκον ἔχει, οἷον ἁπάντων τῶν ἀνθρώπων σοφώτατος ὁ Γρηγόριος, ὑποκρίνεται γὰρ τὸ ο῱ μικρὸν τὴν τοῦ ῱ μεγάλου ἀπήχησιν, ἀλλὰ καὶ ἐκ τῶν συγκρούσεων τῶν συμφώνων ἀδροτέρα ἡ τοῦ λόγου γίνεται σύνθεσις καὶ ἀπήχησις, ὁποῖον τὸ ἀναῤῥιχᾶσθαι καὶ ἁτραπὸς καὶ ἔμαρψε, καὶ ἐρίγδουπος, ἡ δὲ ἀπὸ βραχυτέρων στοιχείων συνθήκη βραχυτέρα κατὰ τὸν ἦχον γίνεται, καὶ ἡ τὸ ε῱ ἔχουσα πλεονάζον, οἷον, πάλιν Ἰησοῦς ὁ ἐμὸς, καὶ πάλιν, μυστήριον. Τὰ περὶ συνθήκης δὲ καὶ εἰς τὸν περὶ ῥυθμοῦ διαβαίνουσι λόγον, ὅμως

---

πρέπον διεδιδάχθης καὶ ἐκείνου διαγινῶσκειν ἔχεις τὸν καιρὸν τῆς ἑκάστου χρήσεως καὶ κώλων καὶ σχήματος τῶν τοιῶνδε.

ὅμως καὶ περὶ αὐτοῦ διδαχθήσῃ κατωτέρω πλατύτερον· ἡ γοῦν ἀχασμώδητος καὶ πυκνὴ καὶ συμπεπιλημένη[1] συνθήκη ἐπιμελείας μᾶλλον καὶ κάλλους, καὶ χρήσῃ ταύτῃ ἐν πανηγυρικοῖς καὶ ἐν οἷς ἁπλῶς εὐρυθμίας μέλει σοι, τῇ δὲ ταύτῃ ἐναντίᾳ συνθήκῃ χρήσῃ πάντως ἐν τοῖς ἐναντίοις.

## Cap. XI.

### ΠΕΡΙ ΑΝΑΠΑΥΣΕΩΣ.

Ἀκόλουθος δὲ τούτοις καὶ ὁ περὶ τῆς ἀναπαύσεως λόγος. Ἀνάπαυσις γάρ ἐστιν ἡ τοῦ λόγου κατάληξις, καὶ εἰ μὲν εἰς βραχύτερον καταλήγει φωνῆεν καὶ λεπτότερον, εὐκινητότερον τὸν λόγον ποιεῖ ἀπὸ κώλου εἰς κῶλον· εἰ δ' εἰς μακρότερον καὶ πλατύτερον φωνῆεν ἵσταται, ἢ καὶ παραλήγεται τοιούτῳ, βεβηκότα τὸν λόγον ποιεῖ καὶ τὸν ῥυθμόν· σὺ γοῦν εἰ μὲν ῥέειν σου τὸν λόγον θέλεις καὶ εὔδρομον εἶναι καὶ χορευτὴν καὶ εὐκίνητον, ἐκείνῃ χρῶ τῇ ἀναπαύσει, εἰ δὲ βεβηκότα καὶ πάγιον ἢ βραδέως πορευόμενον, ὥς τινα σεμνὸν καὶ μεγαλοπρεπῆ, τῇ μακρᾷ χρῶ καταλήξει.

## Cap. XII.

### ΠΕΡΙ ΡΥΘΜΟΥ.

Ῥυθμός ἐστιν ἡ τοιάδε τις ἀπήχησις τοῦ λόγου, γίνεται δὲ ἐκ τῆς τοιᾶσδε συνθήκης καὶ ἀναπαύσεως ἢ εὐηχέστερος ἢ δυσηχέστερος, ἢ λεπτὸς τὸν ἦχον ἢ ἀδρὸς, καὶ ἔχεις τοῦτο ἐν τοῖς περὶ συνθήκης. Αἱ ὁμαλώτεραι δὲ λέξεις, ὁποῖα τὸ μῆλον, τὸ κάλλος, ὁ λειμών, τὸ ἄν-

1 Ven. συμπεπλημένη. scr. συμπεπιλ. coll. p. 559. v. 15.

ϑος καὶ ἁπλῶς ἐν αἷς μάλιστα πλεονάζει τὰ ἀμετάβολα δίχα τοῦ ρ εὐηχέστερον τὸν ῥυθμὸν ποιοῦσιν, ἀλλὰ καὶ τὸ τῆς συνθήκης ἀχασμώδητον καὶ συγκεκροτημένον καὶ πυκνὸν, πολλὴν τὴν εὐρυθμίαν ποιεῖ. οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀπὸ τοῦ τόνου γίνεται ἡ ποιά τις ἀπήχησις τοῦ ῥυθμοῦ, δηλονότι ἂν ὀξύτονός ἐστιν ἡ λέξις ἢ παροξύτονος, ἢ ι* τοιαύτη τις. ἐὰν γὰρ εἴπω, Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, εὔηχον τὸν λόγον ποιῶ, εἰ δὲ οὕτως εἴπω, Χριστὸς, γεννᾶται, δοξαστέον, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντητέον, διὰ τῶν παροξυτόνων ἀῤῥυθμότερον [2] τὸν λόγον ποιῶ· σὺ οὖν χρῶ τῷδε ἢ ἐκείνῳ τῷ τόνῳ εὐκαίρως πρὸς τὸ εὐρυθμότερον [3]· αὐτὴ δὲ ἡ φύσις διδάσκαλος, καὶ ἡ διὰ τῶν οἰκειῶν ἑκάστῳ χειλέων ἐκφώνησις, ὡσανεὶ βοῶσα τὸ εὔρυθμον καὶ τὸ ἄῤῥυθμον. Γίνεται ποιός τις ῥυθμὸς καὶ ἀπὸ τῆς τῶν λέξεων τῶν βραχυτέρων καὶ μακροτέρων συνθήκης, ἐὰν ὑπαλλάττῃ τις αὐτὰς ἐμμελῶς, οἷον μικροῦ Κυπριανὸς διέφυγεν ἡμᾶς, ὦ τῆς ζημίας, καὶ ὑμεῖς [4] ἠνέσχεσθε οἱ πάντων μᾶλλον τὸν ἄνδρα θαυμάζοντες· ὅρα πῶς παραλλὰξ καὶ ἀμοιβαδὸν αἱ μικρότεραι λέξεις κεῖνται καὶ αἱ μείζους καὶ συντελοῦσι τὴν εὐρυθμίαν· οἷον Χριστὸς γεννᾶται, δοξάσατε, ἐστὶ [5] δισύλλαβον, καὶ ἐκ τούτου εἰς τὸ μεῖζον προέκοψε, καὶ ἔοικε τοῦτο κλίμακι καὶ ἀναβάσει· τοιοῦτον καὶ τὸ, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς, ὑψώθητε· καὶ τὸ, ἄνδρες ἀδελφοὶ καὶ συμπένητες, καὶ πολλὰ ἕτερα· οὐ τοσοῦτον δέ τι τῶν ῥηθέντων, ὡς ὁ τόνος, οἶμαι, τιθέμενος ἐπικαίρως τὴν εὐρυθμίαν ποιεῖ· χρὴ οὖν ὑπαλλάττειν εὐτάκτως τὰς ὀξυτόνους καὶ παροξυτόνους καὶ λοιπὰς λέξεις. [6]

---

1* Ven. εἰ. scr. ἤ. 2 Ven. ἀρυθμότερον. et paullo post ἄρυθμον. scr. ἀῤῥυθμ. 3 Ven. εὐρυθμώτερον. 4 Ven. ἡμεῖς. 5 Ven. ἐκδισύλλαβον. scr. ἐστὶ δισύλλαβον. 6 Ter-

## Cap. XIII.

Ἱκανῶς [1] οὖν περὶ τοῦ δικανικοῦ καὶ συμβουλευτικοῦ διαλαβόντες λόγου λέγωμεν ἤδη καὶ περὶ τοῦ πανηγυρικοῦ εἴδους. ἔστω γοῦν εἰς παράδειγμα λόγος βασιλικὸς· ὁ τοίνυν βασιλικὸς λόγος ἐγκώμιόν ἐστι βασιλέως, οὐκοῦν αὔξησιν ὁμολογουμένην περιέξει τῶν προσόντων ἀγαθῶν βασιλεῖ, οὐδὲν δὲ πρὸς ἀμφίδοξον καὶ ὡς [2] ἀμφισβητούμενον ἐπιδέχεται διὰ τὸ ἅπαν ἔνδοξον τὸ πρόσωπον εἶναι, ἀλλ' ὡς ἐφ' ὁμολογουμένοις ἀγαθοῖς τὴν ἐργασίαν ποιήσῃ. Λήψῃ τοίνυν ἐν τούτῳ τὰ προοίμια δηλονότι ἀπὸ τῆς αὐξήσεως, μέγεθος περιτιθεὶς τῇ ὑποθέσει, ὅτι δυσέφικτος καὶ ὅτι καθ' ἡμᾶς εἰς ἀγῶνα οὐ ῥᾴδιον κατορθωθῆναι λόγῳ, ἢ τοὺς σεαυτοῦ λόγους μακαριεῖς, ὅτι καθῆκαν εἰς πεῖραν πραγμάτων μετὰ ἀγαθῆς καὶ μακρᾶς τύχης, ἧς εἰ λόγοι ἐπιτύχοιεν μεστὴν [3] ἄρασθαι δόξαν, ἢ ὅτι ἄτυπόν ἐστι τοσούτων ἀγαθῶν παρὰ [4] βασιλέων πειρωμένους μὴ τὸν πρέποντα καὶ ὀφειλόμενον ἔρανον [5] αὐτῷ ἀποδοῦναι· ἢ ὅτι δύο τὰ μέγιστα τῶν ὑπαρχόντων ἐστὶν, εὐσέβεια περὶ [6] τὸ θεῖον καὶ τι-

---

minatur h. l. fragmentum codicis Par. verbis: τέλος τῶν ὀκτὼ μερῶν τοῦ ῥητορικοῦ λόγου. Sequitur in Med. 3. Διδάξομέν σε κατὰ τὸ ἐγχωροῦν κ. τ. λ. quod est caput VII. commentationis infra sequentis περὶ τῶν ὀκτὼ μερῶν τοῦ τελείου λόγου.

1 Idem caput in rhetorica Anonymi (Cod. Ven. 444.) cujus specimen infra exhibebo, continetur. Praemissis quibusdam sub titulo: περὶ τοῦ πανηγυρικοῦ ἐγκωμιαστικοῦ λόγου scribitur: ἔστω σοι γοῦν εἰς παράδειγμα καὶ λόγος βασιλικὸς· ἤ τοι βασιλέως ἐγκώμιον. Titulus: περὶ βασιλικοῦ λόγου. Ὁ τοίνυν βασιλικὸς λόγος αὔξησιν ὁμ. περ. κ. τ. λ. 2 Cod. 444. οὐδὲν δὲ ὡς ἀμφίδοξον καὶ ἀμφισβητ. 3 Cod. 444. μεγίστην. 4 Cod. 444. παρὰ τοῦ β. 5 Cod. 444. αὐτῷ ἀποδοῦναι ἔρανον. Ven. αὐτοῖς. 6 Cod. 444. πρὸς.

μὴ περὶ τὸν βασιλέα, ἃ προσήκει καὶ θαυμάζειν καὶ ὑμνεῖν κατὰ δύναμιν· δέχεται τὰ προοίμια καὶ παραδειγμάτων ἀορίστων αὐξήσεις, οἷον ὡσὰν λέγοιμεν, [7] ὥσπερ δὲ πελάγους ἀπείρου μέτρον οὐκ ἔστι λαβεῖν, οὕτω καὶ βασιλέως εὐφημίας λόγῳ περιλαβεῖν· οὐ μόνον δὲ ἐπὶ τοῦ βασιλικοῦ τοῦτο εὕροις ἂν, ἀλλὰ καὶ ἐπὶ [8] πάσης ἐπιδεικτικῆς ὑποθέσεως, καὶ μάλιστα ἐν συντύνοις τῶν ἐπιδεικτικῶν· ὥσπερ οὖν τὸ κρεῖττον ὕμνοις καὶ ἀρεταῖς ἱλασκόμεθα, οὕτω καὶ βασιλέα λόγοις, ὅταν αὐξήσεως ἕνεκα παραβάλληται. [9] Λήψει δὲ δευτέρων προοιμίων ἐννοίας ἢ ἀπὸ τοῦ Ὁμήρου τῆς μεγαλοφωνίας, ὅτι ταύτης ἐδεῖτο μόνης ἡ ὑπόθεσις, ἢ ἀπὸ Ὀρφέως, Καλλιόπης, [10] ἢ ἀπὸ τῶν Μουσῶν αὐτῶν, ὅτι μόλις ἂν καὶ αὗται πρὸς ἀξίαν τῆς ὑποθέσεως εἰπεῖν ἠδυνήθησαν· ὅμως δὲ οὐδὲν κωλύει καὶ ἡμᾶς ἐγχειρῆσαι πρὸς δύναμιν· ἡ τρίτη δὲ τοῦ προοιμίου ἔννοια, (καθόλου δὲ [11] τούτου μέμνησο τοῦ παραγγέλματος,) προκαταρκτικὴ γινέσθω τῶν κεφαλαίων λοιπὸν ὡς διαποροῦντος [12] τοῦ λέγοντος, ὅθεν χρὴ τὴν ἀρχὴν τῶν ἐγκωμίων ποιήσασθαι. Μετὰ τὰ προοίμια ἐπὶ τὴν πατρίδα ἥξεις, ἐνταῦθα διασκέψῃ κατὰ σεαυτὸν, πότερον ἔνδοξός ἐστιν ἢ οὔ· κἂν προσθῇς τὸν περὶ ταύτης λόγον, καὶ περὶ [13] τοῦ γένους ἐρεῖς, οὐκ ἐνδιατρίβων μὲν εἰς τοῦτο, οὐδὲ προχέων ἐνταῦθα πολλοὺς τοὺς λόγους· οὐ γὰρ ἴδιον τοῦτο μόνου [14] βασιλέως ἐγκώμιον, ἀλλὰ πρὸς πάντας τοὺς οἰκοῦντας [15] τὴν πόλιν, διόπερ [16] τὰ μὴ ἀναγκαῖα λυσι-

---

7 ὡσὰν λέγοιμεν. Cod. 444. om. 8 Ven. ἐπὶ om., recepi ex Cod. 444. 9 ὅταν αὐξ. ἕν. παραβάλληται Cod. 444. om. 10 pro ἀπὸ Ὀρφ. Καλλιόπης Cod. 444. legit ἢ τινος τῶν καθ' ἡμᾶς μεγίστων. 11 δὲ Cod. 444. om. 12 ὡς διαπορ. λοιπὸν Cod. 444. 13 Cod. 444. περὶ. Ven. πρό. 14 Cod. 444. μόνον τοῦ βασ. 15 Cod. 444. inserit διαβαῖνον. 16 Cod. 444. διό.

τελεῖ παρατρέχειν· ἐὰν δὲ μηδὲ ἡ πόλις ἔνδοξος ᾖ, ζητήσεις τὸ ἔθνος ἅπαν, εἰ ἀνδρεῖον ὑπείληπται καὶ ἄλκιμον, [17] εἰ περὶ λόγους ἔχει ἢ κτῆσιν ἀρετῆς, ὡς τὸ Ἑλληνικὸν, εἴτε νόμιμον, ὡς τὸ Ἰταλῶν, εἰ ἀνδρεῖον, ὡς τὸ Παιόνων καὶ Γαλατῶν, καὶ ἀντὶ τῆς πατρίδος ἀπὸ τοῦ ἔθνους λήψῃ βραχέα, προσοικειῶν κἀνταῦθα τοῦ βασιλέως τὸν ἔπαινον, καὶ κατασκευάζων ὅτι ἀναγκαῖον τὸν ἐκ τῆς τοιαύτης πόλεως ἢ τοῦ ἔθνους τοιοῦτον εἶναι, καὶ ὅτι τῶν ὁμοφύλων πάντων ἐπαινετῶν ὄντων αὐτὸς μόνος διήνεγκεν· οὗτος γὰρ μόνος ἠξιώθη τῆς βασιλείας· εἶτα ἐξ ἱστορίας παραδείγματα, ὡς πάντων ἀνδρῶν [18] Θετταλῶν ὁ Πηλέως ἠξιώθη τῆς ἡγεμονίας τοῦ γένους, δηλονότι [19] τῷ πάντων διαφέρειν· ἐὰν δὲ μήτε ἡ πατρὶς, μήτε τὸ ἔθνος ὑπάρχῃ περίβλεπτον, ἀφήσεις μὲν τοῦτο· [20] θεωρήσεις δὲ πάλιν, πότερον ἔνδοξον αὐτοῦ τὸ γένος ἢ οὔ· κἂν μὲν ἔνδοξον ᾖ, ἐπεξεργάσῃ τὰ περὶ τούτου, ἐὰν δὲ ἄδοξον ᾖ ἢ εὐτελὲς, μεθεὶς καὶ τοῦτο ἀπ' αὐτοῦ τοῦ βασιλέως τὴν ἀρχὴν ποιήσῃ, ὡς Καλλίνικος ἐποίησεν ἐν τῷ μεγάλῳ Βασιλικῷ· ἢ ἄλλως, τοιαῦτα περὶ τοῦ γένους ἐρεῖς, ὅτι εἶχον μὲν εἰπεῖν περὶ τοῦ γένους· ἐπεὶ δὲ νικᾷ τὰ τοῦ βασιλέως, σπεύδωμεν ἐπὶ [21] βασιλεῖ· οἱ μὲν οὖν ἄλλοι γένει κοσμείτωσαν καὶ λεγόντων περὶ αὐτοῦ ἃ βούλονται, ἐγὼ δὲ μόνον ἐπαινέσω τοῦτον, ἄνευ τοῦ γένους· ἀρκεῖ γὰρ αὐτῷ χωρὶς ἐπεισάκτου τινὸς εὐφημίας ἔξωθεν· οὕτω πολλοὶ τῷ μὲν δοκεῖν ἐξ ἀνθρώπων εἰσὶ,

---

17 καὶ ἄλκιμον Cod. 444. om. tum legit: εἰ περὶ λόγους σπουδάζει, ἢ κτῆσιν ἀρετῆς ἔχει. omissis sequentibus usque ad: καὶ ἀντὶ τῆς πατρίδος. 18 Cod. 444. ἀνδρείων. 19 δηλονότι Cod 444. om. Idem legit πάντων. Ven. πάντα. 20 Cod. 444. ἐάσεις μὲν ταῦτα. 21 Cod. 444. σπεύδομεν ἐπὶ τῷ βασ. οἱ μὲν οὖν ἄλλοι γένει τὸν βασιλέα κοσμ. κ. λ. περὶ αὐτοῦ [Ven. αὐτῶν] ὅσα βούλ.

τῇ δ' ἀληθείᾳ παρὰ θεοῦ καταπέμπονται, καὶ εἰσὶν ἀποῤῥοαὶ ὄντως τοῦ κρείττονος· καὶ γὰρ Ἡρακλῆς ἐνομίζετο μὲν Ἀμφιτρύωνος, τῇ δ' ἀληθείᾳ ἦν Διὸς,[22] οὕτω καὶ βασιλεὺς ὁ ἡμέτερος τῷ μὲν δοκεῖν ἐξ ἀνθρώπων γέγονε, τῇ δ' ἀληθείᾳ τὴν καταβολὴν οὐρανόθεν ἔχει· οὗ γὰρ δὴ[23] τοσούτου κτήματος καὶ τοσαύτης ἀξίας ἔτυχε μὴ οὐχὶ κρείττων γεγονὼς τῶν τῇδε· ταῦτα καὶ τὰ τοιαῦτα περὶ τοῦ γένους ἀφοσιωσάμενος πάλιν ζήτει τὰ περὶ γενέσεως αὐτοῦ τοῦ βασιλέως· εἰδέναι δὲ[24] χρὴ, ὅτι ἐὰν μὲν ἔχοιμεν μεθόδῳ τινὶ κρύψαι τὸ ἄδοξον, ὥσπερ ἐπὶ τοῦ γένους εἰρήκαμεν, ὅτι ἐὰν μὴ ὑπάρχῃ τοῦτο ἔνδοξον, ἐρεῖς αὐτὸν ἐκ θεῶν γενέσθαι καὶ δὴ τοῦτο ποιήσομεν, εἰ δὲ μὴ παρελευσόμεθα, οὐκοῦν ἔστω σοι μετὰ τὴν πατρίδα καὶ μετὰ[25] τὸ γένος τρίτον κεφάλαιον τὰ περὶ τῆς γενέσεως, ὡς ἔφημεν, εἴ τι σύμβολον γέγονε περὶ τὸν τόκον ἢ κατὰ γῆν ἢ κατ' οὐρανὸν ἢ κατὰ θάλασσαν,[26] καὶ ἀντεξέτασον τοῖς[27] περὶ τὸν Ῥωμύλον καὶ Κῦρον καὶ τοιούτοις τισὶ κατὰ τὴν γένεσιν· καὶ γὰρ κἀκείνοις συνέβη[28] τινὰ θαυμάσια, τῷ μὲν Κύρῳ τὰ τῆς μητρὸς ὀνείρατα, τῷ δὲ τὰ περὶ τὴν λύκαιναν· κἂν μὲν εἴη τι τοιοῦτον περὶ τὸν βασιλέα, ἐξέργασαι, ἐὰν δὲ οἷόν τε[29] καὶ πλᾶσαι καὶ ποιεῖν τοῦτο πιθανῶς μὴ κατόκνει· δίδωσι γὰρ ἡ ὑπόθεσις διὰ τὸ τοὺς ἀκούοντας ἀνάγκην ἔχειν ἀβασανίστως δέχεσθαι[30] τὰ ἐγκώμια. Μετὰ τὴν γένεσιν ἐρεῖς τι καὶ περὶ φύσεως, οἷον[31] ὅτι ἐξέλαμψεν ἐξ ὠδίνων εὐειδὴς τῷ κάλλει· καταλάμπει τὸ

---

22 Cod. 444. τοῦ *Διὸς* ἦν. 23 δὴ recepi ex Cod. 444. scriptum erat διὰ. 24 δὲ Cod. 444. om. 25 Cod. 444. μετὰ om. 26 Cod. 444. θάλαττων. 27 Cod. 444. ἀντεξέτα [supra α positum est σ] τοῖς. Ven. ἀντεξέτασιν τῆς. 28 Cod. 444. συμβέβηκε. 29 Cod. 444. οἷόν τε ἦ. 30 Cod. 444. τῶν μεγάλων τὰ ἐγκ. 31 οἷον Cod. 444. om.

φαινόμενον, ἀστέρι κάλλιστα τῶν κατ' οὐρανὸν ἐφαμιλλώμενος.[32] Ἕξῃς δὲ κεφάλαιον ἀνατροφή, εἰ ἐν βασιλείοις ἀνετράφη, εἰ ὀλουργίδες τὰ σπάργανα, εἰ ἐκ πρώτης βλάστης ἐν βασιλικοῖς ἀνετράφη κόλποις, ἢ οὐχ οὕτως μὲν, ἀνελήφθη δὲ εἰς βασιλείαν νέος ὤν, ἀπό τινος μοίρας εὐτυχοῦς· κἀνταῦθα παραδείγματα ζητήσεις[33] ὅμοια ἐὰν ᾖ, ἐὰν δὲ μὴ τὴν ἀνατροφὴν ἔνδοξον ἔχῃ, ὡς Ἀχιλλεὺς παρὰ Χείρωνι, ζητήσεις τὴν παιδείαν καὶ ἐνταῦθα προσεπισημαίνων ὅ τι βούλει. Δεῖ δὲ ἐπὶ τοῖς εἰρημένοις καὶ τὴν φύσιν τῆς ψυχῆς αὐτοῦ διεξελθεῖν· ἐρεῖς οὖν τὴν φιλομαθείαν, τὴν ὀξύτητα, τὴν περὶ τὰ μαθήματα σπουδὴν, τὴν ῥᾳδίαν κατάληψιν[34] τῶν διδασκομένων· κἂν μὲν ἐν λόγοις ᾖ καὶ φιλοσοφίᾳ καὶ γνώσει λόγων, τοῦτο ἐπαινέσεις· ἐὰν δὲ ἐν μελέτῃ πολέμων καὶ ὅπλων, τοῦτο θαυμάσεις, ὡς ἀγαθῇ μοίρᾳ γενόμενον, προμνηστευσαμένης[35] αὐτῷ τῆς τύχης τὰ μέλλοντα, καὶ ὅτι ἐν οἷς ἐπαιδεύετο, διαφέρων τῶν ἡλίκων ἐφαίνετο, ὡς Ἀχιλλεὺς, ὡς Ἡρακλῆς, ὡς οἱ Διόσκουροι, τὰ δὲ ἐπιτηδεύματα χώραν ἐξετάσεως ἔχει·[36] ἐπιτηδεύματα δέ ἐστιν[37] ἀγώνων πράξεις ἠθικαί· τὰ γὰρ ἐπιτηδεύματα ἤθους ἔμφασιν περιέχει, οἷον ὅτι δίκαιος ἐγένετο, ὅτι σώφρων ἐν τῇ νεότητι, καθάπερ Ἰσοκράτης ἐποίησεν ἐν τῷ Εὐαγόρᾳ, ἐν οἷς καὶ μικρὸν προελθὼν εἶπεν, ἀνδρὶ δὲ[38] γενομένῳ ταῦτά τε πάντα συν-

---

32 Cod. 444. ἐφάμιλλος. 33 Ven. ζητήσας scr. ζητήσεις. — v. 9. Cod. 444. προσεπισημαίνων. Ven. προσεπιμένων. 34 Ven. κατάληξιν. Cod. 444. per compendium scribit ita, ut κατάληξιν non legendum esse appareat, qnomodo legendum sit, incertum sit: ex conjectura igitur posui κατάληψιν. 35 Cod. 444. προμνησταμένης. 36 Cod. 441. ἕξει. 37 Cod. 444. ἐπιτηδεύματα δὲ αἳ ἄνευ ἀγώνων πράξεις ἠθ. omissis sqq. τὰ γὰρ ἐπιτ. ἠ. ἐ. περιέχει. 38 Cod. 444. δὲ om. — Isocr. Evag. §. 23. p. 216. Bekk. — Locus Aristidis ad sensum ex-

ηυξήθη, καὶ ἄλλα προσεγίνετο· ὡς καὶ Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ ὅτι φιλάνθρωπος ἡ πόλις, ἐπιτήδευμα γὰρ τοῦτο ἐξήτασεν ὑποδεχομένη τοὺς καταφεύγοντας. ἀκολουθεῖ τοῖς ἐπιτηδεύμασι λοιπὸν ὁ περὶ τῆς πράξεως[39] λόγος· χρὴ δὲ γινώσκειν καὶ φυλάττειν τὸ παράγγελμα, ὅτι ὅταν μέλλῃς ἀπὸ καφαλαίου εἰς κεφάλαιον μεταβαίνειν, δεῖ προοιμιάζεσθαι περὶ οὗ μέλλεις ἐπιχειρεῖν· ἵνα προσεκτικὸν τὸν ἀκροατὴν ἐργάσῃ· καὶ μὴ ἐᾷς λανθάνειν μηδὲ κλέπτεσθαι τῶν κεφαλαίων τὴν αὔξησιν· αὐξήσεως γὰρ οἰκεῖον τὸ προσεκτικὸν ποιεῖν τὸν ἀκροατὴν καὶ ἐπιστρέφειν, ὡς περὶ μεγίστων ἀκούσειν μέλλοντα. Τίθει δὲ καὶ σύγκρισιν ἐφ' ἑκάστῳ τῶν κεφαλαίων τούτων, ἀεὶ συγκρίνων φύσιν φύσει, καὶ ἀνατροφῇ ἀνατροφὴν, καὶ παιδείαν παιδείᾳ, καὶ τοιαῦτα ἀνερώτα καὶ παραδείγματα, οἷον Ῥωμαίων βασιλέων καὶ στρατηγῶν καὶ Ἑλλήνων ἐνδοξοτάτων. Τὰς τοίνυν πράξεις διαιρήσεις δίχα, εἵς τε τὰς κατ' εἰρήνην καὶ τὰς[40] κατὰ πόλεμον, ἐὰν ἐν ταύταις λαμπρὸς ὁ ἐπαινούμενος φαίνηται. δεῖ γὰρ τὰς κατὰ τὴν ἀνδρίαν πράξεις πρώτας παραλαμβάνειν ἐπὶ τῶν τοιούτων ὑποθέσεων εἰς ἐξέτασιν· γνωρίζει γὰρ βασιλέα πλέον ἀνδρία· ἐὰν δὲ μηδεὶς πόλεμος αὐτῷ πεπραγμένος τύχῃ, ὅπερ σπάνιον, ἥξεις ἐπὶ τὰ τῆς εἰρήνης ἀναγκαίως. Εἰ μὲν οὖν κατὰ τὸν πόλεμον ἐγκωμιάζεις, ἐπιστατέον, ὅτι ἀπὸ τῆς ἀνδρίας ἐρεῖς μόνον, οὐκ ἀφ' ἑτέρων δέ τινων· εἰ δὲ κατὰ τὴν εἰρήνην, τῆς μὲν ἀνδρίας οὐκέτι,[41] ἑτέρων δέ τινων. διαίρει γὰρ[42] πανταχοῦ τὰς πράξεις, ὡσὰν μέλ-

---

pressus videtur ex Panath. p. 108. — 116. ὅση τινὶ καὶ οἵᾳ τῇ περιουσίᾳ τῆς φιλανθρωπίας εἰς ἅπαντας ἐχρήσαντο. 39 Cod. 444. ὁ περὶ τῶν πράξεων λόγος· ταύτας οὖν διαιρήσεις δίχα omissis χρὴ δὲ γινώσκειν — — — ἐνδοξοτάτων. 40 Cod. 444. τὰς om. 41 Cod. 444. ἀπὸ ἑτέρων. 42 Cod. 444. δέ.

λεις ἐγκωμιάζειν εἰς τὰς ἀρετάς.[43] Ἀρεταὶ δὲ τέσσαρές εἰσιν, ἀνδρία, δικαιοσύνη, σωφροσύνη,[44] φρόνησις, καὶ ὅρα τίνων ἀρετῶν εἰσιν αἱ πράξεις, καὶ εἰ κοιναί τινές εἰσι τῶν πράξεων, τῶν τε κατὰ τὸν πόλεμον καὶ κατ' εἰρήνην ἀρετῆς μιᾶς, ὥσπερ ἐπὶ τῆς φρονήσεως· φρονήσεως γὰρ ἐστι καὶ τὸ στραιηγεῖν καλῶς ἐν τοῖς πολέμοις,[45] φρονήσεως δὲ καὶ τὸ καλῶς νουθετεῖν, καὶ τὸ συμφερόντως διατιθέναι καὶ διοικεῖν τὰ κατὰ τοὺς ὑπηκόους· οὐκοῦν κἀν ταῖς πράξεσι τοῦ πολέμου τὰ κατὰ τὴν ἀνδρίαν ἐρεῖς, καί τοι τῆς φρονήσεως, ὅσα τῶν κατὰ τὸν πόλεμον οἰκεῖα ταύτῃ· διαγράψεις δὲ ἐν ταῖς πράξεσι τοῦ πολέμου καὶ θέσεις καὶ φύσεις χωρῶν, ἐν αἷς οἱ πολέμιοι, καὶ ποταμῶν δὲ καὶ λιμένων καὶ ὀρῶν καὶ πεδίων, καὶ εἰ ψιλοὶ ἢ δασεῖς[46] χῶροι, καὶ εἰ κρημνώδεις, καὶ[47] φράσεις δὲ καὶ λόχους καὶ ἐνέδρας. καὶ τοῦ βασιλέως κατὰ τῶν πολεμίων καὶ τῶν ἐναντίων κατὰ τῶν[48] τοῦ βασιλέως· εἶτα ἐρεῖς ὅτι σὺ μὲν τοὺς ἐκείνων λόχους καὶ τὰς ἐνέδρας διὰ φρόνησιν ἐγίνωσκες, ἐκεῖνοι δὲ τῶν ὑπὸ σοῦ πραττομένων οὐδὲν συνίεσαν· καὶ μὴν καὶ πεζομαχίας ἐκφράσεις, καὶ ἱππέων διασκευὰς εἰς ἱππομαχίαν, καὶ ὅλου στρατοπέδου πρὸς ὅλον στρατόπεδον μάχην, ἤδη δὲ καὶ ναυμαχίαν, εἰ γένοιτο, οἷα πολλὰ παρὰ τοῖς συγγραφεῦσιν[49] ἐν τοῖς Μηδικοῖς, παρὰ Ἡροδότῳ, παρὰ Θουκυδίδῃ, πάλιν ἐν τοῖς Πελοποννησιακοῖς[50] καὶ παρὰ Θεοπόμπῳ ἐν Φιλιππικοῖς· καὶ Ξενοφῶντι ἐν τῇ ἀναβάσει, καὶ τοῖς Ἑλληνικοῖς βιβλίοις.[51]

---

43 Cod. 444. ἀρετὰς, αἵτινές εἰσι τέσσ. 44 Cod. 444. καὶ φρον. 45 Cod. 444. addit: καὶ τὸ καλῶς νομοθετεῖν, καὶ τὸ συμφ. διατιθέναι etc. 46 In cod. 444. superscriptum οἱ. 47 Cod. 444. ἐκφράσεις. 48 Cod. 444. τῶν om. 49 Cod. 444. εὕρηνται inserit. 50 Cod. 444. Πελοπονησιακοῖς, καὶ περὶ Θ. 51 καὶ τοῖς ἑλλ. βιβλίοις Cod. 444. om.

Καὶ μὴν καὶ αὐτοῦ τοῦ βασιλέως ἐκφράσεις ἅπασαν ἰδέαν καὶ ἐπιστήμην, ὡς Ἀχιλλεῖ, ὡς Ἕκτορι, ὡς Αἴαντι περιτίθησιν ὁ ποιητής. Διαγράψεις δὲ καὶ πανοπλίαν βασιλέως, καὶ ἐπιστρατείας, ἐπιτείνας μὲν τῷ καιρῷ τῆς ἀριστείας καὶ συμπλοκῆς, ὅταν βασιλέως ἀριστείας ἐκφράζῃς, ἐνταῦθα πρὸς καιρὸν ἀνέξεις [52] καὶ ἀνεῖναι κατὰ μέσον τὸν λόγον, καὶ γὰρ τοῦτο παρειλήφαμεν παρὰ τῶν νεωτέρων καινοτομηθὲν, καὶ φωνὴν καθάπερ ἐν δράματι ἢ χώρᾳ ἢ ποταμῷ περιτιθέναι· [53] ποταμῷ μὲν, ὡς ὁ ποιητὴς,

Ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις.

χώρᾳ δὲ ὁμοίως, [54] ὅταν εἴπωμεν ἐκείνην καταμέμφεσθαι τὴν θρασύτητα τὴν [55] τῶν πολεμησάντων ἀντιστῆναι· καὶ ὅτι ἐστενοχωροῦντο [56] τοῖς τῶν πεσόντων σώμασιν, οἷον κἀμοὶ δοκεῖν, εἰ ποιητικὸς ἦν ὁ Ἴστρος, ὥσπερ ὁ ποταμὸς ἐκεῖνος ὁ ποιητικὸς, [57] Σκάμανδρος, εἶπεν ἄν,

Ἐξ ἐμέθεν ἑλάσας πεδίον [58] κατὰ μέρμερα ῥέζειν.
Πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα.
Οὐδέ τι πη δύναμαι προχέειν ῥόον,

καὶ τὰ τοιαῦτα. μετὰ δὲ τὴν ἄνεσιν ἐπάξεις πάλιν καὶ ἄλλα κατορθώματα, καὶ τρόπαια τροπαίοις συνάψεις, καὶ νίκας νίκαις, ἱππέων φόνους πεζῶν φόνοις· ἐνταῦθα δὲ καιρὸν ἕξεις καὶ ἐπισυνάψαι περὶ φρονήσεως, ὅτι αὐτὸς ἦν ὁ διατάττόμενος, αὐτὸς ἦν ὁ στρατηγῶν, αὐτὸς ὁ τὸν καιρὸν τῆς συμβολῆς [59] εὑρίσκων, σύμβουλος ἄρι-

---

52 Cod. 444. ἐνταῦθα καιρὸν ἂν ἔχοις. 53 Cod. 444. περιτιθέναι.. Ven. παρατιθέναι. — v. 11. uterque Cod. Ἀχιλλεῦ. Il. φ. 214. 54 Uterque Cod. χώραν. scr. χώρᾳ. sq. ὁμοίως Cod. 444. om. 55 τὴν Cod. 444. om. pro πολεμησάντων legit: τολμησάντων. 56 Cod. 444. ἐστενοχωρεῖτο. 57 ποταμὸς ἐκ. ὁ ποιητικὸς Cod. 444. om. 58 Cod. 444. πεδίων. — v. 18. δὴ Codd. om. Inserui ex Il. φ. 218. 59 Cod. 444. συμβολῆς. Ven. συμβουλῆς.

στος, ἀριστεὺς, στρατηγὸς, δημηγόρος· μετὰ τὸ τέλος τῶν πράξεων ἐρεῖς τι καὶ περὶ τρίτης ἀρετῆς, λέγω δὴ καὶ τῆς[60] φιλανθρωπίας. μόριον δὲ τῆς φιλανθρωπίας ἡ δικαιοσύνη, ὅτι νικήσας ὁ βασιλεὺς οὐ τοῖς ὁμοίοις ἠμύνατο τοὺς ἐξάρξαντας ἀδίκων ἔργων, ἀλλ' ἐμέρισε κατὰ τὸ δίκαιον τὰς πράξεις τιμωρίᾳ καὶ φιλανθρωπίᾳ, καὶ ὅσα ἡγεῖτο πρὸς σωφρονισμὸν ἀρκεῖν ἐργασάμενος, κἀνταῦθα συστείλας[61] φιλανθρωπίᾳ τὰς πράξεις ἀνῆκε, συγχωρήσας τὸ λείψανον τοῦ γένους σώζεσθαι, ἅμα μὲν ἵνα μνημεῖον τοῦ πάθους τοῦ γεγονότος σώζηται[62] τὸ λειπόμενον, ἅμα δὲ καὶ ἵνα τὴν φιλανθρωπίαν ἐνδείξηται· τέλος δὲ ἐπιθεὶς ταῖς κατὰ τὸν πόλεμον πράξεσι μεταβήσῃ λοιπὸν ἐπὶ τὸν λόγον τὸν περὶ τῆς εἰρήνης· τοῦτον δὲ διαιρήσεις εἰς σωφροσύνην, εἰς δικαιοσύνην, καὶ εἰς φρόνησιν· καὶ ἐν μὲν τῇ δικαιοσύνῃ τὸ ἥμερον πρὸς τοὺς ὑπηκόους ἐπαινέσεις, τῆς δὲ πρὸς τοὺς δεομένους φιλανθρωπίας τὸ εὐπρόσοδον· οὐ μόνον ἐν τοῖς κατὰ πόλεμον ἔργοις ὁ βασιλεὺς ἡμῶν θαυμάσιος, ἀλλὰ καὶ ἐν τοῖς κατ' εἰρήνην θαυμασιώτερος· πῶς γὰρ οὐκ ἄν τις ἀγάσαιτο τῶν ἔργων; καὶ προσθήσεις, ὅτι καθάπερ οἱ Ἀσκληπιάδαι σώζουσιν, ἢ καθάπερ τοὺς καταφεύγοντας ἐπὶ τὰ ἄσυλα τεμένη τοῦ κρείττονός ἐστιν ἰδεῖν ῥᾳστώνης τυγχάνοντας, οὐ γὰρ ἀποσπᾷν ἐπιχειροῦμεν οὐδένα, οὕτως ὁ βασιλέως ὄψεσιν ἐντυχὼν τῶν δεινῶν ἀπήλλακται· καὶ ἐρεῖς, ὅτι δικαίως ἄρχοντας κατὰ ἔθνη καὶ γένη καὶ πόλεις ἐκπέμπει[63] φύλακας τῶν νόμων καὶ τῆς τοῦ βασιλέως δικαιοσύνης ἀξίους, οὐ συλλογέας πλούτου· ἐρεῖς ἔτι καὶ περὶ τῶν φόρων, οὓς ἐπιτάττει,

---

60 Cod. 444. ἐρεῖς τι καὶ περὶ φιλανθρωπίας. 61 Cod. 444. στήσας. 62 Uterque cod. σώζεσθαι. scr. σώζηται. tum Cod. 444. ἅμα δὲ ἵνα καί. 63 Ven. ἐκπέμπει, et οὐ ante συλλογέας om. recepi ex Cod. 444.

καὶ ὅτι τοῦ αιτηρεσίου τῶν στρατευμάτων στοχάζεται, καὶ τοῦ κούφως καὶ ῥᾳδίως δύνασθαι φέρειν [64] τοὺς ὑπηκόους· ἐρεῖς καὶ περὶ νομοθεσίας, ὅτι νομοθετεῖ τὰ δίκαια, καὶ τοὺς μὲν ἀδίκους τῶν νόμων [65] διαγράφει, δικαίους δὲ αὐτὸς [66] θεσπίζει, τοιγάρτοι νομικώτεροι μὲν οἱ γάμοι, δικαιότερα δὲ τὰ συμβόλαια τῶν ἀνθρώπων πρὸς ἀλλήλους. Ἐὰν δέ τις ὑπολάβοι τὴν νομοθεσίαν φρονήσεως εἶναι μόνης, γινωσκέτω, ὅτι τὸ νομοθετῆσαι φρονήσεώς μόνης, τὸ δὲ πράττειν τὰ δέοντα δικαιοσύνης, οἷον ὁ μὲν τύραννος πολλάκις συνίησι διὰ φρονήσεως ἃ συμφέρει αὐτῷ, νομοθετεῖ δὲ τὰ ἄδικα, ὁ δὲ βασιλεὺς τὰ δίκαια· μετὰ τὴν δικαιοσύνην ἐπαινέσεις αὐτῷ τὴν σωφροσύνην· τί οὖν ἐνταῦθα ἐρεῖς; ὅτι διὰ [67] βασιλέα σώφρονες μὲν οἱ γάμοι, γνήσιοι δὲ τοῖς πατράσιν οἱ παῖδες, θέαι δὲ καὶ πανηγύρεις καὶ ἀγῶνες μετὰ τοῦ προσήκοντος κόσμου καὶ τῆς πρεπούσης σωφροσύνης γίνονται. οἷον γὰρ ὁρῶσι τὸν βασιλέως βίον, τοιοῦτον ἐπανήρηνται· εἰ δ' ἔτι ἀξίας εἴη καὶ τιμῆς μεγίστης ἡ βασιλὶς, ἐρεῖς τι καὶ περὶ αὐτῆς [68] κατὰ καιρὸν ἐνθάδε· ἣν θαυμάσας ἠγάπησε, ταύτην κοινωνὸν τῆς ἑαυτοῦ βασιλείας πεποίηται, καὶ οὐδ' εἰ ἔστιν ἄλλο οἷδε γυναικεῖον φῦλον. [69] Ἥξεις [70] ἐπὶ τὴν φρόνησιν μετὰ ταῦτα· ἀεὶ δὲ μέλλων ἄρχεσθαι ἑκάστης τῶν ἀρετῶν χρῶ προοιμιαστικαῖς ἐννοίαις, [71] ὡς ἔφημεν· ἐρεῖς τοίνυν ἐπὶ τῇ φρονήσει, ὅτι σύμπαντα ταῦτα οὐκ ἂν ἦρχεσε πρᾶξαι βασιλεὺς, οὐκ ἂν τοσούτων πράξεων ὄγκον διήνεγκεν,

64 φέρειν ex Cod. 444. recepi, in Ven. deest. 65 Cod. πόλεων. In cod. 444. itidem scriptum erat πόλιων, sed deletum est et superscriptum νόμων. 66 Cod. 444. αὐτός. Ven. αὐτούς. 67 Cod. 444. τὸν βασ. 68 περὶ αὐτῆς Ven. om. recepi ex Cod. 444. 69 Ven. φύλλον. Cod. 444. γυν. οἷδε φῦλον. 70 Cod. 444. ἥξεις δέ. 71 Cod. 444. addit: καὶ ἐν πᾶσι δὲ τοῖς κώλοις ἁπλοῖς. sqq. ὡς ἔφημεν. om.

εἰ μὴ φρονήσει τῶν ἐπὶ γῆς ὑπερέφερε, δι' ἣν καὶ νομοθεσίαι καὶ [72] σωφροσύναι καὶ λοιπαὶ κατορθοῦσθαι πεφύκασιν ἀρεταί· εἶτα ὀξὺς ἰδεῖν, ἐνθυμηθῆναι δεινός, προϊδέσθαι τὸ μέλλον κρειττων μάντεως, ἄριστος γνώμων κρῖναι τὴν ἑτέρων εἰ βουλίαν, ἱκανὸς [73] τὰ δυσχερῆ καὶ ῥᾴδια γνῶναι· ἐπὶ τούτοις μὲν καταπαύσεις τὸν λόγον τὸν [74] περὶ τούτων. Μνημονεύσεις δὲ μετὰ τοῦτο τύχης, λέγων, ὅτι συμπαρομαρτεῖν δὲ [75] ἔοικεν ἐφ' ἅπασι καὶ πράξεσι καὶ λόγοις βασιλεῖ τῷ μεγάλῳ τύχη λαμπρά· κατορθοῖ γὰρ ἕκαστον κρεῖττον εὐχῆς, καὶ ὅτι παίδων δώρησις αὐτῷ δεδώρηται, ἂν οὕτω τύχῃ, [76] καὶ φίλοι πάρευνοι, καὶ δορυφόροι κινδυνεύειν ἅπαντες ὑπὲρ αὐτοῦ πρόθυμοι. Ἥξεις δὲ ἐπὶ τὴν τελειότητα τὴν σύγκρισιν, ἀντεξετάζων τὴν αὐτοῦ βασιλείαν πρὸς τὰς πρὸ αὐτοῦ βασιλείας, οὐ καθαιρῶν ἐκείνας, ἄτεχνον γὰρ, ὅτι [77] ἐν ἑκάστῳ τῶν κεφαλαίων ποιήσεις συγκρίσεις, ἀλλ' ἐκεῖναι μὲν ἔσονται μερικαὶ, οἷον παιδείας πρὸς παιδείαν, ἢ σωφροσύνης πρὸς σωφροσύνην, αὗται δὲ περὶ ὅλης ἔσονται τῆς ὑποθέσεως, ὡσανεὶ βασιλείαν ἀθρόως καὶ ἐν κεφαλαίῳ πρὸς ὅλην βασιλείαν συγκρινομένην. οἷον τὴν Ἀλεξάνδρου πρὸς τὴν παροῦσαν· μετὰ τὴν σύγκρισιν οἱ ἐπίλογοι· ἐν τούτοις ἐρεῖς τὰς εὐετηρίας, τὰς εὐδαιμονίας τῶν πόλεων, ὅτι πλήρεις μὲν ὠνίων αἱ ἀγοραὶ, πλήρεις δὲ ἑορτῶν καὶ πανηγύρεων αἱ πόλεις· γεωργεῖται μετ' εἰρήνης γῆ, πλεῖται θάλασσα [78] ἀκινδύνως, εὐσέβεια δὲ ἡ περὶ τὸ θεῖον ηὔξηται, τιμαὶ δὲ κατὰ τὸ προσῆκον ἑκάστοις νέμονται· οὐ δεδοίκαμεν βαρβάρους,

---

72 Cod. 444. αἱ σωφροσύναι καὶ αἱ λοιπαί. 73 Cod. κανῶς Cod. 444. ἱκανός. 74 τὸν Cod. om., recepi ex Cod. 444. 75 δὲ Cod. 444. om. 76 ἂν οὕτω τύχῃ Cod. 444. om., pro πάρευνοι legit πάνευνοι. 77 Cod. 444. εἰ δ' ὅτι. 78 Cod. 444. πλεῖται δὲ θάλαττα.

οὐ πολεμίους, ὀχυρώτερον τοῖς βασιλέως ὅπλοις τετειχίσμεθα, ἢ τοῖς τείχεσιν, [79] αἰχμαλώτους οἰκέτας κεκτήμεθα, αὐτοὶ μὴ πολεμοῦντες παρὰ τῆς βασιλέως χειρὸς νικώσης δεχόμενοι· τίνας οὖν εὐχὰς εὔχεσθαι δεῖ τῷ κρείττονι τὰς πόλεις ἢ ὑπὲρ [80] βασιλέως ἀεὶ, τί δὲ μεῖζον αἰτεῖν παρὰ τοῦ θεοῦ, ἢ [81] βασιλέα σώζεσθαι· ὄμβροι γὰρ κατὰ καιρὸν καὶ θαλάσσης φοραὶ καὶ καρπῶν ἀφορίαι διὰ τὴν τοῦ βασιλέως δικαιοσύνην εὐτυχοῦνται, τοιγάρτοι καὶ ἀμειβόμεναι αὐτὸν αἱ πόλεις καὶ ἔθνη καὶ γένη καὶ φυλαὶ στεφανοῦμεν, ὑμνοῦμεν, γράφομεν· πλήρεις εἰκόνος αἱ πόλεις, αἱ μὲν πινάκων γραπτῶν, αἱ δέ που καὶ τιμιώτερα τῆς ὕλης· ἐπὶ τούτοις εὐχὴν ἐρεῖς, αἰτῶν παρὰ θεοῦ, εἰς μήκιστον χρόνον περιελθεῖν τὴν βασιλείαν, διαδοθῆναι εἰς παῖδας, παραδοθῆναι τῷ γένει, καὶ τὰ παραπλήσια.

---

## Cap. XIV.

### ΠΕΡΙ ΕΠΙΣΤΟΛΩΝ.[1]

Ἐν ταῖς ἐπιστολαῖς χρησιμώτατα τὰ γνωματεύματα [2] τῶν σοφῶν, καὶ τὰ οὕτω καλούμενα ἀποφθέγματα καὶ τὰ παροιμιώδη, πολλάκις καὶ τὰ μυθικώτερα [3] καὶ γλυκύτερα καὶ τὰ ἀφελέστερα· χρήσιμοί ποτε καὶ αἱ [4] κολ-

---

79 Ven. addit: ὅπλοις, quod Cod. 444. om. 80 Cod. 444. ὑπὲρ τοῦ β. 81 Cod. 444. ἢ τὸν β.

1 Capita περὶ ἐπιστολῶν, περὶ στίχων ἰαμβικῶν et πῶς δεῖ ἀναγινώσκειν etc. Cod. Med. 2. in fine inter apospasmata quaedam rhetorica repetit. Caput περὶ στίχων ἰαμβ. quod claudit codicem, mutilum est. 2 Ven. γνωμαντεύματα: correxi ex Cod. 444. 3 μυθικὰ Cod. 444. 4 Cod. 444. αἱ τῶν ἐπῶν κολλήσεις. sqq. οἷον ἐὰν — — προσάψῃς om.

λήσεις, οἷον ἐὰν ἔπος Ὁμηρικὸν ἀπολαβὼν ἢ ἔπους τεμάχιον προσάψῃς, καὶ χρὴ μὲν τὸ λογογραφικὸν εἶδος καὶ ἐγκατάσκευον φεύγειν ἐν ταῖς ἐπιστολαῖς, μεταδιώκειν δὲ τὸ ἀφηγηματικὸν, ἀπαγγελία γάρ ἐστι καὶ ὁμιλία φίλου πρὸς φίλον ἡ ἐπιστολὴ, ἀλλ᾽ [5] οἱ καθ᾽ ἡμᾶς καὶ νεώτεροι οὐκ ἐφείσαντο λογοειδεῖς ὅλας ἐπιστολὰς συντιθέντες· ἀνάγκη γοῦν καὶ σὲ [6] τούτους παραζηλοῦν, μετρίως γε μήν· ἡ μέν τοι λέξις καθαρωτέρα σοι ἔσται, [7] καὶ σχήματα οὐδέποτε ἐμπερίβολα. ἔχεις ἀρχέτυπα εἰς ἐπιστολὰς τὸν μέγαν Γρηγόριον, τὸν μέγαν Βασίλειον, τὸν Νύσσης Γρηγόριον, τὸν Συνέσιον, τὸν Λιβάνιον, τὸν σοφώτατον Ψελλὸν, καὶ εἴτις τοιοῦτος.

---

## Cap. XV.

### ΠΕΡΙ ΣΤΙΧΩΝ ΙΑΜΒΙΚΩΝ. [1]

Τῶν ἰαμβικῶν στίχων ἀρετή ἐστι προηγουμένως μὲν εὐρυθμία, [2] καὶ γίνεται ἐκ τοῦ συμπεπιλημένου καὶ συγκεκροτημένου τῶν λέξεων καὶ ἀχασμωδήτου. Χασμωδιώδης [3] γὰρ λέξις καὶ ὑπτία τὸ ἐθεάσατο, συγκεκροτημένη τὸ ἔβλεψε, πάλιν ὑπτία τὸ ποιησάμενος, συγκεκροτημένη τὸ δράσας, πλάσας, ὀκλάσας, ἐμβολὴ, συμβολὴ, ἀναῤῥιχᾶται, ἐξάλλεται, θάῤῥος, θάρσος, θράσος· τὸ δὲ δειλία καὶ ῥᾳθυ-

---

5 ἀλλ᾽ οἱ καθ᾽ ἡμᾶς — — — μετρίως γε μὴν Cod. 444. om. 6 Cod. uterque σὺ, scr. σέ. 7 Cod. 444. καθαρωτέρα ἔστω.

1 Est hoc caput etiam in cod. Par. 2918. Fol. 177. Abest a Med. 3. 2 Par. ἡ εὐρυθμία, ἢ γίν. ἐκ τοῦ συμπεπιλιμένου [sic]. 3 χασμωδιώδης γὰρ — — — καὶ τὰ τοιαῦτα. Cod. 444. om.

μία, καὶ ἀτονία, ὑπτία καὶ τὰ τοιαῦτα· ἀλλὰ καὶ ὁ τόνος πολλὴν εὐρυθμίαν ποιεῖ, διὸ δεῖ σπουδάζειν καὶ τὴν σύνθεσιν τῶν ὀξυτόνων, προπαροξυτόνων καὶ τοιούτων λέξεων καὶ ὑπαλλάσσειν αὐτὰς ἐμμελῶς, καὶ ἕκτῃ [4] χώρᾳ τηρεῖν τὴν παροξύτονον ὡς [5] εὔηχον, εἰ δυνατὸν πάντοτε· οἷον τὸ τρέχειν παρὰ [6] τὸ θέειν, τὸ βρέφος παρὰ τὸ τέκνον, [7] τὸ ὀκλάσας παρὰ τὸ χωλάνας, τὸ τρόμος παρὰ τὸ δέος· πολλὴν γὰρ εὐρυθμίαν [8] ποιεῖ τῷ ὅλῳ στίχῳ ἡ κατάληξις εὔηχος οὖσα, ὡσὰν καὶ τοῖς ᾄδουσι τὸ τελευταῖον ἀπήχημα κοσμεῖ τὴν ᾠδὴν, καὶ τὸ φθάσαν ἴσως ἐκμελὲς ὑποκλέπτει, καὶ [9] τροπολογία καὶ ἡ διὰ τῶν τοιούτων τόλμα χρήσιμος ἐν τοῖς στίχοις, καθά τις εἶπε [10] τοὺς κόκκους τῆς ῥοᾶς ὑγροὺς ἄνθρακας, καὶ τὸ [11] μάργαρον πεπηγμένον γάλα, [12] εἰ καὶ μεῖζον [13] τετόλμηται ταῦτα· ὁ αὐτὸς εἶπεν ἐμπεφραγμένην τὴν τοῦ λόγου σάλπιγγα, καὶ χειμῶνα καὶ ζάλην νοημάτων. Τοιούτων [14] δὲ καὶ ἡ ποιητικὴ μεγαλοφωνία πλήρης, ὧν ἡ σύμμετρος χρῆσις ἀρίστη ἐνταῦθα, ἀξίωμα [15] καὶ ὄγκον ἐμποιοῦσα τοῖς μέτροις. Ἀρετὴ στίχων πρώτη [16] καὶ μεγίστη τὸ [17] ἐμπερικλείεσθαι τῷ στίχῳ ἔννοιαν, καὶ ταύ-

---

4 Par. τῇ ἕκτῃ χ. Cod. 444. καὶ ἐν τῇ ἕκτῃ χώρᾳ τὴν παροξύτονον ὡς εὔηχον ἀεὶ τιθέναι, πολλὴν γὰρ εὐρυθμίαν ἐμποιεῖ τῷ ὅλῳ στίχῳ ἡ κατάληξις etc. 5 Par. καὶ. 6 Par. περὶ. 7 Par. τέκνον. Ven. τέκτων. 8 Ven. εὐρυθμοποιεῖ. Par. Cod. 444. εὐρυθμίαν ἐμποιεῖ. 9 Par. ἡ τροπολ. καὶ διὰ τῶν τοιούτ. 10 Ven. 444. Par. καθάπερ εἶπεν ὑγροὺς ἄνθρακας τοὺς κόκκους τῆς ῥόας. 11 Par. τόν. 12 Cod. 444. pergit: ἡ σύμμετρος δὲ τούτων χρῆσις ἀρίστη omissis iis, quae proxime sequuntur. 13 Par. μεῖζόν τι. 14 Par. τοιοῦτον. 15 Par. καὶ ἀξίωμα. 16 πρώτη Cod. 444. om. Par. ἀρ. πρώτη στίχων. 17 Ven. τῷ. Cod. 444. τό.

ταύτην πλείονα,[18] καὶ ἐφαρμόζεσθαι[19] καὶ ἐμπεριγράφεσθαι, καὶ μὴ ἐκκρεμῆ τὴν τοῦ ὄπισθε στίχου ἔννοιαν πρὸς τὴν τοῦ ἔμπροσθεν· ὡς ἐάν τις γράφῃ οὕτως· εἰς τὴν ἐρυθρὰν ἀβρόχοις ποσὶ πάλαι παρῆλθε Μωσῆς, ἡ δὲ τῶν Αἰγυπτίων φάλαγξ ὑποβρύχιος ἔνδον ἐκρύβη· δόκιμον δὲ, εἰ γράψεις οὕτω. Μωσῆς περᾷ[20] θάλασσαν ἀβρόχῳ δρόμῳ, Αἰγύπτιος δὲ τοῖς κύμασιν ἐκρύβη· ὁρᾷς ὅπως ἐν ἑκάστῳ στίχῳ ἀφορίζεται καὶ ἵσταται ἡ[21] ἔννοια· τοιαῦτα καὶ τὰ γνωμικὰ τῶν ποιητῶν καὶ τῶν ἄλλων σοφῶν·

*Γύναι*[22] *γυναιξὶ κόσμον ἡ σιγὴ φέρει·*

καὶ[23] τὸ θεολογικόν·

*Θυμὸν χαλινοῦ μὴ φρενῶν ἔξω πέσῃς·*

οὐ μόνον δὲ ἀφωρισμένας ἐννοίας ἔχουσι τὰ τοιαῦτα,[24] ἀλλὰ καὶ πλείονα περιλαμβάνουσι νοῦν· ὁποῖον[25] κἀκεῖνο,

*Σταυροῖ Πέτρον κύμβαχον ἐν Ῥώμῃ Νέρων.*

ἱστορίαν γὰρ ὅλην συνείληφεν ὁ στίχος, καὶ τὰ ἑξ[26] σχεδὸν περιστατικά· κἀκεῖνο δὲ ὅμοιον,

*Ἄνθραξ ἀθλητῇ δῶρον ἐκ μονομάχου.*

οὐ λέγω δὲ, ἵνα καθόλου τὸ τοιοῦτον ἀφοριστικὸν[27] τηρῇς, καὶ πεπληρωμένον[28] ἐννοίας, ἀλλ' ὡς ἂν ἐν τοῖς πλείοσιν, ἐπεὶ καὶ ἀδύνατον, μὴ ἐμπεσεῖν σε εἰς ἐκκρεμεῖς καὶ ἀλληλουχουμένους στίχους, καὶ μᾶλλον, ἂν[29]

---

18 Cod. 444. πλείονα καὶ μὴ ἐκκρεμῆ εἶναι τὴν τοῦ ὄπισθεν στίχου etc. ἔννοιαν πρὸς τὴν τοῦ ἔμπροσθεν, οἷον Μωσῆς περᾷ θάλασσαν ἀβρόχῳ δρόμῳ. 19 Par. ἀφορίζεσθαι. 20 Par. περᾷ. Ven. παρά. 21 ἡ Cod. 444. om. 22 Soph. Aj. 293. 23 Cod. 444. καὶ τὸ θεολογ. — — ἔξω πέσῃς om. 24 Cod. 444. ἔχουσι ταῦτα. 25 Cod. 444. οἷον σταυροῖ. 26 καὶ τὰ ἑξ — — ἐκ μονομάχου Cod. 444. om. 27 ἀφοριστικὸν Cod. 444. om. 28 καὶ πεπληρωμένον — πλείοσιν Cod. 444. om. etiam καὶ post ἐπεί. 29 Cod. 444. ἐάν.

εἰς πλάτος ἰαμβίζῃς· τὰς μέντοι ταυτολεξίας καὶ τὰς περιττολεξίας σπούδαζε φεύγειν πάντοτε,[30] οἷον·

Ἄλγος φίλοις καὶ θλῖψιν εἰς ψυχὴν φέρεις,
Μακρὰν ἀπάρας καὶ διαστὰς πατρίδος·[31]

δόκιμον δὲ εἰ οὕτω γράψεις,[32] ἤλγυνας ἡμᾶς, ἀπάρας τῆς πατρίδος· τὸ μέντοι ἐνθυμήμασι χρῆσθαι κοσμεῖ μὲν μᾶλλον τὰ μέτρα,[33] οὐκ ἔστι δὲ τούτων ἴδιον, ἀλλὰ τῆς ἁπλῆς ῥητορείας[34] καὶ λογογραφίας μᾶλλον· ἐπεὶ οὖν καὶ τὰ ἰαμβεῖα λογογραφία τίς ἐστιν[35] εὔρυθμος, ζηλούσθω σοι καὶ τὸ ἐνθυμηματικὸν ἐν αὐτοῖς· ἔχεις ἀρχέτυπον τὸν Πισίδην, νεωτέρους τὸν Καλλικλῆν,[36] τὸν Πτωχοπρόδρομον[38] καὶ εἴ τίς που[38] τοιοῦτος, ἐν τοῖς[39] παλαιοῖς τὸν Θεολόγον, τὸν Σοφοκλῆν, ἐκτὸς τῶν ποιητικῶν ἰδιωμάτων αὐτὰ τὰ εὐφραδέστερα τοῦ Λυκόφρονος, καὶ εἴτι τοιοῦτον.

---

## Cap. XVI.

### ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΔΕΙ ΑΝΑΓΙΝΩΣΚΕΙΝ ΡΗΤΟΡΙΚΑΣ ΒΙΒΛΟΥΣ.[1]

Ἀναγινώσκων ποίημά τινος, μὴ κατάτεμνε τὸν λόγον, ἀλλὰ χωρίον ὅλον ἐκπέραινε καὶ ὑπόθεσιν ὅλην, καὶ

---

30 Cod. 444. περιττολεξίας ἔκφευγε· τὸ μέντοι ἐνθυμήμασι· omissis, quae interjecta sunt. 31 πατρίδος ex Par. recepi. 32 Par. γράψει τις. 33 Par. Ven. 444. κοσμεῖ μὲν καὶ μᾶλλον τὰ μέτρα. Ven. τὰ ἡμέτερα. 34 Par. ῥητ. καὶ λογογρ. Ven. λογογραφίας, superscripto ῥητορείας. Cod. 444. ἀλλὰ τῆς ἁπλῆς λογογραφίας· ἐπεί. 35 ἐστιν Par. om. 36 νεωτέρους τὸν Καλλικλῆν Cod. 444. om. 37 Cod. 444. addit: τὸν φίλην. 38 που Ven. 444. Par. om. 39 ἐν τοῖς παλ. sqq. usque ad finem capitis ex Par. recepi.

1 Idem caput in cod. Par. 2918. Fol. 177. in tractatu

πρῶτον ἀνεξέταζε τὴν ἔννοιαν τοῦ χωρίου παντὸς,[2] καὶ εἰ μὲν κατὰ τὴν σὴν ἐστι[3] γνῶσιν καὶ μάθησιν,[4] παράτρεχε, εἰ δὲ τελεωτέρα σου, ἐφίστη καὶ πολυπραγμόνει, καὶ ἀποπειρῶ τῇ μνήμῃ ἐνθησαυρίζειν. Παρεξέταζε δὲ καὶ τὴν σαυτοῦ γνῶσιν[5] θεωρῶν, τί μὲν ἂν αὐτὸς ἔγραψας ἐπὶ τοιαύτῃ[6] ὑποθέσει, τί δὲ ὁ ἀνὰ χεῖράς σοι σοφὸς γράφει, καὶ οἷον τὸ ἐκείνου σοφὸν πρὸς τὸ σὸν εὐτελὲς· καὶ οὕτως ἀπευθύνου[7] πρὸς τὴν ἐκείνου μίμησιν· εἶτα τὴν φράσιν ὁμοίως βασάνιζε, καὶ ταύτῃ[8] παρατίθει τὴν σὴν λεκτικὴν, καὶ εἴτι[9] καὶ σοφώτερον ἔχει, ἀπομάττου τῷ νῷ, καὶ ταμιεύειν σπούδαζε· εἰ δὲ κατακαυχᾶταί σου[10] λήθη, παρασημειοῦ ποτε καὶ ἐγγράφως· ὡς ἂν δὲ καὶ δραστικώτερον σὲ αὐτὸν κατασκευάσῃς[11] πρὸς τὴν μίμησιν τῶν σοφῶν, ἐπειδάν τινος λόγον ἀναγινώσκῃς, γενόμενος περί τινα ὑπόθεσιν καὶ ἁπτόμενος ταύτης μὴ ἐκπέραινε τὴν ἀνάγνωσιν, ἀλλὰ καταστοχάζου τῶν κατωτέρω[12] λεχθησομένων τῷ σοφῷ καθ' ἑαυτὸν γινόμενος, καὶ μὴ τοῖς γεγραμμένοις προσατενίζων,[13] καὶ οὕτως ἐκπέραινε σὺ[14] τὴν ὑπόθεσιν λογογραφῶν κατὰ νοῦν, ἢ[15] καὶ ἐγγράφως πρὸς ἐκείνου μίμησιν· εἶτα βλέπε καὶ ἀντεξέταζε, εἰς τί τε[16] παρηκολούθησας

---

περὶ τῶν τεσσάρων μερῶν τοῦ τελείου λόγου bis, et in Med. 2. Fol. 207. inter apospasmata quaedam rhetorica repetitur sub titulo: περὶ τοῦ πῶς δεῖ [Par. τοῦ δεῖν] ἀναγινώσκειν ῥήτορας καὶ λοιποὺς. In Ven. 444. titulus consentit cum nostro. 2 Cod. 444. τοῦ παντός. 3 ἐστι abest a Cod. 444. 4 Par. ἔννοιαν. 5 Par. τῇ σαυτοῦ γνώσει. idem loco secundo: παρεξετάζων ταύτην τῇ σαυτοῦ γνώσει. 6 Par. τῇ τοιαύτῃ. 7 Par. ἀπευθύνων. 8 Ven. τοιαύτην. Cod. 444. ταύτῃ. Par. καὶ παρατίθη ταύτην τῇ σῇ λεκτικῇ. 9 Cod. 444. εἴτι σοι καὶ σ. ε. ἀπομάττειν. 10 Cod. 444. ἢ pro τοῦ. 11 Par. παρασκευάσεις. 12 Par. κάτω τούτω. 13 Cod. 444. ἐνατενίζων. 14 Ven. σε. Cod. 444. Par. σύ. 15 Cod. 444. Par. ἤ. Ven. εἰ. 16 τε

τῷ σοφῷ, καὶ κατὰ τί τῆς ἐννοίας ἐκείνου [17] καὶ φράσεως ἐξεπεπτώκεις· κἀντεῦθεν σαυτὸν βελτιώσεις διορθούμενος [18] τὰς διαμαρτίας· εἰ δέ ποτε καὶ νοήματά [19] τινος σοφοῦ θέλεις ἐν ἰδίᾳ λογογραφίᾳ προσοικειώσασθαι, ὅρα, [20] καὶ εἰ μὲν ἐκεῖνος συνέστειλε, τὴν ἐναντίαν τράπηθι σύ· εἰ δ' ἐκεῖνος [21] μεμακρυσμένως ἀπήγγειλε, σύστειλον [22] σὺ, ἐξαμείβων καὶ τὴν φράσιν τοῦ νοήματος, ὡς δυνατὸν, καὶ τὸ σχῆμα καὶ τἄλλα. [23]

## Cap. XVII.

### ΠΕΡΙ ΤΩΝ ΟΚΤΩ ΣΤΙΓΜΩΝ.

Στιγμαὶ δέ εἰσιν ὀκτώ· ὑπερτελεία, τελεία, ὑποτελεία, ἄνω πρώτη, ἄνω δευτέρα, ἀνυπόκριτος, ἐνυπόκριτος καὶ ὑποστιγμή· ὀκτὼ δέ εἰσι καὶ οὐ πλείονες, δι' ἣν ἐροῦμεν αἰτίαν· τὸ τῆς φωνῆς διανάπαυμα ἢ ἀποκαταστατικόν ἐστιν ὅλης ἐννοίας, καὶ καλεῖται ὑπερτελεία, οἷόν ἐστι τὸ, ὃ πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα, ἢ ἀποκαταστατικὸν μερικῆς ἐννοίας ἐντελοῦς κατὰ τὴν λέξιν, καὶ καλεῖται τελεία, οἷόν ἐστι τὸ Χριστὸς γεννᾶται, τοῦτο γὰρ ἀποκαταστατικὸν μερικῆς ἐννοίας καὶ ἐντελὲς κατὰ τὴν λέξιν, ἢ ἀποκαταστατικὸν μὲν μερικῆς ἐννοίας, οὐκ ἐντελοῦς δὲ οὔσης κατὰ τὴν λέξιν, καὶ καλεῖται ὑποτελεία, οἷον τὸ Χριστὸς ἐκ παρθένου· ὧδε γὰρ ἔξωθεν προσυπακούεται τὸ γεννᾶται, ἢ συμπληρωτικὸν μέν ἐστι μερικῆς ἐννοίας ἐντελοῦς κατὰ τὴν

---

Par. om. 17 Par. ἐκείνης. 18 Par. loco secundo: τὰς διαμ. ἐπανορθούμενος. 19 Cod. 444. νοήματι. 20 Par. ὅρα, καὶ εἰ μὲν ἐκεῖνος πλατέως ἀπήγγειλε, σύστειλον σὺ, εἰ δὲ ἐκεῖνος συν. 21 Ven. ἐκείνως. Cod. 444. ἐκεῖνος. 22 Ven. σύστειλε. Cod. 444. σύστειλον. 23 Cod. 444. τὰ ἄλλα.

λέξιν, ἔχει δὲ ἐπαγόμενον σύνδεσμον μετ' αὐτὸ, καὶ διὰ τοῦτο οὐ τελείας στιγμῆς τυγχάνει, καὶ δέχεται τὴν ἄνω πρώτην καλουμένην στιγμήν· οἷόν ἐστι τὸ μὴ ὅτι τοῖς δι' ἀγάπην τι πεποιηκόσιν, ἐνταῦθα γὰρ ἐπιφέρεται ὁ ἢ σύνδεσμος, ἢ συμπληρωματικὸν μέν ἐστι μερικῆς ἐννοίας, οὐκ ἐντελοῦς δὲ κατὰ τὴν λέξιν, καὶ μετὰ τοῦτο ὡσαύτως ἐπάγεται σύνδεσμός τις, καὶ δέχεται τὴν ἄνω δευτέραν, οἷόν ἐστι τὸ ἀναστάσεως ἡμέρα· ὧδε γὰρ τὸ ἐστὶν ἔξωθεν ὑπακούεται, καὶ σύνδεσμον ἔχει ἐπαγόμενον, ἢ τὴν ἔννοιαν ἔτι ἐπηρμένην ἔχει καὶ ὅσον οὐκ ἤδη προκόψουσαν, καὶ διαδεξομένην, ὡς ἐπὶ τὸ πολὺ, ἢ τὴν ἐνυπόκριτον, ἢ τὴν ὑποστιγμὴν καὶ καλεῖται ἀνυπόκριτος, οἷόν ἐστι τὸ ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς, ἐφ' ὧν ἐθυσίαζες, ἢ ἤθους τινός ἐστιν ἀπομιμητικὸν σφοδρότητός τινος ἢ ἄλλου τινὸς καὶ καλεῖται ἐνυπόκριτος, οἷόν ἐστι τὸ, ταῦτα ἐγκαλεῖς θεῷ, ἢ τὴν ἀποδοχὴν τὴν ἐννοίας ἐπιστᾶσαν σημαίνει, καὶ καλεῖται ὑποστιγμὴ, οἷόν ἐστι τὸ, ταῦτα ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει.[24]

---

## Cap. XVIII.

### ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΛΕΞΕΩΣ ΠΑΘΩΝ.[1]

Τὰ τῆς λέξεως πάθη ἢ ἀπὸ πλεονασμοῦ γίνονται, ἢ ἀπὸ ἐνδείας· καὶ ἀπὸ μὲν πλεονασμοῦ εἰσιν εἴδη ἐννέα, πρόσθεσις, ἀναδίπλωσις, ἔκτασις, ἐπέκτασις, διαίρεσις,

24 Greg. Or. εἰς τὰ Θεοφ. p. 620. A. — Sequitur caput: *Περὶ τρόπων ποιητικῶν*, quod cum simili tractatu in cod. Vat. 1405, ita consentit, ut Rhacendytae variam lectionem ad illum retulerim. [vide Vol. VIII.] Med. 3. caput *περὶ τῶν ὀκτὼ στιγμῶν* post caput *περὶ τρόπων ποιητικῶν* posuit.

1 a Med. 3. abest hoc caput.

παρένθεσις, διπλασιασμὸς, παρέμπτωσις, προσχηματισμός· τῆς δὲ ἐνδείας πάλιν εἴδη ἐννέα ἀντικείμενα τούτοις, ἤγουν ἀφαίρεσις, ἄρσις, συστολὴ, συγκοπὴ, συναίρεσις, ἔλλειψις, παράλειψις, ἔκθλιψις, ἀποκοπή.

Πρόσθεσις[2] τοίνυν ἐστὶ προσθήκη κατ' ἀρχὴν συλλαβῆς ἢ στοιχείου· συλλαβῆς μὲν, οἷον στάφις ἄσταφις, στάχυς ἄσταχυς· στοιχείου δὲ, οἷον οὖρος θοῦρος, ἅμα θαμὰ, ἄμμος ψάμμος· καὶ τὰ τοιαῦτα.

Ἀφαίρεσίς ἐστιν ἀποβολὴ κατ' ἀρχὴν συλλαβῆς ἢ στοιχείου· συλλαβῆς μὲν, οἷον ἐκεῖνος κεῖνος, ἐθέλω θέλω· στοιχείου δὲ οἷον φθισάνη θισάνη, γαῖα αἶα, λείβω εἴβω.

Ἀναδίπλωσίς ἐστι πρώτης συλλαβῆς διὰ τῶν αὐτῶν συμφώνων συλλαβὴν ποιούντων ἐπάλληλος ἐκφορά· οἷον κλῦθι κέκλυθι, κάμωσι κεκάμωσι, δάπτουσι δαρδάπτουσι, δέρκετο δεδέρκετο.

Ἄρσις ἐστὶν ἀποβολὴ κατ' ἀρχὴν τῆς ἀναδιπλουμένης συλλαβῆς· οἷον βεβλῆσθαι βλῆσθαι, βεβλημένος βλήμενος, δεδεγμένος δέγμενος.

Ἔκτασίς ἐστιν, ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ, ὡς τὸ Ἄρες, Ἄρες, ἢ ὅταν τὰ φύσει βραχέα εἰς τὰ φύσει μακρὰ ἀντίστοιχα μεταστῇ· οἷον φυσίζοος φυσίζωος, Διόνυσος Διώνυσος, τιθέμενος τιθήμενος.

Συστολή ἐστιν ἡ τὰ ἀντικείμενα ποιοῦσα ἤγουν τὰ ἐκτεινόμενα δίχρονα συστέλλουσα, οἷον ὑμῖν ὔμμιν, ἢ τὰ φύσει βραχέα μεταβάλλουσα, οἷον φυσίζωος φυσίζοος, ἀργῆτα ἀργέτα, ξηρὸν ξερόν.

Ἐπέκτασίς ἐστι πλεονασμὸς συλλαβῆς ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς· ἢ φωνήεντος ποιοῦντος συλλαβὴν, καὶ συλλαβῆς μὲν, οἷον ἔτυμον ἐτήτυμον, ἐδὴ ἐδωδὴ, ἀτηρὸς ἀταρτηρὸς· φωνήεντος δὲ, οἷον γέννα γενεὰ, ἀδελφὸς ἀδελφιὸς, πύλων πυέλων.

---

2 Ven. πρόθεσις.

Συγκοπή ἐστιν ἀποβολὴ συλλαβῆς ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, ἢ φωνήεντος ποιοῦντος συλλαβήν· συλλαβῆς μὲν, οἷον ὁμόπατρος ὅπατρος, ὁμότριχας ὅτριχας· φωνήεντος δὲ, οἷον φέρετε φέρτε, τί ποτε τίπτε, πατέρος πατρός.

Διαίρεσίς ἐστι συλλαβῆς δίφθογγον ἐχούσης ἀνάλυσις ἢ διάλυσις εἰς δύο συλλαβὰς, οἷον παῖς πάϊς.

Συναίρεσίς ἐστιν ἡ τὸ ἐναντίον ποιοῦσα.

Παρένθεσίς ἐστι προσθήκη φωνήεντος ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβήν· οἷον πνέοντες πνείοντες, ξένος ξεῖνος, ἐλήλυθεν ἐλήλουθεν.

Ἔλλειψίς ἐστιν ἀποβολὴ τοῦ αὐτοῦ φωνήεντος, ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς οὐ ποιοῦντος συλλαβὴν ἐλλεῖψαι, οἷον ἑταῖρος ἑτάρος, Ἀλκαῖος Ἀλκάος, εἰς Ἀθήνας ἐς Ἀθήνας.

Διπλασιασμός ἐστι τοῦ αὐτοῦ συμφώνου προσθήκη, ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβὴν, οἷον ἔδεισεν ἔδδεισε, τόσον τόσσον, ὅτι ὅττι, νήεσιν νήεσσιν, ἔνεπε ἔννεπε, ὁπότερος ὁππότερος.

Παράλειψίς ἐστιν ἑνὸς τῶν αὐτῶν συμφώνων ἐκβολὴ, ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβὴν, οἷον κάλλιον κάλιον, ὤφελλες[3] ὄφελες, θᾶττον θᾶτον.[4]

Παρέμπτωσίς ἐστι προσθήκη συμφώνου ἑνὸς, οὐ ποιοῦντος συλλαβὴν, οἷον λεγόμεθα λεγόμεσθα,[5] φερέβιος φερέσβιος, πόλις πτόλις, πόλεμος πτόλεμος.

Ἔκθλιψίς ἐστιν ἀποβολὴ ἑνὸς συμφώνου οὐ ποιοῦντος συλλαβήν· οἷον σκῆπτρον σκῆπτον, σκηπτροῦχος σκηπτοῦχος.

Προσχηματισμός ἐστι προσθήκη μιᾶς συλλαβῆς κατὰ τὸ τέλος, οἷον ὄνειρα ὀνείρατα.

---

3 Ven. ὤφελες. scr. ὤφελλες. 4 Ven. θᾶττον. scr. θᾶτον. 5 Ven. λεγόμεθα. scr. λεγόμεσθα.

Ἀποκοπή ἐστιν ἀφαίρεσις μιᾶς συλλαβῆς ἀπὸ τοῦ τέλους, οἷον δῶμα δῶ, Ἀπόλλωνα Ἀπόλλω, δάκρυον δάκρυ· καὶ αὗται μὲν αἱ ἐννέα συζυγίαι τοῦ πλεονασμοῦ καὶ τῆς ἐνδείας, αἵτινες ὑπὸ τὸ πόσον ἀνάγονται· αἱ δ' ὑπὸ τὸ ποῖον ἀναγόμεναί εἰσιν αὗται· συναλοιφὴ, μετάθεσις, μετάληψις, ἐναλλαγὴ, μετασχηματισμὸς, ἀντίθεσις.

Συναλοιφὴ τοίνυν ἐστὶ δύο συλλαβῶν κατὰ τὰ φωνήεντα ἕνωσις. γίνεται δὲ κατὰ τρόπους ἑπτά· ἁπλοῦς μὲν τρεῖς· κατὰ ἔκθλιψιν, κατὰ κρᾶσιν, κατὰ συναίρεσιν· συνθέτους δὲ τέσσαρας, κατὰ ἔκθλιψιν καὶ κρᾶσιν, κατὰ ἔκθλιψιν καὶ συναίρεσιν, κατὰ κρᾶσιν καὶ συναίρεσιν, κατὰ ἔκθλιψιν καὶ κρᾶσιν καὶ συναίρεσιν. ῥητέον δὲ πρῶτον περὶ τῶν ἁπλῶν· κατὰ ἔκθλιψιν μὲν, οἷον ἐπὶ ἐμὲ ἐπ' ἐμὲ, καὶ ὅταν ἐκθλιβομένου φωνήεντος βραχέος συνεκθλίβηται καὶ ὁ χρόνος αὐτοῦ· κατὰ κρᾶσιν δὲ, οἷον τὰ ἐμὰ τἀμά. καὶ ὅταν φωνήεντος φθειρομένου βραχέος ὁ χρόνος αὐτοῦ τῷ γειτνιῶντι βραχεῖ φωνήεντι προσελθὼν ἐκτείνῃ αὐτό· κατὰ συναίρεσιν δὲ, οἷον Νηρηίδα Νηρῇδα, καὶ ὅταν τὸ μὲν πλῆρες τῆς γραφῆς φυλάττηται καὶ ἡ δύναμις· ἐνδεῖ δὲ μόνον ἡ τῶν συλλαβῶν ποσότης· τοῦτο δὲ γίνεται ἐπὶ μόνου τοῦ ε, ὃ καὶ προσγράφεται μὴ ἐκφωνούμενον. Ῥητέον δὲ καὶ περὶ τῶν συνθέτων, οἷον κατὰ ἔκθλιψιν καὶ κρᾶσιν· οἷον καὶ ἐγὼ κἀγὼ, τέθλιπται γὰρ τὸ ι· κέκραται τοῦ α καὶ ὁ τοῦ ε χρόνος εἰς α μακρόν· κατὰ ἔκθλιψιν καὶ συναίρεσιν, οἷον ἐγὼ οἶδα ἐγῶδα· τέθλιπται μὲν γὰρ τὸ ο, συνῄρηται δὲ τὸ ω, προσγραφέντος καὶ τοῦ ι· κατὰ κρᾶσιν δὲ καὶ συναίρεσιν. οἷον ὁ αἰπόλος[6] ὠπόλος, κέκραται γὰρ τὸ ο καὶ α εἰς ω μέγα. συνῄρηται δὲ τὸ ω καὶ ι· κατὰ ἔκθλιψιν δὲ καὶ κρᾶσιν καὶ συναίρεσιν, οἷον οἱ αἰπόλοι,[7]

6 Ven. αἰπῶλος, ὠπόλος. 7 Ven. αἰπῶλοι, ὠπῶλοι.

ὠπόλοι· τέθλιπται μὲν γὰρ τὸ ῑ̆ τῆς διφθόγγου, κέκραται δὲ τὸ ο̄ καὶ ᾰ̀ εἰς ω̄ μέγα, συνήρηται δὲ τῷ ω̄ τὸ ῑ̆· ἔστι δὲ παρὰ ταῦτα ἕτερον εἶδος, ὅπερ ἰδιαζόντως συναλοιφὴ ὀνομάζεται. γίνεται δὲ ὅταν ἑνουμένων δύο λέξεων μετὰ τὰ φωνήεντα τὸ τῆς δευτέρας λέξεως φωνῆεν ᾰ̀ τυγχάνον εἰς ὗ μεταβληθῇ· οἷον τὸ ἔλαιον τοὔλαιον, τὸ ἔργον τοὖργον, τὸ ἐναντίον τοὐναντίον, τὸ ἔπος τοὖπος, καὶ τὰ τοιαῦτα.

Μετάθεσις δὲ ἐστι στοιχείου μετακίνησις ἀπὸ τῆς ἰδίας τάξεως ἐφ' ἑτέραν τάξιν, οἷον δαρτὰ δρατὰ, καρδία, κραδία, κάρτος κράτος.[8]

Μετάληψις δέ ἐστι στοιχείου μετακίνησις ἐφ' ἕτερον στοιχεῖον· οἷον ἀπεδανὸς ἠπηδανὸς, αἱμοπόται αἱμηπόται καὶ τὰ ὅμοια.

Ἐναλλαγὴ οἷον ἔρημος, ἤρεμος.

Μετασχηματισμὸς δὲ, οἷον, παρθένος, παρθενική.

Μετατύπωσις δὲ, οἷον ἐξ Ἰλίου Ἰλιόθεν.

Ἀντίθεσις, οἷον Διόνυσος Διόνισος.

---

8 Med. 1. κράτος, κάρτος.

# ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΜΕΡΩΝ ΤΟΥ ΤΕΛΕΙΟΥ ΛΟΓΟΥ.[1]

Ὁ τέλειος ἐγκωμιαστικὸς ῥητορικὸς λόγος σύγκειται ἀπὸ κεφαλαίων· ὧν καὶ ὁ Ἀφθόνιος ἐν τοῖς προγυμνάσμασι διδάσκει· ταῦτα γοῦν τηρεῖν τὸν γράφοντα ἀναγκαῖον· ἔξει δὲ ὁ τοιοῦτος λόγος τὰ τέσσαρα μέρη· προοίμια, διηγήσεις, ἀγῶνας καὶ ἐπιλόγους. Προοίμια μὲν οὖν καὶ δύο καὶ τρία ποτὲ θήσεις, ὅτε δηλαδὴ μέγας ὁ ὅλος συντεθῇ λόγος· πρὸς γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ ἔσται. ἀρετὴ δὲ προοιμίου τὸ εἰς τὴν προκειμένην ὑπόθεσιν βάπτειν· οἷον τὸ θεολογικὸν ἐκεῖνο. ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος, ἐφιλοτιμεῖτο γὰρ τοῖς ἐμοῖς λόγοις, ἑαυτὸν νῦν προθήσειν ὑπόθεσιν μεγίστην· ὁρᾷς ὅπως περιέλαβε τὸν τῆς ὑποθέσεως σκοπὸν, λέγων μονονοὺ τοῦτο, ὡς φίλος ὢν τῷ μεγάλῳ Βασιλείῳ καὶ ἐπαινετὸν σχὼν ἐκεῖνον ἐν πολλοῖς νῦν ἀμείβομαι τοῖς ἴσοις, μέγιστον ἄνδρα ἐγκωμιάζων, καὶ τὰ ἑξῆς δὲ τοῦ προοιμίου ἀκόλουθα. Ἀλλὰ καὶ προοιμίου δριμύτης, φασὶ, πρότασις, ἐὰν εὐθὺς περιστᾷ τὸν τοῦ λόγου σκοπὸν, οἷα τὰ θεολογικά· Ἀθανάσιον ἐπαινῶν ἀρετὴν ἐπαινέσαιμι, ἀναστάσεως[2] ἡμέρα

1 Cod. Par. MMCMXVIII. Fol. 177. Exstat etiam in codice Ottobon. 173, cujus specimen dedit Bekkerus Anecd. p. 1081.
2 Cod. ἀναστάσιος.

καὶ ἀρχὴ δεξιά, Χριστὸς γεννᾶται, δοξάσατε,[3] πάλιν Ἰησοῦς ὁ ἐμός, καὶ τὰ τοιαῦτα· οὕτω καὶ σὺ ποίει καὶ μὴ πλανῶ πόῤῥω τῆς ὑποθέσεως καὶ εὐδοκιμήσεις· πολλάκις δέ τινες τῶν νεωτέρων ἀλλὰ καὶ τῶν παλαιῶν οὐκ ἀπ' αὐτῆς τῆς ὑποθέσεως ποιοῦνται τὴν πρότασιν καὶ τὸ προοίμιον ἀλλ' ἔξωθεν διὰ ἱστορίας τυχὸν ἤ τινος τοιούτου, οἷόν ἐστιν ἐκεῖνο· Ἀρχέλαος, ἦν δὲ ἐκεῖνος ἀνὴρ τοιόσδε, ἐποίησε τόδε καὶ τόδε ἐπὶ τῷ δεῖνι, ἐγὼ δὲ τόδε ποιήσω ἐπὶ σοί. Τὰ τοιαῦτα προοίμια μετέχουσι μὲν γλυκύτητος τὸ διὰ ἱστοριῶδες ἢ μυθῶδες καὶ τὸ ἀφηγηματικὸν, οὐκ εἰσὶ δὲ δριμέα, ὡς ἐκεῖνα, οὐδὲ τοσοῦτον ἐπαινετά· ὡς τὰ παραδείγματα γὰρ εἰσάγονται, τῶν ἀγώνων δὲ, οὐ τῶν προοιμίων τὰ παραδείγματα· οἶμαι δὲ,[4] ὡς τὰ τοιαῦτα προοίμια παρεισέδυσαν τὴν ἀρχὴν ἐν τοῖς λογογραφήμασιν, ἀπὸ τῶν παρὰ τοῖς παλαιοῖς ῥήτορσι πραγμάτων ἐν τοῖς αὐτῶν λόγοις ἱστορικοῖς, πρὸς τὴν ὑποκειμένην μὲν ὑπόθεσιν προαδομένοις, ὅμως διεζευγμένου τοῦ ἐγκωμιαστικοῦ λόγου καὶ ἀπειλημμένοις ἰδίᾳ, ὁποῖα εὑρήσεις ἐν τοῖς τοῦ Προκοπίου Γάζης, τοῦ Χορικίου καὶ λοιπῶν· τὰ γὰρ παρ' ἐκείνων διεζευγμένα ἑνώσαντές τινες, ὡς ἔοικεν, τοῖς ἐγκωμίοις, εἰς προοίμιον ἔταξαν· ἀλλὰ σὺ μᾶλλον ζήλου τὰ ἄνω ῥηθέντα δριμέα προοίμια, τὰ εὐθὺς εἰς τὴν ὑπόθεσιν βάπτοντα, καὶ μᾶλλον ἐν τοῖς βασιλικοῖς, οὐ γὰρ πρέπον τὴν βασιλικὴν ἀκοὴν ἐξωτερικοῖς καὶ εἰκαίοις προασχολεῖν· ὅτε μηδὲ τοῖς ἀναγκαίοις τυχὸν σχοίη τις αὐτὴν ὑπακούουσαν. Τηρητέον δὲ καὶ εἰς τέσσαρα μέρη τοῦ προοιμίου μετὰ τῆς προτάσεως κατασκευὴν, ἀξίωσιν καὶ βάσιν· μετὰ τὰ προοίμια αἱ διηγήσεις ἐν τοῖς ἐγκωμιαστικοῖς, ἤγουν τὰ περὶ τῶν προγόνων καὶ τῆς πατρίδος, καὶ αἱ πράξεις τοῦ ἐγκωμιαζομένου· συνημμένοι δὲ ταῖς διηγήσεσιν οἱ ἀγῶνες, ἤγουν αἱ

3 Cod. δόξατε. 4 Cod. σε.

αὐξήσεις τῶν διηγουμένων ἐξαιρέτων, κἂν ἐν τοῖς δικανικοῖς καὶ τοῖς ἄλλοις ἰδίᾳ αἱ διηγήσεις καὶ οἱ ἀγῶνες ἰδίᾳ· ἔξεστι δέ σοι ἐν τοῖς ἐγκωμιαστικοῖς ἀγῶσιν ἑκάστην ἀρετὴν τοῦ ἐπαινουμένου αὔξειν, καὶ διὰ παραδειγμάτων καὶ τὰ σύγκρισιν εἰσαγομένων· ἰδίᾳ δὲ πάλιν πρὸς τῷ τέλει τηρήσεις τὴν καθολικὴν σύγκρισιν.

Οἱ ἐπίλογοι γραφήσονταί σοι εὐκτικοί, ὡς οἶδας· πλὴν ἀκμάσουσι δι' ἐνθυμημάτων καὶ γλαφυρότητος, ὡς ἂν ὁ λόγος προκόπτῃ καὶ μᾶλλον ἢ παύειν ἐναπολίπῃ ταῖς ἀκοαῖς τῶν παρόντων ἀξιόλογόν τι καὶ θαυμαζόμενον· τῷ μήκει δὲ ἀνάλογοι ἔσονται πρὸς τὸ ὅλον τοῦ λόγου μέγεθος βραχεῖς πρὸς βραχύ, μείζους πρὸς μεῖζον· τοιοῦτος ὁ τέλειος ἐγκωμιαστικὸς λόγος· γράφοντες δέ τινα οὐκ ἐγκώμια μέν, ἐγκωμιαστικὰ δέ, καὶ λέγονται τὰ τοιαῦτα λαλιαί, ὅτε οὐκ ἐκ πατρίδος καὶ προγόνων καὶ τῶν τοιούτων, οὐδὲ ἀπὸ πασῶν τῶν πράξεων ἐπαινεῖς, ἀλλ' ἔκ τινων πράξεων καὶ τούτων σπερματικῶς ποτὲ μὲν τὰ πρόσφατα καὶ ἐνεστῶτα ἐκτιθεὶς τοῦ ἐπαινουμένου, ποτὲ δὲ τὰ παροιχόμενα, καὶ ἔμπαλιν αὖ. οἱ τοιοῦτοι δὲ λόγοι γράφονται, ὅταν ἴσως χρονικὴ στενότης οὐ συγχωρεῖ τὸν ῥήτορα πλατύνεσθαι, τυχὸν δὲ καὶ ἄλλοτε· ποτὲ δὲ ὁ γράφων κρινεῖ· περὶ λαλιᾶς δὲ καὶ τῶν τοιούτων μάθῃς πλατύτερον ἐν τοῖς τοῦ Μενάνδρου,[5] ἃ ἐπιγράφονται Μενάνδρου ῥήτορος περὶ τέχνης ῥητορικῆς.[6]

Ἐν τοῖς πανηγυρικοῖς κείσθω σοι πρὸ πάντων εἰς ἀρχέτυπον ὁ μέγας Γρηγόριος ὁ θεολόγος, ὁ Νύσσης, ὁ Βασίλειος, ἐν οἷς ὀλίγοις τοιούτοις ἔγραψεν, ὁ Παναθηναϊκὸς λόγος τοῦ Ἀριστείδου, ὁ Θεμίστιος, ὁ Προκόπιος Γάζης, ὁ Χορίκιος, ὁ Ψελλὸς τὰ μάλιστα, καὶ εἴ τις τοιοῦτος ἔν τε τοῖς παλαιοῖς καὶ νεωτέροις ἢ καθ' ἡμᾶς·

5 Cod. bis μαινάνδρου. 6 Sequitur in codice: περὶ τοῦ πῶς δεῖ ἀναγινώσκειν ῥήτορας καὶ τοὺς λοιπούς, vide Jos. Rhacend. c. XVI.

ἐν τοῖς συμβουλευτικοῖς ὁ Χρυσόστομος, ὁ μέγας Βασίλειος, ὁ Ἀριστείδης, ὁ Ἰσοκράτης, ὁ Δημοσθένης, ὁ Λιβάνιος, ὁ Χορίκιος καὶ εἴ τις τοιοῦτος· ὁ μέντοι μέγας Γρηγόριος ὁ θεολόγος, εἰ χρὴ πρὸς ἀκρίβειαν εἰπεῖν, εἰς οὐδὲν εἶδος τῆς ῥητορικῆς, οὐδὲ εἰς ἰδέαν τινὰ ἀσυνείσφορος εὑρεθήσεταί σοι, ἐὰν ἐπιστατικώτερον τοὺς αὐτοῦ λόγους ἀναγινώσκῃς, ἀλλὰ δὴ καὶ τὰ ἔπη καὶ τοὺς ἰάμβους· χρήσιμος ἐν πᾶσι καὶ ὁ σοφώτατος Ψελλός.

Ἐν ταῖς ἐπιστολαῖς χρήσιμα τὰ γνωματεύματα τῶν σοφῶν, καὶ τὰ οὕτω καλούμενα ἀποφθέγματα, καὶ τὰ παροιμιώδη, πολλάκις καὶ τὰ μυθικώτερα καὶ γλυκύτερα καὶ τὰ ἀφελέστερα· χρήσιμά ποτε καὶ αἱ κολλήσεις, οἷον ἐὰν ἔπος Ὁμηρικὸν ἀποβαλὼν ἢ ἔπους τεμάχιον[7] προσάψῃς, καὶ χρὴ μὲν τὸ λογογραφικὸν εἶδος καὶ ἐγκατάσκευον φεύγειν ἐν ταῖς ἐπιστολαῖς, μεταδιώκειν δὲ τὸ ἀφηγηματικόν· ἐπαγγελία[8] γάρ ἐστι καὶ ὁμιλία φίλου πρὸς φίλον ἡ ἐπιστολή, ἀλλ' οἱ[9] καθ' ἡμᾶς καὶ νεώτεροι οὐκ ἐφείσαντο λογοειδεῖς ὅλας ἐπιστολὰς συντιθέντες. ἀνάγκη γοῦν καὶ σὲ[10] τούτους παραζηλοῦν, μετρίως γε μήν· ἡ μέντοι λέξις καθαρωτέρα σοι ἔστω καὶ σχήματα οὐδέποτε ἐμπερίβολα. Ἔχεις ἀρχέτυπα εἰς ἐπιστολὰς τὸν μέγαν Γρηγόριον, μάλιστα τὸν μέγαν Βασίλειον, τὸν Νύσσης, κωμψότερον ὄντα καί τι νεώτερον, τὸν Συνέσιον μάλιστα, τὸν Λιβάνιον τὸν σοφώτατον Ψελλὸν καὶ εἴτις τοιοῦτος.[11]

Τὰ ἡρῷα ἐπαινοῦνται μᾶλλον, ἐὰν ὦσι δακτυλικὰ καὶ ἀπὸ διαλέκτων ἔχωσι τὴν λέξιν παντοδαπήν, μάλιστα τὴν Ἰωνικήν. Χρήσιμος ἐν τούτοις καὶ ἡ τῶν φωνηέντων σύγκρουσις, ἤγουν ἡ χασμῳδία, διὰ τὸ ἐμποιεῖν ὄγκων τῷ λόγῳ καὶ ἀξίωμα· καὶ ἁπλῶς ἄριστα τὰ Ὁμη-

7 Cod. τεμμίχιον. 8 Fort. ἀπαγγελία. 9 Cod. ἧ. 10 Cod. σύ. 11 Sequitur caput περὶ στίχων ἰαμβικῶν, Rhacend. c. XV

ρικά. Μεῖζον οὖν πάντων ἐν τοῖς τοιούτοις ἀρχέτυπον ἔχεις τὸν Ὅμηρον, εἶτα τὸν Ὀππιανὸν καὶ τὸν Περιηγητην, τὸν Τρυφιόδωρον ἐν τῇ ἁλώσει τῆς Τροίας, τὸν Μουσαῖον καὶ εἴτις τοιοῦτος.

## ΕΙΣΑΓΩΓΙΚΟΝ ΤΟΙΣ ΜΕΛΛΟΥΣΙ ΓΡΑΦΕΙΝ ΡΗΤΟΡΙΚΩΣ.

Τοῖς ἀναγινώσκουσιν, ὥστε κατορθῶσαι τὸ λογογραφεῖν, τέχνη καὶ ὕλη τὸ σπουδαζόμενον. Τίνα ταῦτα σαφῶς ὡς ἐξὸν καὶ συντόμως διδάξω σέ. Τέχνη ἐστὶ τὸ μαθεῖν, τί ἐστιν, ἐγκώμιον τυχὸν, καὶ ἐκ τίνων κεφαλαίων συγκροτεῖται, καὶ τί ψόγος, καὶ ἀπὸ τίνων καὶ αὐτὸς σύγκειται, ἢ τί ἐστι συμβουλευτικὸς λόγος, τί δικανικὸς, τί πανηγυρικὸς, καὶ τίς ἀξιωματικὸς καὶ ἐπηρμένος, καὶ τίς ὁ καθαρὸς καὶ σαφὴς καὶ τὰ τοιαῦτα, περὶ ὧν ἡ ῥητορικὴ κατὰ λεπτὸν ἐκδιδάσκει σε· ὕλη δέ ἐστι τῷ ῥήτορι ἡ χορηγία τῶν ἐννοιῶν, τῶν τε ἄλλων καὶ τῶν κατὰ τὰς παραβολὰς καὶ τὰ παραδείγματα, καὶ ἡ τῆς παντοδάπης λέξεως εὐπορία· δύνασαι γοῦν ἐκ τῶν ποιητῶν καὶ τοιούτων ἐρανίζεσθαι καὶ ὕλην μὲν μάλιστα, ἀλλὰ δὴ καὶ τέχνης πολλὰς ἀφορμάς· ὕλην μὲν ἔννοιαν λέγω καὶ λέξεις· ἱστορίαν συλλέγων ἐκ ποιητῶν ἢ συγγραφέων, καὶ ὅσα φυσικὰ ἐν τούτοις νοήματα καὶ γνωμολογικὰ καὶ τοιαῦτα, ἔννοιαν συλλέγεις. καὶ γὰρ καὶ ἡ ἱστορία χρησιμωτάτη τῷ λογογράφῳ, ἐκ ταύτης ποιουμένῳ τὰ παραδείγματα, οἷον ὡς ὁ Ἀχιλλεὺς ἠνδρίσατο, ὡς ὁ Ἀλέξανδρος ἐστρατήγησεν, οὕτω καὶ σὺ, βασιλεῦ. λέξιν δὲ συνάγεις τὴν ποιητικὴν μὲν οὐ πᾶσαν, οὐ γὰρ τὴν πάνυ τραχεῖαν καὶ τροπικὴν καὶ τολμηροτέραν τοῦ δέοντος, ἀλλ' ὅση εὔμουσός τε καὶ εὐφραδὴς καὶ ἀκίνδυνος, ἡ δὲ τῶν συγγραφέων τῶν εὐδοκίμων καὶ λοιπῶν ῥητόρων λέξις καὶ φράσις σχεδόν σοι χρήσιμος ἅπασα·

σπούδαζε γοῦν ἐναποτίθεσθαι κατὰ τὸ ἐγχωροῦν ταύτην τῇ σῇ διανοίᾳ, οὐ μὴν ἀλλὰ καὶ τέχνης, ὡς εἶπον, μέρη πολλὰ συλλέξεις ἐναργῶς ἐκ ποιητῶν καὶ τοιούτων· οἷον ἐγκωμιάζει ὅδε τις ποιητὴς ἢ ῥήτωρ, ἢ ψέγειν ἢ ἠθοποιΐαν ῥητορεύειν προσχοίης τῇ οἰκονομίᾳ τοῦ λόγου καὶ ταῖς μεθόδοις, καὶ τὸ ἐν τούτοις σοφὸν φιλοκρινήσεις, καὶ ἀνθολογήσεις καὶ ἀποταμιεύσεις τῷ λογισμῷ, καὶ ὅλον μὲν τὸν λόγον ἢ τὸ σύγγραμμα ἐκπεραίνων, κατανοήσεις μάλιστα τὸ τοῦ γράφοντος εὔτεχνον καὶ εὐμέθοδον, καὶ τέχνην, ὡς εἶπον, ἐντεῦθεν κερδανεῖς· ὕλην δὲ τὴν κατά τε ἔννοιαν καὶ λέξιν θέλων ἀναλαμβάνειν, ποίει, καθά σοι νῦν ὑποθήσομαι· ἀναγινώσκων μὴ κατάτεμνε τὸν λόγον εἰς πάνυ μικρὰ, καὶ τοῦτ' αὐτὸ κόμματα, ἀλλὰ χωρίον ἐκπέραινε καὶ ὑπόθεσιν ὅλην, καὶ πρῶτον ἀνεξέταζε τὴν ἔννοιαν τοῦ χωρίου, καὶ εἰ μὲν κατὰ τὴν σήν ἐστι γνῶσιν etc. eadem quae Rhacend. p. 563. v. 2. habet in capite: πῶς δεῖ ἀναγινώσκειν ῥητορικὰς βίβλους usque ad verba: σαυτὸν βελτιώσεις τὰς διαμαρτίας ἐπανορθούμενος· tum pergit: ἐκ ποιητῶν δὲ καὶ μᾶλλον ἐξ Ὁμήρου εἰς φράσιν ἂν ὠφεληθείης, εἰ μεταβάλλεις τὰ αὐτῶν καὶ παραφράζεις παραλαμβάνων κατὰ καιρὸν εἰς οἰκείαν γραφήν· Ὁμηρικὸν μὲν ἐκεῖνο τυχὸν τὸ τοῦ Ἀγαμέμνονος πρὸς τὸν Ἀχιλλέα, μὴ

Κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι,[12] οὐδέ με πείσεις·

οὕτω μὴ παράκλεπτέ με τῷ νῷ, μὴ παρασύλα ῥᾳδιουργοῖς ἐπινοίαις, ἐπεὶ οὐ παρελεύσῃ[13] οὐδὲ φύγῃς με οὐδὲ πείσεις, καὶ τὸ τοῦ Ἀχιλλέως πρὸς τὸν Ἀγαμέμνονα·

— — Ἀναιδείην[14] ἐπιειμένε κερδαλεόφρον,
Πῶς τίς τοι πρόφρων ἔπεσι πείθηται, — —

οὕτως ἐνδεδυμένε ἀναίδειαν, ὡς καταστολὴν καὶ ἱμάτιον ἀναβεβλημένε τὸ θράσος, καὶ κέρδη φρονῶν τε καὶ ἐν-

12 Cod. παρελεύσαι ε. — Il. α, 132. 13 Cod. παρελεύσῃς. 14 Il. α, 149.

θυμούμενε, πῶς τίς τοι φίλα φρονῶν τοῖς σοῖς λόγοις πεισθήσεται· τὸ τοῦ Ὀππιανοῦ δὲ ἐκεῖνο,

Ἔθνεά τοι πόντοιο πολυσπερέας τε φάλαγγας
Παντοίων νεπόδων, πλωτὸν γένος Ἀμφιτρίτης,
Ἐξερέω γαίης, ὕπατον κράτος Ἀντωνῖνε,

οὕτως· ἔθνη μάχιμα κατ' ἀλλήλων παντοδαπὰ καὶ πολυσπερεῖς φάλαγγας καὶ πανταχοῦ τοῦ πελάγους ἐκκεχυμένας, νηκτὸν γένος θαλάττιον ἐξείπω σε, μέγιστε Ἀντωνῖνε, κράτος πάσης τῆς γῆς· καὶ τὰ τοιαῦτα ἡρῷα. Ἀλλὰ δὴ καὶ τὰ τῶν τραγικῶν καὶ τὰ λοιπὰ ποιητικώτερον μεταβάλῃς καὶ τὸ φράσεως κάλλος διαβλέπων προσοικειοῦν ἕξεις τῇ οἰκείᾳ φράσει ἐκ παραφράσεως πρὸς τὴν προκειμένην ὑπόθεσιν. Ἀλλὰ φέρε καὶ αὐτοὶ μικρόν τι συνεισενέγκωμέν σοι καὶ εἰς ἔννοιαν καὶ εἰς φράσιν, ἀλλὰ δὴ καὶ εἰς τέχνην, περὶ διηγήματος ἀναγκαίως γράψαντες πλατύτερον καὶ σαφέστερον, ἐπεὶ τὸ διήγημα πολύχρηστόν ἐστι τοῖς ῥήτορσι καὶ ἀναγκαιότατον ἐν ἐπαινετοῖς, ἐν ψεκτοῖς, ἐν ἐπιστολιμαίοις, ἐν μέτροις καὶ ἐν ἁπάσαις σχεδὸν ὑποθέσεσι λογογραφούμενον, κἂν ἄρα κατορθώσεις τὸ καλῶς διηγεῖσθαι, μέγα μέρος ἀὐχήσεις ῥητορικῆς. Ἡ τοῦ διηγήματος γραφὴ τριπλῆ ἐστιν, ἁπλῆ, ἐνδιάσκευος καὶ ἐγκατάσκευος· καὶ ἁπλῆ μέν ἐστιν ἡ αὐτὸ μόνον τὸ πρᾶγμα γυμνὸν ἀπαγγέλλουσα, καὶ ὡς φανερὸν ξηρόν· ἐνδιάσκευος δὲ ἡ ἐκφραστικὴ καὶ λεπτολογοῦσα τὸ καθέκαστον, καὶ εἰς ὄψιν μονονοὺ παράγουσα τὰ πραχθέντα· ἐγκατάσκευος δὲ ἡ τὰς αἰτίας τῶν πραχθέντων ἀποδιδοῦσα, καὶ τῶν συμπεσόντων ἕκαστον αἰτιολογοῦσα· καὶ ὁ ζωγράφος ἑκάστῃ τούτων χρήσεται πάντως κατὰ καιρόν, τῇ μὲν ἁπλῇ ἐν καιρῷ ἀφελείας καὶ ἀληθείας, τῇ δὲ ἐνδιασκεύῳ ἐν ἀγῶσί τε καὶ αὐξήσεσι τῶν προτεθειμένων· δύνασαι δὲ καὶ μιγνύειν μετὰ τῆς ἐνδιασκεύου τὴν ἐγκατάσκευον, ὁπηνίκα καὶ ὑπ' ὄψιν θέλεις ἄγειν τὸ πρᾶγμα καὶ αὔξειν· ἡ δὲ ἁπλῆ τούτοις

ἀσύγ-

ἀσύγκρατος, οὐδὲ ἐξὸν εἶναι τὸ αὐτὸ καὶ ἁπλοῦν ὁμοῦ καὶ ποικίλον· τὸ μέντοι προγυμναστικὸν διήγημα ἁπλοῦν τὰ πολλὰ γράφεσθαι οἱ τεχνικοὶ διορίζονται, ὅμως οὐκ ἀπεικὸς [15] καὶ ποικίλλεσθαί ποτε τοῦτο καὶ πλατύνεσθαι πρὸς ἄσκησιν φιλοτιμοτέραν ῥητορικῆς· φέρε δὲ ὡς ἐν παραδείγματι παραθήσομέν σοι διήγημα κατὰ τὸ ῥηθὲν τριπλοῦν εἶδος, ἔστω δὲ τοῦτο τὸ κατὰ τὴν μανίαν τοῦ Αἴαντος.

Ἁπλοῦν· Αἴας ἐπὶ τοῖς ὅπλοις παρευδοκιμηθεὶς κατὰ τοῦ λαβόντος ὀργίζεται Ὀδυσσέως, κατὰ τῶν ψηφισαμένων τῶν Ἀτρειδῶν ἄμυναν σκέπτεται· νύκτα ὡς ἐπ' ἐκείνους ξιφηφόρος χωρεῖ, ἀλλ' Ἀθηνᾶ καὶ νοῦν καὶ ὄψιν ἐσκότωσεν, καὶ ὁ ἥρως εἰσπίπτει τοῖς κτήνεσι, καὶ τὰ μὲν ὡς ἄνδρας κεντᾷ, τὰ δ' ἐλαύνει πρὸς τὴν σκηνήν, καὶ μετὰ πολλὴν τὴν μάστιγα κτείνει· τέλος τὴν μανίαν ἀνενεγκὼν αὐτοχειρίαν ἑαυτοῦ κατεδίκασεν.

Ἐνδιάσκευον· Αἴας ἐπὶ τοῖς ὅπλοις παρευδοκιμηθεὶς κατὰ τῶν δικασάντων τὴν κρίσιν τοῦ Ἰθακησίου, τῶν Ἀτρειδῶν πίμπραται τὴν καρδίαν θυμῷ, τῷ ἀγριωπῷ μηνύει τὴν ἔνδον διάθεσιν, καὶ τῇ ἀναιδήσει καὶ τῷ ὑφαίμῳ τοῦ ὀφθαλμοῦ, τῷ τε τοῦ ἄσθματος πυκνῷ καὶ βαρεῖ νυκτὸς ὡς ἐπ' ἐκείνους στρατεύει, τὸ ξίφος ἐν ταῖν χεροῖν, εὔθηκτον τὸ ξίφος, στίλβον τὸ ξίφος, ἀνταυγάζον πρὸς τὸ σκότιον τῆς νυκτός· τὸ κίνημα πῇ μὲν ἡρεμαῖον δολίως, πῇ δὲ καὶ ἄλλεται θυμικῶς, μακρὸν τὸ βῆμα τοῦ γιγαντιαίου τοῦ ἥρωος, ἀλλὰ παράγει καὶ νοῦν καὶ ὀφθαλμοὺς Ἀθηνᾶ, σκότος ἅμα τοῖν βλεφάροιν, τῷ ἐνδομύχῳ τῷ ἐξωτίῳ· εἰσπίπτει τῇ μάνδρᾳ τῆς λείας ὁ νυκτίλοχος, καὶ ὡς ἄνδρας κατατέμνει τὰ ἄλογα, τὸ μὲν κατερράχισε, τὸ δὲ διεκέντησε, τοῦ δὲ τὴν κεφαλὴν τοῦ λοιποῦ σώματος ἐξετίναξεν ἑτέρῳ κατὰ γαστρὸς τὸ ξίφος ἐμβάπτεται· ἐνταῦθα κρουνὸς αἵματος, ἐκεῖσε σπλάγχνα

15 Cod. ἀπεικὰ καὶ ποικίλεσθαι.

ἐκκεχυμένα, ἐπάλληλα τὰ πτώματα πανταχοῦ, ὧδε τῶν ἔτι πνεόντων ἅλματα πρὸς φυγήν, ἀλλὰ τὸν δεσμὸν ἐπέσχεν ἡ ἔπαυλις, ὁ λύκος ἐντὸς, οἱ φύλακες κύνες ὑπνοῦσι τὸν χάλκεον, ἐξεπράχθησαν μικρὸν καὶ ὁ ἥρως ἀνενεγκὼν τοῦ οἰκείου ξίφους ἔργον καὶ αὐτὸς πίπτει.

Ἐγκατάσκευον. Αἴας ἐπὶ τοῖς ὅπλοις παρευδοκιμηθεὶς τὴν κρίσιν Ἀτρειδῶν δικαζόντων [16] κατ᾽ αὐτοῦ ἐξοργίζεται, μισεῖ τὸν λαβόντα τὸν Ἰθακήσιον, ἀδικούμενος γὰρ ἅπας κατὰ τοῦ ἀδικοῦντος φλεγμαίνει θυμῷ· ὁ σακεσφόρος ἄμυναν σκέπτεται, ὅτι καὶ ὀργῆς αὕτη φάρμακον, νυκτὸς ἐπ᾽ ἐκείνους ὁπλίζεται, μὴ δεχομένου τὸν δόλον φωτὸς, ἀλλ᾽ Ἀθηνᾶ τούτῳ καὶ νοῦν καὶ βλέμμα παρήνεγκεν, τὸ μὲν τοῦ Ἑλληνικοῦ προνοοῦσα, τὸ δὲ φιλοῦσα τὸν τοῦ Λαέρτου, τὸ δὲ μισοῦσα τοῦ τύφου τὸν Τελαμώνιον. καὶ ὃς οὐκ εἰς τοὺς ἄνδρας ἀλλ᾽ εἰς τοὺς ἄρνας ἐξέκλινεν, καὶ νὺξ καὶ μανία τούτῳ προσίστανται, καὶ εἰσφθαρεὶς κεραΐζει τὰ ἄλογα, ἐπεὶ μὴ φειδὼ μηδεμία τῷ ἐν ὀργῇ κρατήσαντι· κἂν τὸ δοκεῖν τὸν ἐχθρὸν βραχὺ, καὶ ἀνένηψε τῆς παρακοπῆς, δοίσης τοῦτο τῆς θεᾶς καὶ τῆς φύσεως εἰς κακὸν μεῖζον τῷ ἥρωϊ, τὰ μὲν γὰρ αἰδούμενος τὸν ὁμόφυλον διὰ τὸ τοῦ δράματος εὐηθες, τὰ δὲ πτοούμενος δίκην ἀντίποινον ἑαυτὸν διεργάζεται, τῆς ἐπονειδίστου ζωῆς ἢ τοῦ παρ᾽ ἑτέρων φόνου τὴν αὐτοχειρίαν βέλτιον θέμενος. Ὁρᾷς τὸ τριπλοῦν εἶδος τοῦ διηγήματος· χρήσῃ γοῦν ἑκάστῳ τούτων πρὸς τὸ καλοῦν, ἢ καὶ συλλαμβάνων ἐκ τούτων τὰ πεφυκότα μίγνυσθαι κιρνᾷν ἕξεις κατὰ καιρόν. [17]

---

16 Cod. h. l. et supra δεκαζόντων. 17 Sequitur in codice: Ἔτι μάθε καὶ ταῦτα· παντὶ διηγήματι ἐνυπάρχουσι τὰ λεγόμενα περιστατικὰ ἓξ — usque ad ὡς ἐν εἰσαγωγῇ, quae invenies in commentatione sequente: περὶ τῶν ὀκτὼ μερῶν τοῦ ῥητορικοῦ λόγου. c. VII.

Φέρε δὴ καὶ περὶ λέξεως εἴπωμεν, ὡς ἀναγκαιοτάτης καὶ αὐτῆς οὔσης. Λέξιν τῶν νεωτέρων καὶ καθ' ἡμᾶς πολλοὶ ζηλοῦσιν ἐν πᾶσι σχεδὸν διηγηματικοῖς, ἐγκωμιαστικοῖς καὶ λοιποῖς τὴν ὀγκηρὰν καὶ ἀδρὰν, ὁποία ἐκείνη ἀναῤῥιχᾶται καὶ ἀναστέλλεται· καὶ ἀνέστακεν ἐκεῖνος ἀντὶ τοῦ ἀνέστηκε, καὶ ἀποδράσκω ἀντὶ τοῦ ἀποδιδράσκω, καὶ κρυπτάζομαι ἀντὶ τοῦ κρύπτομαι, καὶ ἀφάντωσις ἀντὶ τοῦ ἀφάνισις, καὶ λογάριον ἀντὶ τοῦ λογίδριον· καὶ ζυγὰς ἀντὶ τοῦ δυάς· καὶ τὸ εὐρυχανὲς ἀντὶ τοῦ πλατὺ, καὶ τὸ φρύκτωρον ἀντὶ τῆς λαμπηδόνος, καὶ τὸ αἱ συρμάδες ἀντὶ τοῦ τῶν ἀκτίνων, καὶ τὸ ἀποπάλλονται ἀντὶ τοῦ ἐκπέμπονται, καὶ τὸ διαυλωνίζονται καὶ ἀτραπὸς ἔμαρψε καὶ ἐρίγδουπος. τοιαῦτα ὀγκηρά, ὁποῖα πολλὰ ἔχει τις ἐκλέγειν ἐκ ποιητῶν καὶ ῥητόρων καὶ μᾶλλον τῶν νεωτέρων. σὺ δὲ λέξιν ἀγάπησον τὴν ἁρμόζουσαν τῷ προτεθειμένῳ· τὸ τοιοῦτον πρέπον φασὶν οἱ παλαιοὶ τεχνικοὶ ἤτοι φράσιν καὶ λέξιν ἐπιπρέπουσαν τῷ ὑποκειμένῳ· ἐὰν γὰρ περὶ λειμῶνος ὁ λόγος, ἀνθηρῶς ἀπαγγείλῃς καὶ λειοτέρως, οἷον τὰ πέταλα τῶν δένδρων τῷ ζεφύρῳ τρυφᾷ, καὶ ὑποψιθυρίζουσιν ἠρέμα διακινούμενα· οἱ ὄρνις ἐπορχοῦνται ταῖς κλάδοις, καὶ χορὸν ἐστήσαντο μουσικὸν, ᾄδουσι καὶ οἱ τέττιγες καὶ συνηχοῦσιν ὁμοῦ καὶ δένδρα καὶ ὄρνις καὶ τέττιγες. καὶ ἁρμονία μία τούτοις ὑπὸ φθόγγου [18] πολυμιγοῦς. καὶ ὁ διηχὴς ἀὴρ ἐκεῖθεν πράως ὑποβομβεῖ καὶ πληροῖ τὴν ἀκοὴν μουσικῆς· ἡ πόα ὑπέστρωται μαλακὴ καὶ χλοάζουσα, κλίνη τις σχέδιος· δυσώπησις ἀφῆς, βλεφάρων τρυφὴ, ὕδωρ διὰ μέσων ἦκον τῶν φυτῶν κελαρύζει καὶ διψᾷν ὑπομιμνήσκει τὸν βλέποντα ἢ τὸν ἀκούοντα. Ἐὰν περὶ πολέμου ὁ λόγος, τότε ἡ ἀδροτέρα λέξις εὔχρηστος διὰ τὰς ἐκεῖσε τραχύτητας, καὶ τὴν τῶν δρωμένων ἀνωμαλίαν,

18 Cod. φθόνου.

οἷόν ἐστι τὸ σύῤῥηξις, τῶν ἐφίππων κατάῤῥαξις, δοῦπος ἀκόντων καὶ πάταγος, βόμβος, κόναβος, σμαραγὴ, ὀϊστῶν κλαγγὴ, γῆς καναχὴ, ἵππων χρεμετισμοὶ καὶ φρυάγματα καὶ ἐμβοαὶ μαχητῶν καὶ ἀντεμβοαὶ καὶ σαλπισμοὶ καὶ ἀλαλαγμοὶ, καὶ βυκάνης ἦχος βροντόεις καὶ χωστρίδες καὶ ὀρυκτίδες καὶ πυργοσεῖσται, κριοὶ, καὶ θεμέθλων τινακτοὶ καὶ ὁπλιτευόντων πυῤῥίχη, καὶ ἐξελίξεις πολύστροφοι. Ἄρης τειχεσιπλήτης καὶ βροτολοιγὸς, καὶ φευγόντων προτροπάδην πτερὰ καὶ διωκόντων ἐπιπετάσματα καὶ ἐπεγκελεύσεις καὶ ὁμοκλαί· πλὴν καὶ ἐνταῦθα τῶν ἀδροτέρων ἡ χρῆσις μετρείσθω· τοιοῦτον τὸ πρέπον, ὥστε καὶ αἰτιῶνται οἱ τεχνικοὶ τὸν εἰπόντα οὕτω· ὁ ποταμὸς πολὺς ῥεῖ· οὐδὲ γὰρ ἐτήρησε, φασὶ, τὸ πρέπον, τὸ πολύῤῥοον τοῦ ποταμοῦ συστείλας διὰ τῆς βραχυλεξίας· ἔδει γὰρ εἰπεῖν, ὁ ποταμὸς πολὺς σύρεται, ὡς ἂν ἡ μακροτέρα λέξις τὴν φύσιν τοῦ πράγματος ἐμιμήσατο· ἀλλὰ καὶ τῷ σφοδρυνομένῳ καὶ τραχυνομένῳ κατά τινος τὸ τραχυλεκτεῖν εὔκαιρον, ὡς ὁ Δημοσθένης κατὰ τοῦ Αἰσχίνου· γραμματοκύφων καὶ ἰαμβειοφάγος καὶ τριταγωνιστής·[19] καὶ ὁ θεολόγος κατὰ τοῦ Ἰουλιανοῦ, εἰδωλιανὸς καὶ καυσίταυρος καὶ τὰ λοιπά. Ἐν ἅπασι τοινῦν ἡ φράσις καὶ ἡ λέξις ἔστω πρέπουσα, καὶ ἐν παθητοῖς περιπαθὴς, καὶ ἐν πανηγύρει χαρίεσσα, καὶ ἐν τοῖς ἄλλοις κατάλληλος. Πάλιν τῆς λέξεως ἡ μέν ἐστι κομψὴ, ἡ δὲ φυσική. Κομψὴ μὲν, οἷον καπηρὸν ἀνεκάγχασε, φυσικὴ δὲ τὸ διακεχυμένον ἐγέλασεν· ὁ γέλως γὰρ τὰ γυῖα λύει· ὥστε διὰ τοῦ εἰπεῖν διακεχυμένον[20] τὴν φύσιν τοῦ γέλωτος ἐδηλώσαμεν, καὶ λοιπὸν φυσικὴ ἐστιν ἡ λέξις· πάλιν κομψὴ μὲν τὸ εἰς ἄνδρας παρήγγειλε, τὸν παῖδα παρήμεψεν, εἰς οὐδὲν γήρως κατέλυσε· φυσικὴ δὲ τὸ ἀνδρικῶς ἐνακμάζει· ἡ ἀκμὴ γὰρ κυρία λέξις ἐν-

19 Cod. τρισαγωνιστής. — pro cor. p. 297. Greg. adv. Jul. p. 81. D. 20 Cod. διακεχυμένον.

ταῦθα· τὸν παῖδα καὶ τὸν ἀντίπαιδα ὑπερανέβη· κυρία λέξις καὶ φυσικὴ ὁ ἀντίπαις, ὅς ἐστιν ὁ δωδεκαετὴς, καὶ τὸ ἀνέβη· ἀναβαίνει γάρ τις τὰς ἡλικίας μέχρι τῆς ἀνδρικῆς ὡς ἐν κλίμακι· εἶτα καταβαίνει. διὰ τοῦ ὠμογέροντος μέχρι καὶ τοῦ πεμπέλου καὶ τὰ τοιαῦτα. Χορηγεῖ μὲν τὴν φυσικὴν καὶ κυρίαν λέξιν ἡ φιλοσοφία μᾶλλον καὶ τὰ ταύτης μαθήματα, τὴν δὲ κομψὴν καὶ τροπικὴν ἡ ῥητορικὴ μᾶλλον καὶ οἱ κατ' αὐτὴν γράφοντες· σὺ γοῦν εὐκαίρως παραλάμβανε καὶ τὰ κομψὰ καὶ τὰ φυσικά· κρεῖττον δὲ εἰ πλεονάζεις τοῖς φυσικοῖς καὶ κυρίοις, κἂν τοῖς πολλοῖς τὸ ἐναντίον ἀρέσκῃ. πάλιν ἢ πλεονάζει ταῖς λέξεσιν ὁ γράφων καὶ ἐπιστοιβάζει πολλὰς ἐπὶ μιᾶς ἐννοίας, καὶ ἐμφαίνει μὲν τοῦτο πλουτισμὸν γλώττης· νεώτερον δέ ἐστι καὶ γυμναζομένων μᾶλλον ου γυμνασθέντων καὶ βεβηκότων· ἢ τῇ κυρίᾳ καὶ ἀναγκαίᾳ χρώμενος λέξει ἀρκεῖται· παράδειγμα τοῦ πρώτου, χαίρω καὶ γέγηθα, καὶ ἡ καρδία μου διακέχυται, καὶ πολὺς ἐνέστακταί μοι τῆς ἡδονῆς ὁ γάργαλος εἰς ψυχὴν, καὶ πάσης αὖτη συνοχῆς ἀπολέλυται· παράδειγμα τοῦ δευτέρου τὸ γέγηθα μόνον ἢ ἀγάλλομαι ἢ διακέχυμαι καὶ τὰ ὅμοια· καλὸν γὰρ τὸ τὴν ἔννοιαν πλεονάζειν ἢ τὴν λέξιν, σὺ δὲ τὴν μεσότητα ζήλωσον, μήτε πολλὰς ἐπιστοιβάζων, μήτε πενίαν ἐμφαίνων κατὰ τὴν λέξιν· τότε δὲ μᾶλλον πλεόναζε, ὅταν ἢ ἐξαπλοῦν ἀναγκάζῃ τὸ πρᾶγμα, καὶ εἰς ἔκθετον πᾶσιν ἀπαγγέλλειν ἢ αὔξειν ἢ ἑρμηνεύειν τὸ φθάσαν. ἴσθι ἀσαφὲς, ὡς ὁ Δημοσθένης ἐποίησεν, εἰπὼν ἐκνενευρισμένοι,[21] καὶ ἐπενεγκὼν εἰς σαφήνειαν, καὶ περιῤῥημένοι χρήματα καὶ συμμάχους· ὑπὸ γὰρ τοῦ ἀπορεῖν χρημάτων καὶ συμμάχων ἐξενευρίσθησαν καὶ ἐξησθένησαν οἱ Ἀθηναῖοι· ἢ ὅταν ἐλλάμπῃ τῷ λεγομένῳ· τότε γὰρ καὶ διὰ πλειόνων λέ-

21 Ol. III. p. 37.

ξεων, ἀλλὰ δὴ καὶ κώλων ἀπαγγείλῃς αὐτό· τὸ γὰρ συστεῖλαι διὰ βραχέων οὐ τεχνικόν, Χρησιμώτατον τοῖς γράφουσι καὶ ἡ περίφρασις· ἡ δέ ἐστιν εἰπεῖν βία Ἡρακλέους ἀντὶ τοῦ Ἡρακλῆς, καὶ τὸ διαποθῶ σε, διὰ στοργῆς ἄγω σε ἀντὶ τοῦ ἀγαπῶ σε, καὶ τὸ διαῤῥέει λόγος ἀντὶ τοῦ διαλέγεται καὶ τὰ τοιαῦτα· χρήσῃ δὲ τῇ περιφράσει οὐχ ἁπλῶς καὶ ἀλόγως, ἀλλ' ὅτε ζητῶν τὴν κυρίαν οὐχ εὑρίσκεις ἴσως, ἢ εὑρίσκων διαγινώσκεις μηδὲν σοφὸν ἢ κομψὸν ἢ ῥητορικὸν ἔχειν ταύτην· οἷον τὸ ποθῶ, ἀγαπῶ, στέργω κοινά εἰσιν· ἀντὶ τούτων κομψεύσῃ τῇ φράσει, εἰπὼν πρὸς ἰθυμοῦ τόδε μοί ἐστι· περικαλλῆ[22] τρέφω τὰ φίλτρα, προσπαθῶς ἔχω πρός σε καὶ τὰ τοιαῦτα· ὅτε δὲ μὴ τὴν κυρίαν εὑρίσκεις τυχὸν ἐπὶ τῆς κοινολογουμένης σέλλας,[23] ὅτι ἐφεστρὶς λέγεται, εἴπῃς· ἡ τοῖς τοῦ ἵππου νώτοις ἔποχος ἐκ ξύλου καθέδρα, καὶ τὸν ἀναβάτην ὀχοῦσα, καὶ ὅστις τὸ δημολογούμενον ὀρτάριον εἶπεν ἐξ ἐρίου ἐμβάδα, καὶ τὸ βαμβάκιον γήϊνον ἔριον καὶ σπέρματος ἄνθος ἐριῶδες καὶ τὰ τοιαῦτα.

Παράγγελμα ῥητορικόν ἐστι τὸ τὰ ταπεινὰ ὑψηλῶς ἀπαγγέλλειν[24] καὶ ἔμπαλιν τὰ ὑψηλὰ ταπεινῶς, οἷον ἐὰν περὶ θεοῦ μέλλῃς λέγειν, ὑψηλὴ ἔννοια τοῦτο· ἀπαγγείλῃς οὖν ταύτην διὰ φράσεως καὶ λέξεως ταπεινῆς, ἤτοι καθαρᾶς[25] καὶ σαφοῦς, τοῦτο γὰρ ἐνταῦθα τὸ ταπεινὸν, ὡς ὁ θεολόγος ἐποίησε[26]· θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστιν καὶ ἔσται· μᾶλλον δὲ τὸ μὲν ἦν καὶ ἔσται τοῦ καθ' ἡμᾶς χρόνου τμήματα καὶ τὰ ἑξῆς· ὁρᾷς ὅπως καθαρά ἐστιν ἡ φράσις· ἐὰν δὲ ταπεινοτέρα σοι πρόκειται ἔννοια, τυχὸν ὅτι γυναῖκα ὁ βασιλεὺς ἔγημεν ἐπὶ τῷ τεκνοποιῆσαι, ἀπαγγείλῃς ὑψηλῶς καὶ σεμνῶς εἰπών· πάντων ὁ ἄναξ κρατῶν θείοις νόμοις δουλεύει καὶ σωφροσύ-

22 Cod. περικαλῆ. 23 Cod. σέλας. 24 Cod. ἐπαγγέλλειν κ. ἐ. τὰ ταπεινὰ ὑψηλῶς. 25 Cod. καθαροῦς. 26 Or. εἰς τὰ Θεοφ. p. 615. C.

γην ἀσπάζεται, καὶ συζυγίαν συναγομένην θεῷ, ὡς καὶ διαδόχους γνησίους τῷ κράτει χαρίσηται καὶ τὰ ὅμοια· ἐνταῦθα δὲ καὶ ἡ ἀδροτέρα λέξις ἁρμόζει, ἡ μὲν γὰρ ὑψηλὴ ἔννοια καὶ βαθυτέρα, ἐὰν ὑψηλῶς ἀπαγγελθῇ, δύσγνωστος ἔσται· ἡ δὲ ταπεινὴ, ἐὰν ταπεινῶς ἑρμηνευθῇ, ἀχρεία· διὰ ταῦτα σπεῦδε ποιεῖν τὸ παράγγελμα. Ἀλλὰ καὶ ἡ Ἀττικὴ φράσις σπουδαστέα τοῖς ῥήτορσι, διὸ καὶ περὶ ταύτης εἴπωμέν σοί τινα· ταύτης ἐστὶ καὶ περιττολογία καὶ ἔλλειψις· περιττολογία μὲν ὡς τὸ λέγω λόγον, τρέχω δρόμον, γράφω γραφὴν, καὶ τὸ οἷς ὅτι ἀντὶ τοῦ διότι, καὶ ὅτι οὕνεκα τὸ αὐτὸ, καὶ αὖ πάλιν καὶ ἑκὼν εἶναι οὐ σιωπήσομαι· τὸ γὰρ εἶναι περισσὸν ἐνταῦθα, ὡς καὶ Θουκυδίδης· τὸ μὲν ἐπ' ἐκείνοις εἶναι ἄκριτοι ἀποθνήσκουσι, καὶ τὰ τοιαῦτα· ἔλλειψις δὲ τὸ ἐς Ἅιδου κατέβη καὶ Περσεφόνης, εἰς μυσταγωγοῦ ὥρμησε, καὶ τὸ τρέχειν τὸν περὶ τῆς ψυχῆς, δρόμον δηλονότι, καὶ κινδυνεύω τὸν περὶ ψυχῆς, κίνδυνον δηλονότι, καὶ τὸ θαυμάζω σε σοφίας, τὸ ἕνεκα γὰρ ἔξωθεν, καὶ τὸ τοῦ θράσους, τῆς ἀναιδείας, λείπει γὰρ τὸ φεῦ, καὶ τὸ ἐν βραχεῖ ἀπαγγείλας, λόγῳ δηλαδὴ ἢ καιρῷ, καὶ τὸ ὀμνύει μὰ τὸν, καὶ παραλιμπάνει τὸ θεὸν ἢ τὸ δεῖνα· ἀλλὰ καὶ ἐλλείψεις τῶν προθέσεων, ὡς τὸ νύκτα καὶ ἡμέραν ἀλγῶ, ἀντὶ τοῦ κατὰ νύκτα καὶ καθ' ἡμέραν, καὶ ὧν ἔπαθεν ὀργὴν ἔχει, ἀντὶ τοῦ ὑπὲρ ὧν, καὶ τὸ τῆς πατρίδος μετασκηνῶ, ἀντὶ τοῦ ἀπὸ τῆς πατρίδος τῆς οἰκείας μεταίρω, καὶ ταῦτ' ἄρα ἀντὶ τοῦ διὰ ταῦτα, καὶ τὰ τοιαῦτα. Ἀττικὴ καὶ ἡ ἔλλειψις τῶν ἄρθρων, ὡς τὸ, θεὸς ἦν μὲν ἀεὶ, ὁ θεὸς γὰρ ἡ κοινὴ λέγει διάλεκτος, καὶ τὸ ἦκεν ἔαρ, χειμὼν ᾤχετο, καὶ τὰ τῶν ἑτέρων πτώσεων ἄρθρα, ἑνικῶν τε καὶ πληθυντικῶν, ὡς τὸ ἐξώρμησαν Ἕλληνες κατὰ Τρώων καὶ τὰ τοιαῦτα· καὶ ἡ ἔλλειψις τοῦ ὑπαρκτικοῦ ῥήματος, ὡς τὸ, σὺ μὲν λόγιος, ἐγὼ δὲ ἀμαθής· ἔξωθεν γὰρ τὸ ὑπάρχεις καὶ τὸ ὑπάρ-

χειν· καὶ τὸ ἀπὸ κοινοῦ λαμβάνειν ῥῆμα ἢ ὄνομα, ὡς ἔχει τὸ, σοὶ μὲν περισπούδαστός ἐστιν ὁ πλοῦτος, καὶ τοιόσδε καὶ τοιόσδε, καὶ μετὰ πολλὰ, ἐμοὶ δὲ οὐκ ἀσπαστός· τὸ γὰρ πλοῦτος ὄνομα ἐνταῦθα ἀπὸ κοινοῦ ἤγουν ἐκ τοῦ ἄνωθεν ἐλήφθη, καὶ ὡς ἐκεῖνο, σὲ μὲν ἡ πενία μεγάλως λυπεῖ, καὶ τόδε σε καὶ τόδε ποιεῖ, καὶ μετὰ πολλὰ, ἐμὲ δὲ οὐδαμῶς· τὸ λυπεῖ γὰρ ὧδε ἀπὸ κοινοῦ· ἀλλὰ δὴ καὶ τὸ συνεκδοχικὸν ἤτοι τὸ ἐκ τῶν κάτωθεν λαμβανόμενον, καὶ τὸ σοὶ μὲν περισπούδαστος καὶ τοιόσδε καὶ τοιόσδε, ἐμοὶ δὲ μισητὸς ὁ πλοῦτος, σὲ μὲν μεγάλα ἡ πενία, ἐμὲ δὲ μετρίως λυπεῖ. Ἀλλὰ καὶ τὸ φασὶ καὶ εἶπον καὶ φημὶ ἐλλειπτικόν· πολλάκις καὶ ἀπὸ κοινοῦ ἐπὶ τοῖς ἀπαρεμφάτοις ῥήμασιν, ὁποῖον τό· φασὶ τὸν Ἀχιλλέα παρὰ τῆς μητρὸς ἀχθῆναι εἰς παρθενῶνα τοῦ Ἑλληνικοῦ συγκρινομένου κατὰ τῶν Τρώων, καὶ γυναικείους ἐνδῦναι ἱματισμοὺς, ὡς λαθεῖν ἐκεῖσε κρυπτόμενον. Ὀδυσσέα δὲ τὴν σκηνὴν ἐλέγξαι μεθόδῳ σοφῇ δεινῇ, κἀκεῖνον ἐξαχθέντα συγχωρῆσαι τοῖς λοιποῖς εἰς τὸν πόλεμον· ἐνταῦθα γὰρ τὸ φασὶν ἄνω τεθὲν ἅπαξ προσεπενοήθη[27] καὶ ἐν τοῖς κάτω καὶ μέχρι τέλους ἀπαρεμφάτοις· καὶ τοιαῦται μὲν αἱ Ἀττικαὶ περιττότητές τε καὶ ἐλλείψεις· πλὴν κρεῖττον ὡς καὶ κομψότερον, εἰ χρῆταί τις ταῖς ἐλλείψεσιν· ἡ γὰρ ἔλλειψις συντομίας, ἡ δὲ συντομία ῥητορικωτέρα. Φέρε δὴ καὶ ἑτέρους ἐκθήσομαι ἀττικισμοὺς καὶ τοὺς ἐν χρήσει καὶ αὐτοὺς τοῖς ῥήτορσιν. Ἀττικὸν ἡ ἀντίπτωσις τὸ νυκτὸς καὶ ἡμέρας γίνεται τόδε· ἀντὶ τοῦ νύκτα καὶ ἡμέραν· καὶ ἔαρ μὲν ἀνθεῖ τὰ δένδρα, χειμῶνος δὲ ἀπανθεῖ· καὶ δέον ὂν γενέσθαι τόδε, γέγονε τόδε, καὶ τὸ λαμβάνειν τὰ πληθυντικὰ ἀντὶ ἑνικῶν, ὡς

— — τὸ χρῆμα τῶν νυκτῶν ὅσον[28]

ἤγουν τῆς νυκτὸς, καὶ τὸ, ἀγαθὸν οἱ λόγοι, φαῦλον αἱ

27 Cod. προσεπονήθη. 28 Aristoph. Nub. 1.

ἀλογίαι, καὶ τὸ λεκτέα καὶ γραπτέα ἀντὶ τοῦ λεκτέον καὶ γραπτέον· καὶ τὸ σὺ μὲν σοφὸς, ἡμεῖς δὲ ἀμαθεῖς, ἀντὶ τοῦ ἐγὼ, καὶ ἔμπαλιν τὰ ἑνικὰ ἀντὶ πληθυντικῶν, ὡς τὸ τὴν πολεμίαν ἵππον ἤλασεν ἀντὶ τοῦ, τῶν πολεμίων ἵππους· πολὺν τὸν αἰχμάλωτον εἵλκυσεν ἀντὶ τοὺς αἰχμαλώτους· καὶ ὁ Δημοσθένης·[29] ἀλλ' ἡμεῖς γε τὸν Παίονα καὶ Ἰλλυριὸν παρεσκευασμένον ἐπὶ πόλεμον καὶ τὰ τοιαῦτα. Ἀττικὸν καὶ τὸ λαμβάνειν ὄνομα εἰς τὴν χώραν τοῦ ἐπιῤῥήματος· οἷον τό· βαρὺς ἡμῖν ἐπεῤῥάγη, τὸ γὰρ βαρέως μᾶλλον ἐπαφείλετο τῇ συντάξει· καὶ ἀκαταγώνιστος μάχεται καὶ ἄτρεπτος πολεμεῖ καὶ τὰ τοιαῦτα. Ἀττικὸν καὶ τὸ ἐπιφέρειν πληθυντικὸν ἑνικῷ ὀνόματι, ὡς Ὅμηρος, ὣς φάσαν ἡ πληθὺς,[30] καὶ ὁ Δημοσθένης· ὁ δῆμος κάθησθε ἐκνενευρισμένοι,[31] καὶ τὸ χρῆσθαι τοῖς εὐκτικοῖς[32] ἀντὶ παρῳχημένων, ὡς Θουκυδίδης τὰς νῆας ἃς καταδύσειαν ἀντὶ τοῦ κατέδυσαν· καὶ ἐπεὶ πολεμήσει ὑπὲρ ἡμῶν ἀντὶ τοῦ ἐπολέμησε· καὶ τὸ ἀρσενικῶς ἐκφέρεσθαι τὰ θηλυκὰ, ὡς Εὐριπίδης· στεῤῥὸς ἀνθρώπου φύσις,[33] καὶ ἀγγελθεῖσά μοι γενναῖος·[34] καὶ Ὅμηρος· κλυτὸς Ἱπποδάμεια,[35] καὶ ἡ θαυμάσιος καὶ ἡ ἐξαίσιος καὶ ἡ λόγιος, καὶ τὸ λαμβάνειν τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν, ὡς τὸ, ὁ δεῖνα σοφώτατος τοῦ δεῖνος, ἀντὶ τοῦ σοφώτερος· καὶ τὸ ἀπὸ μέρους λέγειν· ἔφαγον τοῦ ἄρτου, ἔπιον τοῦ οἴνου, καὶ Ἀριστοφάνης·[36] συνετρίβη τῆς κεφαλῆς. Ἀττικὸν καὶ τὸ διὰ τῆς οὖς ἐκφέρειν τὰς εἰς ης ληγούσας εὐθείας τῶν συγκριτικῶν, οἷον μείζους, χείρους, καλλίους, καὶ τὸ δέχεσθαι τὸ παθητικὸν ἀντὶ ἐνεργητικοῦ· τύπτομαι τὸν[37]

---

29 In animo habere videtur Ol. I. p. 15. 30 Il. β. 278. 31 Ol. III. p. 37. 32 Cod. Ἀττικοῖς. 33 Hec. 296. 34 Hec. 592. 35 Il. β. 742. 36 Vesp. 1428. 37 Cod. τοῦ.

δεῖνα ἀντὶ τοῦ τύπτω, καὶ γράφομαι ἀντὶ τοῦ γράφω· λεγέσθων, νοείσθων ἀντὶ τοῦ λεγέσθωσαν καὶ νοείσθωσαν,[38] ἡ γενικὴ τῆς μετοχῆς ἀντὶ προστακτικοῦ· ποιούντων, λεγόντων ἀντὶ τοῦ ποιείτωσαν καὶ λεγέτωσαν· ἀγωνίζομαι περὶ τοῦ πράγματος κοινὸν, ἀγωνίζομαι πρᾶγμα Ἀττικὸν, καὶ Ἀριστοφάνης·

Ἄγγειλον[39] ἡμῖν πῶς τὸ πρᾶγμ'[40] ἠγωνίσω·

ἀγάλλεται ποιῶν κοινὸν, ἀγάλλεται δὲ ποιεῖν Ἀττικὸν. ἥκουσα ἥκειν τὸν δεῖνα κοινὸν, ἤκουσα δὲ[41] ἥκοντα τὸν δεῖνα Ἀττικὸν, οὐδὲν ἀντὶ τοῦ οὐδαμῶς, καὶ Θουκυδίδης· οὐδὲν ἀπανέστησε τοὺς Ἀθηναίους· δέον ὂν γενέσθαι τόδε, ἐγένετο τόδε. Ἀττικὸν καὶ Ἀριστοφάνης,[42]

Εἰρημένον δ' αὐταῖς ἁπανταχῆν ἐνθάδε,
Εὖδουσιν,

ἀντὶ τοῦ λελεγμένου, προστεταγμένου, καὶ Θουκυδίδης· κυρωθὲν οὐδὲν ἐχώρουν ἐπ' οἶκου, ἀντὶ τοῦ κυρωθέντος οὐδενός· ἔστι δὲ καὶ τοῦτο τῆς ἄνω ῥηθείσης ἀντιπτώσεως· ἡ γὰρ αἰτιατικὴ ἐνταῦθα ἀντὶ γενικῆς. Τοσαῦτά σοι καὶ περὶ ἀττικισμοῦ· ἔχοι δ' ἂν τοιαῦτα πολλὰ ἀναλέγεσθαι ἀπὸ τοῦ κωμικοῦ Ἀριστοφάνους καὶ τοῦ συγγραφέως Θουκυδίδου. Τὰ μέντοι χρησιμώτατα, ὡς ὁρᾷς, ἐνταῦθα ἐγράφη σοι εἰσαγωγικὸν τοῖς μέλλουσι γράφειν ῥητορικῶς τὰ χρειωδέστερα τῶν προγυμνασμάτων· ἐνταῦθα διδάξομέν σε σαφέστερον, ἤγουν μῦθον ὡς διηγηματικὴν ἔχοντα τὴν γραφὴν, ἥτις ἀναγκαιοτάτη παντὸς τοῦ ῥήτορι. καὶ ὡς τὸ πιθανὸν καὶ πλασματικὸν ἐκπαιδεύονται αὐτὸ τὸ διήγημα, ἠθοποιΐαν, ἔκφρασιν, ἐγκώμιον καὶ ψόγον, τελευταῖον περὶ ἀνασκευῆς καὶ κατασκευῆς κεφαλαίου, συμβουλευτικοῦ ἢ ἐγκωμιαστικοῦ καὶ ἀλλοίου· ἤγουν περὶ ἐπιχειρημάτων, ἐργασιῶν, ἐνθυμη-

---

38 Cod. νοήσθωσαν et v. 4. ποιήτωσαν. 39 Cod. ἄγγειλε. — Ar. Equ. 611. 40 Cod. πρᾶγμα. 41 Cod. δή. 42 Lys. 13.

μάτων καὶ τοιούτων. Ἐγράψαμεν δέ σοι ἐνταῦθα περὶ τῆς τοιαύτης ἀκολουθίας τοῦ κεφαλαίου ἀντὶ τῆς προγυμναστικῆς χρείας καὶ τῆς γνώμης· ὡς κεφάλαιον γὰρ εἰσάγεται καὶ τούτων ἑκάστη, ἐλλιπῆ δὲ τὴν κατασκευὴν ἔσχεν ἐν τοῖς προγυμνάσμασιν. ἐνταῦθα δὲ ἐντελεστέραν ταύτην ἐκτιθέαμεν. ἐξακριβωσάμενοι οὖν τὰ ἐνταῦθα γραφόμενά σοι προγυμνάσματα ἅπαν σχεδὸν κερδανεῖς τὸ τοῖς λογογραφοῦσι χρήσιμον. καὶ ἐν ἐγκωμιαστικοῖς δὲ διηγήματα καί ποτε καὶ ἐκφράσεις ἢ μιμήσεις ἠθῶν· ὁμοίως καὶ ἐν ψόγοις ποτέ τι τοιοῦτον καὶ ἐν ἐπιστολιμαίοις, ἐν στίχοις καὶ ἐν εἴδει λόγου παντός, καὶ κεφάλαιον κατασκευῆς εἴτε ἀνασκευῆς· πρὸ δὲ τῆς διδασκαλίας ταύτης τῶν προγυμνασμάτων καθολικά τινα διδάξομέν σε, ἐν παντὶ λόγῳ ἐξ ἀνάγκης καὶ αὐτὰ εὑρισκόμενα εἴτε διηγηματικῷ εἴτε ἐγκωμιαστικῷ, ἢ ὁποίῳ δή τινι ἑτέρῳ.

# ΑΝΩΝΥΜΟΥ

## ΠΕΡΙ ΤΩΝ ΟΚΤΩ ΜΕΡΩΝ ΤΟΥ ΡΗΤΟΡΙΚΟΥ ΛΟΓΟΥ.[1]

### Cap. I.

Πᾶσα γραφὴ ἡ ῥητορικὴ, κἂν μείζων κἂν ἐλάττων, ἐκ μερῶν ὀκτὼ συνίσταται, ἅτινά εἰσι ταῦτα· ἔννοια, λέξις, σχῆμα, μέθοδος, κῶλον, συνθήκη, ἀνάπαυσις καὶ ῥυθμός. Ἔννοιά ἐστιν ἡ μὲν σοφὴ καὶ ὑψηλὴ, ἡ περὶ θεοῦ δηλαδὴ, ἢ περὶ φύσεως ἀνθρώπου, ἢ περὶ στοιχείων, ἤ τινος τοιούτου· ἡ δὲ σαφὴς καὶ ταπεινὴ, ἢ περὶ πραγμάτων κοινῶν, οἷον περὶ πολέμου, περὶ πανηγύρεως καὶ τῶν ὁμοίων, ἡ δὲ μέση τούτων· ταύτην ζήλωσον μάλιστα, ἢ κίρνα τὰς σοφὰς μετὰ τῶν σοφῶν εὐκαίρως, ἂν εὐπορῇς. Λέξις ἡ μὲν σκληρὰ καὶ ἁδρὰ καὶ ἐπηρμένη· οἷον τὸ ἀναῤῥιχῶμαι, ἀτραπὸς, σμαραγὴ καὶ τὰ τοιαῦτα· ἡ δὲ λεπτὴ καὶ ταπεινὴ, οἷον τὸ κύριε ἐλέησον καὶ σῶσον ἡμᾶς· ἡ δὲ μέση τούτων· ταύτην καὶ ζήλωσον μάλιστα. Σχῆμά ἐστι τὸ μὲν ὀρθὸν καὶ καθαρὸν καὶ σαφὲς, τὸ δὲ πλάγιον καὶ συνεστραμμένον καὶ περιβεβλημένον· καὶ ὀρθὸν μέν ἐστι τὸ ἔχον ῥήματα ἀποδοτικὰ ἐν συντόμοις· οἷον Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ

1 Descripsi ex Cod. Par. 2918.

γῆς, ὑψώθητε· ὁρᾷς τὰ ἀποδοτικὰ ῥήματα συντόμως καὶ εὐθὺς ἐπαγόμενα, καὶ ταχὺ πληροῦντα τὴν ἔννοιαν, καὶ διὰ τοῦτο σαφῆ ποιοῦντα τὸν λόγον· πλάγιον δὲ σχῆμα τὸ διὰ γενικῆς ἐκφερόμενον πτώσεως, οἷον φίλου μοι θανόντος καὶ κρυβέντος τῷ λίθῳ καὶ ὑπὸ χοῦν ἀφανισθέντος, αὐτὸς μισῶ καὶ τὸν ἥλιον· καὶ ἁπλῶς πᾶν σχῆμα· τὸ μὴ ἀπαρτίζον τὸν λόγον καὶ τὴν ἔννοιαν συντόμως, ἀλλὰ ὑποδιαστέλλον [2] καὶ ἐκκρεμῶν, πλάγιον καὶ ἐμπερίβολον ἐστί τε καὶ λέγεται· οἷόν ἐστι καὶ τὸ, ἐπεὶ γέγονε τόδε καὶ τόδε, καὶ τόδε καὶ τόδε, ἀποβήσεται τόδε.

Ἐν τοίνυν τοῖς πανηγυρικοῖς καὶ χαρίεσι λόγοις χρῶ μᾶλλον τοῖς ἀπολύτοις καὶ καθαροῖς σχήμασιν, ἐν δὲ τοῖς ἀγωνιστικοῖς χρῶ πλεῖόν τι τοῖς περιβεβλημένοις. Μέθοδός ἐστιν ἡ εἰσαγωγὴ καὶ ἡ οἰκονομία τῆς ἐννοίας καὶ ἀπάρτησις, ἤγουν τὸ ἀπὸ στιγμῆς εἰς στιγμὴν, ὡς εἶπω σαφέστερον· καὶ τὰ μὲν τῶν κώλων εἰσὶ μακρὰ, ἃ καὶ λαμπρὰ, τὰ δὲ μικρὰ, ἃ καὶ ὡραῖα· ποῦ ποτε δὲ ἕκαστον ἁρμόζει, μαθήσῃ κατὰ καιρόν· τέως τοῖς μικροτέροις χρῶ, σπουδάζονται γὰρ τοῖς πλείοσι τῶν ῥητόρων, ἀλλὰ καὶ ὡς γοργὰ ταῦτα ῥητορικώτερα· εἰσὶ δέ τινα καὶ μέσα τῶν τε μικρῶν καὶ τῶν μακρῶν, καὶ μηδὲ ταῦτα ἀποδοκίμαζε· συνθήκη ἐστὶν ἐν τῷ λόγῳ ἡ σύνθεσις τῶν λέξεων· ἡ δὲ καλλίστη σύνθεσις τούτων ἡ μὴ ἔχουσα χασμῳδίας ἐστὶ, καὶ ἡ τιθεῖσα τὰς ὀξυτόνους λέξεις εἰς παροξυτόνους, καὶ τὰς λοιπὰς ἐμμελῶς. Ἀνάπαυσίς ἐστιν ἡ κατάληξις τοῦ κώλου, ἔνθα καὶ στίζομεν, καὶ ὀφείλει καὶ αὕτη ποτὲ μὲν εἶναι μακρὰ, ἤγουν διὰ μακρᾶς συλλαβῆς ἢ γράμματος ἐκφερομένη· ῥυθμὸς δέ ἐστιν ἡ ἀπήχησις τοῦ λόγου, εἴτε εὔηχος, εἴτε δύσηχος· γίνεται δὲ ὁ ῥυθμὸς ἀπό τε τῆς συνθήκης, καὶ τῆς ἀναπαύσεως, περὶ ὧν ἐγράψαμεν· καὶ εἰ μὲν ἐκεῖναι καλῶς ἔχουσιν, εὖ-

2 Cod. ὑποδιαστέλλων.

ρυθμος γίνεται ὁ ῥυθμὸς, εἰ δὲ οὐ καλῶς ἔχουσιν ἐκεῖναι, καὶ ὁ ῥυθμὸς δύσηχος ἀποτελεῖται. Περὶ τῆς εὐκαίρου δὲ χρήσεως καὶ ἀκριβεστέρας ἑκάστου τῶν ἄνωθεν ἤδη σοι γραφέντων μάθῃς τελειούμενος τὰ ῥητορικά. τῷ τέως γὰρ ἀρκεῖ τὰ λεχθέντα σοι.

Ἀλλὰ, φίλε, καὶ περὶ αὐτῶν τῶν χρειωδεστέρων προγυμνασμάτων μάνθανε.

---

## Cap. II.

Μῦθός ἔστι λόγος ψευδὴς μὲν φύσει, εἰκονίζων δὲ ἀλήθειαν ἤτοι δοκῶν εἶναί πως ἀληθής. Ὁ τοίνυν ῥητορικὸς μῦθος τριπλοῦς ἐστιν, ὁ μὲν λογικὸς, ὁ δὲ ἠθικὸς, ὁ δὲ μικτός· καὶ λογικὸς μὲν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πλάττεται, λογικὸν γὰρ ζῶον ὁ ἄνθρωπος, καὶ διὰ τοῦτο καὶ ὁ τοιοῦτος μῦθος λέγεται λογικός· ἠθικὸς δὲ ὁ τὸ ἦθος τῶν ἀλόγων ζώων ἀπομιμούμενος, ἀπὸ γὰρ τοῦ ἤθους ἐκείνων λέγεται ἠθικὸς, οἷον ἐὰν μιμεῖται [1] τὸ δόλιον τῆς ἀλώπεκος, ἢ τὸ εὔηθες τῶν προβάτων καὶ τὰ τοιαῦτα· μικτὸς δὲ ὁ ἐξ ἀμφοτέρων, ἀλόγου καὶ λογικοῦ, οἷον ἐὰν [2] ἄνθρωπος καὶ ζῶον ἄλογον διομιλῶνται, ἢ καὶ πράττουσί τι· πᾶν δὲ εἶδος τοιοῦτον ἐν τοῖς Αἰσωπείοις μύθοις εὑρήσεις· ὀφείλει δὲ ἅπας ῥητορικὸς μῦθος γράφεσθαι πιθανῶς· ἐὰν γὰρ τὸν κόρακα βορὸν καὶ ἁρπακτικὸν παραγάγῃς, τὴν δὲ ἀλώπεκα πονηρὰν καὶ θωπευτικὴν, καὶ τὰ πρόβατα μὲν εὐήθη, τοὺς δὲ λύκους ἐπιβούλους αὐτοῖς, πιθανὸν τὸν μῦθον ἐποίησας, ἐὰν δὲ τἀναντία γράψῃς, ἀπίθανον· συντελεῖ δὲ τοῖς λογογραφοῦσιν ὁ μῦθος καὶ εἰς γλυκύτητα λόγου· δύνασαι δὲ

---

1 Reliqui μιμεῖται, cum in capite sq. ἐὰν c. indic. constanter inveniatur. 2 Cod. οἷον ἑανῶς.

καὶ ἀρχαίους μὲν μύθους παραλαμβάνειν ἐν τῷ λόγῳ, πλάττειν δὲ καὶ νέους ἀφ' ἑαυτοῦ· ἀλλὰ καὶ οἱ ποιητικοὶ μῦθοι κατὰ τὸν αὐτὸν τρόπον σοι τῷ ῥήτορι χρήσιμοι, ἦγουν τὸν τῆς γλυκύτητος· ὁ δὲ χαρακτὴρ τῆς τοῦ μύθου φράσεως ἔστω διηγηματικός· διήγημα γάρ ἐστι σχεδὸν καὶ ὁ μῦθος. Περὶ δὲ διηγήματος καὶ τῆς τούτου γραφῆς μάθῃς εὐθύς.

---

## Cap. III.

### ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ.

Διήγημά ἐστιν ἔκθεσις καὶ ἀπαγγελία πράξεώς τινος· ἔστι δὲ τὸ μὲν διήγημα δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν· καὶ δρᾶμα μέν ἐστι τὸ πεπλασμένον, οἷά εἰσι τὰ πλείονα τῶν ποιητῶν, τὰ μυθώδη καὶ τὰ μὴ πεφυκότα ὅλως γενέσθαι, ὁποῖον καὶ τὸ τῆς βαφῆς τοῦ ῥόδου, ὅτι ἐκ τοῦ αἵματος τῆς Ἀφροδίτης ποδὸς τρωθέντος ταῖς ἀκάνθαις ἐβάφη τὸ ῥόδον·[1] πῶς γὰρ ἦν δυνατὸν, θεὰν αἷμα βλύζειν καὶ σάρκα ἔχειν; ἢ πῶς ἂν ἐξ αἵματος εἰς ἀναπόνιπτον καθάπαξ ἐβάφη; Τοιοῦτόν ἐστι διήγημα, δραματικὸν δηλονότι καὶ πεπλασμένον, καὶ τὸ κατὰ Δάφνην τὸ δένδρον, ὅτι κόρη ἦν καὶ ἐδιώκετο ὑπὸ τοῦ Ἀπόλλωνος ἐρασθέντος αὐτῆς, καὶ ἡ γῆ διασχισθεῖσα ταύτην ἐδέξατο, καὶ ἀντ' αὐτῆς ἀνέδωκε τὸ φυτὸν τὴν δάφνην· πῶς γὰρ ἂν θεὸς ἠράσθη τῆς ἀνθρώπου; καὶ πῶς ἡ ἄψυχος γῆ τὴν διωκομένην ἠλέησε; καὶ πῶς ἀντ' ἀνθρώπου φυτὸν εὐθὺς ἀντέφυσε; ὥστε πεπλασμένα καὶ ψευδῆ ταῦτα καὶ τὰ τοιαῦτα. ἱστορικὸν δὲ διήγημα τὸ παλαιὰν καὶ ἀρχαίαν ἔχον διήγησιν, καὶ πε-

---

1 Cfr. Aphthon. c. 2. p. 62. Angel. Politian. Miscell. c. XI.

φυκὸς γενέσθαι καὶ μὴ ἀδύνατον, οἷον τὸ κατὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης τὴν παρὰ [2] Ἀλεξάνδρου, ὅτι παραπλεύσας εἰς Ἑλλάδα καὶ ἰδὼν ὡραίαν ταύτην ἠράσθη αὐτῆς καὶ ἀντηράσθη παρ᾽ αὐτῆς ὡς ὡραῖος, καὶ ἥρπασε καὶ ἀπήγαγεν εἰς Τροίαν, καὶ ἐκίνησε τοὺς Ἕλληνας καὶ τοὺς αὐτῶν βασιλεῖς καθ᾽ αὐτοῦ· ὁρᾷς ὅπως πέφυκε ταῦτα πάντα γενέσθαι. καὶ οὐδὲν τῶν λεχθέντων παρὰ φύσιν ἐστὶ καὶ ἀδύνατον. Πολιτικὸν δέ ἐστι διήγημα, ὅπερ [3] οἱ ῥήτορες χρῶνται ἐν δικαστηρίοις ἢ καὶ ἐγκωμιαστικοῖς λόγοις καὶ τοιούτοις· οἷον ἐάν τις ῥήτωρ κατηγορῶν τινος ὡς κλέπτου διηγεῖται, πῶς καὶ πότε εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ τίνα ἀφείλετο πράγματα, ἢ ἐὰν ἐγκωμιάζει ὁ ῥήτωρ τινὰ καὶ ἐπαινεῖ καὶ διηγεῖται πρᾶξιν ἢ πράξεις αὐτοῦ. Εὑρίσκονται δὲ ἐν τῷ διηγήματι ἐξ ἀνάγκης ἓξ ταῦτα τὰ λεγόμενα περιστατικά, πρόσωπον, πρᾶγμα, χρόνος, τρόπος, τόπος, αἰτία· καὶ πρόσωπον μέν ἐστιν αὐτὸς ὁ ἄνθρωπος ὁ πράξας τόδε τι· πρᾶγμα δὲ αὐτὸ τὸ ἔργον, τὸ πραχθὲν ὑπ᾽ αὐτοῦ· χρόνος ὁ καιρὸς δηλονότι, καθ᾽ ὃν ἐπράχθη τὸ ἔργον, ἢ νὺξ, ἢ ἡμέρα, ἢ χειμὼν ἢ ἔαρ· τόπος ἐν ᾧ ἐπράχθη τὸ ἔργον, οἷον ἀγρὸς ἢ πόλις ἢ ὄρος ἢ πεδιάς· τρόπος ἡ τοιάδε μεταχείρισις [4] τοῦ πραχθέντος, οἷον πῶς ἥρπασε τὴν Ἑλένην ὁ Ἀλέξανδρος, τοιῶσδε καὶ τοιῶσδε, καὶ διὰ μέσων τινῶν καὶ κρύφα, καὶ εἰς πλοῖον εἰσαγαγὼν ταύτην ἀπέπλευσαν· αἰτία δὲ διηγήματός ἐστι τὸ αἴτιον καὶ ἡ ἀφορμὴ, δι᾽ ἣν τὸ πραχθὲν ἐπράχθη, οἷον διατί ἥρπασε τὴν Ἑλένην ὁ Ἀλέξανδρος; ἵνα μίγνυται ταύτῃ, ἐκπληροῖ τοὺς αὐτοῦ ἔρωτας. Πᾶν δὲ διήγημα γραφόμενον ῥητορικῶς καὶ ἀξιολόγως ὀφείλει ἔχειν σαφήνειαν καὶ ἀπὸ τῆς ἐννοίας καὶ ἀπὸ τῆς λέξεως, ὡς μήτε τὰς ἐν αὐτῷ ἐννοίας βαθείας

2 Cod. περὶ. 3 Cod. ὅπερ. 4 Cod. μεταχείρησις.

θείας εἶναι καὶ δυσγνώστους, μήτε τὰς λέξεις καινοτέρας, ἢ τραχυτέρας· ὀφείλει ἔχειν καὶ μικροκωλίαν καὶ τὴν ἄλλην συντομίαν τὸ τοιοῦτο διήγημα· καὶ σύνδετα τὰ πλείω κῶλα, σχήματα καθαρὰ μᾶλλον καὶ ὀρθά, οὐ πλάγια καὶ περιβεβλημένα, ποτὲ δέ τινα βραχὺν πλαγιασμὸν καὶ περιβολὴν μετρίαν, ἵνα μὴ τοῖς ὀρθοῖς καθόλου σχήμασιν ὑπτιάζῃ ὁ λόγος· τοιαύτην εἶναι χρὴ καὶ τὴν τοῦ τύθου γραφὴν, περὶ οὗ προεδιδάχθης· ἀλλὰ καὶ τὰ ἐξ περιστακικὰ τὰ ἐν τῷ διηγήματι ἐμπίπτουσί πως καὶ ἐν τῷ μύθῳ, οἱονεὶ γάρ τι διήγημα καὶ ὁ μῦθος, ὡς εἰπομεν.

## Cap. IV.

### ΠΕΡΙ ΗΘΟΠΟΙΙΑΣ.

Ἠθοποιΐα ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου· διαφοραὶ δέ εἰσι τρεῖς· εἰδωλοποιΐα, προσωποποιΐα καὶ ἠθοποιΐα· καὶ ἠθοποιΐα μὲν ἡ γνώριμον ἔχουσα πρόσωπον καὶ ζῶν, πλαττομένη δὲ μόνον τὸ ἦθος, ὅθεν καὶ ἠθοποιΐα προσαγορεύεται· οἷον τινας ἂν εἴπῃ λόγους Ἡρακλῆς, Εὐρυσθέως ἐπιτάσσοντος· ἐνταῦθα ὁ μὲν Ἡρακλῆς ἔγνωσται καὶ ζῶν λαμβάνεται· τούτου δὲ τὸ ἦθος πλαττόμεθα· εἰδωλοποιΐα δὲ ἡ πρόσωπον ἔχουσα γνώριμον, τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον, οἷον εἴ τις πλάττει τὸν Αἴαντα λέγοντα ἐν Ἅιδου, ἰδόντα τὸν Ὀδυσσέα ἐκεῖθεν· ὅθεν καὶ εἰδωλοποιΐα προσαγορεύεται, ἐκ τοῦ ποιεῖσθαι ἐν αὐτῇ καὶ πλάττεσθαι εἴδωλον οἱονεὶ τοῦ τεθνεῶτος λαλοῦν· προσωποποιΐα δὲ, ὅταν ἅπαντα πλάττηται, καὶ πρόσωπον καὶ ἦθος, ὡς Ἀριστοφάνης ὁ κωμικὸς τὸν πλοῦτον ἔπλασεν ὡς πρόσωπον καὶ ἄνθρωπον λαλοῦντα, καὶ τὴν πενίαν ὁμοίως· πράγματα γὰρ ταῦτα, οὐ πρόσωπα, ὅμως ποιοῦνται καὶ πλάττονται,

διὸ καὶ προσωποποιΐα τὸ τοιοῦτον· τῶν δὲ ἠθοποιϊῶν αἱ μέν εἰσι παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταί· καὶ παθητικαὶ μὲν αἱ κατὰ πάντα πάθος ἔχουσαι, οἷον τίνας ἂν εἴπῃ λόγους Ἑκάβη αἰχμαλωτισθεῖσα μετὰ τὴν ἅλωσιν τῆς Τροίας· ἠθικαὶ δὲ αἱ μόνον ἦθος ἐμφαίνουσαι, οἷον τίνας ἂν εἴπῃ λόγους ἠπειρώτης ἀνὴρ πρῶτος θεασάμενος θάλασσαν· μιμούμεθα γὰρ αὐτοῦ τὸ ἦθος, ἤγουν τὴν ἔκπληξιν καὶ τὸν θαυμασμὸν, οὐ πάθος δὲ καὶ ὀδύνην καὶ ὀδυρμούς· μικταὶ δὲ ἠθοποιΐαι αἱ ἔχουσαι ὁμοῦ καὶ ἦθος καὶ πάθος, οἷον τίνας ἂν εἴπῃ λόγους [1] Ἀχιλλεὺς ἐπὶ τῷ φίλῳ Πατρόκλῳ ἀναιρεθέντι, βουλευόμενος πολεμεῖν πρὸς Τρῶας· ἦθος μὲν γὰρ ἡ βουλὴ καὶ σκέψις, πάθος δὲ ὁ θάνατος τοῦ φίλου. Πᾶσα δὲ ἠθοποιΐα ἐπιδέχεται τοὺς τρεῖς χρόνους, τὸν ἐνεστῶτα, τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα· καὶ ὁ γράφων ὀφείλει μὲν ἄρξασθαι ἀπὸ τοῦ ἐνεστῶτος, τυχὸν οὕτω· ὦ τί τὸ παρὸν, ὁποῖον τὸ βλεπόμενόν μοι, τίς ἡ συμφορὰ αὕτη· ἀπὸ δὲ τοῦ ἐνεστῶτος χωρήσει εἰς τὸν παρεληλυθότα, οἷον ἀλλὰ χθὲς καὶ πρώην οὐχ οὕτως εἶχε τὰ καθ' ἡμᾶς· ἐχαίρομεν γὰρ καὶ ἐσκιρτῶμεν καὶ τόδε καὶ τόδε χαρμόσυνον εἴχομεν· νῦν δὲ οὐχ οὕτω· δεῖ γὰρ ἐπανελθεῖν πάλιν ἐκ τοῦ παρεληλυθότος εἰς τὸν ἐνεστῶτα· ὕστερον δὲ τακτέον τὸν μέλλοντα καὶ λεκτέον οὕτω· τί δὲ ἄρα ποιήσομεν; πόθεν παραμυθίαν ἕξομεν; καὶ ὡς τόδε καὶ τόδε συμβήσεται ἡμῖν, χρὴ δὲ τὸν γράφοντα τὴν ἠθοποιΐαν μιμεῖσθαι πρὸς ἀκρίβειαν τὸ ὑποκείμενον πρόσωπον· καὶ εἰ μὲν ἄγροικόν ἐστι τοῦτο καὶ ἄλλως δημοτικὸν, ἀφελεστέρας ἐννοίας προσάπτειν αὐτῷ, εἰ δὲ ἀρχικὸν τὸ πρόσωπον, σιμνοτέρας, εἰ δὲ σοφὸν, σοφωτέρας. ὁ δὲ χαρακτὴρ τῆς ἠθοποιΐας ὀφείλει σύντομος εἶναι, ὡς ὁ τεχνικὸς λέγει, ἤτοι δι' ἐν-

1 Cod. εἴπῃ ἀλλεὺς. omisso λόγους.

νοιῶν βραχυτέρων συμπληρούμενος, καὶ μὴ εἰς μακρολογίαν ἐκβαίνων, καὶ κῶλα μικρότερα ἔχων καὶ λέξεις ὁμοίας, καὶ ἁπλῶς τὰ τῆς γοργότητος. Ὀφείλει δὲ εἶναι καὶ καθαρὸς ὁ χαρακτὴρ καὶ ἡ φράσις καὶ μὴ συνδέσμοις τὰ πολλὰ χρώμενος μηδὲ πλοκαῖς καὶ περιβολαῖς καὶ πλαγίαις συντάξεσιν, ἀλλὰ σχήμασι μᾶλλον τοῖς εὐθυτέροις καὶ τάχιον ἀποδιδομένοις, ὡς εἶναι ἀφοριστικὰ καὶ κομματικὰ τὰ λεγόμενα. Καὶ τοιαύτη μὲν ἡ κατὰ τέχνην ἠθοποιΐα· τινὲς δ' οὐ μόνον συντόμῳ χαρακτῆρι ἐν ταύτῃ ἐχρήσαντο, ἀλλὰ καὶ πάνυ τι ἐξετάθησαν εἰς ἐπίδειξιν ἀφορῶντες καὶ ἐπιβολῶν εὐπορίαν· ἀλλ' οὐδὲ καθαρὰν τὴν φράσιν ἐτήρησαν φλεγμαίνοντες τὰ πολλὰ καὶ τραχυνόμενοι τῇ λέξει. καὶ τοῦτο δὲ δι' ἐπίδειξιν, ὅμως οὐκ ἐμέμφθησαν [2] τοῖς πολλοῖς διὰ τὸ φιλότιμον τοῦ λόγου καὶ πόριμον, ἴσως δὲ καὶ ἡμεῖς ζηλώσομεν τούτους κατὰ καιρόν.

---

## Cap. V.

### ΠΕΡΙ ΕΚΦΡΑΣΕΩΣ.

Ἔκφρασίς ἐστι λόγος κατὰ λεπτὸν ἐκτιθεὶς τὸ προκεχειρισμένον καὶ εἰς ὀφθαλμοὺς ἄγων ἄντικρυς, καὶ καθ' ἓν ἕκαστον τῶν τοῦ προκειμένου ἀπαγγέλλων, καὶ τὰ μικρὰ καὶ τὰ μείζω διαγράφων. Ἐκφράζονται δὲ πρόσωπα ἤγουν ἄνθρωποι, οἷον ὁ Ἀχιλλεύς· ὅτι τὴν ἡλικίαν εἶχε τοιάνδε, ὅτι τὴν κεφαλὴν τοιάνδε, τὴν κόμην, τὰς ὀφρῦς, τοὺς ὀφθαλμούς, τὴν ῥῖνα, τὸν πώγωνα, τὰς παρειάς, τοιάδε τινά, τὸν τράχηλον, τοὺς ὤμους, τὰς χεῖρας, τὸ στέρνον, τὴν πᾶσαν ὁλομέλειαν τοιάνδε· καὶ χρὴ ἐν ταῖς τοιαύταις τῶν προσώπων ἐκ-

---

2 Cod. ἐμέμφησαν.

φράσεσιν ἀπὸ τῶν ἄνω καὶ ἐκ τῆς κεφαλῆς ἄρχεσθαι καὶ χωρεῖν διὰ τοῦ προσώπου, εἶτα διὰ τῶν ὑποβεβηκότων μέχρι καὶ τῶν ἐσχάτων μελῶν καὶ μερῶν. Ἐκφράζονται πράγματα, οἷον πανήγυρις, πόλεμος καὶ τὰ τοιαῦτα, καὶ χρὴ ἐν τούτοις ἄρχεσθαι ἀπὸ τῶν προηγουμένων καὶ τῶν πρὸ τοῦ πράγματος· οἷον εἰ πόλεμος εἰς ἔκφρασιν πρόκειται, λέγειν τὰ πρὸ αὐτοῦ, οἷον τὴν παρασκευήν, τὸ συγκίνημα, τὴν ὁδοιπορίαν. εἶτα λέγειν τὰ ἐν αὐτῷ τῷ πολέμῳ· τὴν παράταξιν, τὴν ἀντιπαράταξιν, τοὺς ἵππους, τοὺς ἱππέας, τὴν ὁπλενδυσίαν, τὰ στίλβοντα κράνη, τοὺς ἀλυσιδωτοὺς[1] θώρακας, τὰς νεοθηγεῖς σπάθας, τὰ δόρατα, τὴν σύρρηξιν, τὰ πτώματα, τὰς κατατομήσεις, τοὺς ἀκρωτηριασμοὺς τῶν χειρῶν ἢ τῶν ποδῶν, τὰς κατὰ τῶν στέρνων ἢ τῶν σπλάγχνων διαδορατίσεις, τὰς τῶν αἱμάτων πλημμύρας, τοὺς δρασμούς, τὰς ἐπιδιώξεις, τὰς κατασχέσεις καὶ τὰ τοιαῦτα. ἔπειτα λέγειν τὰ μετὰ τὸν πόλεμον· ἤτοι τὰς διαρπαγὰς τῶν σκηνῶν καὶ τοῦ στρατοπέδου, ἢ τὰς ἀναστατώσεις τῶν πολισμάτων, τὰς αἰχμαλωσίας, τὰς λαφυραγωγίας καὶ τὰ τοιαῦτα· ἐκφράζονται καιροὶ, οἷον χειμών, ἔαρ καὶ τὰ τοιαῦτα, καὶ χρὴ ἐν τούτοις ἄρχεσθαι ἀπὸ τῶν προηγουμένων, καὶ διέρχεσθαι διὰ τῶν ἑξῆς πάντων· οἷον ἐπὶ ἔαρος, ὅτι ὁ χειμέριος μὲν ζόφος ἐδιώχθη, τοῦ ἡλίου ἀναβαίνοντος ὑψηλότερον· αἰθριάζουσα δὲ ἡ ἡμέρα παντα-χοῦ, καὶ ὁ οὐρανὸς τοιόσδε, καὶ οἱ ἀστέρες τοιοίδε· ταῦτα γὰρ προλεκτέον, εἶτα περὶ τοῦ ἀέρος, ὅτι τοιόσδε· καὶ μετ' αὐτὸν περὶ τῆς γῆς καὶ τῶν ἐξ αὐτῆς ἀνθέων, δένδρων, λειμώνων, ὅλων τῶν πτηνῶν, ἀλλὰ καὶ τῶν τοιούτων· ἔπειτα ῥητέον περὶ τῆς θαλάσσης καὶ τῶν ἐν αὐτῇ, τῶν ἁλιέων, τῶν ναυσιπλοούντων καὶ τῶν τοιούτων· ἐκφράζονται δὲ τόποι, οἷον λιμὴν ἢ ἀγρός, καὶ

1 Cod. ἁλυσειδωτούς.

χρὴ ἐν τούτοις ἐκ τῶν περιεχόντων ἔξωθεν ἄρχεσθαι, οἷον ἐπὶ τοῦ ἀγροῦ ἐκ τῆς κατὰ τόπον θέσεως, ἐκ τῆς περιγραφῆς αὐτοῦ καὶ τῆς ἐκεῖ τοῦ ἀέρος κράσεως· εἶτα εἰσχωρεῖν εἰς τὰ ἔνδον, εἴτε δένδρα, εἴτε σκηναί εἰσι καὶ οἰκήσεις· ἢ καὶ τὰ τοιαῦτα ἕτερα ἐκφράζονται, ἄλογα ζῶα, οἷον ἵππος, βοῦς, ἀετὸς, πέρδιξ, καὶ χρὴ καὶ ἐπὶ τούτων ἄρχεσθαι ἀπὸ τῆς κεφαλῆς· ὡς ἐπὶ τοῦ ἀνθρώπου εἴπομεν, καὶ προχωρεῖν διὰ τῶν ἑξῆς μέχρι καὶ τῶν τελευταίων· ἐκφράζονται καὶ φυτὰ, οἷον ἄμπελος, ἐλαία, συκῆ, καὶ χρὴ καὶ ἐπὶ τούτων ἄρχεσθαι ἀπὸ τῆς κεφαλῆς ἤγουν τῆς ῥίζης, αὕτη γὰρ οἱονεὶ κεφαλὴ δένδρου, δι' ἧς καὶ τρέφεται καὶ αὔξει· ὅθεν καὶ κατωκάρα λέγονται βεβλῆσθαι τὰ δένδρα· καὶ ἀπὸ τῆς ῥίζης προχωρήσεις διὰ τῶν μεταξὺ μέχρι καὶ εἰς τὴν λεγομένην κορυφήν· λέγων ὅταν [2] ἐλαίαν τυχὸν ἐκφράζῃς, ἐῤῥίζωται εἰς βάθος καὶ παγίως ὡς μὴ ἀνέμῳ τινάσσεσθαι· μετὰ τὴν ῥίζαν ἀναβαίνει φιτρὸς ὄρθιος καὶ ἁδρὸς, οὐκ εὔθραστος· στελέχη διαδέχονται τὸν φιτρὸν ἐξ αὐτοῦ σχιζόμενα καὶ ἀντιδιαιρούμενα· τῶν στελέχων ἐκφύονται κλάδοι πυκνοί· ἐν τοῖς κλάδοις λάσιος ἡ φυλλὰς, χλοώδης τὴν χροιὰν ἡ φυλλὰς, καίτοι γλαυκίζουσα, καὶ ὅτι τὰ φύλλα τοιάδε τῷ μήκει· ὁ καρπὸς τῷ μεγέθει τοιόσδε, τῷ ποσῷ τοσόσδε· ἴσως καὶ εἴποις καὶ τὸ ποιὸν, καὶ ὅτι σκιὰ ὑπὸ τῷ δένδρῳ ἀνθρώπῳ μεσημβρίας ἡδίστη κατάκλισις καὶ τὰ ὅμοια. Χρὴ δὲ τὸν ἐκφράζοντα τηρεῖν ἐν ἅπασι καὶ τὸ πρέπον οὕτω παρὰ τοῖς ῥήτορσι καλούμενον· οἷον ἐὰν λειμῶνα ἐκφράζῃ πρέπουσαν καὶ ἁρμόζουσαν τῷ προτεθειμένῳ τὴν λέξιν ἕξει καὶ τὴν φράσιν· δηλονότι λείαν καὶ ἀνθηρὰν καὶ χαρίεσσαν, καὶ μιμουμένην τὸ κάλλος τῶν φυτῶν, καὶ τὸν ἐπιπνέοντα τούτοις ἁπαλὸν Ζέφυρον, καὶ τὰ περὶ ταῦτα πρᾷον ἀν-

2 Cod. οὕτως.

τικελαρύζον ὕδωρ· ἐὰν πόλεμον ἐκφράζῃ, τραχυτέραν ἐξενέγκῃ τὴν λέξιν καὶ τὴν φράσιν, καὶ μιμουμένην τοὺς ἐκεῖ δούπους, τὴν σμαραγὴν, τὴν ἐν ταῖς φαρέτραις κλαγγὴν τῶν ὀϊστῶν, τοὺς χρεμετισμοὺς τῶν ἵππων, τὰς κραυγὰς τῶν πολεμιστῶν, τοὺς παντοδαποὺς ἐξελιγμοὺς, καὶ ἁπλῶς τὴν πᾶσαν τραχύτητα τῆς συῤῥήξεως· οὕτω καὶ ἐν πᾶσι τοῖς ἄλλοις ὁ ῥήτωρ τὴν πρέπουσαν καὶ προσφυῆ [3] τῷ ὑποκειμένῳ λέξιν καὶ φράσιν τηρῶν εὐδοκιμήσει· τοῦτο γάρ ἐστιν ὅπερ ἄνωθεν εἴπομεν πρέπον.

---

## Cap. VI.

### ΠΕΡΙ ΕΓΚΩΜΙΟΥ ΚΑΙ ΨΟΓΟΥ.

Ἐγκώμιόν ἐστι λόγος ἐκθετικὸς εἴτουν ἀφηγηματικὸς τῶν προσόντων τινὶ καλῶν· ἐγκωμιάζονται δὲ πρόσωπα, ὡς Θουκυδίδης ἢ Δημοσθένης· πράγματα, ὡς δικαιοσύνη ἢ σωφροσύνη· καιροὶ, ὡς ἔαρ ἢ θέρος· τόποι, ὡς λιμένες καὶ κῆποι· ἄλογα, ὡς ἵππος ἢ βοῦς, καὶ φυτὰ ὡς ἄμπελος ἢ ἐλαία· ἐργάζεται δὲ τὸ ἐγκώμιον τοῖσδε τοῖς κεφαλαίοις· προοιμιάσῃ πρῶτον πρὸς τὴν οὖσαν ὑπόθεσιν, οἷον εἰ Δημοσθένην ἐγκωμιάζεις, ἔσται σοι τὸ προοίμιον τοιοῦτον· ἀποδοτέον τοὺς λόγους τῷ ῥήτορι· ὑπ᾽, αὐτοῦ γὰρ κοσμηθέντες δικαίως τοῦτον ἀντικοσμήσουσι καὶ τὰ τοιαῦτα· ἂν φυτὸν ἐπαινεῖς, τυχὸν προοιμιάσῃ προσφυῶς τῇ ὑποθέσει οὕτω· τῷ καλλίστῳ τῶν φυτῶν, τῇ ἀμπέλῳ, τὸ παρ᾽ ἡμῖν κάλλιστον, τοὺς λόγους, ἀποδοτέον· δεινὸν γὰρ, ἡ μὲν νέκταρι σχεδὸν καὶ ἀμβροσίᾳ δεξιοῦται, ἡμεῖς δὲ πρὸς μὲν τὴν τρυφὴν τὸ στόμα πλατὺ διαστέλλωμεν, πρὸς δὲ τοὺς δικαίους ἐπαίνους συγκλείωμεν· ταῦτα τὰ προοίμια, ὡς ὁρᾷς, οἰκεῖα ταῖς ὑπο-

3 Cod. προφυῆ.

θέσεσιν· εἶτα θήσεις τὸ ἄψυχον γένος τοῦ ἐγκωμιαζομένου, ἤγουν τὴν χώραν, ὅτι τυχὸν ἐξ Ἑλλάδος, καὶ ἐπαινέσεις τὴν πατρίδα, ὅτι ἐξ Ἀθηνῶν· μετὰ τοῦτο τὸ ἔμψυχον γένος, προγόνους δηλαδὴ πρῶτον, εἶτα πατέρας καὶ καθεξῆς ἐκθήσεις εἴτι ἀξιόλογον ἔχει ἐπὶ τῇ γεννήσει[1] αὐτοῦ, ἐνύπνια τυχὸν ἢ προῤῥήσεις τινάς, ἢ ἕτερόν τι θαύματος ἄξιον· ἐπὶ τούτοις ἐκδιηγήσῃ τὴν ἀνατροφὴν καὶ τὰ κατ' αὐτὴν ἐπιτηδεύματα, καὶ τὰς ἀσκήσεις, ἢ λογισμῷ τεχνῶν ἢ πολιτικῶν καὶ στρατιωτικῶν, καὶ τὴν ἐν ἀτελεῖ ἡλικίας παιδείαν καὶ σύνεσιν· εἶτα ἐπενέγκῃς τὸ μέγιστον τῶν ἐγκωμίων κεφάλαιον, τὰς πράξεις τοῦ ἐγκωμιαζομένου, ἃς διαιρήσεις εἰς τὰ κατὰ ψυχὴν καὶ κατὰ σῶμα καὶ κατὰ τύχην· κατὰ ψυχὴν μὲν φρόνησις, πραότης, ἀνδρεία καὶ τὰ τοιαῦτα· κατὰ δὲ σῶμα κάλλος, τάχος δρόμου, ῥωμαλαιότης καὶ τὰ τοιαῦτα· κατὰ τύχην δὲ πλοῦτος, ἀξίωμα φίλων καὶ τὰ τοιαῦτα. Ἕκαστα δὲ τῶν ἐξαιρέτων τοῦ ἀνδρὸς συγκρίνεις, εἰ θέλεις, πρὸς τὰ παρόμοια τῶν ἀρχαίων καὶ ἐπισήμων· ἐπὶ πᾶσι δὲ θήσεις ὕστερον τὴν περιεκτικὴν καὶ καθολικὴν σύγκρισιν καὶ ἀντιβάλῃς τὸν ἐγκωμιαζόμενον, Δημοσθένην τυχὸν ὁλικῶς τῷ Θουκυδίδῃ ὡς ὁμοίῳ ῥήτορι, ἢ τὸν Ἕκτορα τῷ Ἀχιλλεῖ, ὁμοίως στρατιώτῃ καὶ στρατηγῷ, ἢ βασιλέα ἡμέτερον τῷ Δαβὶδ, ὡς βασιλεῖ καὶ αὐτῷ, ἢ τῷ Μωσεῖ, ἢ τῷ Ἰησοῦ τῷ Ναυῇ ὡς στρατηγοῖς, καὶ τὸν πατριάρχην τῷ Ἀαρὼν ὡς ἀρχιερεῖ, ἢ καὶ αὐτῷ τῷ Μωσεῖ ὡς δημαγωγῷ καὶ παραστάτῃ θεοῦ. Πρὸς παρομοίους γὰρ ὀφείλεις ποιεῖσθαι τὴν σύγκρισιν καὶ δεικνύναι τὸν ἐγκωμιαζόμενον μείζονα, ὡς ἐπὶ πολὺ κατασκευάζων τοῦτο πιθανῶς καὶ ῥητορικῶς· τελευταῖον πάντων ἐπαγάγῃς ἐπίλογον εὐχῇ μᾶλλον προσήκοντα, λέγων· ζῴης καὶ διαμένοις εἰς μακρὸν τηλικοῦτον καλὸν εἰς κοινὸν ἀν-

1 Cod. γενήσει.

ϑρώποις ὄφελος καὶ τὰ τοιαῦτα· ἴσθι δὲ καὶ τοῦτο, ὅτι οὐ πάντα τὰ ἀναγεγραμμένα τοῦ ἐγκωμίου κεφάλαια πάντοτε τιθέαμεν ἐν τοῖς λόγοις, ἀλλὰ πολλάκις σιωπῶμέν τινα, οἷον ἔθνος ἢ πατρίδα, ἐὰν ὦσι δυσγενῆ· ἢ προγόνους ἢ πατέρας, ἐὰν καὶ αὐτοὶ τῶν ἀσήμων ὦσιν, καίτοι ἕτερον κεφάλαιον παρατρέχομεν, εἰ ἐπαίνων ὕλην μὲν χορηγεῖ· πολλάκις δὲ καὶ ἀξιέπαινον πατρίδα καὶ γονεῖς ἐκόντες παρερχόμεθα καί τινα κεφάλαια ἕτερα· ἐργαζόμεθα δὲ τὸν λόγον ἀπὸ τῶν πράξεων μόνον τοῦ ἐγκωμιαζομένου, καὶ τούτων σπερματικῶν ταύτην ἢ ἐκείνην παραλαμβάνοντες, καὶ τὴν χθὲς ἢ τὴν πέρυσι καὶ ταύτας οὐ κατὰ τάξιν, ἀλλὰ πρωθυστέρους, εἰ τύχοι, καὶ τὰς ἑτέρας παραλιμπάνομεν, καὶ καλεῖται τὸ τοιοῦτον παρὰ τοῖς ῥήτορσι λαλιαὶ, ἦγουν ἐγκωμιαστικὴ προσφώνησις· τῷ τοιούτῳ δὲ εἴδει τοῦ λόγου χρώμεθα ὡς ἐπιτόμῳ, ὅτε καιρὸς κατεπείγει, ἢ ὁ ἐγκωμιαζόμενος βασιλεὺς ὢν τυχὸν καὶ μακροῖς τοῖς λόγοις τὰς ἀκοὰς μὴ προσχολῶν· ἢ καὶ ὅταν αἱ πράξεις τοῦ ἐγκωμιαζομένου μεγάλαι καὶ πολλαὶ οὖσαι ἀρκοῦσιν εἰς ἐγκώμιον, καὶ μηδὲν ἕτερον θέλουσιν ἐπικόσμημα ἀπὸ πατρίδος ἢ προγόνων ἢ τοιούτου τινός· ἡ δὲ γραφὴ τοῦ ἐγκωμίου ὀφείλει καθαρωτέρα εἶναι καὶ ἀνθηροτέρα· πανήγυρις γάρ ἐστι, καὶ μὴ τραχυλεξίαις χρῆσθαι, καὶ ἁδρύνεσθαι ὑπερμέτρως ὡς ἐν κατηγορίᾳ· καὶ σχήματα δὲ οὐχ ἕξει ἐμπερίβολα καὶ συνεστραμμένα, εἰ μὴ σπανίως ἴσως ποτέ· ἐναγώνια γὰρ καὶ ταῦτα καὶ δικανικά, οὐ πανηγυρικὰ καὶ χαρίεντα.

Ἀντίθετον δέ ἐστι τῷ ἐγκωμίῳ ὁ ψόγος, ἐργάζεται δὲ τοῖς αὐτοῖς τῷ ἐγκωμίῳ κεφαλαίοις πρὸς τὸ ἐναντίον· ὡς γὰρ ἐκεῖ ἐπαινεῖς ἀπὸ πατρίδος, ἀπὸ γεννητόρων, ἀπὸ τῶν πράξεων, ἀπὸ τῶν λοιπῶν· ἐνταῦθα ψέγεις[2] ἀπὸ

2 Cod. λέγεις.

τῶν αὐτῶν. καὶ συγκρίνων τὸν ψεγόμενον δεικνύεις μείζονα εἰς κακίαν τοῦ πρὸς ὃν συγκρίνεται, καὶ τὸν ἐπίλογον ὡς ἀρὰν σχηματίζεις· ἀφαντωθείη λέγων τοσοῦτον κακὸν, καὶ μηδὲ ὄνομα αὐτοῦ παραμένοι. ἐνταῦθα δὲ ἐν τῷ ψόγῳ καὶ ἡ τραχυλεξία πολλάκις χρήσιμος, διὰ τὸ ὀργήν τινα ὑποφαίνειν τὸν γράφοντα, κἂν οὐχ ὁποίαν ἐν τοῖς δικανικοῖς.

## Cap. VII.

### ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΚΕΦΑΛΑΙΩΝ ΚΑΙ ΑΝΑΣΚΕΥΗΣ, ΗΓΟΥΝ ΠΕΡΙ ΕΠΙΧΕΙΡΗΜΑΤΩΝ, ΕΡΓΑΣΙΩΝ, ΕΝΘΥΜΗΜΑΤΩΝ ΚΑΙ ΤΟΙΟΥΤΩΝ.[1]

Διδάξομέν σε κατὰ τὸ ἐγχωροῦν καὶ περὶ κατασκευῆς κεφαλαίου· παραλαμβάνομεν[2] δὲ τοῦτο ἐνταῦθα ἀντὶ τῆς προγυμναστικῆς χρείας καὶ γνώμης· ὡς κεφάλαιον γὰρ ἐκεῖναι μελετῶνται, πλὴν τῆς ἐκείνων κατασκευῆς τελειοτέρα ἡ τοῦ ἐνταῦθα κεφαλαίου. Κεφάλαιον δέ ἐστιν ἐν συμβουλῇ τυχὸν πρός τινα[3] καὶ παραινέσει τοῦτο, ὅτι καλὸν ἡ παρθενία· τὸ τοιοῦτον κεφάλαιον λέγεται, κατασκευάζεται δὲ, ὅτι καλὸν ἡ παρθενία δηλαδὴ, ἐξ ἐπιχειρημάτων εὑρισκομένων ἐκ τῶν ἓξ περιστατικῶν, προσώπου, πράγματος, χρόνου, τόπου, τρόπου καὶ αἰτίας, περὶ ὧν ἐδιδάχθης καὶ ἐν τῷ διηγήματι· οἷον λέγων σὺ[4] πρὸς τὸν ἀκούοντα τῆς συμβουλῆς σου, ὅτι καλὸν ἡ παρθενία, ἐπενέγκῃς ἐπιχείρημα. ἐκ τοῦ πράγματος τυχὸν πρῶτον, ὅτι θεῖον τὸ χρῆμα τοῦτο καὶ σεμνὸν,

1 Idem caput sine hoc titulo exstat in Cod. Med. Plut. 58. 1. ubi in Josephi Rhacendytae Synopsin Rhetoricae inseritur post cap. XII περὶ ῥυθμοῦ, loco parum commodo. Descripsi ex Med. qui ad finem partem adjectam habet, quae abest a Paris. 2 Par. παρελαμβάνετε. 3 Par. τινός. 4 Par. σου.

καὶ ἀΰλοις φύσεσι καὶ ἀγγέλοις καθομοιοῦν,. καὶ οὐ τῶν χαμαὶ συρομένων καὶ γεηρῶν. Ἐκ τοῦ προσώπου ἐπιχείρημα, ὅταν ἐὰν ὁ δεχόμενος τὴν συμβουλὴν τῶν τῷ θεῷ καθιερωμένων ἴσως εἴη, ὅτι ἁρμόζει σοι τῷ ἱερῷ τὸ ἱερὸν χρῆμα, τῷ τοῖς ἁγνοῖς πλησιάζοντι τὸ ἁγνὸν, τῷ ἐπαγγελλομένῳ βίον θεοφιλῆ ἡ οὐράνος ἀρετή. Ἀπὸ τοῦ τόπου ἐπιχείρημα, ὅτι ἐν ναῷ θεοῦ ἀναστρέφῃ, καὶ ἐν τῷ πανάγνῳ θυσιαστηρίῳ, ἢ καὶ ἐν πόλει, ἀρχῆθεν ἐκ προγόνων ἐπιμεληθείσῃ σωφροσύνης. Ἀπὸ τοῦ χρόνου, ὅτι κατὰ τὴν νῦν ἡμέραν σπουδαστέα ἡ τοιαύτη ἀρετὴ μᾶλλον τοῖς νοῦν ἔχουσιν, ὅτε διὰ τὰς τῶν πολλῶν ἀσελγείας θεὸς ἐξοργίζεται καὶ ἀπειλεῖται τὰ πάνδεινα, ἂν μή τινας ὅλως εὑρήσει σωφρονοῦντας καὶ τὰ αὐτῷ φίλα μεταδιώκοντας. Ἀπὸ τοῦ τρόπου, οἷον τίνι τρόπῳ καὶ οἰκονομίᾳ κατορθώσεις τὴν ἀρετὴν ταύτην, τὴν παρθενίαν, ἐὰν τοὺς ὀφθαλμοὺς ἀπαγάγῃ τῶν ὡραίων προσώπων, τῶν τῆς πορνείας ὑπεκκαυμάτων, ἐὰν τὴν ἀκοὴν τῶν ἀκολάστων ἀκουσμάτων, ἐὰν τὴν γεῦσιν τῆς τροφῆς τῆς ὑποφλεγούσης τὴν φύσιν, ἐὰν καὶ τὸν νοῦν πρὸ πάντων αὐτῶν τῶν τῆς ἁμαρτίας ἐνθυμήσεων. Ἀπὸ αἰτίας ἐπιχείρημα, οἷον δι' ἣν αἰτίαν μετέρχεσθαι δέον τὴν παρθενίαν; διὰ τὸ μέλλειν γὰρ διὰ ταύτης καὶ ἐκεῖ σώζεσθαι τῆς κολάσεως, καὶ ἐνταῦθα βίον ἀτύρβαστον ζῆν, καὶ ἔξω τῶν τῆς συζυγίας πολυφροντισμάτων, ἢ τῶν τῆς πορνείας μιασμάτων. Εἶτα κατασκευάζεις τὸν λόγον καὶ ἐκ τοῦ ἐναντίου· ἤγουν καὶ ἐκ τῆς ἀκολασίας· ἐναντίον γὰρ αὕτη τῇ παρθενίᾳ· καὶ λέγεις οὕτως· ἐπεὶ καὶ ἡ ἀκολασία κακὸν καὶ ὀλέθριον, καὶ κόλασιν ἡμῖν ἐκεῖ προξενοῦν, πάντως ἡ ἀντικαθισταμένη ταύτῃ παρθενία καλὸν, ἐπεὶ καὶ σωτήριον· αὐξήσεις τὸν λόγον καὶ καθεξῆς καὶ ἀπὸ ἐργασίας, ἤτοι παραβολῆς, ἥτις ἐκλαμβάνεται ἐκ τῶν παρ' ἡμῖν καθ' ἡμέραν γινομένων, οἷον γηπονιῶν ἢ ἁλιευτικῶν, ἢ ἐξ ὀρνέων, ἢ ἀπὸ φυτῶν,

ἢ ὑλῶν σιδήρου, καὶ ἀπὸ τοιούτων. Ποιήσεις γοῦν παραβολὴν ἐν τῷ περὶ παρθενίας λόγῳ, ἀπὸ ὕλης τυχὸν τοιαύτης· ὅτι ὥσπερ ὁ χρυσὸς ἀνεπίδεκτος ὢν ἰοῦ στίλβει πάντοτε, καὶ οὐδὲ μειοῦται ἢ δαπανᾶται, ὁ δὲ σίδηρος τῷ ἰῷ καὶ ἀμαυροῦται καὶ διαβιβρώσκεται, οὕτω καὶ ὁ παρθενεύων μὲν ἀεὶ φαιδρὸς καὶ σῶμα καὶ ψυχὴν ἀδαπάνητος, ὁ δὲ ἀκόλαστος καὶ πόρνος τοὐναντίον ἅπαν, καὶ εὐθὺς ἐπενέγκῃς τὰ λεγόμενα ἐνθυμήματα, ἅτινα καὶ κατὰ σύγκρισίν τινα τὴν πρὸς τὸ παραβληθὲν ἐκφέρονται· οὕτω δηλονότι. καὶ μὴν καὶ ὁ σίδηρος, κἂν ἀμαυρωθῇ κἂν δαπανηθῇ, οὐδὲν πρᾶγμα, φθαρτὴ γὰρ καὶ τῶν κατὰ σῶμα φερομένων ἡ ὕλη· ψυχὴν δὲ ἀνθρώπου, χρῆμα θεῖον καὶ ἀθάνατον, ἀμαυρωθῆναι τῇ ἁμαρτίᾳ παγχάλεπον· καὶ χρυσὸς μὲν στίλβων καὶ ἀνίωτος περιδερῴοις ἢ στεφανίσκοις ἀνθρωπίνοις ἐφήρμοσεν, ἄνθρωπος δὲ στίλβων τῇ παρθενίᾳ τὴν ἄνω καλλωπίσει ἐκκλησίαν τῶν πρωτοτόκων. Αὐξήσεις τὸ κεφάλαιον ἐφεξῆς καὶ ἐξ ἑτέρας ἐργασίας τῆς ἀπὸ παραδείγματος, ἥπερ λαμβάνεται ἀπὸ τῶν ἀνέκαθεν πραχθέντων ἀνθρώποις, καὶ οὐκ ἀπὸ τῶν σήμερον, ὡς ἡ παραβολή. οἷον ὅρα καὶ τὸν Ἰωσὴφ ἀκολασίαν φυγόντα, καὶ τοὺς παρανόμους ἔρωτας τῆς δεσποίνης ἐγκρατευσάμενον, καὶ μεγάλων ἐκ θεοῦ τυχόντα τῶν ἀμοιβῶν, καὶ βασιλείας ἐνταῦθά τε καὶ ἐκεῖ. Ἀκολούθως οὖν εὐθὺς τῷ παραδείγματι ἐπιφέρεις πάλιν τὰ ἐνθυμήματα κατὰ σύγκρισίν τινα τὴν πρὸς τὸ παράδειγμα τεθέντα, οὕτω δηλαδή. Εἰ τοίνυν Ἰωσὴφ οὔπω νόμον ὁρῶν τεθειμένον περὶ σωφροσύνης ἐσωφρόνησε, σὺ ὁ μετὰ νόμον, ὁ μετὰ τὰς κυριακὰς ἐντολὰς οὐ σωφρονήσεις; ἐὰν ἐκεῖνος μὴ καθιερώμενος τῷ θεῷ ὁσίως διεβίω, σὺ ὁ καθοσιώμενος ἀλογήσεις; ἂν ἐκεῖνος καὶ ἑλκόμενος εἰς τὴν ἡδονὴν ἀπεπήδησε, σὺ οὐκ ἂν αἰδεσθείης, ἑκὼν σεαυτὸν ἐπιῤῥίπτων τῷ δεινῷ; Τὰ μετὰ τὸ πρῶτον δὲ ἐνθύμημα

ἐπαγόμενα, ὡς ὁρᾷς ἐνταῦθα, ἐπενθυμήματα λέγονται. Ἔχεις ἐπιφέρειν καὶ μαρτυρίας παλαιῶν οὕτω καλουμένας, ἤγουν ῥήσεις παλαιῶν καὶ γνωμικὰ τῶν καθ' ἡμᾶς, ἢ καὶ τῶν ἔξωθεν, ὑπερηγορούντων τῆς παρθενίας, ἤ τινος ἑτέρου κεφαλαίου προκεχειρισμένου σοι· τῇ τοιαύτῃ τοῦ λόγου ἀγωγῇ χρᾶσθαι δύνασαι καὶ ἐν πάσῃ ἑτέρᾳ λογογραφίᾳ πρὸς τὸ καλοῦν,[5] καὶ ἐγκωμίῳ, οἷον ὁ βασιλεὺς τυχὸν ἐγκωμιαζόμενος παρθενεύει· ἐλθὼν εἰς τὸν τόπον τοῦτον τὸν περὶ παρθενίας εἴποις ἐκ τοῦ προσώπου ἐπιχείρημα· ὦ θαῦμα, βασιλεὺς σωφρονεῖ καὶ παρθενεύει, δεσπότης πάντων, ὑπὸ χεῖρα πᾶσαν ἔχων ἀφορμὴν ἡδονῆς, καὶ ταῖς ὕλαις τῆς τροφῆς περιῤῥεόμενος πάντοθεν, ὅμως ἐγκρατεύεται. Ἀπὸ τοῦ τόπου· ἐν τοῖς βασιλείοις διάγων ἢ ἐν πόλει ἢ ἐν χώρᾳ, ὅπου γυναικωνῖτιδες ὅλαι καὶ κάλλη ἀμήχανα καὶ πολλὰ τῆς ἡδονῆς ὑπεκκαύματα. Ἀπὸ αἰτίας, ἵνα θεῷ ἐξομοιῶτο,[6] ὥσπερ κατὰ τὸ ἀρχικὸν, οὕτω καὶ κατ' αὐτὸ τὸ ἀπαθὲς καὶ φιλάνθρωπον. ὁμοίως δὲ καὶ ἐκ τῶν λοιπῶν περιστατικῶν ἐπιχειρήσεις· εἶτα ἐπενέγκῃς παραβολὴν οἰκείαν τῷ πράγματι καὶ τὰ ὑπ' αὐτὴν ἐνθυμήματα· εἶτα παράδειγμα καὶ τὰ μετ' αὐτὸ ἐνθυμήματα αὐτὸν συγκρίνων τὸν βασιλέα τῷ παραδειγματιζομένῳ σοι σώφρονι, καὶ δεικνὺς ὑπερβάλλοντα, εἰ ἐγχωρεῖ.

Μαθὲ[7] δὲ καὶ τοῦτο, ὅτι οὐκ ἔχουσι ταῦτα τάξιν ὡρισμένην, οὐδὲ πρῶτον μὲν τὸ ἐκ τοῦ προσώπου τυχὸν ἐπιχείρημα, δεύτερον δὲ τὸ ἐκ τοῦ τόπου, ἤ τινος ἑτέρου, ἀλλ' ὡς διακρίνει ὁ γράφων, οὕτω καὶ τίθεται. Ἀλλ' οὐδὲ ἅπαντα τίθενται ἐξ ἀνάγκης, ἀλλά ποτε καὶ τινα,

---

5 Similiter dicit infra p. 605. v. 8. ὅπου δὲ καλεῖ. 6 Par. ἐξομοιοῦται, ὡς κατά γε τὸ ἀρχ. 7 Par. Ἔμαθες μὲν οὖν μετὰ τῶν ἄλλων τὰ ἐπιχειρήματα, τίνα τε καὶ ὅπως γράφονται· μάθε δὴ καὶ τοῦτο.

ὅσα δηλαδὴ εὑρίσκονται, καὶ ὅσα δοκιμάζει ὁ γράφων. Ὀφείλεις μὲν οὖν ὡς ἐπὶ τὸ πολὺ ἀπὸ τῶν ἀσθενεστέρων ἐπιχειρημάτων ἐπὶ τὰ ἰσχυρότερα προχωρεῖν, ὡς ἂν ἀκμάζοι [8] ὁ λόγος, τῶν δέ γε μετὰ τὰ ἐπιχειρήματα, ἤγουν τοῦ ἐναντίου τῆς παραβολῆς καὶ τῶν λοιπῶν τάξις ἔστω σοι αὕτη, ἣν καὶ ὑπετυπώσαμεν· δύνασαι δὲ καὶ μιᾷ χρῆσθαι παραβολῇ καὶ πλείοσι, καὶ ἑνὶ ἐνθυμήματι [9] καὶ πλείοσιν, ὅπου δὲ καλεῖ, καὶ μιᾷ μαρτυρίᾳ παλαιῶν καὶ πλείοσιν, ἀλλ' οὐδὲ πᾶσι τοῖς τοιούτοις ἀπαραιτήτως εἰς τὴν τοῦ κεφαλαίου χρήσῃ κατασκευήν· ἔστι δὲ ὅτε καὶ τούτων τι παραλείψεις, ὡς ἄρα διακρινεῖς· ὅμως τὸ γινώσκειν γε πᾶσαν ὕλην καὶ εὐπορεῖν παντα-χόθεν ἀναγκαῖον νενομίκαμεν· ἡ ἀγωγὴ δὲ αὕτη τοῦ λόγου, ἡ ἐπὶ τῇ τοῦ κεφαλαίου κατασκευῇ [10] ἁρμόζειν φανεῖσα καὶ ἐπὶ τῷ ἐπαίνῳ, ἁρμόσει αὕτη καὶ ἐπὶ κεφα-λαίου ἀνασκευῇ, καὶ ἐπὶ ψόγῳ· ἀπὸ τῶν αὐτῶν γὰρ περι-στατικῶν ἐπιχειρήσεις, ἀνατρέπων [11] ἢ αὔξων ἐν τῷ ψέ-γειν τὸ κακὸν, καὶ ἀπὸ τῶν λοιπῶν τόπων τῶν ἐκτε-θέντων σοι. [12]

Ἔτι μαθὲ καὶ ταῦτα· παντὶ διηγήματι ἐνυπάρχουσι τὰ λεγόμενα ἐξ περιστατικά, τὸ πρᾶξαν δηλαδὴ πρόσω-πον, τὸ πραχθὲν πρᾶγμα, χρόνος καθ' ὃν, τόπος ἐν ᾧ, τρόπος ὅπως, αἰτία δι' ἣν, οἷον ἐν τῷ τοῦ Αἴαντος διη-γήματι πρόσωπον τὸ πρᾶξαν ὁ Αἴας, πραχθὲν πρᾶγμα κείσθω τέως ὁ φόνος τῶν ἀλόγων, χρόνος ἡ νύξ, τόπος ἡ ἔπαυλις, ἢ ὁ ναύσταθμος, ἔνθα τὸ Ἑλληνικὸν στρα-τόπεδον· τρόπος ἡ ξιφηφορία. λέγεται δὲ καὶ ὄργανον,

---

8 Par. ἀκμάζῃ. 9 Par. παραδείγματι. 10 Par. ἐπὶ τῇ κατασκ. τοῦ κεφαλαίου ἁρμόδιος καὶ ἐπὶ ἀνασκευῇ κεφαλαίου καὶ ἐπὶ ψόγῳ. 11 Par. ἀνατρέπων ἢ ψέγων καὶ αὔξων. 12 Finitur h. l. fragmentum codicis Par. qui ea, quae sequuntur, in praecedentibus commentationi suae inseruit.

τὸ ξίφος, αἰτία, ἡ ἄμυνα τῶν ἀδικησάντων· τοῖς τοιούτοις περιστατικοῖς παρέπονται ὕλαι, οἷον τῷ Αἴαντι τὸ μεγαλόσωμον, τὸ ἀνδρεῖον, τὸ σακεσφόρον, τῇ νυκτὶ ἡ σελήνη, οἱ ἀστέρες, τῷ τόπῳ τῆς ἐπαύλεως τὸ στενὸν, τὸ συγκεκλεισμένον, καὶ τοῖς ἄλλοις τὰ ἑοικότα. Ἐκ δὲ τῶν τοιούτων περιστατικῶν καὶ τῶν παρ' αὐτοῖς ὑλῶν χορηγοῦνται τοῖς γράφουσι τὰ οὕτω ταχέως καλούμενα παρὰ τῶν πολλῶν ἐνθυμήματα, καὶ πρόσχες τοῖς λεγομένοις καὶ μίμησαι· μέγας ὁ Αἴας καὶ ἀπέκτεινε πρόβατα καὶ βόας, τὴν λείαν τῶν Ἑλλήνων. Τὰ ἐνθυμήματα οὕτως· ὁ ἡρωϊκὸς, ὁ πελώριος, κατὰ τῶν ταλαιπώρων κτηνῶν καὶ τῶν καματηρῶν βοῶν, λέων ὡς πρὸς μύρμηκας, ὡς πρὸς κώνωπας, καὶ εἴτις που φύσις χθαμαλωτέρα· ξιφηφόρος κατὰ τῶν ἀόπλων ἐκ φύσεως, κατὰ τῶν ἀπαλάμνων ὁ τὴν χεῖρα βριθὺς μάχαιραν ὀξύνει· δυσγενῶς κατὰ τῶν τετραπόδων ὡς μάγειρος· καὶ τὸ δήπου λεχθὲν, εἷς οὗτος μυριάδας προβάτων οὐ δέδοικεν, δευτέραν ἐληΐσατο ταύτην λείαν πανώλεθρον· ὢ καινῆς μάχης κατὰ τῶν βοσκημάτων ἀνδρὸς καὶ τούτου σακεσφόρου καὶ ἥρωος, καὶ ἐπιβουλὴ καὶ νυκτομαχία, ὡς κατ' ἐχθρῶν γενικῶν· καὶ πάλιν ὅτι τὰ κτήνη φονεύων ἐνόμιζε τοὺς βασιλεῖς κτείνειν καὶ τὸν Ὀδυσσέα, καί τινα τυχὼν ἀγελάρχην κριὸν εἰς τὸν κρατοῦντα παρεφαντάζετο· τῆς μανίας, τοῦ γέλωτος, καὶ τὸ κέρας εἰς κόρυθα καὶ λόφον τὴν ἵππουριν, καὶ τὸν τραγικὸν [13] πώγωνα, καὶ ὡς αὐτὸν διεκέντει, ὑπὸ προβάτῳ τὸν φονέα διέφυγεν Ἰθακήσιος, ὡς ὕστερον ἐν τῷ σπηλαίῳ τὸν Κύκλωπα, ὅσα δὲ καὶ ὑπ' ἀρνακίδι κλαπεὶς λύκος οὗτος σπαράκτης [14] τοὺς ποιμένας παρέδραμε, καὶ πάλιν ὅτι ἐν ἐπαύλει ὁ ἥρως καὶ κατασφάττει τὰ τετράποδα, ἐστε-

13 Med. τὴν τραγικήν. scr. τὸν τραγικόν. 14 In dubium vocat hanc vocem Schneiderus in lex.

νοχώρει[15] μάνδρα τὸν μέγαν, τὸν γιγαντόσωμον, ὃν οὐκ ἐχώρει πεδία τὰ Τρωϊκὰ κατὰ τῶν ἐχθρῶν ἀπανταχοῦ διαλλόμενον· ὁ προβατεὼν εἶχε τὸν ὁπλίτην, οὐ τὸ στρατόπεδον, τὰ μὴ φόνον ἐργαζόμενα τὸν ἀνδροφόνον ἐχθροῖς· καινὸς βοηλάτης ὁ ἱππηλάτης, καινὸς προβατοκόμος ἀνθρωποκόμος καὶ στρατηγὸς, καὶ ἡ καλαῦροψ[16] ξένη μετὰ χεῖρας τούτῳ, ὅτι καὶ σιδηρᾶ καὶ τῶν ζώων πατάκτρια, καὶ λωβητὴς λύκος ὁ ἄνθρωπος, εἰς εὐήθειαν τῶν κτεινομένων ἐξεπεπτώκει, καὶ ἀρνοκτασία τούτῳ παίζεται ὡς ἀνδροκτασία· Ἄρεϊ θύματα ταῦτα ἢ μανιάσι καὶ Ἐριννῦσι καὶ βακχευτικοῖς τισι δαίμοσι· πάλιν ὅτι νὺξ καὶ σελήνη, καὶ ἡ Ἄρτεμις ἐφ' ὑψηλοῦ θεατὴς τῆς ὀργῆς Ἀθηνᾶς, καὶ τῆς δραματουργίας τῆς ἐν πάθει τραγικῷ κωμικῆς, καὶ τοῦ παντὸς καταγέλωτος, καὶ ἀπήγγειλε τῷ γεννήτορι τὴν καινοτομίαν τῆς ἀδελφῆς, καὶ μυκτὴρ ἐκ θεῶν κατὰ τοῦ ὑψαύχενος καὶ περιφρονητοῦ τοῦ αὐτῶν ἀξιώματος. Πάλιν ἐνθύμημα ἀπὸ τῆς μανίας καὶ τοῦ παρεπομένου προσώπου τοῦ Ὀδυσσέως· κατὰ παράδειγμα. Μανία ποτὲ καὶ τῶν ἐξ Ἰθάκης ἐν κτήνεσιν, ἀλλὰ σκηνικὴ διεπλάττετο, καὶ βοῦς καὶ ἵππος ἐξεύγνυντο, τὰ ἀσύζευκτα, καὶ ἀροτὴρ ὁ σειραφόρος παρελαμβάνετο. Αἴαντι μανία κατὰ τῶν τετραπόδων, ἀλλ' ἐναργὴς, καὶ τὸ ἄλογον ὡς ἔλλογον παρεβλέπετο. Τοσαῦτά σοι πρὸς ὑπόδειγμα, πλὴν ῥητορικά· ἂν δὲ καὶ δύνασαι καὶ βούλει καὶ φιλοσοφήσεις ἐν τοῖς τοιούτοις, καὶ φυσικεύσῃ, καὶ ὅπως ἐρῶ· οἶσθα τὴν ὑπόθεσιν, ὡς ἐπὶ τῇ ἀδικίᾳ τῶν Ἀτρειδῶν θυμοῦται ὁ Αἴας, καὶ ἐκ τοῦ θυμοῦ μαίνεται· ἐρεῖς γοῦν ἐμφιλοσόφως· ἀδικοῦσιν οἱ βασιλεῖς τὸν γενναῖον, καὶ πατοῦσι θέμιν τὴν βασίλειον ἀρετὴν, καὶ πρὸς ἑταίρους καλὸν, πρὸς ὑπηκόους ἐξάρχοντα· καὶ τὰ τῆς δικαιοσύνης ζυγὰ

15 Med. ἐστενοχώρου. 16 Med. καλάβροψ.

παραπρυτανεύουσι, καὶ τὴν ἰσονομίαν καὶ τὸ διανεμητικὸν τοῦ ἐπιπρεποῦς, καὶ οὐκ ἐν ἰσότητι τηροῦσι τὰ τάλαντα τοῦ δωρήματος τοῦ λαβόντος ὅπλα τὰ ἀνδρικὰ μὴ ἐπικληροῦντες τῷ ἀνδρικῷ, ἀλλ' ἀνίσῳ τῷ κούφῳ μέρει τῆς ἀνδρίας τοῦ Ὀδυσσέως, τὴν ὀγκηρὰν πλάστιγγα τοῦ δωρήματος προσεπιῤῥέποντες· ἐντεῦθεν τῷ ἀδικουμένῳ θυμὸς, καὶ ζέσις αἵματος τοῦ περικαρδίου, καὶ τοῦ ὑποστερνίου λέβητος καχλασμὸς, καὶ εἰς ἀντιλύπησιν τῶν παροξυνόντων ἐκκίνησις, καὶ ἐκ τῆς τοῦ αἵματος ἀναζέσεως λαβροτέρα ἐκχόλωσις καὶ ἀναδρομὴ πρὸς τὴν κεφαλήν· λεπτότερον γὰρ τὸ θερμότερον, τὸ λεπτότερον δὲ κουφότερον, τὸ δὲ κουφότερον ῥᾷον ἀνέδραμε, καὶ τῶν ἐγκεφάλου κοιλιῶν πλήρωσις καὶ δακνηρὸν τὸ χολῶδες, καὶ κεντεῖ τὸν ἐγκέφαλον, ὡς εὐπαθῆ, καὶ τὰς παρ' ἑκάτερον μήνιγγας, καὶ τὸ λογιστικὸν τῷ Τελαμωνίῳ παρατιτρώσκεται, καὶ παραθεωρεῖ τοὺς ἄρνας ὡς ἄνδρας, καὶ τούτοις ἐπιπηδᾷ λυσσωδέστερον, παραγούσης μάλιστα τὸν νοῦν καὶ τῆς θεᾶς Ἀθηνᾶς· ἔχοι τις καὶ ἐν τῷ περὶ τῆς θεᾶς καθεξῆς φιλοσοφεῖν, ὅμως ἡμεῖς παρεῶμεν, ἀρκοῦντα πρὸς ὑπόδειγμα τὰ λεχθέντα νομίζοντες· τυχὸν τοῦ δέοντος καὶ πλατύτερον τὸν τύπον διὰ τοῦτον τοῦ διηγήματος ἔχεις μεθέλκειν. καὶ εἰς ἐγκώμια καὶ ψόγους καὶ τοιαῦτα, ἐν οἷς καὶ τὰ ἐξ [17] τῶν περιστατικῶν ἐπιχειρήματα χρήσιμα, καὶ ἀπὸ τῶν πιεραβολῶν καὶ τῶν παραδειγμάτων καὶ τῶν ὁμοίων ἐργασίας καὶ αὐξήσεις, καὶ τὰ ἐξῆς ἐνθυμήματα, περὶ ὧν ὡς τελειοτέρως [18] προσβαίνοντά σε τοῖς ῥητορικοῖς ἐκδιδάξομεν· νῦν δὲ ἄκαιρον λέγειν περὶ αὐτῶν, καὶ τοσαῦτα μέν σοι περὶ ἐννοίας τε καὶ ἐνθυμημάτων, ὡς ἐν εἰσαγωγῇ. τὸ [19] δὲ περὶ

17 Par. τὰ ἐκ τῶν ἓξ περιστ. τελεωτέραν προβ. σε τῆς ῥητορικῆς.

18 Cod. τελιωτέρως. Par.

19 In Par. sequitur:

περὶ λέξεως καὶ ἀττικισμοῦ ἐροῦμεν ὄπισθεν· σημείωσαι δὲ καὶ τοῦτο, ὅτι ἐπὰν ἐγκωμιάζῃς τινὰ, καὶ τὰ κατορθωθέντα τούτῳ κατὰ μέρος διέρχῃ, χρὴ ποιεῖσθαί σε καθ' ἕκαστον αὐτῶν σύγκρισιν πρὸς τὰ ὅμοια τὰ παρὰ τῶν ἀρχαίων κατορθώματα, καὶ ἐπὶ τέλει πάλιν τοῦ ὅλου λόγου τὴν καθολικὴν ἐπιφέρειν σύγκρισιν, δεῖ δέ σε γινώσκειν καὶ τοῦτο, ὡς ἐν τῷ πανηγυρικῷ ἅμα τίθενται οἱ ἀγῶνες τῇ διηγήσει, καὶ οὐ χωρὶς, ὡς ἐν τῷ δικανικῷ καὶ τῷ συμβουλευτικῷ.

---

Φέρε δὴ καὶ περὶ λέξεως εἴπωμεν, ὡς ἀναγκαιοτάτης καὶ αὐτῆς οὔσης.

# ΑΝΩΝΥΜΟΥ
## ΕΠΙΤΟΜΗ ΡΗΤΟΡΙΚΗΣ.[1]

### ΠΕΡΙ ΣΤΑΣΕΩΝ ΚΑΙ ΕΥΡΕΣΕΩΣ ΒΙΒΛΙΟΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ ΠΡΩΤΟΝ.

Τῇ ῥητορικῇ πρῶτος ἐν Σικελίᾳ ὁ Συρακούσιος Κόραξ ἐχρήσατο, προοίμιά τε τοῦ λέγειν ἐφευρών, καὶ ἀγῶνας καὶ ἐπιλόγους· ἐκεῖθεν δὲ ὕστερον διὰ Γοργίου καὶ εἰς Ἀθήνας ἀφίκετο.

Πέντε[2] ἐγένοντο ῥητορικαὶ, μία μὲν, ἡ πρώτη καὶ κυριωτάτη, ἡ ἀντίστροφος τῇ φιλοσοφίᾳ, ᾗ ἐχρήσατο Πυθαγόρας καὶ Πλάτων· πειθοῖ γάρ τινι καὶ οὗτοι κεχρημένοι τοὺς λόγους ἐποιοῦντο τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων· δευτέρα ἡ ἀντίστροφος τῇ πολιτικῇ, ἧς ἡγήσατο Μιλτιάδης καὶ Κίμων καὶ Θεμιστοκλῆς· τρίτη ἡ ἀντίστροφος τῇ διαλεκτικῇ, ἧς ἡγήσατο Δημοσθένης καὶ Λυκοῦργος, ἣν καὶ ἡμεῖς σὺν θεῷ μετερχόμεθα· τετάρτη, ἡ ἀντίστροφος τῇ συκοφαντικῇ, ἧς ἡγήσατο Ἀριστογείτων καὶ Ἡγήμων· πέμπτη ἡ κολακευτικὴ, ἧς ἡγήσατο Δημάδης καὶ Ἀριστόβουλος· διαφέρει δὲ ῥητορικὴ διαλεκτικῆς, ὅτι ἡ μὲν κατὰ πεῦσιν καὶ ἀπόκρισιν ποιεῖται τὴν ζήτησιν, ἡ ῥητορικὴ δὲ διεξοδικῶς περὶ τῶν πολιτικῶν πραγμάτων.

---

1 Ex hac anonymi Epitome, quae codice Veneto 444. Fol. 25 — 91. continetur, capita quaedam contuli cum Josephi Rhacendytae libro: hoc loco eius initium et finem subiungo.

2 Cfr. Tom. V. p. 214. VI. p. 24.

### ΟΡΟΣ ΡΗΤΟΡΙΚΗΣ.

Ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. ἢ κατὰ τὸν Διονύσιον, ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν· ἢ κατὰ τὸν Ἀριστοτέλην, ῥητορική ἐστι δύναμις τεχνικὴ τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου, ὃς ἡμάρτηται κατὰ τὸ ἐλλεῖπον, μὴ ἔχον προστεθειμένον τὸ πολιτικοῦ· συμπεριλαμβάνει γὰρ ἐντεῦθεν καὶ τὴν διαλεκτικήν, ἢ κατὰ τὸν Κόρακα, ῥητορική ἐστι πειθοῦς δημιουργός.

### ΠΟΙΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ ΕΡΓΑ.

Ἔργα τῆς ῥητορικῆς προοιμιάσασθαι πρὸς εὔνοιαν, διηγήσασθαι πρὸς πίστιν, ἀγωνίσασθαι πρὸς ἀπόδειξιν, ἀνακεφαλαιώσασθαι πρὸς ἀνάμνησιν· τέλος δὲ αὐτῆς οὐ τὸ πεῖσαι, ἀλλὰ τὸ πιθαναῖς χρήσασθαι μεθόδοις, ὥσπερ καὶ ἰατρικῆς οὐ τὸ ὑγιάσαι, ἀλλὰ τὸ ὑγιαστικοῖς χρήσασθαι φαρμάκοις, καὶ φιλοσοφίας, οὐ τὸ πάντας ποιῆσαι καλοὺς κἀγαθούς, ἀλλὰ τὸ καλὰ κἀγαθὰ συμβουλεῦσαι. Sequuntur tituli: περὶ τῶν εἰδῶν τῆς ῥητορικῆς. περὶ τῶν ἀσυστάτων ζητημάτων· περὶ τῶν ἐγγὺς ἀσυστάτων ζητημάτων· περὶ τῶν συνεστώτων ζητημάτων· περὶ διαιρέσεως τῶν στάσεων, καὶ ὅπως ἐντεῦθεν εὑρίσκονται. Στοχασμός· ὅρος· πραγματική. etc. etc.

Caput ultimum περὶ ἐπιλόγων.

Fol. 54. b. Liber secundus. περὶ ἰδεῶν.

Incipit: ὥσπερ τῆς ῥητορικῆς τρία εἰσὶν εἴδη, ὡς ἔφαμεν, τὸ δικανικόν, τὸ συμβουλευτικὸν καὶ τὸ πανηγυρικόν, οὕτως αὖ πάλιν καὶ τούτων ἰδέαι εἰσὶν ἑπτὰ, αἵτινές εἰσι· σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, ἀλήθεια, δεινότης. etc.

Caput ultimum: Περὶ τοῦ πῶς δεῖ ἀναγινώσκειν ῥητο-

ρικὰς βίβλους. quod est c. XVI. in Jos. Rhacendytae συνόψει ῥητορικῆς.

Fol. 77. b. Lib. III. *Περὶ μεθόδου δεινότητος.*

Incipit: *Τουτὶ τὸ βιβλίον δοκεῖ μὲν ἔλλειμμα εἶναι τῆς ῥηθείσης περὶ δεινότητος ἰδέας· ἐκεῖ γὰρ περὶ τῆς μεθόδου ταῦτα ἀκριβῶς οὐκ εἴρηται· ἔστι δὲ μάλιστα μέθοδος δεινότητος παντὸς ἀξιωματικοῦ πολιτικοῦ λόγου. διδάσκει γὰρ περὶ τοῦ πῶς ἂν τεχνικῶς μεθοδεύσαιμεν ἐν λόγῳ ἕκαστον ὧν χρήζομεν, εἴτε τῶν σχημάτων, εἴτε τῶν κατ' ἄλλο τι χρησίμων εἰς ῥητορείαν, ἢ τίσιν ἂν λέξεσι καὶ λόγου σχήμασι δεόντως καὶ κατὰ καιρὸν χρησάμενοι δεινὸν, ἤτοι φρόνιμον καὶ δεξιὸν καὶ κατὰ πάντ' ἐπιτήδειον τὸν λόγον ἐργασαίμεθα. εἰσὶ δὲ ταῦτα.*

*Δεινὸν ποιοῦσι τὸν λόγον αἱ πολυσήμαντοι λέξεις, ἐὰν ἑκάστη τῶν σημασιῶν αὐτῶν εἰς δέον ληφθείη καὶ κατὰ καιρόν. κ. τ. λ.*

Caput ultimum *περὶ ῥυθμοῦ* concluditur his verbis:

*Ἰστέον καὶ τοῦτο, ὅτι ὁ μὲν μέγας Γρηγόριος ὁ Θεολόγος ἐννοίαις χρῆται μικταῖς ἀπὸ φιλοσόφων καὶ ῥητόρων, λέξεσι καθαραῖς καὶ σχήμασιν ἐκ πάντων μεμιγμένοις, καὶ τοῖς λοιποῖς ὁμοίως τοῦ λόγου μέρεσιν· ὡσαύτως καὶ ὁ μέγας Βασίλειος· ὁ δὲ Νύσσης Γρηγόριος τοῖς πᾶσι χρῆται μικτοῖς, καὶ ἐννοίαις καὶ λέξεσιν· ὁ δὲ Χρυσόστομος ἐννοίαις μὲν χρῆται ῥητορικαῖς, καὶ μάλιστα ἐν τοῖς ἠθικοῖς· λέξεσι δὲ καθαραῖς, καὶ σχήμασιν ἁπλοῖς ἐπὶ τὸ πλεῖστον, καὶ τοῖς λοιποῖς· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Μεταφραστής.* [3]

---

3 Cod. *μεταφράσιης.* scr. *μεταφραστής.* Schaef. ad Greg. Cor. p. 58. — Reieci ad hunc locum notitiam codicis Vaticani 106. bombyc. forma quadrata, quo continentur

Fol. 1 — 8. Proleg. Doxopatri in Aphthon. Progymn.

Fol. 8. b. *στίχοι ἰαμβικοὶ εἰς τὰς ἡλικίας τοῦ ἀνθρώπου.*

Fol. 9 — 68. Aphthonii progymn. c. scholiis.

Fol. 69 — 256. Hermogenis Rhetorica. Ad hunc usque locum codex elegante seculi 13. aut 14. manu exaratus est: sed a

Fol. 258. — 361. *Εἰς τοῦ Ἑρμογένους τέχνην ῥητορικὴν σχόλια* manu sera lectuque difficillima scripta et insuper male conservata sunt. Scholia incipiunt:

*Σκοπὸς τῷ Ἑρμογένει περὶ διαιρέσεως τῶν πολιτικῶν ζητημάτων τῆς εἰς τὰ κεφάλαια κατὰ τοὺς καιριωτέρους τῶν τοῦ κατηγόρου καὶ τῶν φευγόντων λόγους διαλαβεῖν, καὶ ὅλως διδάξαι, ποίοις μὲν κατηγοροῦντες, ποίοις δὲ ἀπολογούμενοι κεφαλαίοις χρησόμεθα. Ἐπεὶ δὲ τοῦτο τὴν ἀρχὴν γενέσθαι ἀδύνατον, ἀπείρων ὄντων τῷ πλήθει τῶν πολιτικῶν ζητημάτων, ἀνάγει πρῶτον πᾶν ζήτημα συνεστηκὸς εἰς ιγ΄ τινὰς ἀρχάς, ὡς καὶ ὁ γραμματικὸς τὰς Ἑλληνικὰς λέξεις, ἀπείρους οὔσας, εἰς ἡ μέρη τοῦ λόγου ἀνήγαγε, καὶ ὁ φιλόσοφος τὰς σημαντικὰς φωνὰς εἰς ε, εἶθ' οὕτως τὰ κοινὰ πᾶσιν τοῖς ὑπὸ τήνδε τὴν ἀρχὴν ἀναγομένοις ζητήμασιν ἁρμόττοντα κεφάλαια δείκνυσι, λέγων, ὅτι, ἐπειδὴ δὲ ὥσπερ εἰσί τινες λέξεις ἀσήμαντοι, καὶ εἰς οὐδεμίαν τῶν πέντε φωνῶν ἀνάγονται, ὡς ἥ σκινδαψὸς καὶ ἡ βλότυρος, οὕτως εἰσὶ καί τινα τῶν προβλημάτων ἀσύστατα καὶ μὴ διαιρούμενα, μηδὲ εἴς τινα τῶν διαιρέσεων ἀναγόμενα, διδάσκει καὶ ταῦτα, ἵν' εἰδότες μὴ ἐπιχειρῶμεν τῇ τούτου διαιρέσει. Πρὸ δὲ τούτου προσώπων πρὸς πρόσωπα, καὶ πράγμάτων πρὸς πράγματα διαφορὰς παραδίδωσι συμβαλλομένας εἰς τὴν τῶν συνεστώτων διαίρεσιν, καὶ ἁπλῶς ὡς ὁ Ἀριστοτέλης ἐν τῇ λογικῇ πραγματείᾳ ἐν πρώτοις τὰς ἁπλᾶς διδάσκει φωνὰς, εἶτα τὰς τούτων συνήθεις εἰς προτάσεως γένεσιν, καὶ τελευταῖον τοὺς ἐκ προσώπων συντεθειμένους συλλογισμούς, καὶ τὰς τούτων εὐπορίας, οἵτω καὶ οὗτος ἐνταῦθα ἐν πρώταις μὲν τὰ ἁπλούστατα καὶ τὰ ὥσπερεὶ στοιχεῖα τῶν ζητημάτων παραδίδωσι, τά τε πρόσωπα καὶ τὰ πράγματα, εἶτα τὰ ἐκ τούτων συντεθειμένα ζητήματα, εἶτα τὴν εὐπορίαν τῶν ἐν τοῖς ζητήμασι κεφαλαίων. Εἰ δὲ καὶ περὶ πολλῶν διαλαμβάνει, ἀλλ' οὐχ ὡς πάντων, σκοπὸν ἔχων περὶ πάντων διαλαβεῖν· παντὸς γὰρ βιβλίου εἷς σκοπός· ἀλλὰ σκοπὸν ἔχων περὶ μόνης τῆς τῶν πολιτικῶν ζητημάτων διαιρέσεως εἰς τὰ κεφάλαια εἰ-*

πεῖν τὰ ἄλλα ὡς συμβαλλόμενα τῷ σκοπῷ συμπαρέλαβεν. Χρησιμεύει δὲ ἡμῖν τὸ παρὸν βιβλίον κ. τ. λ.

Prolegomenis his per folii spatium continuatis sequitur contextus: πολλῶν ὄντων καὶ μεγάλων, per septem folia scholiis interiectus, deinceps vero scholiorum multitudine quasi suppressus: Scholia incipiunt: Δοκεῖ τισι μὴ ὁρίσασθαι τὴν ῥητορικὴν ἐνταῦθα ἐν τῷ παρόντι βιβλίῳ, ἵνα τε μὴ δόξῃ πάρεργόν τι ποιεῖν καὶ φιλοσόφου ἴδιον, ἢ Ἀριστοτελικῷ κανόνι πειθόμενος. κ. τ. λ. In fine Codex est mutilus. Caput ultimum Fol. 361. est περὶ δριμύτητος. Incipit: Πῶς ἐν προοιμίῳ τοῦ περὶ ἤθους λόγου ἀπαριθμούμενος τὰς ὑποβεβηκυίας ταύτας, μέμνηται τούτων etc.

# ΑΝΩΝΥΜΟΥ
## ΕΠΙΤΟΜΗ ΡΗΤΟΡΙΚΗΣ.

**Exhaustis omnibus Hermogenis rhetoricam expilandi et in usum scholarum praeparandi rationibus, Tzetzis et Psellis in mentem venit, eam in versus politicos redigere.** [1]

1 De versibus politicis subjungo, quod ante hos LII. annos Reizius Schaefero tum juveni, Schaeferus nuper mihi communicavit;

„*Πολιτικοὶ στίχοι* dicti sunt versus populares et vulgares, in quibus non syllabarum quantitatis ratio habetur, sed accentus: plerumque sunt ad XV. syllabas longi, sed ut post octavum caesura observetur: accentus cadit fere in syllabas pares, i. e. in secundam, quartam, sextam, octavam, decimam, duodecimam, quartam decimam: plane ut apud nos,

Allein Gott in der Höh' sey Ehr', und Dank sey seiner Gnade,

Talis versus ante sexcentos annos fecere Tzetzes et Constantinus Manasses. Tzetzes alicubi hos versus appellat *βαρβάρους*, et eos *τοῖς ἐντέχνοις* opponit. Joh. Rodolphus Wetstenius in Dissert. de accentibus Graecorum §. 46. putat hujusmodi versus etiam antiquis illis cognitos fuisse: verum non videtur locum Dionysii, quo ad id probandum utitur, satis intellexisse. Is locus est de composit. verbor. c. 26. p. 214. ed. Rsk. — Philae versus non sunt politici, sed jambici trimetri: nisi quod saepe syllabarum quantitatibus peccat, ut *ὄνυχας* media producta: *χρυσοῦ*, prima correpta: *ἀλλὰ*, ultima

Joannis Tzetzae epitome, in codice MS. Leidensi servatae non raro mentionem fecit Ruhnkenius, ad Longin. p. 236. ed. Weisk. in Histor. Orat. Graec. p. LXXXI. in Disputat. de Antiphonte p. 148. ed. Friedem. ad Timaei Lex. p. 159. Koenius ad Gregor. Corinth. p. 329. Schaef. Ejusdem in codice Dresdensi servatae specimen edidit Naekius ad Choerilum p. 189. et p. 271.

Ab hac epitome diversa est ea, quae in codice Vindob. CCC. Nessel. continetur et Joanni Tzetzae tribuitur: est enim multo brevior, et cum Tzetzae libro neque in longioribus, quae infra sequuntur, speciminibus, neque in iis, quos Ruhnkenius attulit, locis consentit: excepto uno loco, quo Aeschrionis fragmentum, a Tzetza servatum, exscripsit, sed plures versus omisit. Videtur igitur epitome esse, ex Jo. Tzetza, ad cujus auctoritatem ubique provocatur, ab anomymo quodam excerpta.

Quae quum ita sint, hanc anonymi epitomen, quae cum novitatis, tum brevitatis laude commendari videretur, primo loco edidi: Joannis Tzetzae vero, quae recte vocat Gregorius Corinthius [Rhet. Gr. T. VII. p. 1098.], *φλυαροστιχίδια* integra edere eo minus necessarium visum est, cum Ruhnkenius perlecto toto libro ea, quae ei notatu digna viderentur, excerpserit et libris suis inseruerit.

In codice male scripto sicubi syllaba ad metri integritatem deesset, eam plerumque uncis inclusam inserui.

---

producta: *φασὶν* producta penultima: *βασιλεῦ* modo antepenultima, modo penultima producta.

# ΑΝΩΝΥΜΟΥ
## ΕΠΙΤΟΜΗ ΡΗΤΟΡΙΚΗΣ.

Πολιτικὰ ζητήματα λέγονται γὰρ αἱ στάσεις,
ἐξόχως δὲ πολιτικὰ καλοῦνται τὰ ῥητόρων,
ὡς πολιτείαις χρειώδη ζητούμενα συχνάκις,
οὐ μὴν σπανίως καί ποτε κατὰ τῶν φιλοσόφων.
Σημείωσαι τὸν κάλλιστον ἐν πανηγύρει λόγον,
ὡς ἡδονὴν καὶ μέγεθος καὶ τὸ σαφὲς καὶ κάλλος
ἔχειν χρεὼν καὶ μίμησιν σὺν τούτῳ τῶν προσώπων,
καὶ ὅσα ἥ τε ποίησις καὶ ἡ λογογραφία
ἔχουσι πλεονάζοντα σὺν ἱστοριογράφοις.
τὸ ζήτημα καὶ πρόβλημα καὶ ὅρος δὲ καλεῖται
μελέτη καὶ ὑπόθεσις καὶ γύμνασμα καὶ πλάσμα,
ἐπείπερ ἡ διάγνωσις τῶν στάσεων ἐγράφη,
καὶ κοινωνίαν στάσεων ἤδη σοι παραδώσω.
ἐν πᾶσι τοῖς ζητήμασι τρία ὁρᾶται ταῦτα·
οὐσία, ἰδιότης τε καὶ σὺν αὐταῖς ποιότης.
οὐσία μὲν ὁ πράξας τε ὑπάρχει καὶ τὸ πρᾶγμα·
ἡ ἰδιότης δέ ἐστι τοῦ πράγματος ἡ κλῆσις.
ἡ δὲ ποιότης τὸ ποιὸν τοῦ πράγματος ὑπάρχει,
δίκαιον εἴτουν ἄδικον, ἀσύμφορον, συμφέρον,
τριῶν ἐν τοῖς ζητήμασι τούτων καθορωμένων
ἓν τούτων ἀφανές ἐστι, τὰ δύο φανερὰ δέ.
ἡ ζήτησις συνίσταται περὶ τοῦ ἀφανοῦς δέ·
κἂν ἡ οὐσία ἀφανὴς, ἡ στάσις στοχασμὸς μέν,

εἰ δ' ἰδιότης ἀφανής, ὅρος ἐστὶν ἡ στάσις.
εἰ δ' ἡ ποιότης ἀφανής, εὕρῃς τὰς ἄλλας στάσεις·
αὕτη πασῶν τῶν στάσεων κοινότης, ἑτερότης·
τῷ ἀφανεῖ γὰρ σύμπασαι ἑκάστῃ κοινωνοῦσιν.
ὅμως καὶ διαφέρουσιν, ὡς εἴπομεν, ἀλλήλων,
τῷ στοχασμῷ μὲν ἀφανῆ τυγχάνειν τὴν οὐσίαν,
ὅροις τὴν ἰδιότητα, ποιότητα ταῖς ἄλλαις.

---

## Διάγνωσις τῶν στάσεων σαφὴς ἠκριβωμένη.

Πᾶν πρᾶγμα τὸ προκείμενον εἰς ἔτασιν [1] καὶ κρίσιν
ἢ ἀφανὲς καὶ στοχασμὸς πάντως ἐστὶν ἡ στάσις.
ἢ φανερὸν καὶ τοῦτό γε διχῇ διαιρετέον·
ἢ ἀτελὲς, καὶ γίνωσκε τότε τὴν στάσιν ὅρον,
ἢ τέλειον, [καὶ] κάλει μοι ποιότητα τὴν κλῆσιν·
ἡ δὲ ποιότης αὕτη μὲν ἔχει τὰς συζυγίας.
ἢ περὶ πρᾶγμα καὶ ποιεῖ τὰς λογικὰς τὰς στάσεις
ἡ περὶ πρᾶγμα ζήτησις διχῇ διαιρουμένη
στάσεις ποιεῖ πραγματικὰς, ἅνπερ ζητῇ τὸ μέλλον,
ἂν δ' ἤδη τι προγεγονὸς, τὴν δικαιολογίαν.
ἢ πάντως περὶ τὰ ῥητὰ, τὰς νομικὰς ποιεῖ δέ.
ἡ νομικὴ ποιεῖ γε δὲ περὶ ῥητὸν ποιότητα
διαιρουμένη τε τριχῶς τάσδε ποιεῖ τὰς στάσεις.
ῥητὸν μὲν καὶ διάνοιαν ἤ τι ῥητὸν ζητοῦσα.
εἰ τῷ ῥητῷ δ' ἀμφισβητεῖ κατὰ τὸ πρόσωπον.
ἀμφιβολία τε ποιεῖ τὴν δωδεκάτην στάσιν·
συλλογισμὸν δὲ τῷ ῥητῷ συνάγουσά τι πρᾶγμα,
ἄγραφος ἰσοδύναμος δείκνυται τῇ ἐγγράφῳ.
ἀντιτιθεῖσα νόμους δὲ ποιεῖ ἀντινομίαν.
ἡ δικαιολογία δὲ διχῇ διαιρουμένη
ἅνπερ ζητῇ τι γεγονὸς, πλὴν μὴ κεκωλυμένον,
ἀντίληψιν ἐργάζεται τὴν στάσιν τὴν τετάρτην.

---

1 sic cod. metri causa pro ἐξέτασιν.

ἂν δέ τι κωλυόμενον, ποιεῖ τὰς ἀντιθέσεις.
ἀντιτιθείς τις εἰς αὐτὸν δεχόμενος τὸ πρᾶγμα,
στάσις ἀντίστασιν ποιεῖ, πέμπτην λαχοῦσα τάξιν.
ἂν δ' εἰς ἀνεύθυνον, ποιεῖ τὴν στάσιν τὴν συγγνώμην.
ἅνπερ δ' εἴς τι τῶν ἔξωθεν ἀντιτιθῇ τοὺς λόγους,
εἰς τὸν παθόντα μὲν ποιεῖ ἀντέγκλημα τὴν στάσιν.
εἰς ἄλλο δ' ἂν ὑπεύθυνον μετάστασις ἡ στάσις,
τῆς δέ γε μεταλήψεως διάγνωσις ἑτέρα·
ἅνπερ ζητῶμεν εἰσελθεῖν εἰς δέον τὸν ἀγῶνα,
παραγραφὴ γὰρ φαίνεται διχῇ διαιρουμένη.
εἰς ἄγραφον ἀπὸ ῥητοῦ καταρχομένη πάντων.
περὶ τὴν περίστασιν δὲ ζήτησιν κεκτημένην.
καὶ σὺν αὐτῇ πρὸς ἔγγραφον παραγραφὴν τελείαν
ἀπὸ ῥητοῦ περὶ ῥητὰ ζήτησιν κεκτημένην.

ά. στοχασμός. β'. ὅρος. γ'. πραγματική. δ'. ἀντίληψις. ε. ἀντίστασις. ς'. ἀντέγκλημα. ζ. μετάστασις. ή. συγγνώμη. θ'. ῥητὸν καὶ διάνοια. ί. συλλογισμός. ιά. ἀντινομία. ιβ'. ἀμφιβολία. ιγ'. μετάληψις.

## Ἡ τάξις τῆς ἀναγνώσεως.

Τῶν στάσεων βιβλίον δὲ πρόκειται τῶν ἑτέρων·
εὑρέσεων καὶ ἰδεῶν, δεινότητος μεθόδου,
ὅτι τὸ περὶ στάσεων ἀναλογεῖ βιβλίον
ἐμψύχῳ ζώῳ φέροντι καὶ μόρια καὶ μέρη,
σὺν τούτοις ἅμα καὶ μορφήν· σὺν τῇ μορφῇ καὶ τρόπους.
χρὴ δὲ διδάσκειν πρότερον περὶ τοῦ ὅλου ζώου,
οὗπερ εἰκών, ὡς ἔφημεν, τὸ στάσεων βιβλίον,
διδάσκων εἶναι τέσσαρα μέρη τελείου λόγου,
προοίμιον, διηγήσεις, ἀγώνων ἐπιλόγους,
καὶ τούτων πάλιν μέρη δέ, ἃ μόρια τοῦ ὅλου
τοῦ προοιμίου τέσσαρα, ὧνπερ αἱ κλήσεις αἵδε·
πρότασις καὶ κατασκευή, ἀξίωσις καὶ βάσις,

τρία τῆς διηγήσεως, ἅπερ καλοῦμεν τρόπους,
ἁπλοῦν καὶ ἐγκατάσκευον καὶ τῶν ἐνδιασκεύων.
μέρη δὲ τὰ κεφάλαια τυγχάνει τῶν ἀγώνων,
αἱ τούτων δὲ εἰσαγωγαὶ ὁμοίως δὲ καὶ λύσεις.
τῶν ἐπιλόγων μέρη δὲ κατ' ἴσον ἐστὶ τούτοις,
ἡ ἀνακεφαλαίωσις τῶν λυσιτελεστάτων·
οὕτω μὲν οὕτω πρόκειται τῶν στάσεων ἡ βίβλος,
οἷά περ οὖσα μίμημα σώματος ὁλοκλήρου.
ἡ δὲ περὶ εὑρέσεων εὐθέως δευτερεύει,
ὡς μέρη καὶ τὰ μόρια διδάσκουσα τοῦ ὅλου.
τὴν τρίτην τάξιν φέρει δὲ τῶν ἰδεῶν ἡ βίβλος,
οἷα μορφὰς διδάσκουσα καὶ κάλλη τὰ τοῦ λόγου.
τὸ δὲ περὶ δεινότητος μεθόδου τελευταῖον,
ὡς ὂν ἠθῶν εἰκόνισμα καὶ τρόπων ῥητορείας.
τὸ ὅλον σῶμα λέγεις γάρ, εἶτα τὰ μέρη τούτου.
τρίτην δὲ γράψεις τὴν μορφήν· τετάρτην τε τοὺς τρόπους.

*Τὰ ἐξεταζόμενα πρόσωπα.*

ἀ. τὰ ὡρισμένα καὶ κύρια, οἷον Περικλῆς. β'. τὰ πρός τι, πατὴρ, υἱὸς, δεσπότης, δοῦλος. γ'. διαβεβλημένα, οἷον ἄσωτοι, μοιχοί. δ'. τὰ ἠθικὰ, οἷον γεωργοὶ, λίχνοι. ε'. τὰ κατὰ συμπλοκὴν πρόσωπα καὶ πράγματα, οἷον μειράκιον καλλωπιζόμενον. ς'. τὰ ἁπλᾶ προσηγορικὰ, οἷον στρατηγὸς, ῥήτωρ.

*Τὰ πράγματα.*

ἀ. εἰς ἃ τις αὐτὸς ἐποίησε κρίνεται. β'. εἰς ἃ ἕτεροι ἐποίησαν, ἀντικρὺς δὲ ἀναφέρεται πρὸς ἑτέρους. γ'. εἰς ἃ ἕτεροι ἐποίησαν, ἐξ ὑπονοίας δὲ ἀναιρέρεται πρὸς ἕτερον.

Ἑκάστην στάσιν διαιρεῖ γ' ὅλον τι πεφυκυῖαν
εἰς μέρη τὰ κεφάλαια τὰ προσφυῆ ἑκάστῃ,
ἅπερ καὶ κυριώτατα κεφάλαια ἐκλήθη,
ἢ ἃ ἠτυμολόγηνται κεφάλαια καλεῖσθαι

ἐξ ἐτύμου τῆς [1] κεφαλῆς τοῦ μέρους τοῦ τιμίου.
ὡς περιέχει γὰρ αὐτὴ τὰς πέντε τὰς αἰσθήσεις,
οὕτω καθ' ἓν κεφάλαιον τὰ πέντε περιέχει
ἐπιχειρήματα ὁμοῦ καὶ ἐργασίας τούτων,
αὐτά τε ἐνθυμήματα μετ' ἐπενθυμημάτων·
καὶ τὸ πλαστὸν δὲ σὺν αὐτοῖς, εἰ μὴ γὰρ πάντα σχοίη,
οὐδὲ κεφάλαιόν ἐστι καλούμενον κυρίως.
ἀλλὰ ψευδοκεφάλαιον ὡς τὰ προγυμνάσματα·
κεφάλαια δὲ λέγονται οἱ τόποι τῶν ἀγώνων.
ὥσπερ ἀποδεικνύουσι κατασκευαῖς τὸ πρᾶγμα.
τὸ δὲ ἐκ τῶν εὑρέσεων γίνονται αἱ προτάσεις.
τοιοῦτον κέκτηται τὸν νοῦν καθ' ἡμετέραν γνώμην·
πρῶτον εὗρεν ἁρμόδιον πάντων τὰς ὑπολήψεις,
προσώπων καὶ πραγμάτων τε καὶ τῶν λοιπῶν ὁμοίως·
καὶ πρὸς ἐκείνοις πρότασιν ποιεῖ τῶν προοιμίων,
εἴτ' οὖν ἐξ ὑπολήψεως εἴτε καὶ ἀπὸ χρόνου.
τὸ γὰρ ἐκ διαιρέσεως καὶ ἐκ περιουσίας
πάντως ἐξ ὑπολήψεως οὐχ ἕτερα τυγχάνει.
φησὶ γοῦν πρὸς τὴν εὕρεσιν ποιοῦ καὶ τὰς προτάσεις,
καὶ μὴ μακρόθι τοῦ σκοποῦ τοῦ προκειμένου λέγε.
παράληρα, ἀλλόκοτα καὶ πόρρω τῆς ἐννοίας.
δριμύτης [2] προοιμίου γὰρ ἡ πρότασις ὑπάρχει.
τοῦτο μὲν τεχνικώτατον προοίμιον ὑπάρχει.
οὗ πρότασις ἐφάπτεται συμπάσης τῆς ἐννοίας,
κἀκ τῆς ἀρχῆς κατάδηλον ἀκροαταῖς ποιήσει·
ὡς Γρηγορίου ταῖς γραφαῖς· „τί δαὶ οἱ Μακκαβαῖοι,
τούτων γὰρ ἡ παροῦσα νῦν πανήγυρις ὑπάρχει.“ [3]
ἀπὸ καιροῦ προοίμιον τυγχάνει πως τοιοῦτον,
τὸ ἔχον πρᾶγμα προπραχθὲν, ὅ τις ζητεῖ γενέσθαι,

---

1 ἐτύμου τῆς incerta sunt: scriptura codicis non liquet. 2 supra lineam: ἰσχὺς, κέντρον. 3 Greg. Naz. Or. εἰς τοὺς Μακκαβαίους init.

ὡς ἔχει τὸ προοίμιον Παύλου τοῦ ἀποστόλου·
θεὸν τοῖς Ἀθηναίοις γὰρ ἐκεῖθεν καταγγέλλων
ὡς εὗρεν ἔν τινι ναῷ ἐκεῖσε γεγραμμένον,
„βωμὸς καθιερώθη μὲν οὗτος θεῷ ἀγνώστῳ,“
ποιεῖται τὸ προοίμιον πρὸς Ἀθηναίους λέγων·[4]
ἄνδρες, ἐγὼ νῦν τὸ δοκεῖν θεὸν ὑμῖν ἀγγέλλω,
τῇ δ' ἀληθείᾳ δ' ὑφ' ὑμῶν ὑμῖν αὐτοῖς ἠγγέλθη,
ὁπότε τὸ ἐπίγραμμα ἐν τῷ βωμῷ ἐγράφη.
βωμὸς καθιερώθη μὲν οὗτος θεῷ ἀγνώστῳ.
τοῦτον τὸν ἄγνωστον θεὸν σέβεσθαι τοιγαροῦν μοι
αὐτὸν ὑμῖν οὐχ ἕτερον, ἐγὼ γὰρ καταγγέλλω.
εὔθικτα καὶ δριμέα μέν ἐστιν ἐφευρημένα
τὰ ἐκ τῆς διαιρέσεως προοίμια· εἰπέ σοι
τινὶ τῶν ὑποθέσεων τεθέντα καταλλήλως.
ἠκονημένα καὶ λαμπρὰ καὶ τμητικὰ τυγχάνει.
τοῦτ' ἔστιν ἐναργέστατα καὶ τῶν δραστικωτάτων,
ἢ μεταχείρισιν[5] καλὴν καὶ θίξιν κεκτημένα,
ὀξύτατον τὸν ῥήτορα καὶ δεξιὸν δεικνύντα.
τῷ δὲ ἰῶτα εὔθικτα πρέπει καὶ τὸ δριμέα,
τὰ ἐκ τῆς διαιρέσεως προοίμια τοιαῦτα,
πλὴν τῶν ἐξ ὑπολήψεως φέρει τὰ δευτερεῖα.
τῶν γὰρ ἐξ ὑπολήψεως ἡ ἐπιτηδειότης
ἐν πᾶσι τοῖς ζητήμασιν ἐμφαίνεται συνοῦσα
καὶ σύμπασι τοῖς εἴδεσι τῶν πάντων προοιμίων,
τῶν ἐκ τῆς διαιρέσεως, τῶν ἐκ περιουσίας.
σὺν τούτοις καὶ τοῖς ἐκ καιροῦ φαίνεται προοιμίοις
τὰ δ' ἐκ τῆς διαιρέσεως φαίνεται σπανιάκις.
καλεῖται τὸ προοίμιον ἀπὸ περιουσίας,
ὅτι κατὰ περίσσειαν ἐπιχειρεῖ ὁ λέγων,
καὶ εὐπορίαν κέκτηται καὶ πλατυσμὸν τοῦ λόγου.
ὁ σθένων τὸν φρονέα γὰρ εἶναι καὶ δήμου βλάβην

---

4 Act. XVII. 23. 5 Cod. μεταχείρησιν, constanter.

παρεὶς τὴν [τοῦ] δήμου βλάβην καὶ μόνον ὡς φονέα
ἔλκων ποιεῖ προοίμιον ἀπὸ περιουσίας.

## Διαφορὰ τῶν διαιρέσεων καὶ περιουσίας προοιμίων.

Ἐκ μὲν τῆς διαιρέσεως προοίμιον ποιῶν τις
τὰ δύο ἀδικήματα ὁμοῦ περιλαμβάνει.
τοῖς ἐκ περιουσίας δὲ τὸ ἓν περιλιμπάνει.
δύο μὲν ἐκ τοῦ πράγματος προοίμια ποιεῖ τις,
ἢ γὰρ καλὸν ἢ γὰρ κακὸν πάντως ἐστὶ τὸ πρᾶγμα.
ἐκ τοῦ προσώπου δὲ πολλὰ προοίμια ποιεῖ τις.
πολλαὶ καὶ γὰρ ὑπάρχουσι προσώπων ὑπολήψεις.
ἐν τοῖς δικαστηρίοις γὰρ φροντὶς ἦν συντομίας
καὶ τοῦ τὰ καίρια εἰπεῖν· ἔλεγον γὰρ πρὸς ὕδωρ.
ἐν δὲ ταῖς πανηγύρεσιν οὗ τις φειδὼ πλατύνειν.

Σύγκειται πᾶν προοίμιον· τῶν πανηγυρικῶν δὲ
πολλὰ τῶν προοιμίων δὲ τυγχάνει τῶν ἑτέρων.
ἄλλα μὲν ἐκ προτάσεων μόνον συντεθειμένα,
ἄλλα δ' ἀπὸ προτάσεως κατασκευῆς τε μόνης,
τινὰ δὲ καὶ ἀπόδοσιν σὺν ταῖς δυσὶ λαμβάνει.
τὰ δέ γε πανηγυρικὰ τέσσαρα φέρει μέρη·
πρότασιν καὶ κατασκευήν, ἀπόδοσιν καὶ βάσιν.
διώνυμον δ' ἀπόδοσις ἔλαχε κλῆσιν φέρειν.
καλεῖται γὰρ ἀπόδοσις ἅμα σὺν ἀξιώσει.
ὅταν οὖν λέγῃ τις θαῤῥῶν, ἀπόδοσις καλεῖται.
ἀξίωσις δὲ λέγεται, ὅταν τις ἱκετεύῃ.
ταύτην φασὶ διαφορὰν εἶναι τῶν δύο τούτων·
καὶ μέμφονται τῷ τεχνικῷ ὡς ἓν δοκοῦντι ταύτας.
οὐ λέγει τὴν ἀπόδοσιν ἀξίωσιν ὑπάρχειν.
τὸ πρᾶγμα δ' ὅ τις βούλεται καὶ ἀξιοῖ γενέσθαι·
ὅσα, φασὶ, προοίμια δικανικὰ τυγχάνει,
σχοινοτενέσι καὶ μακροῖς ταῦτα χρὴ κώλοις λέγειν.
τὰ γὰρ σχοινοτενῆ κῶλα διὰ τὴν ἀστιξίαν

συντόμως μᾶλλον λέγονται τῶν κομματικωτάτων.
τὰ γὰρ κομματικὰ κῶλα στιγμῆς τι συνέχοντα,
ποιοῦσι τὴν ἀνάγνωσιν τοῦ λόγου βραδυτέραν.
πρεσβύτερα καὶ χρήσιμά εἰσι τῇ ὑποθέσει.
ἂν μὲν κατηγορῇς τινος, τὰ προπραχθέντα φαῦλα.
ἂν δ' ὑπερηγορῇς τινος, χρηστὰ τὰ προπραχθέντα.
καὶ ὡρισμένον πρόσωπον εἴη τὸ κρίσιν ἔχον.
ἐν πάσαις ὑποθέσεσιν ἔχομεν ἱστορίαν,
ἦγουν ἔθνος πατρίδα τε προγόνους καὶ πατέρα,
κἄν τε τὴν προδιήγησιν ποιήσομεν τῷ τότε,
ἀπὸ τοῦ φθάσαντος βίου αὐτοῦ παραλαβόντες,
ὁπόσα χρησιμεύοντα καθέστηκεν ἐκ τούτου
τῇ προκειμένῃ συμβουλῇ· εἴτε μὴν καὶ τῇ κρίσει.
ἂν δὲ [τὸ] πρόσωπόν ἐστι τῶν ἀορισταινόντων
μὴ κεκτημένον προφανῆ καὶ δήλην ἱστορίαν,
ποιοῦντες προδιήγησιν ἢ στοχαστικωτέρως
τὰ χρήσιμα προσλάβωμεν τοῦ προλαβόντος βίου.
ἢ σχήματι χρησόμεθα παραλειπτικωτέρῳ.
τουτέστιν παραλείψομεν τὸν προλαβόντα βίον·
οἷον ἐῶ τὸν πρότερον τούτου νῦν λέγειν βίον.
ὡς οὖν ἐν τοῖς προσώποις μέν εἰσι τοῖς ὡρισμένοις
αἱ ἱστορίαι προφανεῖς καὶ πράξεις αἱ πραχθεῖσαι.
καὶ δρῶμεν προδιήγησιν ἐν τοῖς τοιούτοις πᾶσιν,
λαβόντες πᾶν τὸ χρήσιμον τοῦ προλαβόντος βίου,
ἢ τῷ κατὰ παράλειψιν σχήματι κεχρημένοι,
οὕτω κἀν τοῖς προβλήμασι χρὴ δρᾶν τοῖς δημοσίοις.
καὶ τοῖς ἰδιωτέροις δὲ κατ' ἴσον τοῖς ῥηθεῖσι.
πρόβλημα [μὲν] δημόσιον πόλεως ὅλης δίκη,
ἢ ἔθνους ἢ καὶ δήμου δὲ, εἴτε τινὸς χωρίου.
πρόβλημα δ' ἐστὶν ἰδικὸν ἑνὸς ἀνθρώπου δίκη.
εἴτε τριῶν τεττάρων τε εἴτε μὴν καὶ πλεόνων.
δεῖ γοῦν τὴν προδιήγησιν ἐν μὲν τοῖς δημοσίοις
ποιεῖν, ὡς προειρήκαμεν, προσώποις ὡρισμένοις.

ἔχει

ἔχεις ἐν τούτοις πράξεις γὰρ δήλας καὶ ἱστορίας,
ἐν δ' ἰδικοῖς ζητήμασιν, ὡς ἐν τοῖς ὡρισμένοις,[6]
εἴτουν στοχαστικὴν τελεῖ, εἴτε καὶ παραλείψει.

Τὸ ἀπ' ἀρχῆς εἰς τελεσμὸν οὐδὲν ἄλλο τυγχάνει,
ἢ σύντομος ἀφήγησις πράγματος ἠὲ[7] λόγου,
δι' οὗ τὸ δικαστήριον κρίσις[8] τε συνέστηκε.
αἱ δὲ τῶν νόμων εἰσφοραὶ καὶ λύσεις αἱ τῶν νόμων
αἱ μετὰ περιστάσεως ἦγουν αἱ γυμνασίαι,
τουτέστιν αἱ πραγματικαὶ, ταύτας καλεῖ γὰρ οὕτω.
τίς δὲ περίστασίς ἐστιν οἶδας ἀκριβέστατα,
καὶ τίνι διαφέρουσι πραγματικὴ καὶ θέσις.
ἡ μὲν τελεῖ γὰρ γύμνασμα καὶ στάσιν τῶν τελείων,
ἡ θέσις δὲ προγύμνασμα καὶ τῶν ἀτελεστάτων.
αἱ δὲ τῶν νόμων εἰσφοραὶ, καλῶς οὕτως εἰρήκει·
ποτὲ καὶ γὰρ εἰσφέρομεν καὶ ἀκυροῦμεν ἅμα
τὶ μέρος νόμου φέροντες, τὶ δὲ καὶ ἀκυροῦντες.
οἷον φονεύειν τοὺς μοιχοὺς ἐπ' αὐτοφώρῳ νόμος,
εἰσφέρομεν τῷ νόμῳ γὰρ τότε συνηγορίαν,
καλλίστως ἔχει, λέγοντες, κτεῖναι μοιχοὺς κελεύων.
ἐκφέρομεν τοῦ νόμου δὲ τούτου καὶ ἀκυροῦμεν
τὸ τοὺς μοιχοὺς φονεύεσθαι καὶ παρὰ τοῦ τυχόντος.
τὰς κρίσεις δὲ μὴ γίνεσθαι παρὰ τῶν δικαζόντων.

Πέντε δὲ διηγήσεως τῶν πλατυσμῶν οἱ τρόποι·
πράγματα τὰ πραττόμενα, αἰτίαι πραττομένων
καὶ τὰ παραλειπόμενα καὶ αἱ αἰτίαι τούτων.
καὶ σὺν αὐτοῖς οἱ λογισμοὶ, ἕκαστον δὲ τῶν πέντε
περιγραφαῖς πλατύνεται καὶ ἐν ταῖς ἑρμηνείαις.
περιγραφὴ ταὐτὸν δ' ἐστὶν ὁμοῦ καὶ ἑρμηνείᾳ,
ἐννοίας μεταποίησις ἐν πλείοσι τοῖς κώλοις.
εἰ γὰρ τρισὶ καὶ τέτρασι καὶ πλείοσι τοῖς κώλοις

---

6 ὡρισμένοις et v. sq. τελεῖ in cod. non liquet. 7 Cod. ἤ. 8 Cod. ἡ κρίσις.

τῶν πέντε τούτων ἕκαστός τις πλατυνεῖ συγγράφων,
εἰς ὅσον ἡ διήγησις παρεκταθῇ τὸ μῆκος.
τινὲς καὶ ἐκ τῶν σὺν αὐτοῖς ἄλλον διδοῦσι τρόπον,
πλατύνοντα διήγησιν, τὰς λογισμῶν αἰτίας.

Παρατηρητέον καὶ τὰ πραττόμενα καὶ τὰς αἰτίας τῶν πραττομένων καὶ τὰ παραλειπόμενα καὶ τὰς αἰτίας τῶν παραλειπομένων καὶ τοὺς λογισμοὺς καὶ πάντα ἐν πολλοῖς κώλοις καὶ ποικίλοις λέγειν δυνάμεθα.

Εἰ δὲ τρόπος ἐν διηγήσει τῶν πεπραγμένων πλατύνοιτο, διασκευάζεται τὸ πρόβλημα καὶ οὐχ ἁπλῶς διηγεῖται.

Εἰ τρόπος δὲ πλατύνοιτο πραγμάτων διηγήσει,
τοιοῦτός τίς ἐστιν ὁ νοῦς ῥητοῦ τοῦ προκειμένου.
εἰ πλάτος ἡ διήγησις οἷς ἔφημεν προλάβοι,
τοῖς τε παραλειφθεῖσί τε καὶ τούτων ταῖς αἰτίαις,
καὶ λογισμοῖς καὶ λογισμῶν ὁμοίως ταῖς αἰτίαις,
καὶ πᾶσα δὲ περίστασις αἰτίαις πλατυνθεῖσα,
καὶ τοῖς παραλειφθεῖσί τε καὶ λογισμῶν αἰτίαις
ἁπλῆν ποιεῖ διήγησιν οὐ τῶν ἐνδιασκεύων.
εἰ πλατυνθῇ τοῖς τρόποις δὲ, τουτέστιν πῶς ἔπράχθη,
τότε ποιεῖ διήγησιν ἐκ τῶν ἐνδιασκεύων,
τουτέστιν προδεικνύουσαν ἐκφράζουσαν τὸ πρᾶγμα,
ἣ ποιηταῖς ἁρμόδιός ἐστιν καὶ παυηγύρει.
ἁπλῆν τὴν ἐγκατάσκευον διήγησιν νῦν λέγει,
ἣ καὶ προσθήκης ἄνευθε διήγησις καλεῖται
ὡς ὄντως καὶ κυρίως τε καὶ ῥητορικωτάταις
κατασκευαῖς τῶν αἰτιῶν ἃ λέγει τὸ πρακτέον.

Κείμενον. Ὅταν μὲν οὖν ᾖ τὰ πράγματα πολλὰ καὶ ποικίλα καὶ ἱκανὰ καὶ βαρῇ τοὺς ἀντιδίκους, ἡμῖν δὲ βοηθῇ, ἁπλῇ χρησόμεθα τῇ διηγήσει. οὐ δεῖται γὰρ ἰσχυρῶν λόγων τὸ αὐτομάτως ἰσχυρὸν πρᾶγμα.

Αἰτία μὲν κατασκευάζει διήγησιν· τρόπος δὲ διασκευάζει· οὐ γὰρ εἶχε μᾶλλον δεινῶσαι τὸν λόγον ὁ ῥήτωρ, ἢ

τὰ πράγματα λέγων αὐτὰ ψιλὰ, ἃ ἔπραττον ἐκεῖνοι· γυμνὰ γάρ τοι λεγόμενα πλέον ἰσχὺν ἔλαβεν ἢ εἴτις αὐτὰ ἐκόσμει λόγοις.

Ἀγῶνα νῦν ὁ τεχνικὸς προθέμενος διδάξαι
οὐ μάτην προκατασκευὴν διδάσκει καὶ τυχαίως,
ἀλλ' ὥσπερ πρὶν διήγησιν παραδιδόναι μέλλων
περὶ προδιηγήσεως ἐδίδαξεν ἐντέχνως,
οὕτως καὶ νῦν κατασκευὰς ἢ νῦν ἀγῶνας γράφων
τὰς προκατασκευὰς αὐτῶν πρῶτον εὐθέως λέγει,
καὶ ὅτι τὰ κεφάλαια, ὥσπερ ὁ Τζέτζης λέγει,
σχήματα τῆς προκατασκευῆς τίθησί πως διδάξειν.
ποῖα φασὶν κεφάλαια πολλοῖς διηπορήθη
οἱ μέν φασι τῶν στάσεων οἱ δ' ἕτεροι τοιαῦτα,
ἐγὼ δὲ νῦν κεφάλαιον λέγω καλεῖσθαι πάντα,
ἅπερ ὁ λέγων κέκτηται σκοπῶν ἀναδιδάξαι,
εἴτε τινὸς τῶν στάσεων ἢ πράγματος ἑτέρου.
κεφάλαια γὰρ λέγονται οἱ τόποι τῶν ἀγώνων,
ἅπερ ἀποδεικνύουσι κατασκευαῖς τὸ πρᾶγμα.
τρεῖς ἁπασῶν τῶν λύσεων τοὺς τρόπους εἶναι νόει,
ἐνστάσεις ἅμα σὺν αὐταῖς τὰς ἀντιπαραστάσεις,
καὶ τρίτον δὲ τὸ βίαιον ἰσχύον ὑπὲρ ταύτας.
τεθὲν ἐχθρὸν κεφάλαιον λύσεις γὰρ πρῶτον δέον
εἶτουν ἐκ τῆς ἐνστάσεως ἢ ἀντιπαραστάσει,
εἴτε κατὰ τὸ βίαιον ἢ πᾶσιν ἅμα τούτοις.
ὁ περὶ Ἁλοννήσου [9] μὲν λόγος τοῦ Δημοσθένους
τοιοῦτον κέκτηται τὸν νοῦν· Ἁλόννησον τὴν νῆσον
λῃσταὶ κατεῖχον πρότερον οὖσαν τῶν Ἀθηναίων.
οὓς ἐκβαλὼν ὁ Φίλιππος τοῖς Ἀττικοῖς ἐδίδου.
ὡς οὖσαν πάντως ἑαυτοῦ, ἐπιστολήν τε γράφει,
πρὸς ἣν ὁ ῥήτωρ ἔγραψεν ἐπιστολὴν τὸν λόγον,
μὴ δοῦναι δὲ τὸν [10] Φίλιππον, ἀλλ' ἀποδοῦναι μόνον.

9 Cod. Ἁλονήσου et v. sq. Ἁλόνησον. 10 τὸν et μόνον Cod. om. — v. sq. Cod. ὅπερ τις.

δοῦναι γὰρ τὸ χαρίσασθαι, ὅ τίς ποτε οὐκ εἶχεν,
τὸ ἀποδοῦναι δὲ δηλοῖ τὸ προληφθὲν ἐκστῆσαι.
τοῦτο κατασκευάζει γοῦν ὁ ῥήτωρ Δημοσθένης,
καὶ λύει τὸ κεφάλαιον τὸ προτεθὲν Φιλίππῳ·
προτάσει καὶ ὑποφορᾷ, ἀντιπροτάσει, λύσει.
λύσις τῆς ἀντιθέσεως ἔναντι παραστατεῖ.
οὔσης γὰρ τῆς ὑποφορᾶς τοῦ λόγου τοῦ Φιλίππου,
ὅτι λῃστάς πως ἐξελὼν ἐκτήσατο τὴν νῆσον,
ὁ Δημοσθένης συνδραμὼν τῷ ἐκ λῃστῶν ἑλέσθαι
λύει ἀντιπαράστασιν τοιαύτην ἐπιφέρων.

Οἷον ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς κ. τ. λ. apud Hermog. p. 110. v. 7. — p. 111. v. 2.

Λύειν δὲ τὰ κεφάλαια χρεὼν τῶν ἀντιδίκων
προτάσει καὶ ὑποφορᾷ, ἀντιπροτάσει, λύσει.
τῇ λύσει δ' ἐπιχείρημα ἐπάγομεν εὐθέως.
τῷ δὲ ἐπιχειρήματι φέρομεν ἐργασίαν,
τῇ δ' ἐργασίᾳ προσλαβεῖν ἐνθύμημά πως δέον,
τῷ δέ γε ἐνθυμήματι δέον ἐπάγειν πάλιν
ὁμοῦ τε ἐπενθύμημα καὶ τὸ πλαστὸν σὺν τούτοις.
παντὸς δὲ οἵας δή τινος στάσεως κεφαλαίου
ἓξ τρόπους εἶναι γίνωσκε τῶν ἐπιχειρημάτων,
πρόσωπον, πρᾶγμα, χρόνον τε, τρόπον, τόπον, αἰτίαν.
ἕκαστον δ' ἐπιχείρημα ἓξ ἐργασίας ἔχει·
ἐξ ἴσου, ἐναντίου τε, μείζονος, μικροτέρου,
παραβολῆς σὺν τούτοις τε καὶ τῶν παραδειγμάτων,
ἑκάστη ἐργασία δὲ ἓξ ἐνθυμήματ' ἔχει,
συγκριτικῷ τῷ σχήματι παραλαμβανομένη,
ἐκ τόπων περιστατικῶν ἓξ τῶν προλελεγμένων,
προσώπου, χρόνου, πράγματος, αἰτίας, τόπου, τρόπου.
οὕτω μὲν τὰ κεφάλαια λύομεν ἀντιδίκων,
οὕτω καὶ τὰ ἡμέτερα εἰσάγομεν ὁμοίως,
ἄνευ μὲν τῆς προτάσεως καὶ τῆς ὑποφορᾶς δὲ,
καὶ τῆς ἀντιπροτάσεως καὶ λύσεως σύναμα

ἁπλῇ κατασκευάζοντες τῇ θέσει καὶ πιστοῦντες
ἐξ ἐπιχειρημάτων τε καὶ τούτων ἐργασίας
καὶ τῶν ἐνθυμημάτων γε τῶν ταύτας κρατυνόντων.
πόθεν ἐπιχειρήματα ἐκλήθησαν αἱ πίστεις,
αἱ ἀπὸ περιστάσεων πιστούμεναι τὸ πρᾶγμα;
ἀπὸ τῆς χειρὸς, καὶ ἰσχὺς ὄντως ἡμῖν ὑπάρχει
κατασκευαῖς καὶ λύσεσιν αὐταῖς τῶν κεφαλαίων.
ἐν λόγοις τε καὶ πράγμασι, δίκαις καὶ ὑποθέσει,
ἐν τοῖς τρισὶ τοῖς εἴδεσι τοῖς κατὰ ῥητορίαν
μήτηρ ἐστὶ περίστασις τῶν ἐπιχειρημάτων.
ἐν λόγοις ἐγκωμίων μὲν, τουτέστιν πανηγύρει,
πράγμασι συμβουλευτικοῖς δίκαις δικανικαῖς δὲ,
ἁπλῶς ἐν ὑποθέσει δὲ πᾶσι παντὶ τῷ βίῳ
τὰ περιστατικά εἰσι τὸ κράτος κεκτημένα.
ἔξω γὰρ τούτων τι πραχθὲν εἴτε λεχθὲν οὐ χαίροις.
λέγουσι δ' οἱ φιλόσοφοι καὶ ἕβδομον τὴν ὕλην.
ὕλην δ' ἐγὼ τὸ ὄργανον λέγω, μεθ' οὗ καὶ δρᾷ τι,
ξύλον, ξίφος ἢ ῥόπαλον ἢ φάρμακον ἢ βρόχον.
εἴτε τι τοιουτότροπον ὀργάνων τῶν μυρίων.
ὕλη δ' ἑτέροις ἔδοξε τὰ παρακολουθοῦντα.
καὶ τῶν προσώπων ὕλη μὲν καὶ παρακολουθοῦντα
γένος, γονεῖς, ἀνατροφὴ, τὸ κράτιστον αἱ πράξεις.
χρόνου δὲ ὕλη νύξ ἐστιν ὄρθρος ἢ μεσημβρία.
τόπου δὲ ἡ ἀκρόπολις ἢ ἱερὸν ἢ ἄλσος.
εἰσάγεις κατὰ θέσιν μὲν τὸ σὸν κατασκευάζων,
τὸ τῶν ἐχθρῶν κεφάλαιον λύεις κατ' ἀντιθέσεις.
τῶν παλαιῶν δὲ γίνωσκε δύνασθαι μαρτυρίας
ἐργασιῶν οὐκ ἔλαττον ἀλλ' ἰσοσθενεστάτως.

Ἰστέον ὅτι μετὰ τὸ κεφάλαιον ἐμπίπτει τὸ ἐπιχείρημα, μετὰ δὲ τὸ ἐπιχείρημα ἡ ἐργασία, μετὰ δὲ τὴν ἐργασίαν τὸ ἐνθύμημα. Ἔστι δὲ ἐνθύμημα λύσις μετ' ἐπιχειρημάτων καὶ εἰς ἐργασίαν πίπτον.

Ὡς πρὸς τὸ ἐπιχείρημα συγκρίνον ἐργασίαν.

τῷ δὲ ἐπιχειρήματι τὸ πλέον ἀπονέμον.
τίς δὲ ἡ γένεσις αὐτοῦ καὶ εὕρεσις ὑπάρχει·
ἔνστασιν ἅμα σὺν αὐτῇ τῇ ἀντιπαραστάσει.
ἡμεῖς, ἀντιπαράστασις, ἔνστασις, ἐναντίον,
βίαιον, ἀντιστατικόν, παραδοξολογία
ἐν τίνι διαφέρουσι, γράψωμεν σαφέστερον.
ἡ μὲν ἀντιπαράστασις ἴσως τῇ μεταλήψει
τὸν λόγον ἢ καὶ τὸ πραχθὲν φαίνεται συγχωροῦσα,
εἶναι τυχὸν οὐ χαλεπὸν ἢ τοὐναντίον ῥᾷον.
διὰ τινὰ περίστασις προτρέπει δὲ γενέσθαι·
οἷον κἂν χαλεπὸν ἐστιν γενέσθαι διὰ τόδε·
κἂν ῥᾷον, ἐατέον οὖν δι' αἰτίαν τοιήνδε· [11]
ἡ μὲν ἀντιπαράστασις οὕτως ἐστὶ συγγνώμων
συγχώρησιν τοῦ πράγματος ἢ συνδρομὴν ποιοῦσα.
ἡ δ' ἔνστασις ὑπάρχουσα ταὐτὸν τῷ ἐναντίῳ
οὐ συγχωρεῖ ἀλλ' ἀναιρεῖ· λέγει γὰρ ἀσυγγνώστως
τὸ χαλεπὸν οὐ χαλεπὸν, τὸ ῥᾴδιον οὐ ῥᾷον·
τὸ βίαιον δὲ χρῆται μὲν πρῶτον τῇ ἀναιρέσει.
εἶτα βιαίως καταντᾷ καὶ πρὸς τὸ ἐναντίον·
τὸ χαλεπὸν οὐ χαλεπὸν, ἀλλὰ καὶ ῥᾷον λέγων·
τὸ ἀντιστατικὸν πάλιν ἐπ' ἴσης μεταλήψει·
καὶ ἀντιπαραστατικόν τι συγχωρεῖ τυγχάνον·
δείκνυσι μέντοι δι' αὐτοῦ μεῖζόν τι πεπραγμένον
διὰ βραχείας βλάβης μὲν τῆς ἐκκοπῆς τοῦ τείχους.
νίκην λαμπρὸς τῆς πόλεως, ἣτταν τῶν πολεμίων.
διὰ μικροῦ τε ἀγαθοῦ βλάβην τυχὸν μεγάλην·
παραδοξολογία δὲ βιαίου ἐναντίον
ἐν τούτῳ διαφέρουσα καθέστηκε τῷ τρόπῳ·
τὸ ἐναντίον ἀναιρεῖ ἐπίσης τῇ ἐνστάσει,
τὸ χαλεπὸν οὐ χαλεπὸν λέγων, ὡς ἔφην πρώην.
τὸ βίαιον δὲ χρῆται μὲν πρῶτον τῇ ἀναιρέσει.

---

11 Cod. τήνδε. — v. 22. Cod. δέ τι.

εἶτα βιαίως καταντᾷ καὶ πρὸς τὸ ἐναντίον.
τὸ χαλεπὸν οὐ χαλεπὸν, ἀλλὰ καὶ ῥᾷον λέγων,
παραδοξολογία δὲ βιαίου πλέον φέρει.
μίγνυσι γὰρ τὰ ἀμιγῆ, ἑνοῖ τὰ ἐναντία.
φαῦλον χρηστόν τι λέγουσα, λυπρὸν ἡδὺ τυγχάνον,
ὁ τραγικὸς Αἰσχύλος σοι παράδειγμα χρησάτω.
„οὗτος γὰρ οὐ τέθνηκεν οὐδέπερ θανών.“ [12]
πρότασιν καὶ κατασκευὴν κεφάλαιον πᾶν ἔχει.
τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος τε ὁμοίως τούτοις ἔχει.
ἐπίσης δὲ προτάσεσι κατασκευαῖς τε ταῦτα
κλῆσιν φέρειν εἰλήχασι τὴν ἀπ᾽ ἀρχῆς εἰς τέλος.
ὅτε γοῦν ἐν ταῖς στάσεσιν ὁ τεχνικός που λέγει
γίνεσθαί τε καὶ αὔξεσθαι τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος,
ἀφ᾽ ὧν καὶ ἡ ἀπαίτησις γίνεται τῶν ἐλέγχων·
νῦν δέ σοι τὴν κατασκευὴν τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος
διδάσκων λέγει γίνεσθαι τῇ ὑποδιαιρέσει.
καὶ πρόσχες τῇ προτάσει τε καὶ τῇ κατασκευῇ δέ.
ἐφόνευσε, παρίστατο θάπτων ἐν ἐρημίαις.
τοῦτό ἐστι νῦν πρότασις τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος.
τὸ θάπτων πρᾶγμα ἔχουσα, τὸ ἐρημίαις τόπον.
εἰ δέ γε μὴ παρίστασο, ἀλλὰ ὠδύρου τοῦτον·
εἰ γὰρ μὴ ἔθαπτες αὐτὸν, ἀλλ᾽ ἐφεστὼς ἑώρας·
εἰ γὰρ μὴ ἔρημος οὐκ ἦν, ἀλλ᾽ οἰκητὸς ὁ τόπος,
οὐκ ἂν εἶλκον καὶ τότε σε δίκας τοῦ φόνου δοῦναι.
τοῦτο δὲ ἡ κατασκευὴ τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος
ἐξ ὑποδιαιρέσεως ἐγκατεσκευασμένη.

Ἐπεὶ δύναται καὶ ὡς πνεῦμα ἀποταθῆναι κατὰ τὸ τοῦ ἀντιθέτου σχῆμα, καὶ μετὰ τὸ πληρωθῆναι τὸ πνεῦμα. Ἕκαστον ἐθέλεις κατὰ περιόδους λαμβάνειν, τὰ δὲ πλαστὰ χώραν ἔχει μετὰ τὴν ἀθρόαν εἰσβολὴν τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. Ἔστι δὲ ὑποδιαίρεσις ἡ εἰς λεπτὸν

12 Choëph. 497. οὕτω γὰρ οἰ τέθνηκας.

τομὴ τοῦ ἀθρόου πράγματος· οἷον εἰ μὴ τόδε ἐποίησαν, ἀλλὰ μετριώτερον· εἰ γὰρ μὴ τοσαῦτα ἐποίησεν, ἀλλὰ ἐλάττονα. Ἔχει δὲ χώραν ἔτι καὶ τὰ πλαστὰ, ὡς ἐν ταῖς ἐργασίαις τῶν ἀπὸ παραδείγματος. Ἡδίων ἐστὶ τοῖς ἀκούουσιν ὁ ἀπὸ τῶν ἀποδεικτικῶν ἐπὶ τὰ πανηγυρικὰ χωρῶν, οὐχ ὁ ἀπὸ τῶν πανηγυρικῶν ἐπὶ τὰ ἀποδεικτικά.

Καὶ τὸ πλαστεπιχείρημα τοῖς ἀπ᾽ ἀρχῆς εἰς τέλος ἐπὶ τῷ τέλει πρόκειται ὥσπερ κεχωρισμένον.
οἷου μὲν τὴν κατασκευὴν τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος ἐξ ὑποδιαιρέσεως κατασκευαζομένην.
νῦν δὲ τούτοις ἀπένειμα καὶ τὸ πλαστὸν ἐν τέλει.
ἐπεὶ δ᾽ ὑποδιαίρεσις πλαστόν ἐστιν ἑκάστη,
ὡς τὸ εἰ μὴ παρίστασο, ἀλλὰ ὠδύρου τοῦτον,
εἰ τόδε οὐκ εἰργάζου μὲν, οὐ διεπράττοντο δὲ
δεικνὺς πλαστὸν τὴν μερικὴν μὴ λέγον διαιρέσεις,
ἀλλ᾽ ἄλλο τελεώτερον ὅλον τι πρᾶττον πρᾶγμα,
κείμενον ἐν τῷ τέλει δὲ τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος.
νῦν παραδείγματι δέ σοι καὶ τοῦτο σαφεστάτως.
ἐπὶ τῶν τῆς κατ᾽ αἴτησιν δωτίνης ζητημάτων
καὶ οἷς φυγὴ καὶ δίωξις ὑπάρχει προκειμένη.

Οἷον εἰ δὲ πρὶν ἢ ποιῆσαι τὸ ἀγαθὸν ἤτουν τὴν δωρεὰν, οὐκ ἄν μοι ἐδώκατε, οὐκ ἂν ἐψηφίσασθε ἐπαγγελλομένῳ ποιήσειν.

Δυσχερεστάτην ἔχουσιν λύσιν, ὁ ῥήτωρ λέγει, στάσεων τῶν πραγματικῶν τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος.

## Ἀπορία.

Ποῖα δὲ ταῖς πραγματικαῖς τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος;

## Λύσις.

Τὰ αἴτια, διάπερ τις τόδε τι συμβουλεύει.
οἷον τοῖς Κατανάιοις τις βουλεύει μετοικίαν
διὰ αἰτίαν, ὅτι ῥεῖ τὸ πῦρ ἀπὸ τῆς Αἴτνης.

καὶ πῶς τὴν λύσιν δυσχερῆ τούτων ὁ ῥήτωρ λέγει;
ὅτι ὡς διαφέρουσα τῶν ἄλλων κεφαλαίων
ὑπῆρχεν ἡ κατασκευὴ τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος.
τὰ μὲν κατεσκευάζοντο καὶ γὰρ τῇ περιστάσει,
ὡς ὄπισθεν πλατύτερον εἴπομεν περὶ τούτου.
τῇ ὑποδιαιρέσει δὲ τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος,
οὕτω καὶ τῆς πραγματικῆς τῆς ἀπ᾽ ἀρχῆς εἰς τέλος
ἡ λύσις δυσχερεστέρα [13] τῶν ἄλλων κεφαλαίων.
ἡ λύσις τῶν ἑτέρων γὰρ γίνεται κεφαλαίων
εἴτουν ἐκ τῆς ἐνστάσεως ἢ ἀντιπαραστάσεως.
εἴτε κατὰ τὶ βίαιον, ἢ πᾶσιν ἅμα τούτοις.
τῶν ἀπ᾽ ἀρχῆς εἰς τέλος οὖν [14] πραγματικὴ ἡ λύσις
πᾶσι πασῶν τῶν στάσεων γίνεται κεφαλαίοις.
καλῶς οὖν ἔφη δυσχερῆ τούτων τὴν λύσιν εἶναι.
πολλῶν τῶν πάντων ὄντων γὰρ, ὡς οἶδας, κεφαλαίων,
ἄδηλον, ποῖον προσφυῶς τούτων τεθῆναι δέον.
εἰς λύσιν τῆς πραγματικῆς τὴν ἀπ᾽ ἀρχῆς εἰς τέλος,
ἐν τῷδε τῷ πραγματικῷ ζητήματι καὶ τῷδε.
πολλὰ γὰρ καὶ ζητήματα πραγματικὰ τυγχάνει.
μακρὰ τὰ κῶλα πέφυκε τὰ κατασκευάζοντα.
τῶν διασκευαζόντων δὲ σύμμετρα καὶ βραχέα.

Τῶν προσωποποιῶν ἡ εὐπορία ἐξ ὑποδιαιρέσεως γίνεται.

Τὸν ὅρον, τὸν ἀνθορισμὸν, συλλογισμὸν καὶ λύσιν
τέσσαρα λέγει κλήσεσι, τοῖς πράγμασι δὲ δύο.
ὅρος γὰρ καὶ συλλογισμὸς ἀπὸ τῶν πεπραγμένων.
καὶ πάλιν τὸν ἀνθορισμὸν συλλογισμοῦ τε λύσιν
κατασκευάζει τοῖς αὐτοῖς ἀπὸ τῶν παρειμένων.
ὅρος, λύσις συλλογισμοῦ ἐστι μὲν τῶν φευγόντων.
ἀνθορισμὸς, συλλογισμὸς πάλιν τῶν κατηγόρων.
ἐπὶ δὲ τῶν κατ᾽ αἰτίαν ὅρων σοι δειγματίζει,
ὡς ἔχει τὸ, μαινόμενος τύραννον ἀνῃρήκει.
καὶ σωφρονήσας δωρεὰν αἰτεῖ τυραννοκτόνου.

13 scriptura cod. non liquet. 14 οὖν Cod. om.

ἐπί τινων δὲ καὶ [14*] φυγὴ καὶ δίωξις ὑπάρχει.
οἷον σὺ ἱερόσυλος, οὐ μὴν κλέπτης ὑπάρχεις.
ἢ ἐκ τῶν παρειμένων μὲν ἐργάζονται καὶ ἄμφω,
ὁ ὅρος καὶ συλλογισμὸς, ἢ ὡς αὐτὸς σὺ λέγεις,
ὁ ὅρος παρειμένων μὲν συλλογισμὸς πραχθεῖσι.
δείκνυσιν ὡς διασκευὴ πολλοὺς ἔχει τοὺς τόπους·
πίπτει τῇ διηγήσει γὰρ, πίπτει καὶ τοῖς ἀγῶσι.
τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος γὰρ ὑπάρχουσιν ἀγῶνες.
καὶ ἐν τοῖς ἐπιλόγοις δὲ πίπτον· ὁμοίως σθένει.
τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος δὲ τῇ ὑποδιαιρέσει
τότε κατασκευάζονται, ὅτε καὶ μελετῶμεν.
τὰ ἀπ᾽ ἀρχῆς κεφάλαια τιθέμενοι οἰκεῖον·
οὔκουν ὁπόταν λύωμεν ὡς ἀντιθέτου τοῦτο.
τοῖς ἐσχηματισμένοις γὰρ προβλήμασιν ἁρμόζει.
ὑποφορῶν κατασκευὴ καὶ τῶν ἀντιτεθούντων.
ταὐτὸν ὁ ὑπομερισμὸς διασκευαῖς ἰσχύει.
καὶ γὰρ διασκευάζοντες δεικνύομεν τόδε τι.
οἷον ἐρήμοις ἵστασο, ἄρα φονεὺς ὑπάρχεις.
οὕτως ὑπομερίζοντες δεικνύομεν ὁμοίως.
εἰ μὴ ἐρήμοις ἵστασο, ἀλλὰ ἐν πολιτείᾳ,
εἰ μηδὲ θάπτων ἵστασο, ἀλλ᾽ ἀφεώρας μόνον.
ἡ διατύπωσίς ἐστιν ἔκφασις τῶν πραγμάτων.
ἡ εἰς λεπτὸν ἐξήγησις ἡ ὥσπερ ζωγραφοῦσα
τόποις τισὶν εἰκονικοῖς, ὃ ἀπαγγέλλει λόγοις.
εἰ ἔχεις διηγήματα κατὰ τοὺς τρεῖς τοὺς χρόνους.
τὰ παρελῆλυθότα μὲν ἐνδιασκεύως λέγε.
ἁπλῶς δὲ τὰ ἐνεστῶτα, γνώριμα γὰρ καὶ δῆλα.
καὶ ἄλλως δὲ περίεργος καὶ μακρηγόρος δόξεις.
εἴπερ κατὰ τοὺς τρεῖς χρόνους ἐνδιασκεύως γράφεις.
εἰ δὲ τὸ πρᾶγμα ἄξιον διασκευῆς ὑπάρχει.
εἰ δὲ κατὰ τοὺς τρεῖς χρόνους διήγησιν ἐφεύροις,
χρήζουσαν τῆς διασκευῆς, οὕτω μοι τότε γράφε.

14* Cod. ἐπὶ τῶν δ᾽ οἷς. — Versui 20. Cod. praefigit οἷον.

τοῦ ἐνεστῶτος πράγματος ποιούμενος τὴν γνώμην,
ἐγκαπασκεύως μὲν αὐτὸ λέγε μοι ταῖς αἰτίαις.
τὸ παρελθὸν καὶ μέλλον δὲ λέγε μοι μετὰ τρόπου.
τουτέστι ταῦτα λέγε δὲ ἐνδιασκεύως μόνα.
ἂν δὲ πρὸς διατύπωσιν ἄπορον ᾖ τὸ πρᾶγμα.
ἅνπερ αἰσχρὸν καὶ βδελυρὸν ὑπάρχει δὲ τὸ πρᾶγμα,
ὅπερ οὐ χρὴ πλατύνοντα λέγειν ἐνδιασκεύως,
χρηστῆς μεταχειρίσεως οἰκονομίᾳ χρῆσαι,
αὕτη δὲ μεταχείρισις καὶ ἡ οἰκονομία.
ἐν μὲν τοῖς ἄλλοις λέγοντες τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος.
λέγομεν πρῶτον πρότασιν τοῦ πράγματος ἀθρόου.
εἶτα καὶ τῆς προτάσεως ἑνὸς ἑκάστου λόγου
δρῶμεν ὑποδιαίρεσιν λεπτομεροῦντες τούτους.
οἷον τρεῖς ἔκτεινεν υἱούς, πρότασις ἔστω τοῦτο
τοῦ ὁλοκλήρου πράγματος, τουτέστιν τοῦ ἀθρόου.
εἶτα ὑποδιαίρεσις ἡ καὶ λεπτοτομία.
εἰ γὰρ μὴ τρεῖς ἀπέκτεινεν, ἀλλὰ ἐλάττους τούτων,
εἰ μὴ ἀπέκτεινεν αὐτοὺς ἀλλ᾽ ἀπεκήρυξέ πως·
εἰ μὴ υἱούς, ὀθνείους δὲ, καὶ τῶν οὐ προσηκόντων,
οὕτω τοῖς ἄλλοις λέγοντες τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος.
τίθεμεν πρῶτον πρότασιν· εἶθ᾽ ὑποδιαιροῦμεν.
καὶ τέλος πάντων τίθεμεν, ὅπερ πλαστὸν καλοῦμεν.
ἐν τοῖς αἰσχροῖς δὲ πράγμασι, φησὶν ὁ τεχνογράφος,
τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος μοι λέγε προτάσει μόνῃ.
εἶτα πλαστὸν ἐπίφερε τὸ πίπτον τελευταῖον·
αἰσχροῖς δ᾽ ὑποδιαίρεσιν μηδόλως μοι ποιοίης.
ἐν τοῖς ἀγῶσι τοῖς αὐτῶν τοῖς ἀπ᾽ ἀρχῆς εἰς τέλος.
τὴν δὲ ὑποδιαίρεσιν τήρει τοῖς ἐπιλόγοις.
καὶ πρὸς ὀργὴν τοὺς δικαστὰς παρακίνει καὶ πάθος.
καὶ περιόδων ἔξωθεν λέγε τοὺς ἐπιλόγους.
σὺν τούτοις χρὴ καὶ ἀφαιρεῖν ἅμα τὰς περιόδους,
αἴσπερ κατασκευάζομεν τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος.
ἀλλότριον περιοδός ἐστιν διασκευῆς γάρ.

τοὺς ἐπιλόγους πρέπει δὲ λέγειν ἐνδιασκεύως.
ταυτολογεῖ διασκευὴ καὶ ἀγωγὴ χωρίων.
ὁ ὑπομερισμός ἐστι διασκευῇ ταὐτόν τι.
καὶ ἡ διασκευὴ ταὐτὸν τῇ ἀγωγῇ χωρίων.
ὥσπερ γὰρ ἡ διασκευὴ ἀθρόον πρᾶγμα λέγει.
οἷον ἐρήμοις ἵστασο, φονεὺς ὑπάρχεις ἄρα.
εἶτα λαβὼν ὁ μερισμὸς ὑπομερίζει τοῦτο.
εἰ δὲ μὴ θάπτων ἵστασο, εἴπερ μὴ τὸ καὶ τόδε.
εἶτα πάλιν ἐπανελθὼν ἀθρόως τοῦτο λέγει.
ἐπεὶ δὲ θάπτων ἵστασο, φονεὺς εἶ τοῦ κειμένου·
ῥύτω χωρίων ἀγωγῇ ταυτολογεῖν ὁμοίως,
καὶ γὰρ κἂν ταύτῃ λέγομεν ταὐτὰ ταυτολογοῦντες.
ἀθρόον γὰρ τὸ πρᾶγμά τις εἰπὼν ἐνδιασκεύως,
τριακοσίους τοῖς βωμοῖς ὠμῶς καὶ ἀπανθρώπως,
ὡς σφάγια ἐθύσατε, καθάπερ ἱερεῖα.
οἰκτρῶς ἐν στεφανώμασιν, οἰκτρῶς δεδακρυμένους·
θρηνοῦντας, παραβάλλοντας ἐν ὀλοφυρμοῖς ἀλλήλους.
ἐπάγει παραδείγματα, ἃ ἀγωγαὶ χωρίων.
καθ' ἓν δὲ τούτων πρὸς αὐτὸ τὸ πρᾶγμα μεταβαίνει,
ὥσπερ τοῖς ὑπομερισμοῖς, ὥσπερ καὶ πρώην εἶπον.
τριακοσίους τοῖς βωμοῖς ἐθύσατε ὡς ἄρνας·
εἶτα δὲ καὶ παράδειγμα πρὸς τοὺς τριακοσίους·
ὃν ἐπαινεῖτε ἀριθμὸν δὲ τῶν τριακοσίων.
εἶτα καὶ ἡ μετάβασις ὡς πρὸς αὐτὸ τὸ πρᾶγμα.
ὦ Λάκωνες, ἐφθείρατε τῇ τελευτῇ τῇ τούτων.
εἶτα πάλιν παράδειγμα μετὰ τὸ πρᾶγμα ἄλλο.
ἔθανον τριακόσιοι ἡμῶν ἐν τῇ Θυραίᾳ,
ἀλλ' ὥσπερ ἄνδρες μαχηταὶ, ἀλλὰ πολέμου νόμῳ.
εἶτα πάλιν μετάβασις ὡς πρὸς αὐτὸ τὸ πρᾶγμα.
ὑμεῖς δὲ κατεσφάξατε τούτους θυμάτων νόμῳ.
καὶ πάλιν δὲ παράδειγμα καὶ ἀγωγὴ χωρίου.
καὶ βασιλεὺς ἀπέκτεινεν ὑμῶν τριακοσίους.
ὧν εἷς καὶ Λεωνίδης ἦν ἐν τῷ Ἀρτεμησίῳ.

ἀλλ' οὐ κατέθυσεν αὐτοὺς, αἰδέσθη γὰρ τὴν φύσιν·
εἶτα καὶ ἐπανάληψις πάλιν ὡς πρὸς τὸ πρᾶγμα.
ὑμεῖς δὲ παρεστήσασθε θεοῖς τοῖς ὑμετέροις
τριακοσίους τοῖς βωμοῖς καθάπερ ἱερεῖα,
κατὰ δὲ ἐπανάκαμψιν ἑκάστην πρὸς τὸ πρᾶγμα
ἔξεστιν τὰ τοῦ πράγματος ἐνδιασκεύως λέγειν·
καὶ πάλιν τι παράδειγμα τιθέναι μετὰ ταῦτα.
περίοδος ὑπάρχει δὲ, καθότι ἄρθρον ἔχει
ἐν τῇ προτάσει κείμενον, ἐν δὲ τῇ ἀποδόσει
ἀντωνυμία κέκληται, ὅπερ φασὶν οἱ ἄλλοι,
ἕτεροι δὲ περίοδον, καλεῖται κατὰ τούτων
ὡς ὅλη περικλείουσα τὸν νοῦν ἐν τῇ προτάσει,
διπλασιάζων πάντα νοῦν, ὃ λέγει γὰρ προτάσει,
καὶ ἐν τῇ ἀποδόσει δὲ πάλιν λαμβάνων λέγει.
οἷον ἡμέρα νῦν ἐστι, δέον ποιῆσαι τόδε.
τοῦτο μὲν πρώτη πρότασις, ὅρα δὲ καὶ δευτέραν,
ἦν γὰρ μὴ ἦν ἡμέρα νῦν, νὺξ δ', οὐκ ἐχρῆν ποιῆσαι,
εἶτα καὶ ἡ ἀπόδοσις ταυτολογεῖ προτάσει.
ἐπεὶ δ' ἡμέρα νῦν ἐστι, δέον ποιῆσαι τόδε.
ἄλλαττε δὲ τὰ σχήματα, φησὶν ὁ τεχνογράφος,
μὴ ἡ ὑποδιαίρεσις τῶν ἀτερπῶν φανείη,
ἑνὶ ταὐτῷ τε σχήματι ἀεὶ εἰσαγομένη,
ἦν τῷ σχήματί ποτε ἐλεγκτικῷ μοι λέγε,
ἄλλοτε δ' ἀποφαντικῷ σχήματι πάλιν λέγε.
οἷον οὐκ ἔδει δοῦναί σε τοιάνδε τιμωρίαν·
οἵαν ἐχρῆν ἐν τούτῳ σε πάντως τιμωρηθῆναι.
ἔστι δὲ μεταχείρισις τοῦδε καλλίων ἄλλη,
τῶν ἀπ' ἀρχῆς εἰς τέλος σοι κατασκευὴν καλλίω
τῆς ὑποδιαιρέσεως τήνδε τυγχάνειν λέγει
ποτὲ μὲν ἐκ τοῦ πράγματος ἀρχόμενον τοῦ λέγειν.
λέγειν πρὸς τὴν ἀξίωσιν ἧγουν τὴν τιμωρίαν·
ποτὲ δὲ καταρχόμενος ἀπὸ τῆς τιμωρίας
λέγειν πρὸς τὸ προκείμενον ἐν τῇ ζητήσει πρᾶγμα.

οἷον ἐν παραδείγματι τοῦτο σαφηνιστέον.
οὐκ ἔδει πράξαντι τοδὶ δοῦναί σε τιμωρίαν.
ὁ τιμωρίας ἄξιος ἦν εἰργασμένος τόδε.
καὶ ἀντιστρόφως πάλιν δὲ ἀπὸ τῆς τιμωρίας.

Διατί τινες τὴν περίοδον ἐνθύμημα καλοῦσιν.

Ὥσπερ γὰρ τὸ ἐνθύμημα συνάγει καὶ συγκλείει
αὐτὸ τὸ ἐνθύμημα καί γε τὴν ἐργασίαν,
οὕτω καὶ ἡ ἀληθινὴ περίοδος συγκλείει
νοῦν τοῦ ἐπιχειρήματος, ὅπερ αὐτὴ ἐκφέρει.
ἢ ὅτι τὸ ἐνθύμημα τέως ἐπὶ τὸ πλεῖστον
ἐκφέροντες εἰώθαμεν ἐκφέρειν περιόδῳ.
κυρίως δὲ καὶ ἀληθῶς περίοδος ὑπάρχει
ἡ ἅπαν τὸ ἐνθύμημα συγκλείουσα τῷ κώλῳ.

Τρίγωνον Τρίκωλον.

Ὧν μὲν οὖν ἐκεῖνος ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πολιτευομένοις χάριν,
ἡμῖν δὲ δίκην προσῆκεν λαβεῖν,
τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν.

Ἰστέον δ' ὡς ἰσοσκελεῖς καὶ ἰσοπλεύρους δέον
τὰς περιόδους γίνεσθαι ἢ καὶ συντομωτέρας
κατά γε τὴν ἀπόδειξιν, οὐ μὴν καὶ τοὐναντίον.

Τὰ μὲν ποιητικὰ τῶν ἐπιχειρημάτων ἐν σχήμασιν ἐκφέρομεν στρογγύλοις ἐσφιγμένοις, τουτέστι κατ' ἀντίθετα καὶ κατὰ περιόδους· τὰ δὲ πανηγυρικὰ οὐκ ἐκφέρομεν στρογγύλοις ἐσφιγμένοις· ἀλλά γε δὴ πνευματικοῖς μακροῖς καὶ ἀκμαίοις. Ἐνταῦθα καὶ αἱ ἀποδόσεις προτάσεις γίνονται, καὶ αἱ προτάσεις ἀποδόσεις, καθὼς βούλει ἀντιστρέφεις. Χιασμὸς δὲ οὐδαμῶς γίνεται ἀλλ' ἢ ἀντιστροφαί. Ὀφείλει δὲ ἡ περίοδος συγκεῖσθαι, ἢ ἐκ μιᾶς προτάσεως καὶ ἀποδόσεως μιᾶς, ἢ ἐκ δύο προτάσεων καὶ ἀποδόσεων δύο, ἢ ἐκ δύο προτάσεων μιᾷ ἐπ' ἀποδόσει.

Οὐ μὴν καὶ τοὐναντίον δὲ, ἀδύνατον γὰρ τούτοις
τὸ ἀποδόσεις ἀγαγεῖν δύο μιᾷ προτάσει.

*Περίοδος. Τετράγωνον Τετράκωλον.*

*Ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ,*
*τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν·*
*ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι ἡμῖν,*
*τὸ δοῦναι ὑμῖν ἐξεῖναι.*

*τὸ παρὰ τὴν ἀξίαν γὰρ εὖ πράττειν ἐν τῷ βίῳ*
*τοῖς ἀνοήτοις γίνεται κακοφροσύνης τρόπῳ.*

*ὁ μὲν γὰρ Φίλιππος ὅσῳ τοσοῦτο θαυμαστότερος πᾶσι.*
*ὑπὲρ τὴν αὐτοῦ ἀξίαν ποιεῖ*

*ἡμεῖς δέ, ὦ Ἀθηναῖοι, ὅσῳ χεῖρον τοσούτῳ πλείονα*
*ἢ προσῆκε τοῖς πράγμασι κέχρησθε αἰσχύνην ὠφλήκατε.*

*ὁ μὲν γὰρ βίον καὶ λόγον ἀξίως παρὰ πᾶσι θαυμάζεται*
*κατωρθωκώς*

*ὁ δὲ βίου μόνου καὶ λόγου οὗτος θαυμαστότατος*
*ἀξιωθεὶς παρὰ πᾶσι φαίνεται.*

*Ἐνταῦθα ἀμφότεραι αἱ ἀποδόσεις ἀμφοτέραις ἁρμόζουσι ταῖς προτάσεσι.*

*Παθητικός ἐστι καὶ χαρᾶς καὶ λύπης ὁ πανηγυρίζων, ἢ περιχαρῶς λέγων ἢ ἐλεεινολογούμενος, ὡς τὸ, ἀκούσατε ὄρη καὶ πᾶς ἄλλος κόσμος· ἢ χαίρομαι, φησὶ, Χριστὸς γεννᾶται, Χριστὸς ἐξ οὐρανῶν. διπλασιάζει τὸ ὄνομα καὶ τὸ κῶλον. Ἡ μεταποίησις, φησὶν, ἐν πάσαις περιόδοις· ἐν τετρακώλοις, μᾶλλον δὲ ταῖς ἀναστρεφομέναις· καὶ ἐπὶ ταῖς χιάζεσθαι γεγενημέναις πλέον ἐκπλήττει τοὺς ἀκροατὰς ὑπαλλαγαῖς συντόμοις. Πνεῦμά ἐστι σύνθεσις λόγου, διάνοιαν ἀπαρτίζον ἐν κώλοις καὶ κόμμασι μετρούμενον πρὸς τὴν διάρκειαν τοῦ πνεύματος κατὰ τὴν φωνὴν τοῦ λέγοντος. Ἰστέον δὲ, ὅτι δεῖ καὶ κῶλον καὶ κόμμα ἀπαρτίζειν τὴν διάνοιαν.*

*Τὰ κῶλα τὰ σχοινοτενῆ χρήσιμα προοιμίοις,*
*τοῖς ποίοις προοιμίοις δὲ χρήσιμα ταῦτα λέγει,*

τοῦτο σαφὲς καὶ πρόδηλον τοῖς δικανικωτάτοις·
ταῦτα γὰρ ἑρμηνεύονται σχοινοτενέσι κώλοις.
τὰ δ' ἠθικὰ παθητικὰ χαρμόσυνα βραχέσι.
ἓν μὲν τὸ μίαν ἔννοιαν πλείστοις δηλοῦν ἐν κώλοις.

Οἷον ὅτε[15] γὰρ περιῶν Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτὸν, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν Αἰσχίνης, τότε δὴ τότε πάντες, ἐφ' οὓς ταῦτα παρεσκεύαζεν, ἐπολεμοῦντο. εἰ δὲ μὴ ἠσθάνοντό, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ· τοῦτο γὰρ σύμπαν ἓν ἐπινόημα τὸ ἑρμηνεία τοῦ ὅτι πάλαι Φίλιππος τοῖς Ἕλλησιν ἐπεβούλευε.

Ἄλλο δὲ τὸ ἀπαρτίζον νοῦν πράγματος κατὰ κῶλον οἷον·[16] ἀλλ' ὁ τὴν Εὔβοιαν σφετεριζόμενος, καὶ κατασκευάζων περιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ καταλαμβάνων Ὠρεὸν καὶ Μεγάροις ἐπιχειρῶν καὶ κατασκάπτων Πορθμὸν, καὶ διόλου τοῦτο τὸ πνεῦμα συναπαρτίζει τοῖς πράγμασι καὶ τὸ κῶλον· καὶ παρὰ ταῦτα οὐκ ἔστιν ἄλλο εἶδος πνεύματος.

Σχήματα δὲ πνευμάτων, ὅσα καὶ λόγων. Ἔξεστι γὰρ καὶ κατὰ ἀποφάνσεις λέγειν, καὶ κατ' ἐρώτησιν καὶ κατὰ τὸ ἐλεγκτικὸν καὶ δεικτικὸν ὡς ἀρνητικὸν καὶ ἁπλῶς λέγειν· ὅτῳ δ' ἂν ἐπιμείνῃς, πνεῦμα ποιεῖς.

## Περὶ τάσεως.

Τάσις ἐστὶν, ὅταν κ. τ. λ. apud Hermog. p. 166. v. 17. — p. 167. v. 3.

Δια-

15 pro cor. p. 240. 16 pro cor. p. 248.

*Διαφορὰ κατὰ φορὰν καὶ ἐπιφοράν.*

*Λόγοι σφοδροὶ ἢ καὶ τραχεῖς, ὑβριστικοὶ καὶ ἄμφω.*
*ἀλλὰ πρὸ ἀποδείξεως τῇ μὲν ἡ λοιδορία*
*ὡς ἔστι τὸ οἰνοβαρὲς ὄμματα [17] κυνός τ᾽ ἔχων.*
*ἐπιφορὰ δὲ λοιδορεῖ μετὰ τὰς ἀποδείξεις.*
*ὡς τὸν Θερσίτην Ὀδυσσεὺς τῇ βῆτα ῥαψῳδίᾳ.*
*οἷον πότερον παρῆς καὶ συνευφραίρου τούτοις ἢ οὔ.*
*ἑκάστη ἀποδόσεως δεδέηται οἰκείας.*
*τοῦ γὰρ παρῆς ἀπόδοσις, πῶς νῦν κατηγορεῖς δὲ;*
*τοῦ δ᾽ οὐ παρῆς τὸ ἄξιος ὑπάρχεις τιμωρίας.*

*Γίνεται δὲ τὰ διλήμματα ἤτοι τῶν δύο ἐρωτήσεων δι᾽ ἓν πέρας ἐρωτωμένων. οἷον εἴτε καλὴν ἔγημας εἴτε αἰσχρὰν, οὐκ ἔδει σε γῆμαι. ἓν γὰρ πέρας συνάγεται ἀμφοτέρωθεν τὸ μὴ δεῖν γῆμαι· διὰ μὲν τοῦ καλὴν κοινὴν, διὰ δὲ τοῦ αἰσχρὰν ποινήν· ἢ ὅταν τῶν ἐρωτήσεων ἑκάστη ἰδίας ἀποδόσεως δεδέηται· καὶ τὰ μὲν κοινὰ διλήμματα ταῦτα. Τοῦτο δὲ τὸ διλήμματον σεσόφισται καὶ Δημοσθενικόν ἐστι.*

*Τοῦτο δὲ τὸ διλήμματον, ὅπερ σοι νῦν εἰρήκειν*
*ἑκάστην πρὸς ἐρώτησιν ἀπόδοσιν κεκτῆσθαι,*
*σχῆμα σοφιστικώτατόν ἐστιν τοῦ Δημοσθένους.*
*τὸ παραλογιζόμενον σοφιστικὸν νῦν λέγει.*
*τὰς ἐρωτήσεις δὲ χρεὼν ὑπάρχειν ἐναντίας.*
*ἀμοιβὰς ἐναντίας δέ φησιν οὐχὶ ἐμμένειν.*
*παροίχομαι παροίχησις οὐδὲν γὰρ δύσνουν ἔχει.*
*θήσω δέ σοι παροίχησιν ἐπῶν Ἐμπεδοκλείων,*
*ἐπὶ ἀρίστῳ ἰατρῷ Ἄκρωνι Ἄκρου τέκνῳ,*
*ἐπ᾽ ἄκρῳ τε Ἀκράγαντος τῷ λόφῳ τεθαμμένῳ.*
*Ἄκρον ἰατρὸν Ἄκρων᾽ Ἀκραγαντίνου [18] πατρὸς Ἄκρου*
*Κρύπτει κρημνὸς ἀὴρ πατρίδος ἀκροτάτης.*

17 Cod. ὄμμα. 18 Vind. ἀγαντίνου. Empedoclis Epigr. p. 532. ed. Sturz.

τῆς ἑρμηνείας σχῆμα μέν, ἥτις ἐστὶν ἡ φράσις,
καλῶς τὰ νῦν ὁ τεχνικὸς εἶναι τὸν κύκλον λέγει.
τούτων χωρίων διαιρῶν σχημάτων τὰς ἐννοίας
καὶ ἐννοιῶν καὶ λέξεων σχήματα γὰρ ὑπάρχει·
τῶν ἐννοιῶν μὲν σχήματα αἵ τε ἐπιτιμήσεις.
σὺν ταύταις ἐπιείκειαι καὶ τὸ δεδισταγμένον,
τὸ ἀδιστάκτως λέγειν τε καὶ ἕτερα μυρία.
φράσεως δὲ καὶ λέξεως σχήματα πάλιν ἄλλα·
παροίχησις καὶ πάρισον, κλιμακωτὸν, διπλώσεις,
ἐπιμοναὶ καὶ κύκλοι τε καὶ ἀντιστροφαὶ δέ.
ἀναστροφαὶ σὺν τούτοις δὲ καὶ ἕτερα μυρία.

Κύκλος δέ ἐστι σχῆμα λόγου καὶ αὐτὸ ἑρμηνείας, ἴδιον κάλλος ἐμπεριέχον.

Κύκλος περιοδικός.

Σοὶ μὲν γὰρ ὁ πατὴρ κλέπτης ἦν, εἴπερ ἦν ὅμοιός σοι.
Ὅρος ὁρίζων κυκλικῶς τοῦτο τοῦ κύκλου ὅρος.
Βορρᾶς κυλίνδει κύματα, ὁ Νότος ἀνωθεῖ δὲ,
ὅτι Βορρᾶς ἀφ' ὑψηλῶν τῶν τόπων ἐπιπνέων
ἐπὶ τὸ χθαμαλώτερον τὰ κύματα κυλίει.
ὁ Νότος δ' ἐκ τῶν χθαμαλῶν καὶ πρὸς ἄναντα πνέων
βίᾳ πολλῇ τὸν πρὸς ὕψος ἀναφέρει.
Τὸ ἴδιον τοῦ λόγου δὲ ἐμπεριέχον κάλλος
δηλοῖ κάλλος διάφορον κεκτῆσθαι τῶν ἑτέρων.
σχημάτων ἅπερ φράσεως προσείπομεν ὑπάρχειν.
ὁ μὲν Ἑρμογένης φησὶ μὴ ἐκφέρεσθαι σχῆμα
ἑτέροις σχήμασι, πρὸς ὃν ὁ Τζέτζης ἀντιλέγει,
δεικνύων ὅτι ἐκφέρεται.
ἐκφέρεται πᾶν σχῆμα μὲν ἐν σχήμασιν ἑτέροις,
οἷον τὸν κύκλον δεικτικῶς τῷ σχήματι νῦν βλέπεις.
τὸ σὺ γὰρ οὗ τὸ καὶ ἐγὼ τῶν δεικτικῶν ὑπάρχει.
ποιήσω καὶ κατ' ἄθροισιν καὶ μερισμόν σοι κύκλον.
οἱ δύο ἐλευσόμεθα ἐγὼ καὶ σὺ, οἱ δύο.
βλέπε καὶ κατὰ ἄρνησιν καὶ ἔνστασιν καὶ ἄρσιν.

οὔκουν μὰ τὸν Ἀπόλλωνα τοῦτο ὑπάρχει, οὔκουν.
ἐλεγκτικὸν δὲ βλέπε μοι καὶ κατὰ θέσιν κύκλου.
ἐνὶ μὰ τὸν Ἀπόλλωνα τοῦτο τὸ πρᾶγμα ἐνὶ
καὶ ἄλλοις δὲ κεκλήσεαι σχήμασιν, εἴπερ θέλεις·
ὁ τεχνικὸς δ' ἠπάτησεν [19] οὐκ οἶδα πῶς τοὺς ἄνδρας.
σχῆμα γὰρ μὴ ἐκφέρεται σχήμασιν ἄλλοις, λέγει.

Ἐπιφώνημά ἐστι κ. τ. λ. apud Hermog. p. 172. v. 6. — p. 174. v. 20.

Εἴδη σοί τρία δείκνυσι τῶν ἐπιφωνημάτων.
Τὸ παρὰ φύσιν τολμηρῶς πλὴν συναδόντως λέγειν,
καὶ τῶν νεφῶν τὴν πύκνωσιν ἐξ οὐρανόθεν νύκτα.
καὶ τὸ συλληπτικώτερον πάντα παλιλλογῆσαι
ἑνὶ κώλῳ τὰ πρότερον πλατέως λελεγμένα.
τὰς τροπὰς δὲ [1] τῶν λέξεων εἶδος φησι τὸ τρίτον,
οὐδὲν διαφερούσας τι τοῦ εἴδους τοῦ προτέρου.
ὥσπερ ὁ Τζέτζης βούλεται καὶ διαβεβαιῶσαι.

## Περὶ τροπῆς.

Τροπὴ δέ ἐστι τὸ μὴ ἐξ ὑποκειμένου πράγματος ἀλλοτρίου δὲ σημαντικὸν ὄνομα θεῖναι κοινὴν εἶναι δύναμιν καὶ τοῦ ὑποκειμένου καὶ τοῦ ἔξωθεν ἐμφαινομένου, ὃ καλεῖται καὶ μεταφορὰ παρὰ τοῖς γραμματικοῖς. Κατὰ γραμματικοὺς τετραχῶς ἡ μεταφορὰ, ἀψύχων ἐπὶ ἔμψυχα, οἷον Ἑλλήνιον ἔρκος, ἐμψύχων ἐπὶ ἄψυχα· ῥόδα σκιρτᾷ καλίκων· ἐμψύχων ἐπὶ ἔμψυχα· ποιμὴν λαῶν ὁ ἄναξ· ἀψύχων ἐπὶ ἄψυχα· σπέρμα πυρός τις κρύπτων.

Σεμνὸν δὲ κ. τ. λ. apud Hermog. p. 176. v. 18. — p. 177. v. 6.

Οὐδὲν σεμνότερόν ἐστιν ἢ πᾶσι τοῦτο λόγος
„σιγᾷν ὅπου χρὴ καὶ λέγειν ἵν' ἀσφαλές." [2]
κατὰ γὰρ τὸν Ἡσίοδον ἐκεῖνον τὸν Ἀσκραῖον [3]

---

19 Non liquet scriptura codicis. — 1 δὲ Cod. om.
2 Eurip. Inone, vid. Valck. Diatr. p. 175. a. 3 Ἔργ. 719.

„γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
„φειδωλῆς πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.“

*Περὶ κακοζήλου.*

*Τὸ δὲ κακόζηλον γίνεται κ. τ. λ.* apud Hermog. p. 178. v. 11 — 15.

*Σημειωτέον τοῦτο δὲ κάλλιστον ὂν εἰς γνῶσιν,*
*ὡς τότε μόνον λέγομεν ἐν σχήματι τὸν λόγον,*
*ὅταν τι δυσχερέστερον πρᾶγμα ζητεῖν δοκῶμεν.*
*τοῦ ὅπερ λέγουσιν ἡμᾶς ἄξιοι πεπονθέναι.*
*οἷον τυχὸν καὶ τοὺς Λυδοὺς ὁ Κῦρος ἐκπορθήσας*
*θῆλυν ἐκέλευσε στολὴν ἀτίμως ἐνδεδύσθαι.*
*οἱ δὲ θανεῖν ἠξίωσαν σφᾶς ἑαυτοὺς τῷ τότε.*
*ἐν μόνοις τούτοις σχήμασι προάγομεν τὸν λόγον.*
*τοῖς ἄλλοις δὲ ζητήμασι πᾶσιν ἀσχηματίστως.*
*κἂν ἔλαττόν τι δυσχερὲς αἰτῶμεν οὐχὶ μεῖζον.*
*ἀντὶ θανάτου μάστιγας εἴτε φυγὴν πατρίδος.*
*κἂν ἀγαθὸν κἂν φαῦλόν τί τισι τῶν ἐναντίων.*
*συγκριτικὰ προβλήματα ὁ τεχνικὸς νῦν λέγει*
*ὁπόσαπερ ὑπάρχουσι διπλᾶ τῶν ζητημάτων*
*στοχαστικὰ καὶ ὁρικὰ καὶ τῆς πραγματικῆς δέ.*
*συγκριτικὰ δὲ λέγονται, ὅτι κατὰ συγκρίσεις*
*εἰώθασί πως γίνεσθαι αἱ τούτων διαιρέσεις*
*ἀντίθετα κεφάλαια, πίπτει γὰρ κεφαλαίοις*
*αὐταῖς δὲ ταῖς συγκρίσεσι καὶ τοῖς συγκριτικοῖς δὲ* [4]
*ἢ ὅτι καὶ συγκριτικῶς εἰσάγομεν τὸν λόγον.*
*ἰδία λόγου πέφυκε ποιότης ἁρμοδία*
*προσώποις τε καὶ πράγμασι τοῖς ὑποτιθεμένοις*
*κατ᾽ ἔννοιαν καὶ τάξιν δὲ πλεῖον δὲ ἁρμονίας.*

*Εἰ γὰρ ταὐτὸ στοχασμὸς ἢ ὅρος ἢ συλλογισμὸς περιπέσοι, ῥᾳδίαν ἔχει καὶ τὴν διαίρεσιν· διπλῶς δὲ χρώμεθα· οἷον ἐμὲ μὲν οὐκ εἰκὸς, σὲ δὲ εἰκός.*

---

4 δὲ Cod. om.

Χρήσιμον δὲ τὸ σύγγραμμα λόγους ποιεῖν καὶ κρίνειν.
σκοπὸς μὲν νῦν, ὡς ἔφαμεν, τῷ τεχνικῷ τυγχάνει,
διδάξαι τὰς ἰδέας σοι καὶ μόρια τὰ τούτων
ποίαις ἰδέαις χρήσεται δικανικῷ τῷ εἴδει
ποίαις συμβουλευόμενος, ποίαις πανηγυρίζων.
καὶ κοινωνίας ἰδεῶν [5] διαφοράς τε δεῖξαι,
ἐν αἷς κατὰ τί τῶν ὀκτὼ μορίων κοινωνοῦσι,
καὶ κατὰ τί διάφοροι γίνονται πρὸς ἀλλήλας.
καὶ περὶ χαρακτήρων δὲ λόγου σοφῶν διδάξαι
ῥητόρων φιλοσόφων τε καὶ σοφιστῶν σὺν τούτοις,
καὶ ποιητῶν ἱστορικῶν ὁμοῦ καὶ συγγραφέων.
περὶ ἰδεῶν καὶ οὐχὶ περὶ τῶν [6] χαρακτήρων
ἐπιγραφὴν τὸ σύνταγμα τοῦτο πρεπόντως φέρει.
ὁ Σικελὸς Φοιβάμμων δὲ λέγων ἐκφέρει τάδε,
ὅτε λέγειν αὐτῷ σκοπὸς οὐ περὶ τῶν ποιούντων,
περὶ τῶν ποιουμένων δὲ, ὅθεν καλῶς ἐγράφη.
ποιοῦσι χαρακτῆρες δὲ, ποιοῦνται δὲ ἰδέαι.
ὁ χαρακτὴρ γὰρ, ὥς φασιν, ἰδέας περιέχει.
Δοξόπατρος δ' ἐπιγραφὴν κεῖσθαι καλῶς νῦν λέγει·
ἐκ τούτων γὰρ γινώσκομεν ἰδέας τὰς τοῦ λόγου
διαφορὰν δὲ ἰδεῶν καὶ χαρακτήρων λέγει.
τὰ μὲν πρωτότυπά φασιν ἰδέας τινὰς εἶναι,
ἃ δὲ πρὸς τὰ πρωτότυπα γίνονται χαρακτῆρες.
κἀγὼ μακρηγορέω δὲ καθώσπερ οὗτοι μάτην.
ποῦ γὰρ εἰς τέχνην συντελὲς τοῦτο ῥητορευόντων
καλῶς περὶ τῶν ἰδεῶν ἐπιγραφὴν νῦν θεῖναι.
περὶ γὰρ διαγνώσεως τῶν ἰδεῶν διδάσκει.
ὁποίαις μὲν χρησαίμεθα δικανικῷ τῷ εἴδει,
ποίαις δὲ συμβουλεύοντες, ποίαις ἐν πανηγύρει.

Εἰσὶν αἱ τεμνόμεναι εἰς εἴδη ἰδέαι σαφήνεια, μέγεθος, ἦθος· εἰδικώτατα δὲ κάλλος, γοργότης, ἀλήθεια, δεινότης.

---

5 Cod. εἰδεῶν. 6 τῶν Cod. om.

Διαφοράς μοι μάνθανε λοιπὰς πρὸς ἐπὶ τούτοις,
εἴδους, ἰδέας καὶ μορφῆς, ὁμοῦ καὶ χαρακτῆρος.
τὸ εἶδος περιέχει μὲν μιᾶς οὐσίας φύσιν·
ἄνθρωπος ἀνθρωπότητα, ἱππότητα δὲ ἵππος·
ἰδέα σώματός ἐστιν ἡ ὁρωμένη θέα.
μορφὴ ἡ ὡραιότης δὲ καὶ τὸ καλλύνον ἅπαν·
ὁ χαρακτὴρ δὲ σφράγισμα[7] καὶ σφράγισμα σαφές τι·
οἷον στρεβλόῤῥιν[8] ἢ γρυπὸς εἴτε φοξὸς ψεδνόθριξ
τὰ τρία γοῦν ῥητορικῆς ἅπερ προέφην εἴδη,
ἡ συμβουλὴ, πανήγυρις, καὶ τὸ δικανικὸν δὲ
ἔχουσι καὶ ἰδέας μέν τινας ἐπεγκειμένας,
σαφήνειαν ἢ μέγεθος ἢ τῶν ἑτέρων ἄλλων·
μορφὴν δὲ τὴν ἐκ λέξεων ὁμοῦ καὶ τῶν σχημάτων
καὶ λόγοι τίνες ἄτεχνοι καὶ τῶν ἀῤῥητορεύτων
ἰδέας ἔχουσί τινας καί γε μορφὰς τοιαύτας.
ἐγχάραγμα καὶ γνώρισμα σαφὲς δικανικοῦ δὲ
ἁδρὸν ἅπερ καὶ σύντομον τὸ τῶν ἐγκατασκεύων.
τῆς συμβουλῆς δὲ χαρακτὴρ καὶ γνώρισμα γενναῖον
τὸ μέσως ταῖς κατασκευαῖς μὴ κατακόρως χρῆσθαι.
τῆς δέ γε πανηγύρεως ὁ χαρακτὴρ ὁ τρίτος.
ὁ χαλαρὸς καὶ ταπεινὸς ὁ τῶν ἀκατασκεύων.
καὶ γὰρ τῷ νῷ καὶ λέξεσι μᾶλλον λαμπρὸς τυγχάνει.
τῷ μὴ ἐγκατασκεύῳ δὲ ὁ τῶν ἐναγωνίων
ὕπτιός τε καὶ ταπεινὸς εἴληχε κλῆσιν φέρειν.

*Ποιητικαὶ μεγέθους μὲν αὗταί εἰσιν ἰδέαι.*

Σεμνότης, ᾗ ἀντίθετον ἀφέλεια ὑπάρχει.
Τραχύτης, ᾗ ἀντίθετον ἐπιεικὲς, γλυκύτης.
Ἀκμή τε, ᾗ ἀντίθετον ἐπιεικὲς, γλυκύτης, καὶ σὺν αὐταῖς καὶ μετ' αὐτῶν ὁμοῦ καὶ ἡ γοργότης.
Περιβολὴ, ἀντίθετον ᾗπερ ἡ καθαρότης.
Λαμπρότης, ᾗ ἀντίθετον καθέστηκε γοργότης.
Σφοδρότης, ᾗ ἀντίθετον καθέστηκε γοργότης.

7 Cod. bis ἐνφράγισμα. 8 In Cod. στρεβλορῷ et θνόθριξ.

Οὐκ ἔστιν ἡ ἀσάφεια παντὸς λόγου κακία.
ἀλλ᾽ ὅταν ἐκ συγχύσεως, φασὶ, καὶ ἀτεχνίας,
τότε καὶ λόγου νόσημα τυγχάνει καὶ κακία·
ὅταν δὲ τέχνῃ ῥήτορος γίνηται καὶ μεθόδου,
τότε καὶ μᾶλλον ἀρετῆς τὸ ἀσαφὲς ὑπάρχει.
οἷον ἐν τοῖς αἰνίγμασι καὶ γρίφοις καὶ θεσφάτοις,
καὶ ἐσχηματισμένοις δὲ ζητήμασιν ὁμοίως·
μετὰ δὲ τὴν σαφήνειαν περὶ μεγέθους γράφει·
δεῖ τῷ σαφεῖ μεγέθους γὰρ, ὥσπερ αὐτὸς διδάσκει,
ἂν μέγεθος οὐκ ἔχει δὲ, πρὸς εὐτελὲς ἐκτρέχει.
μέθοδοι δὲ τυγχάνουσιν αἱ τῆς καθαρότητος
τὸ ἐκ τοῦ πράγματος ψιλοῦ τὴν καταρχὴν ποιεῖσθαι,
καὶ μὴ μιγνύναι ἔξωθέν τι τῶν περιβαλόντων·
καὶ τὸ, κἂν ἐμπερίβολος ἡ ἔννοια ὑπάρχει,
ὅμως ἀπὸ τοῦ πράγματος τὴν καταρχὴν ποιεῖσθαι.
τρίτον τὸ κατ᾽ ἀφήγησιν τὸν λόγον παρεισάγειν.

## Περὶ ἤθους.

Ἐργαστικαὶ τοῦ ἤθους μὲν αὗταί εἰσιν ἰδέαι.

ἐπιείκεια βαρύτης.

ἀφέλεια ἀλήθεια

ὧν ἡ βαρύτης καθ᾽ αὑτὴν οὐ θεωρεῖται μόνη.
ἐκ τῆς ἐπιεικείας γὰρ ἔστιν καὶ ἀφέλεια.
ἀφέλειαν ποιοῦσι δὲ γλυκύτης καὶ δριμύτης.
Τὸ ἦθος τὸ πολιτικὸν δύο σημαίνει νόει,
ὃ τοῖς ὑποκειμένοις μὲν προσήρμοσται προσώποις,
λίχνοις, ἀγρόταις καὶ λοιποῖς καὶ ἦθος τὴν ἰδέαν·
ἢ ὅπερ [9] ἦθος δείκνυσι τοῦ λέγοντος τὸν λόγον,
ἢ τὸ τῶν μιμουμένων δὲ πάντων ἀνθρώπων ἦθος.
λίχνων, ῥητόρων, στρατηγῶν, δειλῶν ἢ φιλαργύρων.
ὅτ᾽ αὔξομεν ὑπερβολαῖς, τότε καὶ δρῶμεν πάντως

9 Cod. ὅ.

τὸ ἐνδιάθετον αὐτὸ καὶ ἀληθὲς τοῦ λόγου·
οἷον τοιοῦτον, ἥλιε καὶ ἀρεταὶ καὶ λόγοι,
τῶν ἀφυῶν ἀνδράριον ἡμῖν ἀντιφερίζεις·
ἢ εὐτελέσι πράγμασι τοὺς λόγους ἐξισοῦμεν·
ποιοῦμεν δὲ ἀφέλειαν ὥσπερ ὁ Ἀνακρέων,
Σαπφώ τε καὶ Θεόκριτος βουκολικοῖς ἐν λόγοις.
ἐκ τῶν τριῶν δὲ ἰδεῶν τῶν εἰρημένων τούτων
ἐπιεικοῦς καὶ ἀληθοῦς μετὰ τῆς ἀφελείας
ἥ τε γλυκύτης γίνεται καὶ σὺν αὐτῇ βαρύτης.
αὐξήσει ἀφελείας γὰρ γλυκύτητα ποιοῦμεν.
αὔξῃ ἐπιεικείας δὲ βαρύτητα ποιοῦμεν.
καὶ αὔξῃ ἀφελείας δὲ βαρύτητα ὁμοίως.
ἡ γὰρ βαρύτης καθ' αὐτὴν ὑπόστασιν οὐκ ἔχει.
οὐδὲ πρὸς τὴν [10] ἀνάπλησιν συμβάλλεται τοῦ ἤθους.

## Περὶ κάλλους.

Κυρίως κάλλος λέγεται τοῦ λόγου πεφυκέναι
ἡ μίξις ἡ εὐάρμοστος ἡ τῶν μερῶν τοῦ λόγου
ἐννοίας καὶ μεθόδου δὲ λέξεως καὶ τῶν ἄλλων.
ἡ μίξις τοῦ τῶν ἰδεῶν αἵπερ ποιοῦσι κάλλος
τοῦτο τοῦ λόγου κάλλος μὲν ὑπάρχει τοῦ κυρίως·
ἐπεὶ δ' ἐστὶ καὶ ἕτερον κομμωτικόν τι κάλλος.
τὸ τῆς δοκούσης ἡδονῆς τῆς περισσολεκτούσης
καὶ τῆς ἰσοκατάληκτα ἐχούσης καὶ τοιαῦτα,
δέον καὶ περὶ τούτου με τοῦ κάλλους ἐκδιδάσκειν
καὶ περὶ τὰ ἑπόμενα περὶ τὴν λέξιν τάδε,
σχήματα, κῶλα, σύνθεσιν, ἀνάπαυσιν, ῥυθμόν τε.

Μέρη τοῦ λόγου παντὸς ἰδέαι εἰσὶν ὀκτώ. ἔννοια, μέθοδος, λέξις, σχῆμα, κῶλα, σύνθεσις, ἀνάπαυσις, ῥυθμός.

## Περὶ εὐκρινείας.

Ἡ μὲν ἰδέα αὕτη γοῦν εὐκρίνεια καλεῖται

---

10 τὴν Cod. om. — v. 28. Cod. ἄνευσις.

ἡ εὖ διαχωρίζουσα καὶ κρίνουσα τοὺς λόγους·
μετὰ δὲ καθαρότητα πρεπόντως κατετάχθη.
καὶ γὰρ τῆς καθαρότητος ἀνόρθωσιν ποιεῖται
εἴπερ γὰρ εἰς ἀσάφειαν τὸ καθαρὸν ἐμπέσοι
περιβολαῖς τε συγχυθὲν καὶ πλήθει τῷ τῶν λόγων
ἀλλ᾽ οὖν γε καὶ εὐκρίνεια πάλιν καθαίρει τοῦτο·
χρᾶται γὰρ ἀναλήψεσι καὶ διορθοῦται τοῦτο,
καὶ τῇ προκαταστάσει δὲ καί γε τῇ ἀποθέσει
καὶ ταῖς προδιορθώσεσι καὶ τῇ ἐπιδιορθώσει.
πάλιν γενέσθαι καθαρὸν τὸν λόγον μεθοδεύει.
τί πρῶτον καὶ τί δεύτερον, καὶ τάξιν τῶν πραγμάτων.
ἐν εἴδει παναγύρεως τὸ πεπηγὸς τηροῦσιν.
ὥσπερ φησὶν ὁ Σικελὸς, εἰσὶν γὰρ τεταγμένα,
τί πρῶτον καὶ τί δεύτερον κεφάλαιον καὶ τἄλλα·
τίνες γονεῖς, ἀνατροφὴ, πράξεις τε [1] καὶ συγκρίσεις
ἐν εἴδει δὲ τῆς συμβουλῆς καὶ τῷ δικανικῷ δὲ
τὴν τάξιν ἀνατρέπομεν αὐτὴν τὴν τῶν πραγμάτων,
τιθέντες ὡς βουλόμεθα ταῦτα πρὸς τὸ συμφέρον.
οὕτω φησὶν ὁ Σικελὸς, Συριανὸς δὲ λέγει.
δεινότης ἐστὶ ῥήτορος τάξιν τηρεῖν πραγμάτων.
ἀδύνατον συγχέαι δὲ τάξιν ἐν παναγύρει.
εἰσὶ γὰρ τὰ κεφάλαια τῇ φύσει τεταγμένα·
τί πρῶτον καὶ τί δεύτερον καὶ καθεξῆς ὁμοίως.
ὡσαύτως κἂν τῇ συμβουλῇ ἀσύγχυτος ἡ τάξις.
χρὴ γὰρ τὸν συμβουλεύοντα πρῶτον ποιεῖσθαι λόγους
περὶ τοῦ κατεπείγοντος, ἔπειτα καὶ τῶν ἄλλων,
ἐν εἴδει δὲ δικανικῷ μόνῳ τῶν ἄλλων δύο
ἡ τάξις ἀνατρέπεται πολλάκις τῶν πραγμάτων.
πρὸς τὴν βουλὴν καὶ τὸ δεινὸν τῆς τέχνης Ἑρμογένης
δείκνυσι δεινότητα μεθόδου.
ἐννοίας τῆς σεμνότητος εἰς τέσσαρας διεῖλε
εἰς πρώτην τὴν ἐπὶ θεῶν ἐνθέως λεγομένην

---

1 τε Cod. om.

ὡς ἂν διαναπαύωνται αἱ ἔννοιαι συντόμως,
ἀλλὰ μὴ μυθικώτερον ἀνθρωποπαθεστέρως.
Σεμνὰς ἐννοίας λέγει δὲ δεύτερον πεφυκέναι,
ὅσαι ζητήσεις ἔχουσι τῶν φυσικῶν πραγμάτων.
τρίτην δὲ τάξιν ἔνειμε σεμνότητα κεκτῆσθαι,
ὁπόσαις καθεστήκασι λόγοι καὶ συζητήσεις.
περὶ ψυχῆς καὶ ἀρετῆς καὶ βίου τῶν ἀνθρώπων.
τετάρτης καταλέγει δὲ τάξεως πεφυκέναι
ὁπόσαισπερ ἀφήγησις πραγμάτων λαμπροτάτων.
θεῖον θεοῦ τε ἔλαττον κρεῖττον δὲ τῶν ἀνθρώπων,
τὰ γὰρ εἴθ' ἥρωες ἦσαν εἴτε θεοί σεμνὸν ὂν
πλέον ἔχει τοῦ ποτε καὶ πιθάνοῦ κατὰ τὴν ἐνδοίασιν.

Καὶ μὴν καὶ αἱ ἀλληγορικαὶ μέθοδοι ὅτε διαρκοῖεν, σεμνὸν ποιοῦσι τὸν λόγον· καὶ ἐν τῷ [2] ὁ μὲν δὴ μέγας Ζεὺς ἡγεμὼν ἐν οὐρανῷ πτηνὸν ἅρμα ἐλαύνων φέρεται καὶ τὰ ἑξῆς.

Sequitur ex Hermogene p. 225. v. 10 — 19.

Αἱ [3] μέντοι λέξεις τροπικαὶ σεμνότητα ποιοῦσί. καὶ [4] ἔγγιστά που πράγματος ὑπάρχουσιν [5] ὡς τοῦτο· προβαλλόμενοι τὴν χρηστὴν ἥνπερ φησὶν ἐλπίδα. ἂν [6] πόῤῥω δὲ λαμβάνωνται,[7] ὥσπερ ποιεῖ Χοιρίλλος,

καλῶν τοὺς λίθους γῆς ὀστᾶ, τοὺς ποταμοὺς
γῆς φλέβας,

ὡς τὴν σελήνην οὐρανοῦ πάλιν Αἰσχρίων σίγμα.[8]

---

2 Plat. Phaedr. p. 246. e. 3 Hunc et duos sqq. versus ex codice Dresdensi edidit Naekius in Addendis ad Choerilum p. 272. 4 Dresd. αἱ. 5 Dresd. ὑπάρχουσαι ὡς ταῦτα προβαλλομένους. 6 Hunc et sex sqq. versus ex codice Leidensi edidit Ruhnkenius ad Longinum Sect. III. v. 2. [p. 236. Weisk.] Naekius l. l. Codicem Dresdensem cum Leidensi contulit. — ἄν abest a Leid. 7 Dresd. λαμβάνωνται. Vind. Leid. λαμβάνονται. 8 Leid. σίγανα. Ruhnk. emendavit σίγμα, ut est in Dresd. Vind.

*Οὕτω γὰρ λέξεσιν αὐταῖς αὐτὸ Αἰσχρίων λέγει·*

*Μήνη τὸ καλὸν οὐρανοῦ νέον σίγμα.*

*τὸν λόγον ἐκτραχύνουσι, σκληρύνουσι δὲ πλέον,*
*ἢ μᾶλλον εἰς* [9] *ψυχρότητα σύρουσι γελαστέαν.* [10]

*Κυριολεξίαν λέγομεν, ὡς Ὅμηρος·*

*Πὺξ μὲν ἐνίκησα* [11] *Κλυτομήδεα, Ἤνοπος υἱόν,*
*ἢ Ἄγκαιον* [12] *δὲ ὑπερέβαλον δουρί.*

*σχήματα δὲ τῆς σεμνότητος ἃ καὶ καθαροτάτων ὀρθότης καὶ ἐρώτησις καὶ μερισμὸς, ἀθροίσεις καὶ σὺν αὐτοῖς ἐπίκρισις ἐκ τῶν ἀνενδοιάστων· αἷς γάρ ἐστιν ἐνδοιασμὸς τοῦ ἤθους ἐπίκρισις.*

## *Περὶ τραχύτητος.*

*Λέξεις τραχύτητος οἷον τὸ καταπεπατημένον φορεῖτε, καὶ τὸ ἐκλέλυσθε, καὶ τὸ ἀναπεπωκότες κάθησθε καὶ τὸ ἐκνενευρισμένοι καὶ αἱ τοιαῦται. Σχήματα δὲ πρῶτον μὲν προτακτικὰ μάλιστα, οἷον τῆς Ἀριστογείτονος κρίσεως ἀναμνησθέντες ἐγκαλύψασθε· ἔπειτα τὰ κατὰ ἐρώτησιν ἐλεγκτικά· οἷον εἶτ' Ὀλύνθιοι μὲν ἴσασι τὸ μέλλον προορᾷν, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι ταὐτὸ τοῦτο οὐχὶ φυλάξεσθε. Κείμενον. Ἡ δὲ σφοδρότης κ. τ. λ.* apud Hermog. p. 239, v. 12. — p. 240, v. 6.

---

9 Vind. *καί*. Dresd. Leid. *εἰς*. 10 Subiungo Aischrionis versus, in codd. Leid. Dresd. servatos, ab epitomatore autem omissos.

*Ὡς καὶ ὁ γράψας τὰ ψυχρὰ ταυτὶ τῶν ἰαμβείων·*

*Στενὸν καθ' Ἑλλήσποτον, ἐμπόρων χώρην,*
*Ναῦται θαλάσσης ἐστρέφοντο μύρμηκες·*
*καὶ πολλαχοῦ δύστηνα τοιαυτὶ λέγει·*
*ὁ δ' ἐξελὼν ἱμάντα φορτίου ζώνην,*
*Ἶρις δ' ἔλαμψε, [Dresd. ἔλαμπε] καλὸν οὐρανοῦ τόξον,*
*Καὶ πίσσαν ἐφθὴν, ἣν θύραι μυρίζονται.*

11 Vind. *νικῆσαι κλυτὸν μίδεα φαίνοπος*. Restitui ex Il. ψ. 634.

12 Vind. *Ἀγγαῖον*. Commixti sunt ex Il. ψ. v. 635. et 637.

Τραχύτητος καὶ σφοδρότητος πρώτη διαφορά, ὅτι ἡ μὲν τραχύτης κατὰ μειζόνων λέγεται, ἡ δὲ σφοδρότης κατ' ἴσων καὶ ἐλαττόνων· δευτέρα δὲ μετὰ ταύτην, ὅτι ἡ μὲν τραχύτης οὐκ ἐπιδέχεται τὰ μείζονα πρόσωπα, ἡ δὲ σφοδρότης ἐπιδέχεται ταῦτα, ἤγουν τὰ ἐν κοινοῖς τόποις λεγόμενα, οἷον μοιχοὺς, φονεῖς, τυραννικοὺς καὶ ἱεροσυλοῦντας.

Πλατεῖα λέξις δέ ἐστι διὰ τοῦ ω καὶ ᾱ.
τὸ στόμα διανοίγει γὰρ ἡ λέξις ἡ τοιαύτη.

Μᾶλλον δὲ τὸ ᾱ καὶ τὸ ω διαίρουσι καὶ διογκοῦσι τὸν λόγον, εἰ κατὰ τὰς τελευταίας εἴη τῶν λέξεων συλλαβάς· καταπεπατημένον φορεῖτε, καὶ τὸ, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἐοίκατε.

Γίνεται τοίνυν λόγος λαμπρὸς κατὰ ἔννοιαν μὲν, ὅταν πεποίθησιν ἔχῃ τινὰ ὁ λέγων ἐφ' οἷς ἂν λέγῃ διὰ τὸ ἔνδοξα εἶναι, ἢ διὰ τὸ καλῶς πεπρᾶχθαι αὐτῷ. ἢ διὰ τὸ χαίρειν τοὺς ἀκούοντας ἢ διὰ ταῦτα πάντα. Μεθοδεύσεις δὲ λαμπρῶς, ὅταν προηγουμένως εἰσάγῃς τὰς ἐννοίας. ὅταν δὲ θαῤῥῶν μετὰ ἀξιώματος, ἀλλὰ μὴ ἐνδοιάζων, ὅταν ἀφηγούμενος καὶ μὴ διακόπτων τὰς ἀφηγήσεις.

Γοργότητος διακοπὴ καὶ τὸ κομματικὸν γὰρ
λαμπρότητος ὑπάρχει δὲ λόγου μακροκωλία.
τὸ ἀσυνδέτως λέγειν γὰρ ἴδιον λαμπροτήτων·
καὶ ὁ πλαγιασμὸς [ἐστιν] ἴδιον λαμπρότητος.
πολλήν τινα πεποίηται ἀκμῆς τὴν κοινωνίαν,
ὡς πρός γε τὴν τραχύτητα καὶ τὴν σφοδρότητά γε,
καὶ πρός γε τὴν λαμπρότητα σὺν ταῖς ῥηθείσαις ταύταις.
καὶ γὰρ κατὰ τὴν ἔννοιαν καὶ μέθοδον ὁμοίως
σφοδρότητι, τραχύτητι πέφυκε κοινωνοῦσα.
κατὰ δὲ λέξιν ταῖς τρισὶν ὑπάρχει κοινωνοῦσα.
κώλοις, συνθήκαις, βάσεσι καὶ τοῖς ῥυθμοῖς δὲ πᾶσι
συγκοινωνὸς καθέστηκε λαμπρότητος καὶ μόνης.

ὡς οὖν πῇ πέφυκεν αὐταῖς κατά τι κοινωνοῦσα.
πῇ δὲ καὶ διαφέρουσα ἴδιον ἔχει τόπον.
λέξεις ἀκμῆς, τραχύτητος ὁμοῦ καὶ σφοδροτήτων,
αἱ τροπικαί τε καὶ σκληραὶ ἀφ' ἑαυτῶν καὶ φύσει.
λαμπραὶ δὲ λέξεις αἱ σκληραὶ καὶ διογκοῦσαι στόμα.
ὃ μὲν ἀκμαῖον καὶ τραχὺ ἢ καὶ σφοδρὸν ὑπάρχει,
ἢ καὶ λαμπρὸν ἢ καὶ φαιδρὸν ἢ καὶ τραχὺ σύναμα.
οὐ μὴν ὃ πάντως περ τραχύ, τοῦτό γε καὶ ἀκμαῖον.
οὐδ' ὃ σφοδρὸν οὐδ' ὃ λαμπρόν, πάντως ἂν καὶ ἀκμαῖον.
πλαγιασμὸν ἐνταῦθα νῦν ὁ ῥήτωρ ὀνομάζει
οὐ σχῆμα τὸ δι' ἐμὲ ὅπερ καλεῖται δρόμος.
ἐπεμβολή, ἐπιδρομὴ καὶ ἐπιτρέχον σχῆμα.
οὐ τοῦτο νῦν πλαγιασμὸν ἐκάλεσεν ὁ ῥήτωρ.
ὥσπερ τινὲς ἐνόμισαν τῶν ἐπεξηγουμένων.

Τοῦτο δὲ ὅπερ γενικῆς πτώσεως καὶ πλαγίας, οἷον τὸ τοῦ Φωκικοῦ συστάντος πολέμου,

Μεθόδου τὴν ἐπιμονὴν τεχνικωτάτως λέγει·
χρώμεθα γὰρ ἐπιμοναῖς πραγμάτων τοῖς ἐνδόξοις·
ἐκ τῶν αἰσχρῶν δ' ἐκτρέχομεν, οὐκ ἐνεργοῦμεν τούτοις.
ἐν οἷσπερ δὴ ἰσχύομεν, ὥσπερ ὁ ῥήτωρ λέγει.
ἐπιμονὴ δὲ καταρχὴ ἐκ τοῦ αὐτοῦ πολλάκις.
ὡς καὶ ὁ Διονύσιος περιηγήσει γράφει· [1]
„Ἴλιον ἠνεμόεσσαν ὑπὸ πλευρῇσιν ἔχουσαν.
„Ἴλιον, ἣν ἀλάπαξαν Ἀθήνα τε καὶ Ἥρα.
ἐπιμονὴν ὁ τεχνικὸς λέγει δὲ πεφυκέναι,
ὅταν τις πλείω ῥήματα ἀλλήλοις ἐπιβάλλῃ,
συκοφαντεῖς, διώκεις τε καὶ ἄγχεις καὶ ἐλαύνεις·
τὸ καρτεροῦν ἐν ταῖς αὐταῖς ἐννοίαις τε [2] καὶ λόγοις.
ὁ σοφιστὴς Τιβέριος ἐπιμονὴν δὲ λέγει,
καὶ ταύτην σχῆμα λέξεως βούλεται πεφυκέναι.

Σχήματα δὲ λαμπρά, ὅσα καὶ εὐειδῆ· οἷον αἱ ἀναι-

1 Dion. Perieg. 815. 818. 2 τε Cod. om.

ρέσεις καὶ τό· οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις, οὐ μή.

Ἐν τῷ περὶ τραχύτητος εἶπε διδάσκων λόγῳ, ὡς θεωρεῖται καθ' αὑτὴν τραχύτης καὶ λαμπρότης. καὶ τῆς ἀκμῆς ἐργαστικαὶ τυγχάνουσι καὶ ἄμφω. Sequitur ex Hermogene de Id. I. cap. περὶ περιβολῆς. p. 268. v. 19. — p. 269. v. 12.

Τὸ μέρος περιέχεται, τὸ μέλος περιέχει,
μέλος γὰρ οἷον κεφαλή, μέρος δὲ ταύτης ὦτα.
ὑποστροφὴ τυγχάνει δὲ μεσεμβολή τις λόγου.
οἷον ταυτὶ ἐπράχθησαν οὐ δι' ἐμὲ δὲ πάντως.
ἀποστροφὴ πρὸς πρόσωπον ἀπὸ προσώπου λόγος,
ἂν λέγεις πρός τι πρόσωπον, εἶτα πρὸς ἄλλο στρέψεις.

## Περὶ κάλλους.

Ἐπειδὴ δὲ καθόλου τὸ κάλλος κ. τ. λ. apud Hermog. p. 278. v. 9. — p. 279. v. 1.

Εἰ ἔστι τὸ πολύπτωτον σύντομον κάλλους ἕνι
εἰ δὲ μακρὸν πολύπτωτον λαμπρότητος ὑπάρχει.
παράδειγμα πολύπτωτον ἐκ τοῦ περὶ στεφάνου.[3]
οὗτοι ἤγουν οἱ ῥήτορις ἡμῶν κυριαρχοῦσι.
τούτοις ὑμεῖς δὲ πείθεσθε, ὦ ἄνδρες Ἀθηναῖοι.
δέος μὴ ὑπὸ τούτων δὲ δεινῶς ἀπατηθῆτε.
εἰ τὸ γοργὸν εἰς ἀφελὲς καὶ ὕπτιον τραπείη·
ὀρθοῦν τοῦτο πεφύκασιν ἐκ τῶν ὑπτιασμῶν
σχῆμα τὸ τῆς ὑποστροφῆς καὶ ἐπιτρέχον σχῆμα.
ἐπαναδίπλωσίς ἐστι διπλασιάσαι κῶλον,
ἄνευ μεσεμβολήματος, οἷον τὸ ταῦτα, ταῦτα.
ἦ τόδε· σοφὴ, σοφὴ καὶ κατιθανεῖν ὅμως σε χρή.
τίσι προσώποις προσφυὲς ποῖον τυγχάνει εἶδος.
μεθόδου τῆς δεινότητος ἤμελλε συνδιδάσκειν
ὡς στρατηγῷ καὶ πρεσβευτῇ σεμνότης ἁρμοδία.
τὸ ἀφελὲς δὲ συμπρεπές ἐστι τοῖς ἰδιώταις.

3 immo de fals. leg. p. 436.

αἱ ἀφελεῖς ἁρμόττουσιν ἔννοιαι πολιτείᾳ.
ὅταν παισὶ συνηγορῇς ἢ γεωργοῖς ἢ δούλοις.
τῆς ἀφελείας σχῆμα μὲν ὑπάρχει ἡ ὀρθότης·
τὸ σχῆμα τὸ ἀσύνδετον τῶν ἠθικῶν ὑπάρχει,
τουτέστιν ἀνειμένον τε καὶ πρέπον ἀφελείᾳ.
Ἁρμόζει διηγήσει δὲ τῇ ἐμφραστικωτάτῃ·
καὶ τῇ κινούσῃ πάθη δὲ, οἷον ὀργὴν ἢν τότε
πόλεις, οἰκίας, τὰ λοιπὰ μετὰ τῆς ἐρημίας,
καὶ ὅταν ὀργιζώμεθα ὡς ἐπὶ σφοδρότητος·
ὡς ὁ λοιμὸς, ὁ φαρμακὸς, ὃν οἰωνίσαιτό τις.
τῶν ἐννοιῶν γλυκύτητος εἴδη τυγχάνει τρία·
αἱ μυθικαὶ καὶ δεκτικαὶ αἱ τῶν διηγημάτων.
αἱ ἔγγιστα τυγχάνουσαι μύθου καὶ μυθευμάτων.
τρίτον αἰκοινωνοῦσαί τι πλὴν πρὸς βραχὺ τῷ μύθῳ.

Τὸ δὲ τρίτον εἶδος ἄλλοτε ἄλλην ἔχει δύναμιν· τοῦτο γὰρ πολλάκις καὶ τὰ μυθικὰ κ. τ. λ. apud Hermog. p. 314. v. 14. — 315. v. 17.

Τὸ σχῆμα τῆς ὀρθότητος καὶ ἡ γλυκύτης ἔχει·
ἔχει καὶ παρισότης δὲ ἐν σχήματι τοῦ κάλλους.
ἕτερον παρὰ ταῦτα δὲ εἶδός ἐστιν ἡδύνον,
ἐρωτικὴ ἀφήγησις, ἐγκώμια, ἐκφράσεις.

Ἴσως οὖν τοῦτο οὐδὲ ἔννοια, μέθοδος δέ τίς ἐστι, τὸ μὴ περινενοημένως λέγειν. διὸ καὶ ἴδιον ἀφελείας τοῦτο τὸ τῆς τοιαύτης μεθόδου.

Ἡ ποιοῦσα τὴν δριμύτητα αὐτὴ καθ' ἑαυτὴν οὐδὲν ἔχει δριμύτητος. εἶτ' ἐννοίας αὐτὴν χωρίσειέ τις, περὶ ἣν γίνεται· ἐν δὲ ταῖς ἄλλαις ἰδέαις τοῦτο οὐκ ἔστιν· ἡ γὰρ σεμνὴ λέξις ἀεί ποτε σεμνή ἐστι, καὶ εἰ μή τις σεμνὴν ἔννοιαν δι' αὐτῆς φράζοι.

Ταὐτόν ἐστι καὶ ἔννοια καὶ μέθοδος, ὦ ῥῆτορ,
ἔννοια μὲν ἐπιεικὴς τὸ ταπεινῶς τε λέγειν,
ἑκόντως λέγειν ταπεινῶς, ἐπιεικῶς μεθόδῳ.

## Περὶ ἀληθινοῦ λόγου.

Ὁ λογος ὁ κατὰ ψυχὴν ὁ τῶν ἐνδιαθέτων
οὕτω τὴν κλῆσιν ἔσχηκεν ἀληθινὸς καλεῖσθαι.
ὅτι ὁποῖα ἂν τελῇ τὰ ψυχικὰ τὰ πάθη,
τοιαῦτα ταῦτα καὶ αὐτὸς ἐμφαίνει καὶ δεικνύει.
ἐνδιαθέτου κλῆσιν μὲν πάλιν πλουτεῖ τοιῶσδε,
ὅτι γε διατίθεται τοιῶσδε πρός τι πρᾶγμα.
εἴτουν ὡς ὀργιζόμενος εἴτε καὶ ὡς οἰκτείρων,
εἴτε τι τοιουτότροπον ἦθος πενθῶν καὶ χαίρων.

Κείμενον.

Ὁ ἐνδιάθετος καὶ ἀληθὴς λόγος καὶ οἷον ἔμψυχος τὸ μὲν πλεῖστον κ. τ. λ. de Id. II. c. VII. p. 336. v. 15. — p. 337. v. 7.

Τὸ πλεῖστον περὶ μέθοδον ἔχει καὶ περὶ σχῆμα.
αὐτὰ καὶ γὰρ τὰ πράγματα ψιλά πως ἐφηγεῖται·
μηδὲν αὐτοῖς τῶν ἔξωθεν ὄντων ἐπισυμπλέκων.
ὥσπερ καὶ ἡ ἀφέλεια ὁ καθαρός τε λόγος.
τοῦτο χρεὼν εἰδέναι δὲ, ὅτι περ τῇ ἐννοίᾳ
ἀκόλουθος ἡ μέθοδος οὐκ ἄλλο τι τυγχάνει.
τῇ λέξει δὲ τὰ σχήματα κῶλά τε καὶ συνθήκη
καὶ ἀναπαύσεις καὶ ῥυθμοὶ αὐτῇ γὰρ θεωροῦνται.
αὐτὸς ὢν, οἶμαι, θαυματὸς, ὦ Ζεῦ, ἐν στρατιώταις,
ἐν τῷ παραπρεσβείας μὲν πρὸς τὸν Αἰσχίνην λέγει.
ὡρμήθη τοῦτο, λέγει δὲ τοιουτοτρόπῳ τρόπῳ·
ἐν τῇ περὶ Χαιρώνειαν ὁ ῥήτωρ ποτὲ μάχῃ
δειλὸς καὶ τῶν ἀνάνδρων δὲ καὶ ῥίψασπις ἐφάνη·
ῥίψας ἀσπίδα τοῖς χρυσοῖς γράμμασιν γεγραμμένην·
ὡς εἶπον ἐν ταῖς στάσεσιν, ὃν κωμῳδεῖ Αἰσχίνης·
ὡς τὴν ἀσπίδα ῥίψαντα καὶ πόλεως τὴν τύχην·
ΧΡΗΣΤΗ γὰρ ΤΥΧΗ ΠΟΛΕΩΣ εἶχεν ἐγγεγραμμένον.
πρὸς γοῦν αὐτὸ δεικνύμενος ὁ ῥήτωρ Δημοσθένης,
φησὶν, διεκωμῴδησεν ἡμᾶς ὡς ἀστρατεύτους,
αὐτὸς ὢν οἶμαι θαυμαστὸς, ὦ Ζεῦ, ἐν στρατιώταις·

Σχε-

*Σχεδὸν μία μέθοδός ἐστιν ἐνδιαθέτου λόγου παντὸς, τὸ μὴ προλέγειν κ. τ. λ.* de Id. II. cap. VII. p. 338. v. 25. — p. 339. v. 18.

*Τὸ σχεδὸν μία μέθοδός ἐστιν ἐνδιαθέτου·*
*τὸ μὴ προλέγειν μηδαμοῦ, ὅτι τυχὸν ὁμόσει.*
*ἤγουν ὅτι θαυμάσειεν ἢ ηὔξηται ἢ ἄλλο*
*ἀλλ' αἰφνιδίως λέγειν τι κἀκ τοῦ αὐτοσχεδίου.*
*τὸ δὲ σχεδὸν δὲ ἄῤῥητον, καὶ τὰ σχεδὸν δὲ μία,*
*πάνυ τῶν ἀδιστάκτων τε καὶ διδασκάλου τρόπου.*
*τρεῖς μέθοδοι εὑρέσεων, οὗτος ὁ νοῦς τοῦ λόγου.*
*μέθοδον δὲ δεινότητος εἶναι καὶ τοῦτο νόει,*
*τὸ ὅπου χρὴ καὶ ὅτι χρὴ καὶ λέξεσι κεχρῆσθαι*
*ἢ ἐθνικαῖς ἢ τεχνικαῖς ἢ μουσικαῖς ἢ νόμων,*
*καὶ ἀστρολογικαῖς μάντεων καὶ μηχανουργούντων.*
*καὶ ποδισμοὺς, προποδισμοὺς καὶ πήξεις καὶ κολλήσεις,*
*οἰκίσκους τε τῶν μάντεων παρθένων σπλαγχνοτόμους,*

*Ὁμολόγημα μὲν τῆς τόλμης, ὡς ἐν τῷ κατὰ Τιμοκράτους,*[1] *καὶ γὰρ εἰ φορτικὸς ὁ λόγος, ἀλλ' ὅμως ἐρῶ· ἀποκτείνατε αὐτὸν, ἵνα τοῖς ἀσεβέσιν ἐν Ἅιδου φῇ τοῦτον τὸν νόμον.*

*Βραχεῖα δὲ προσθήκη οὕτως· ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ Ἀθηναῖοι, μονονουχὶ φωνὴν φησὶν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ἡμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστίν. Καὶ Πλάτων ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι ποτίμῳ λόγῳ.*

*Παράλειψις, ἂν λέγῃ τις σιγῆς ἐν προσποιήσει,*
*ἀποσιώπησις δ' ἐστὶ παραλιπεῖν ὃ πρέπει.*
*περίπλοκη τὸ ἀσαφῶς περί τινών τι λέγειν,*
*εἴτουν ὡς αἰσχυνόμενοι, εἴτε μὴν ὡς μισοῦντες,*
*ὡς ὁ Αἰσχίνης ἔδρασεν ἐν τῷ κατὰ Τιμάρχου·*
*θέλων εἰπεῖν τὸν ἄνδρα γὰρ ἔνοχον τῇ πορνείᾳ*

---

1 p. 732.

ἔνοχον οἷς ἠκούσατε τῷ γράμματι προεῖπε.

Ἡ ἐπανάληψις κατὰ τρόπους τρεῖς γίνεται, ἐπὶ πράγματος διδασκαλίᾳ, ἐπὶ προσώπου συστάσει ἢ διαβολῇ, ἐπὶ ἤθους βεβαιώσει. Ἐπὶ πράγματος διδασκαλίᾳ, ὡς παρ' Ὁμήρῳ·

Ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν.

Ἐπὶ προσώπου συστάσεως· οἷον

Νιρεὺς αὖ Σύμηθεν ἄγε τρεῖς νῆας ἑΐσας,
Νιρεὺς Ἀγλαΐης υἱὸς καὶ τὰ ἑξῆς.

Ἐπὶ δὲ διαβολῆ.

Ἄρες, Ἄρες βροτόλοιγε, μιαιφόνε, καὶ τὰ ἑξῆς.

Ἐπὶ ἤθους βεβαιώσει·

τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικε.
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.
νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν[2] εἰς ἅλα δῖαν·
ἐς δ' ἐρέτας ἐπίτηδες ἀγείρομεν, ἐς δ' ἑκατόμβην
θείομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρειον
βήσομεν.

Τέσσαρα· ἐρύσομεν· ἀγείρομεν· θείομεν· βήσομεν.

Ὑπερβατῶν καθέστηκε δύο, φησὶν, τὰ εἴδη·
καὶ τὸ καθ' ὑπέρθεσιν εἶναι τοῦ κάλλους λέγει
τὸ ἔχον τὴν αἰτίαν δὲ μέσην ἐκτεθειμένην.
ὅπερ κατὰ παρένθεσιν ἔλαχε κλῆσιν φέρειν.
οἱ μὲν πολλοὶ νομίζουσι περίοδον τοῦ κάλλους.
τοῦτο δὲ τῆς γοργότητός ἐστι καὶ σαφηνείας.
ἂν ἡ αἰτία δεῖται δὲ μέσης[3] αἰτίας ἄλλης.
μακρόν ἐστιν ὑπερβατὸν, περιβολὴν ποιεῖ δέ.
ὦ γέρον οὐχ ἑκὰς ἀνὴρ τάχα δεῖ καὶ[4] σὲ αὐτόν.
ὑπερβατὸν ὁ Τζέτζης σοι εἶναι καὶ τοῦτο λέγει,

---

2 Cod. ἐρύσομεν et v. 20. ἐρείσομεν. 3 Cod. με scr. μέσης. 4 καὶ inserui ex meo.

οὐχὶ κατὰ παρένθεσιν ἔχον αἰτίαν μέσην.
ἀλλὰ κατὰ ὑπέρθεσιν καὶ ἄνευθεν αἰτίας
πῶς ἑαυτὸν αἰνέσει τις, μὴ φορτικὸς δὲ δόξει.
ὁ Ἑρμογένης τρεῖς φησιν ὑπάρχειν τὰς μεθόδους·
λόγον κοινὸν καθολικόν, προσποίησιν ἀνίας,
παραγωγὴν προσώπου τε, ἥνπερ κακῶς νῦν λέγει.
κοινότης λόγου μέν ἐστιν, οἷον ὑπάρχων σώφρων.
μακάριοι οἱ σώφρονες εἰπὼν οὖν κοινοτέρως
αὐτὸς αὐτὸν ἐπαινέσας μὴ φορτικὸς δοκείσθω [4*]
προσποίησις ἀνίας δέ, ὅταν περ οὕτως εἴπῃς·
σοῦ ταῦτα λέγοντος ἐμοὶ καιρὸς λοιπὸν χωρεῖν με.
λέγειν προγόνους καὶ τροφὰς καὶ τὰς ἐμὰς τὰς πράξεις.
προσώπου δὲ ὑπαλλαγή, ὥσπερ ὁ Παῦλος λέγει.
εἶδον πρὸ χρόνων ἄνθρωπον εἰς οὐρανοὺς ἁρθέντα· [5]
καὶ ὁ μαθητὴς δέ, φησὶν, ὃν Ἰησοῦς ἠγάπα. [6]
τοιαῦτα μὲν ὑπαλλαγὴ τυγχάνει τοῖς προσώποις.
κόλλησις μὲν τὸ προσφυὲς ἔπος πεζῷ τῷ λόγῳ.
ὡς ἐξ αὐτοῦ τοῦ λέγοντος οὐκ ἐκ τοῦ ποιητοῦ δέ.
οἷον ἐνάγων κατ᾽ ἀνδρὸς φθορέως εἴπερ εἴπω·
ἄνδρες, ὃ λέγω, δικασταὶ, κατὰ ἀνδρὸς νῦν τοῦτο·
παρθένον ἐξήρπαξεν, [7] ἀναινομένην τ᾽ ἐδάμασσεν.
ἂν δὲ κατὰ διάστασιν ὡς ποιητὴ λεχθείη,
οὐκ ἔστι τοῦτο κόλλησις, οὕτω δὲ τότε κάλει,
ἐπιφορὰν, ἐπαγωγὴν, ἐπένθεσιν καὶ χρῆσιν.
μαθὼν ἤδη τὴν κόλλησιν μάθε τὴν παρῳδίαν.
ἣν λέγε καὶ παράφρασιν παραγραμματισμόν τε·
ὡς εἴπερ τὸ Ὑμήρειον παρατροπῇ προφέρεις·
„ἀφραίνεις Μενέλαε [8] διοτρεφὲς, οὐδέ τί σε χρή.“
ἐννάτην πρὸς ταῖς εἴκοσι μέθοδον εἶναι λέγει,
μὴ ἀντιτείνειν πάθεσιν, ὀργαῖς φημι καὶ λύπαις·

4* Cod. δοκήσθω. 5 2 Cor. XII. 3. 6 Joh. XIII. 23.
7 Cod. τ᾽ ἐξήρπαξεν. 8 Cod. Θεο scripsi Μενέλαε ex Il. η. 109.

πρῶτον δὲ κατατίθεσθαι τοῖς τούτοις κρατουμένοις,
ἔπειτα θεραπεύσαντα λέγειν ἃ μέλλεις λέγειν.
καὶ Ὀδυσσεὺς ἐποίησεν ἐκ χολῆς λυπουμένοις·
„ἦ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι.“ [9]
τοιαῦτα γοῦν ἐπαγαγὼν φησιν· ἀλλὰ καὶ οὕτως [10]
τλῆτε μικρὸν καὶ μείνατε, ὄφρα δαῶμεν, φίλοι,
εἰ ἐτεὸν μαντεύεται εἴτε καὶ μὴ ὁ Κάλχας.
τοιοῦτο καὶ Ἰώσηπος εἴρηκεν ἢ δέδρακε [11]
Καππαδοκῶν ἀνάσσοντα Ἀρχέλαον Ἡρώδην·
τριακοστῷ δὲ σὺν τούτοις συγκατατάττω τόπῳ
ἀδίκημα τὸ γνώριμον πῶς πρέπει θεραπεύειν·
γίνεται δὲ τοῦ δράσαντος ὁμολογοῦντος τοῦτο,
καὶ ἑαυτῷ προσάπτοντος κατηγορίαν, μέμψιν.
ὥσπερ Ἑλένη φέρεται ποιοῦσα παρ' Ὁμήρῳ.
ταὐτὸν ὁ Τζέτζης λέγει δὲ καὶ τούτῳ τῷ προτέρῳ.
ὅς γάρ, φησὶν, ὁμολογεῖ ἀδίκημα, ὃ πράξει,
οὐκ ἀντιτείνει πάθεσι τοῖς προκεκρατημένοις.
τῷ φερομένῳ κατ' αὐτοῦ θυμῷ τε καὶ τῷ μίσει.
ὁμολογία λύει δὲ ταῦτα καὶ ἐλεεῖται.
τριακοστῇ καὶ πρώτῃ δὲ μεθόδῳ κατατάττει.
τὸ κατὰ τέχνην τραγικῶς εἰδέναι γεγραφέναι,
ἢ τὰ μείζονα [12] λυπηρὰ βραχυλογοῦντα γράφειν·
τῇ συντομίᾳ μᾶλλον γὰρ τὸ μέγεθος τηρεῖται.
τὰ δὲ μικρὰ καὶ εὐτελῆ περιβολῇ τῶν λόγων
μέγεθος προσλαμβάνουσιν, ὡς εὕρῃς παρ' Ὁμήρῳ·
„ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀραθύνει.
„τέκνα δέ τ' ἄλλοι ἄγουσιν ἐϋζώνους τε γυναῖκας·
οὕτως ἐν ἔπεσι δυσὶν ἐκτραγῳδεῖ καὶ γράφει
ἅλωσιν πάσης πόλεως, καὶ ἀλλαχόσε πάλιν
κεῖται, φησὶν, ὁ Πάτροκλος βραχυλογῶν τὸ μέγα.

9 Il. β. 299. 10 Il. β. 297. 299. 11 Scriptura codicis in vv. εἴρ. ἢ δέδρ. non liquet. Respicere videtur ad Jos. Ant. Jud. XVI. 8, 6. 12 Cod. μείζω.

ἂν δ' ἀποθάνῃ βάρβαρος, ἂν εἴτις ἐκ τῶν Τρώων,
πλατύνει λόγους καὶ ποιεῖ μέγα δοκεῖν τὸ φαῦλον.
οὐ γὰρ λυπεῖ τὸν Ἕλληνα, μᾶλλον δὲ τέρπει τοῦτον·
ὥσπερ, φησὶ, δὲ τρέφει τις ἔρνος ἀνὴρ ἐλαίης
χώρῳ ἐν λειμῶνι τερπνῷ, οὗ κελαρύζει ὕδωρ,
ἔρνος τερπνὸν ἐριθηλὲς καὶ τῶν εὐσκιοφύλλων·
ὅπερ ἀνέμων μὲν πνοιαὶ δονέουσι παντοίων.
βρύει δὲ ἄνθει λευκῷ· πνεύσασα δ' αἴφνης λαίλαψ
πρόῤῥιζον ἀνασπάσασα τῇ γῇ προσεδαφίζει.
οὕτω τὸν Πανθόου [13] υἱὸν τὸν ἄριστον ἐν μάχαις
κατακτανὼν Μενέλαος ἐγύμνωσε τῶν ὅπλων.
τετάρτην πρὸς τριακοστῇ μέθοδον [14] εἶναι λέγει
τὸ κωμικῶς πλὴν τεχνικῶς εἰδέναι γεγραφέναι.
τοῦτο τριχῶς δὲ γίνεται σχήμασι παρῳδίας.
σὺν τούτῳ δὲ τῷ σχήματι τῷ παρὰ προσδοκίαν
καὶ τῇ ἐναντιώσει δὲ σὺν τούτοις τῶν εἰκόνων.
ὁ μὲν παραγραμματισμὸς καλεῖται παρῳδία,
ὡς ὅταν ἀντὶ κόρακος κόλακος εἴπῃς παίζων.
τὸ παρὰ προσδοκίαν δὲ τὸ παρ' ἐλπίδα λέγειν·
ἀκούσειν γὰρ πιστότατε φίλιστε προσεδόκα·
ἤκουσε δὲ κλεπτίστατε παρὰ τὴν προσδοκίαν.
εἰκόνων δ' ἐναντίωσις, ἅνπερ ἀντιτιθῶμεν
μικρὸν μεγάλῳ πράγματι καὶ τῷ μικρῷ δὲ μέγα·
οἷον Ἕκτωρ καὶ Αἴας μὲν ὡς ὄρτυγες συνῆψαν·
ὄρτυγες δ' ἐμαχέσαντο, ὡς Ἀχιλεὺς καὶ Ἕκτωρ.

Σημείωσαι ὅτι τοῦ πολιτικοῦ λόγου μέρη εἰσὶ τέσσαρα· προοίμια, διηγήσεις, πίστεις, ἐπίλογοι. ἅπερ μεθοδεύονται ἀπὸ τῶν τοῦ πράγματος καὶ ἀπ' αὐτῶν τῶν ἐν τῷ πράγματι καὶ ἀπὸ τῶν μετὰ τὸ πρᾶγμα. καὶ λέγονται προαγῶνες καὶ ἀγῶνες καὶ μετὰ τῶν ἀγώνων, καὶ πάλιν ὀνομάζονται τὰ πρὸ τῶν ὑποθέσεων, καὶ

13 Cod. *Πανθοῦτον*. correxi ex Il. ρ. 59. 14 Cod. τεσσάρεις πρὸς λ' μεθόδων.

τὰ ἐν αὐτῇ τῇ ὑποθέσει, καὶ μετὰ τὴν ὑπόθεσιν. Ἐπὶ τούτοις δὲ καὶ τῶν ἐπικαίρων αἱ πίστεις τὸ κράτος εἰλήφασι.

Πᾶν κεφάλαιον ἐκ τῶν περιστατικῶν κατασκευάζεται· τὰ δὲ περιστατικὰ δι' ἐργασιῶν κατασκευάζεται. αἱ δὲ ἐργασίαι δι' ἐνθυμημάτων καὶ ἐπενθυμημάτων κατασκευάζονται· τὰ δὲ ἐνθυμήματα ἐκ περιστάσεώς εἰσι, κατὰ σύγκρισιν ἐκφερόμενα.

Σημείωσαι, ὅτι δύο σκοποὶ ἐν τοῖς προοιμίοις πρῶτον τὰς καθολικὰς ἐννοίας καὶ μερικὰς, εἶτα τὰς μερικωτέρας καὶ μὴ γενικὰς, καὶ ὅτι αἱ καθολικαὶ ἁρμόζουσι ταῖς μερικαῖς· οὐ μὴν τὸ ἀνάπαλιν.

## Περὶ προοιμίων.

Τί ἐστι προοίμιον; λόγος παρασκευάζων τὸν ἀκροατὴν εἰς ὑποδοχὴν τῆς ὑποθέσεως· κυρίως δὲ ἔλεγον προοίμια οἱ παλαιοὶ τὰ παρὰ τῶν κιθαρῳδῶν ἐν ἀρχῇ λεγόμενα· τέλος δὲ προοιμίου τὸ παρασχεῖν εὐήκοον πρὸς τὰ λοιπὰ τὸν ἀκροατήν· τὰ προοίμια γίνονται ἀπὸ τῶν δικαζόντων, οἵ τινές εἰσιν οἱ κριταὶ, ἀπὸ τῶν κατηγόρων, οἵ τινές εἰσιν οἱ διώκοντες καὶ δι' ἐντολὴν λαλοῦντες· ἀπὸ τῶν ἀπολογουμένων, οἵ τινές εἰσιν οἱ φεύγοντες καὶ οἱ ἐντολεῖς οἱ βοηθοῦντες τοῖς φεύγουσιν· ἀπὸ τῶν ἐχόντων αὐτὰ τὰ πράγματα, τῶν ἀντιδίκων. Χρὴ γινώσκειν, ὅτι καὶ ἀπὸ τῶν ς' περιστάσεων γίνεται προοίμιον, τὸ ἓν οὖν εἰπών σοι νοεῖν τὰ ἄλλα κατέλιπεν· εἴρηται δὲ προοίμιον παρὰ τὸ οἶμος, ὅ ἐστιν ὁδός· ὁδὸς δὲ τοῦ λόγου οἱ ἀγῶνες καὶ αἱ πράξεις· τρία εἴδη προοιμίων εἰσίν· ἐκ στάσεως τοῦ προσώπου, ἐκ προσοχῆς τῶν ἀκροατῶν, καὶ ἐκ διαβολῆς τῶν ἐναντίων· ὅμοια τῶν τριῶν τούτων προσώπων· πρῶτον μὲν ἀφ' οὗ ὁ λόγος. δεύτερον, πρὸς ὃν ὁ λόγος· τρίτον περὶ οὗ ὁ λόγος. Μόρια προοιμίων τρία· πρότασις, κατασκευὴ, συμπέρασμα· ἰστέον δὲ, ὅτι

εἴδη τῶν προοιμίων τρία τὰ κεφαλαιωδέστατα. ἓν μὲν τὸ κατὰ τὴν κατηγορίαν τῶν ἐναντίων λαμβανόμενον· δεύτερον δὲ τὸ κατὰ θεραπείαν τῶν δικαστῶν· τρίτον τὸ ἕνεκεν τοῦ προσώπου τοῦ λέγοντος· εἰ δέ τις ἀκριβῶς ζητήσει ὅτι καὶ τρία εὑρήσει[15] τοῦ ἰδίου προσώπου τοῦ λέγοντος γίνεται.

Πολλὰ προοίμια καὶ μακρὰ κατὰ τρεῖς γίνεται τρόπους.

| | | |
|---|---|---|
| Ὅταν μὴ σφόδρα πέποιθεν ὁ ῥήτωρ, οἷα λέγει, τῷ μὴ δίκαια λέγειν. | ὅταν πάθει προκατειλημμένοι εἰσὶν οἱ ἀκροαταί. | ὅταν ἐπικίνδυνα ᾖ τὰ πράγματα τῷ λέγοντι παραχρῆμα τοῦ κινδύνου προσδοκωμένου.[1] |

Ἡ διήγησις πενταχῶς γυμνάζεται.

Κατὰ τὸ ὀρθὸν, κατὰ τὸ ἐγκεκλιμένον, κατὰ τὸ ἐλεγκτικὸν, κατὰ τὸ συγκριτικὸν, κατὰ τὸ ἀσύνδετον.

Ἔστι δὲ καὶ ἄλλη ἀκμὴ λόγου ἐκ νοημάτων γινομένη· δηλονότι ὅταν πολλὰ νοήματα κώλοις πολλοῖς πλατύνῃς,

---

15 εὑρήσει in Cod. non liquet.

1 Sequitur in codice fragmentum ἑτερογενὲς, quod in notam rejeci: Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος ὁ Μελέτωνος [a]) παῖς πρὸς τοῖς τέσσαρσι στοιχείοις καὶ νεῖκος καὶ φιλίαν δοξάζει. καί φησιν, ὅτι εἰ μέντοι τῶν στοιχείων ἡ φιλία, ἐπειδὴ γίνεται εὐμέλεια καὶ εὐαρμοστία τῶν σωμάτων· εἰ δὲ τὸ νεῖκος συνέλθοι τοῖς στοιχείοις, γίνονται παράγυια καὶ ἀσυντελῆ καὶ βουγενῆ καὶ ἀνδρόπρωρα· [b]) ταῦτα δὲ λέγονται δ' στοιχεῖα καὶ οὐχ ἕξ, ὥς τινες οἴονται· φιλίαν μὲν τὴν συμμετρίαν καὶ εὐκράτωσιν τῶν στοιχείων καλεῖ, ὥσπερ καὶ νεῖκος τὴν ἀσυμμετρίαν αὐτῶν καί τινος τούτων ὑπερβολὴν παρὸ δεῖ, ὡς καὶ τὰ ἐπὶ τούτοις δηλοῖ.

a) Idem nomen memorat Tzetzes Chil. II. 901. IV. 526. Alii aliud nomen memorant, quos vide apud Sturzium Emped. p. 4. 5.

b) Sturz. Emped. p. 368. sqq.

ἀπὸ ἑνὸς πρὸς ἕτερον νόημα μεταπίπτων. ἢ ὅταν σχήματι ἑνὶ κώλοις συχνοῖς πλατύνων ἓν καὶ ταὐτό τι νόημα τὸ σχῆμα μεταλλάξῃς, καὶ τούτῳ δὲ τῷ σχήματι πάλιν πλατύνῃς τοῦτο κώλοις ὁπόσοις δυνηθῇς.

Ἀκμὴ δὲ διηγήσεως τριχῶς γίνεται ἢ τοιούτου πράγματος αὐτοῦ, ἢ τῆς ἀξιώσεως, ἢ τῆς αἰτίας τῆς ἀξιώσεως, συνεχῶς διαφόροις κώλοις καὶ ποικίλοις λεγομένης· ἢ καὶ τῶν δύο ἢ καὶ τῶν τριῶν πολλάκις ὁμοίως παραλαμβανομένων· οὕτω γὰρ μείζων ἡ ἀκμὴ γενήσεται καὶ ποικίλη μᾶλλον, ἐὰν τὸ πρᾶγμα τρισὶ κώλοις ἢ τετράσιν εἴπωμεν· ἐπὶ τέλει δὲ καὶ τὴν ἀξίωσιν καὶ τὴν αἰτίαν τῆς ἀξιώσεως· οἷον ἐνώπιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν υἱὸν κατὰ τὸν τῶν ἀκρίτων νόμον· ἐξέθανεν ἡ μήτηρ, καὶ κρίνεται ὁ πατὴρ αἰτίας θανάτου· καὶ συλλαβὼν τὸν υἱὸν ἔτυπτεν, ἐτίτρωσκεν, ἐφόνευεν ὁμοῦ τῇ γυναικί· καὶ ἀλλοτρίους ὡς ἐχθροὺς ὡς ἔκ τινος τῶν πολεμίων γεγονότας· τὸ πρᾶγμα τοῦτο· εἶτα ἡ ἀξίωσις· τίς οὐ καταγανακτεῖ, τίς οὐκ ὀργίζεται, τίς οὐ χαλεπαίνει τοῖς γεγενημένοις, τίς οὐκ ἀπαιτεῖ τὴν προσήκουσαν τιμωρίαν; εἶτα ἡ αἰτία τῆς ἀξιώσεως, δι' ὧν πεπλήρωται μιασμάτων ἡ οἰκία, δι' ὧν ἄθεσμοι φόνοι, δι' ὧν ἀσεβεῖς σφαγαί, δι' ὧν γένος ὅλον ἐρρίπται πεφονευμένον, παρ' οὗ ἥκιστά τις ἂν προσεδόκησεν.

Διήγησίς ἐστιν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος· παρέπεται δὲ τῷ διηγήματι ζ'· τὸ πρᾶξαν πρόσωπον, τὸ πραχθὲν πρᾶγμα, χρόνος, καθ' ὃν· τόπος, ἐν ᾧ· τρόπος, ὅπως. αἰτία δι' ἣν· ὕλη, ξύλον ἢ ξίφος. οἷον Ὀδυσσεὺς πόλιν Ἀσίας ξυλίνῳ ἵππῳ δι' Ἑλένην πολιορκήσας ἐνέπρησε μετὰ τὴν τῶν νεῶν ἀναχώρησιν. πρόσωπον Ὀδυσσεύς· τὸ πραχθὲν πρᾶγμα, ἐνέπρησε· χρόνος, μετὰ τὴν τῶν νηῶν ἀναχώρησιν· τρόπος, διὰ τοῦ δουρείου ἵππου· αἰτία, διὰ τὴν Ἑλένην· ὕλη, πυρί.

Ποσαχῶς ἐγγυμναζόμεθα τῇ διηγήσει, καὶ ποσαχῶς

διηγητέον; πενταχῶς. κατὰ τὸ ὀρθὸν, κατὰ τὸ ἐγκεκλιμένον, κατὰ τὸ ἐλεγκτικὸν, κατὰ τὸ συγκριτικὸν, καὶ κατὰ τὸ ἀσύνδετον. Κατὰ τὸ ὀρθὸν, οἷον Φαέθων, ἡλίου παῖς, ἐράσας τοῦ ἅρματος τοῦ ἰδίου πατρὸς καὶ τὰ ἑξῆς. Κατὰ τὸ ἐγκεκλιμένον· οἷον Φαέθοντα ἡλίου παῖδά φασιν ἐρασθῆναι τοῦ ἅρματος τοῦ ἰδίου πατρός· καὶ τὸν πατέρα πείσαντα ἐπιβῆναι τοῦ ἅρματος· κατὰ τὸ ἐλεγκτικὸν, ὅταν ὡς ἐλέγχοντες λέγωμεν· τί δαὶ, οὐκ ἠράσθη Φαέθων ἡλίου παῖς τοῦ πατρικοῦ ἅρματος; οὐκ ἔπεισε τὸν πατέρα, οὐκ ἐπέβη τοῦ ἅρματος; Κατὰ τὸ συγκριτικὸν, ὅταν λέγωμεν· ἀντὶ τοῦ σωφρονεῖν ἠράσθη ἀτόπου, ἀντὶ δὲ τοῦ κρατῆσαι τοῦ ἔρωτος, ἐπέβη τῶν ἵππων, ἐδέξατο τὰς ἡνίας· κατὰ δὲ τὸ ἀσύνδετον· ἐπέβη τῶν ἵππων, ἐδέξατο τὰς ἡνίας, οὐχ ὑπεῖξε λέγουτι τῷ πατρί. καὶ πῶς χρησιμεύει ἕκαστον. Τὸ μὲν ὀρθὸν ἐν τοῖς ἱστορικοῖς, καὶ ὅπου δεόμεθα σαφηνείας· τὸ δὲ ἐγκεκλιμένον καὶ ἐλεγκτικὸν ἐν τοῖς ἀγῶσι, τὸ δὲ ἀσύνδετον ἐν τοῖς ἐπιλόγοις· τὸ δὲ κατὰ τὸ συγκριτικὸν, ὅπου ὁ καιρὸς δίδωσι, πανταχοῦ καὶ ἐν ἅπασι τοῖς τῆς ῥητορείας εἴδεσι καὶ τοῖς τοῦ πολιτικοῦ λόγου μέρεσιν αὐτῷ χρώμεθα. Ἀρεταὶ δὲ διηγήσεως δ· σαφήνεια, συντομία, πιθανότης καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμὸς, πρὸς ἃ δεῖ τὴν ἑαυτοῦ ἐπιφέρειν ἰσχύν· ἡ δὲ φρόνησις ἀποσεμνύνει τὸν λόγον, παιδαγωγοῦσα τὸν ἐκ τῆς ἀλογίας ἐπιγενόμενον ἐσμὸν τῶν παθῶν. ἡ δὲ σωφροσύνη καταδεσμεῖ τὰς ἀτάκτους ἐπαναστάσεις, αἳ ταῖς ἀνθρωπίναις ἀεὶ εἰώθασιν ἐναποτίθεσθαι διανοίαις διὰ τὸ τὸν χοῦν πρὸς τὰ γεώδη διηνεκῶς ὁρᾷν τε καὶ φέρεσθαι· ἡ δὲ δικαιοσύνη τὴν ἰσότητα τοῖς ὁμοιειδέσι φυλάττει· τριῶν δὲ μερῶν ὄντων τῆς ψυχῆς δεῖ ἕκαστον ἀρετῇ κεκοσμῆσθαι· [2] τὸ μὲν λογικὸν τῇ φρονήσει, ὁ δὲ θυμὸς τῇ ἀν-

2 in contextu κεκόσμηται, ad marg. γρ. κεκοσμῆσθαι.

δρείᾳ, ἡ δὲ ἐπιθυμία τῇ σωφροσύνῃ· καὶ ἐπειδὴ οὐ μόνον δεῖ ἕκαστον τῶν μερῶν ἰδίᾳ ἀρετῇ κεκοσμῆσθαι, ἀλλὰ καὶ τὴν πρὸς ἄλληλα ἁρμονίαν καὶ εὐταξίαν φυλάττειν, τούτου χάριν ἡ δικαιοσύνη διὰ πάντων πεφοίτηκεν, ἵνα μὴ ἐν ἑνὶ μέρει μόνῳ, καὶ ἐν πᾶσι θεωρουμένη τοῖς μέρεσιν ἁρμονίαν καὶ εὐταξίαν φυλάξῃ.

Τὸ τριμερὲς τῆς ψυχῆς.

| Λογιστικόν. | ἐπιθυμητικόν. | θυμικόν. |
|---|---|---|
| φρόνησις. | σωφροσύνη. | ἀνδρεία. |
| σύνεσις. | ἀγάπη. | ὑπομονή. |
| σοφία. | ἐγκράτεια. | |

Τριμεροῦς δὲ τῆς λογιστικῆς ἡμῶν ψυχῆς οὔσης, ὅταν ἐν τῷ λογιστικῷ μέρει τῆς ψυχῆς γένηται ἡμῶν ἡ ἀρετή, καλεῖται φρόνησις καὶ σύνεσις καὶ σοφία. ὅταν δὲ ἐν τῷ ἐπιθυμητικῷ, σωφροσύνη καὶ ἀγάπη καὶ ἐγκράτεια. ὅταν δὲ ἐν τῷ θυμικῷ, ἀνδρεία καὶ ὑπομονή· ἐν ὅλῃ δὲ τῇ ψυχῇ δικαιοσύνη. καὶ φρονήσεως μὲν ἔργον τὸ στρατηγεῖν πρὸς τὰς ἀντικειμένας δυνάμεις καὶ τῶν μὲν ἀρετῶν ὑπερασπίζειν, πρὸς δὲ τὰς κακίας παρατάσσεσθαι· τὰ δὲ μέσα πρὸς τοὺς καιροὺς διοικεῖται· συνέσεως δὲ τὸ πάντα τὰ συντελοῦντα ἡμῖν πρὸς τὸν σκοπὸν ἁρμοδίως οἰκονομεῖν· σοφίας δὲ τὸ θεωρεῖν λόγους σωμάτων καὶ ἀσωμάτων. σωφροσύνης δὲ ἔργον τὸ βλέπειν ἀπαθῶς τὰ πράγματα, τὰ κινοῦντα ἐν ἡμῖν φαντασίας ἀλόγους· ἀγάπης δὲ τὸ πάσῃ εἰκόνι τοῦ θεοῦ τοιαύτην ἑαυτὴν ἐμπαρέχειν, οἷον καὶ τῷ πρωτοτύπῳ σχεδόν· κἂν μὴ ἐνῇν, αὐτὴν ἐπιχειρῶσιν οἱ δαίμονες. ἐγκρατείας δὲ τὸ πᾶσαν ἡδονὴν τοῦ φάρυγγος ἀποσείεσθαι, μὴ δεδιέναι δὲ τοὺς πολέμους καὶ προθύμως ἐγκαρτερεῖν τοῖς δεινοῖς τῆς ὑπομονῆς καὶ τῆς ἀνδρείας. δικαιοσύνης δὲ τὸ συμφωνίαν τινὰ καὶ ἁρμονίαν τῶν τῆς ψυχῆς μερῶν κατεργάζεσθαι.

## Μελέτη τῶν τριῶν τόμων Ἑρμογένους τῶν εὑρέσεων.

Πρότασις· Ἥκω, ὦ ἄνδρες, τὴν ὑπὲρ τῶν συμφερόντων βουλὴν ὑμῖν ἐπαγόμενος, καὶ τῆς ἀνιώσης συμφορᾶς τὴν ἀποφυγὴν προτρεπόμενος. Κατασκευή· καὶ γὰρ εὔνους ἐγὼ πρὸς ὑμᾶς καὶ πρὸς τὴν πόλιν εἶναι ἠγώνισμαι. Ἀξίωσις· οὗ κατήκοοι γενόμενοι μηδαμῶς ἀπαρνήσασθαι βουληθῆτε. Βάσις· τοῖς γὰρ ἐπ' ἀγαθῷ συμβουλεύουσιν οὐκ ἀγαθὸν τὸ ἀνθίστασθαι. Προδιήγησις· ἄνωθεν οὖν τῶν γεγενημένων τε καὶ ἐφ' ἡμᾶς ἐπερχομένων δεινῶν τὸ σφοδρὸν καὶ λυπηρὸν τοῦ προδεῖξαι ἀπάρχομαι. Διήγησις· βασιλεὺς Περσῶν βάρβαρος, ὦ Ἀθηναῖοι, ἐφ' ἡμᾶς ὁπλοφόρος παρέστηκεν· οὐ λαῷ ἀγεννεῖ γαυρούμενος, οὐχ ἱππόταις καὶ τοξόταις ἐναβρυνόμενος μόνον, ἀλλὰ καὶ ναυσὶ καὶ τριήρεσι καὶ παντοίοις τοῦ πολιορκεῖν μηχανήμασιν ἐπαιρόμενος καὶ τὸν καθ' ἡμῶν θάνατον ὀρεγόμενος. Ἡ προκατασκευὴ τῶν κεφαλαίων (ἢ λόγων)· τί οὖν χρὴ πρὸς ταῦτα δὲ πρᾶξαι. Σχῆμα ἀπαριθμήσεως· πρῶτον μὲν στρατὸν ἀγεῖραι, εἶτα ναῦς ὁπλίσαι, ἔπειτα καὶ τὰ τείχη κρατῦναι. Τὸ κύριον· ἐπὶ πᾶσι τούτοις τὸ Χερρόνησον διορύξαι, περὶ ἧς δὴ καὶ συμβουλεύων ἐφέστηκα. Κατασκευὴ πραγματικὴ ἀπὸ τοῦ προσώπου· συμφέρον γὰρ τοῦτο καὶ δίκαιον· μάλιστά γε Ἀθηναίων ὄντων ἡμῶν, οἳ ἀεὶ τοῦ συμφέροντος εὑρετικοὶ καθεστήκασι. Χρόνος· καὶ ὁ χρόνος συνεργὸς, οὐδὲν γὰρ ἔχει τῶν ἐπαχθῶν. Τόπος· καὶ ὁ τῆς Χερρονήσου τόπος εὐχερής. Τρόπος· καὶ τὸ ἐπ' ὤμων φέρειν γῆν οὐδὲν τῶν εἰς μάθησιν ἀνιαρῶν ἔχει. Αἰτία· μάλιστα εἰ γνῶμεν, ὡς διὰ ταύτης νῦν τῆς ἐργασίας ἡ τῶν πολεμίων γίνεται ἀποτροπή. Πρᾶξις· καὶ ἡ πρᾶξις ἡμῖν μὲν μικρὰ ἐπιφορὰ, τοῖς δὲ πολεμίοις ἡ μεγίστη συμφορά.

Ἀντίθεσις· ἀλλά τις ἐρεῖ τὸ διορύττειν χαλεπὸν εἶναι Χερρόνησον, χρόνον αἰτιώμενος καὶ τρόπον καὶ τόπον. Λύσις ἀντιθέσεως κατὰ ἔνστασιν· ἀλλ' ἔστω ὡς οὐ χαλεπὸν ἀληθῶς τοῦτο. Ἐπιχείρημα ἀπὸ τοῦ πράγματος· γῆν γὰρ τὸ βραχύτατον μετακομίζομεν. Κατὰ ἀντιπαράστασιν· εἰ δὲ καὶ χαλεπὸν, ἀλλ' ὑπὲρ σωτηρίας καὶ ἐλευθερίας χαλεπὸν οὐδέν. Ἐργασία ἀπὸ παραδείγματος· ὁρᾶτε Ξέρξην ὄρος διορύσσοντα τὸν Ἄθων. ὁρᾶτε Λακεδαιμονίους, οἳ περὶ Λακεδαίμονα πονοῦσιν. ὁρᾶτε τῶν ὑπεναντίων ὅπως οὐ καθεύδει τὰ φῦλα. Ἐνθύμημα[3] ἀπὸ προσώπου· καίτοι Ξέρξης βάρβαρος ἀλόγιστος. καὶ Λακεδαιμόνιοι οὐδεμίαν τὴν ὑπὲρ ἡμᾶς ἰσχὺν κέκτηνται. καὶ εἰ ὁ βάρβαρος καὶ ἀλόγιστος Ξέρξης καὶ οἱ ἀνίσχυροι Λακεδαιμόνιοι τοιαῦτα δρᾶν οὐκ ἀπαναίνονται, ἡμεῖς τὸ διορύξαι Χερρόνησον κατοκνήσομεν; οὐ γὰρ καιρὸς χειμῶνος, οὐ δύσβατος τόπος· εἰ γὰρ καὶ μὴ Ἀθηναῖοι, ἡμῶν[4] γοῦν καὶ φήμη πάντων ἦν πλάτος, εἰ μὴ πρὸς Ξέρξην ἡμῖν ἡ μάχη, μηδὲ πρὸς Περσῶν στρατὸν τὸν πολεμικώτατον· τῆς ἑαυτῶν οὐκ ἔδει ἀσφαλείας ἕνεκα Χερρόνησον διορύξαι. ἐπεὶ δὲ ταῦτα, πόσῳ μᾶλλον διορύσσειν· ἔστω δὲ καὶ νῦν μὴ πρὸς ἡμᾶς τοὺς πολεμίους ἦξαι· ἔστω, τί αὐτοῖς καθυπαν-

---

3 Cod. ad marg. τὸ ἐνθύμημα ἀεὶ συγκρίνων τῇ ἐργασίᾳ πρὸς τὸ ἐπιχείρημα ἀεὶ τὸ πλέον δίδωσι τῷ ἐπιχειρήματι.

Τοῦ Τζέτζου.

Τί μέν ἐστιν ἐνθύμημα μάνθανε σαφεστάτως,
Λόγος μὲν ἐπιχείρημα καὶ ἐργασίαν πίπτων·
Ὥσπερ τὸ ἐπιχείρημα συγκρίνων ἐργασίαν,
Ἐν τῷ ἐπιχειρήματι τὸ πλέον ἀπονέμων.
Τίς δὲ ἡ γένεσις αὐτοῦ καὶ εὕρεσις ὑπάρχει,
Ἐν στάσεσιν ἅμα σὺν αὐτῇ τῇ ἀντιπαραστάσει.

4 ἡμῶν — πλάτος in Codice non satis liquent.

τῆσαι δυσχερές· ἔστω τὸν καιρὸν ἀνεπιτήδειον εἶναι· ἆρ᾽ ἡμεῖς οὐ τὴν ἀσφάλειαν αὐτῶν ἀλώβητον ποιησόμεθα, διορύξομεν οὖν χαίροντες, ἀνδριζόμενοι, εὐπρόθυμοι· συμφέρον γὰρ καὶ νόμιμον καὶ δίκαιον· ὅθεν καὶ εἰ ἀγωνισόμεθα, χαρισόμεθα, χεῖρας κροτοῦντες, ποσὶν ὀρχούμενοι· ἑορταῖς καὶ πανηγύρεσιν ἐναμβρυνόμενοι, καὶ τῇ γαλήνῃ καὶ εἰρήνῃ εἰς ἀεὶ νῦν βιοτεύοντες.

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

## ΕΠΙΤΟΜΗ ΡΗΤΟΡΙΚΗΣ.

Ἔστιν οὖν ἀμφισβήτησις· πάνυ σαφὴς ὁ ὅρος·[1]
ὥσπερ γὰρ ταύτην λογικὴν τῶν πραγμάτων χωρίζων,
τῶν διὰ ξίφους καὶ χειρῶν καὶ τῶν τοιουτοτρόπων.
διὰ τὰς φιλοσόφους δὲ καὶ τοῖς γεωμετροῦσι
καθολικὰς, ὡς οἴδαμεν, οὔσας ἀμφισβητήτους,
τὸ ἐπὶ μέρους εἴρηκε καὶ τὰ λοιπὰ ὁμοίως.
ἐκ τῶν παρ' ἑκάστοις δὲ νόμων κειμένων.[2]
καὶ γὰρ ἑτέροις ἕτερα νόμιμά τε καὶ ἔθη.
τοῖς Σκύθαις πολυγύναιος[3] τιμᾶται συζυγία.
τοῖς Πέρσαις τὸ μητροκοιτεῖν ὁ νόμος οὐ κωλύει.
τοῖς Ἀλανοῖς δὲ νόμιμαι αἱ ἀδελφομιξίαι.
χρὴ γοῦν καλῶς τὸν ῥήτορα πρὸς τὸν ἑκάστου νόμον
σπεύδειν τὸ πρᾶγμα δίκαιον ἢ ἄδικον δεικνύειν.
εἰτοῦν συμφέρον ἢ καλὸν εἴτε τῶν ἐναντίων.
καὶ μὴ πειρᾶσθαι συνιστᾷν νόμον ξενοπολίτην,
εἰ ἐναντίος πέφυκεν ἑτέρᾳ πολιτείᾳ.
τοῦ νομισθέντος δὲ δηλοῖ νῦν τοῦ νομιζομένου
ἐν νόμοις ἢ καὶ ἔθεσι δικαίοις πεφυκέναι

1 Cod. Hermogenianus Dresdensis, ex quo haec descripsi, initio mutilus ab hoc versu incipit. 2 ita Codex. 3 Cod. πολυγύναιξ. scr. πολυγύναιος.

καλοῦ τε καὶ συμφέροντος καὶ τούτοις ἐναντίων
δικαίου ἢ συμφέροντος ἢ τοῦ καλοῦ εἰρήκει,
τὰ τρία τῆς ῥητορικῆς εἴδη παραδεικνύων.
τέλος γὰρ τοῦ δικανικοῦ τὸ δίκαιον ὑπάρχει·
τὸ δὲ συμφέρον συμβουλῆς πάντως ὑπάρχει τέλος·
τὸ δὲ καλὸν πανήγυρις εἴληχε τέλος ἔχειν.
καὶ τῶν ἁπάντων ἅμα μὲν ἢ καὶ τινῶν ἐκ τούτων.
ἢ συμμιγῶς κατὰ ταὐτὸν περὶ εἰδῶν τριττύος,
ἢ περὶ δύο ἢ ἑνός ἡ ζήτησις εἰσεῖται.
περὶ ἑνὸς τὴν ζήτησιν λέγω δὲ πεφυκέναι.
ἢ μόνου τοῦ τῆς συμβουλῆς ἢ τοῦ δικανικοῦ γε.
τὸ γὰρ τῆς πανηγύρεως στάσιν οὐκ ἔχει μόνον.
εἰ μήπερ εἴδους μὲν ἐστὶ τοῦ δικανικωτάτου,
εἴτε μὴν καὶ τῆς συμβουλῆς τοῦ εἴδους τοῦ ἑτέρου.
φέρει δὲ πανηγυρικὴν ὕλην καὶ ἐργασίαν.
Τζέτζης δὲ στασιάζεσθαι προέδειξε καὶ τοῦτο.
δικανικοῦ παράδειγμα συμμίκτου πανηγύρει
ὁ στοχασμὸς τοῦ, φαίνεται σκηπτὸς ἐνηνεγμένος,
καὶ Περικλῆς κρινόμενος διὰ τὰς πανοπλίας.
τῆς συμβουλῆς παράδειγμα μικτῆς τῇ πανηγύρει
ἡ στάσις ἡ πραγματική, καθ' ἣν Ἀλκιβιάδης,
ὡς νόμος, δοκιμάζεται λαχὼν τὴν δᾳδουχίαν.
τῶν δὲ τριῶν παράδειγμα εἰδῶν συμμεμιγμένων
δικανικοῦ, τῆς συμβουλῆς, τοῦ πανηγυρικοῦ τε,
πραγματικὴ κατὰ ῥητὸν ἡ νῦν λεχθησομένη,
περὶ πολέμου συμβουλὴν ἔν γε τρισὶν ἡμέραις
ποιεῖσθαι δεῖν ἐτάττετο τοῖς Ἀθηναίοις νόμος.
Φιλίππου τὴν Ἐλάτειαν ποτὲ καταλαβόντος,
αὐθημερὸν ἐξέρχεσθαι βουλεύει Δημοσθένης.
ᾗ μέν ἐστι πραγματικὴ, τῆς συμβουλῆς ὑπάρχει,
ᾗ δὲ τὸ νόμιμόν ἐστι ῥητῷ καὶ διανοίᾳ,
εἴδους ἐστὶ δικανικοῦ. τοῦ πανηγυρικοῦ δὲ,
ᾗ τὴν Φιλίππου δύναμιν ἐγκωμιάζειν σθένει.

στάσις δὲ κατ' ἐνέργειαν πανηγυρικωτάτου.
καὶ ἀμιγοῦς ὑπάρχοντος τὰ περὶ προπομπείας.
τὴν δέ γε ἀμφισβήτησιν σαφὴς ἡ ἑρμηνεία
καὶ μακρηγόρων οὐδαμῶς λόγων ἐνθάδε χρεία,
ὡς πλαστὴ ἡ διαφορὰ τῶν τίνων ὡς πρὸς τίνα,
προσώπων ὡς πρὸς πρόσωπα, πρὸς πράγματα πραγμάτων,
καὶ γάρ εἰσι καὶ πρόσωπα τῶν ἐξεταζομένων.
καὶ πάλιν ἀνεξέταστα καὶ πράγματα ὁμοίως.
ἑπτὰ προσώπων εἴδη μὲν τῶν ἐξεταζομένων.
δύο δὲ ἀνεξέταστα· τῶν δὲ πραγμάτων πάλιν
τρία ἐξεταζόμενα· ἓν τῶν ἀνεξετάστων
ἃ πρὶν ἐν προγυμνάσμασιν ἔγραψα κατὰ μέρος.
ὁ Ἑρμογένης δὲ νυνὶ μέλλει σοι παραδοῦναι,
ἥνπερ τοῖς γνοῦσι ῥᾴδιον γνῶναι τὰς διαιρέσεις.
προσώπων καὶ πραγμάτων γὰρ διαφορὰν ὃς γνοίη,
τὰς ἅσπερ [4] νῦν κατέλεξα, ἰδίως γνοίη πάντως
καὶ στάσεις τὰς τρισκαίδεκα, καὶ ταύτας διαιρήσει,
εἰς τὰ αὐτῶν κεφάλαια, οἷσπερ καὶ μελετῶνται.
καὶ ὅσα δὲ προβλήματα δύναται διαιρεῖσθαι,
καὶ ταῦτα διαιρήσει δὲ καλῶς καὶ μελετήσει.
τὰ ἀσυστάτων ἔγγιστα ἃ μελετῶνται λέγει.
προσώπων καὶ πραγμάτων γὰρ διαφορὰν ὃς γνοίη,
καὶ τίνα μὲν κεφάλαια τυγχάνει τοῦ προσώπου,
καὶ ποῖα δὲ τοῦ πράγματος, ποῖα κοινὰ τῶν δύο,
ποῖά τε τοῦ διώκοντος τοῦ φεύγοντός τε τίνα.
και τίνα πέφυκε κοινὰ, καὶ ὡς ἂν διαιρήσεις
τὰς στάσεις εἰς κεφάλαια, ἃ Ἑρμόγένης λέξει,
καὶ ὅσα δὲ προβλήματα δύναται διαιρεῖσθαι·
καὶ ταῦτα διαιρήσει δὲ καλῶς καὶ μελετήσει.
οὐ γὰρ ἂν εὕρῃ πρόσωπον ὂν τῶν ἀνεξετάστων.
τὸ πρᾶγμα ἀνεξέταστον ὅμοιον τῷ προσώπῳ.

πάν-

4 Cod. ἅς περν αὖ.

πάντως καὶ τὸ κεφάλαιον ἐάσειε τὸ τούτου·
οὗ δὲ ἐξεταζόμενον, χρήσηται τοῖς οἰκείοις
καὶ κατηγόρῳ δώσει μὲν κεφάλαια οἰκεῖα·
καὶ τὰ οἰκεῖα πάλιν δὲ τῷ φεύγοντι ὁμοίως,
καὶ κατὰ τέχνην ἅπαντα καλῶς οἰκονομήσει.
οὕτως ὁ γνοὺς διαφορὰν προσώπων καὶ πραγμάτων,
τὰς στάσεις διαιρήσει τε οἰκείοις κεφαλαίοις,
καὶ μελετήσει δὲ καλῶς ὡς καὶ τὰ τρία εἴδη,
τῶν ἀσυστάτων μὲν ἐγγύς, πλὴν τῶν μελετωμένων.
οὐ μὴν δὲ καὶ διάγνωσιν τῶν ἀσυστάτων σχοίη.
ὥσπερ δοκεῖ Δοξοπατρῆς, καὶ ἀπορίας φέρει
κενὰς καὶ μακρηγόρους μὲν καὶ κομπολακυθούσας.
εἰ καί τινα προβλήματα τῶν ἀσυστάτων πάνυ,
ὥσπερ τὰ κατὰ πρόσωπον καὶ κατὰ πρᾶγμα ἴσα,
ἐντεῦθεν τὴν διάγνωσιν συμβέβηκε λαμβάνειν.
τῶν οὖν προσώπων τὰ μέν ἐστιν οἷα καὶ δύναται.
ὕλην εἰδὼς ὁ τεχνικὸς καὶ στάσεων στοιχεῖα,
τὰ πρόσωπα καὶ πράγματα, διδάσκειν μέλλει τούτων
τά τε ἐξεταζόμενα καὶ τῶν ἀνεξετάστων.
τὰ πρόσωπα προτάττει δὲ δικαίως τῶν πραγμάτων.
δεῖ γάρ τι πρῶτον πρόσωπον τὸ δεδρακὸς ὑπάρχειν.
εἶτα δὲ καὶ τὸ δρώμενον παρά τινος προσώπου,
τὸ δ' ἐξετάζεσθαι δηλοῖ πράγμασι μελετᾶσθαι.
τὸ ἄλλως μάτην δὲ δηλοῖ, καλῶς δὲ εἶπε μάτην,
τὰ γὰρ ἀορισταίνοντα τοῦ εἴδους τῶν προσώπων
ἐν ταῖς πραγματικαῖς μόναις λαμβάνονται μελέταις.
οὐκ ἔχει γὰρ ποιότητα ἐκ τόπων ἐγκωμίων,
ὅθεν ἂν εὐπορήσαιμεν λόγων καὶ νοημάτων.
τὰ δὲ ἐξεταζόμενα πίπτουσι πανταχόθεν
ἔν τε μελέταις πλαστικαῖς καὶ ἀληθέσι λόγοις.
ἡ τῶν προσώπων χρήσιμος ὑπάρχει γὰρ ποιότης
πάσαις ὁμοῦ ταῖς στάσεσι. τῷ στοχασμῷ δὲ πλέον.
τῶν ἐξεταζομένων δ' αὖ ἰσχυροτάτην ἔχει.

διηρηκὼς τὰ πρόσωπα εἰς δύο διαιρέσεις
νῦν καὶ καταριθμούμενος αὐτὰ παραδεικνύει.
τὰ ὡρισμένα πρῶτα δὲ καὶ κύρια διδάσκει,
ὅτι προσώπων τῶν λοιπῶν πλείονα ὕλην ἔχει.
παρέχει δὲ τοῖς ῥήτορσιν ἀφθόνους ἀπορίας
εἰς τὴν τετράδα τῶν μερῶν τοῦ κατὰ τέχνην λόγου.
ἐκ τόπων ἐγκωμιωδῶν· οἱ τόποι δ' εἰσὶν οὗτοι·
πατρὶς, γονεῖς, ἀνατροφὴ, πράξεις τε καὶ συγκρίσεις.
λέγονται ὡρισμένα δὲ τὰ γνώριμα καὶ δῆλα,
ὅθεν εἰπὼν τὸ κύρια, ἐπάγει ὡρισμένα.
πολλὰ γὰρ ὄντα κύρια καὶ γνώριμα μὴ ὄντα,
ὥσπερ τις ἄλλος Περικλῆς ἢ Δημοσθένης ἄλλος,
ἀσυντελῆ τυγχάνουσιν, ἴσως τοῖς ἀορίστοις,
οὕτω τὰ ὡρισμένα μὲν προέταξε τῶν ἄλλων.
τὰ πρός τι δὲ κατέταξεν ἐν τάξει τῇ δευτέρᾳ.
τῶν ὡρισμένων ἀφορμὰς δωροῦνται γὰρ ἐλάττους.
τῶν μετ' αὐτὰ γὰρ πλείονας, τὰ μετ' αὐτὰ γὰρ πάντα
ἁπλᾶς τοῖς ῥητορεύουσι τὰς ἀφορμὰς παρέχει.
τὰ πρός τι δὲ παρέχουσι διπλῆν τὴν εὐπορίαν.
μίαν ἐξ ἑκατέρου γὰρ παρέχουσι προσώπου.
ἐκ τοῦ πατρὸς ὑπὲρ πατρὸς φονέως κρινομένου.
αὐτίκα ὁ συνήγορος τοιῶσδέ πως ἂν εἴποι.
πατέρες τέκνα στέργουσιν, ὥσπερ καὶ τὰ θηρία,
πῶς δ' ἂν ἐτόλμησε πατὴρ, πῶς δ' ἂν καὶ ἠβουλήθη
χεῖρα φονῶσαν τῷ παιδὶ ἐπιβαλεῖν τοιαύτην.
καὶ πάλιν ἐκ ποιότητος εἴποι τῆς τοῦ υἱέος
τέκνα τοκεῦσι φάεος φίλτερα καὶ βιότου.
πῶς δ' ἄν ἀπέκτεινε πατὴρ οὕτω χειρὶ μαινόλης,
ὃν ἔτεκεν, ὃν ἔθρεψεν, ὃν ἤνεγκεν εἰς ἥβην.
δι' ὃν ἐγένετο πατὴρ, δι' ὃν ἐμόχθει βίῳ.
ὅνπερ ὁρῶν ἐτέρπετο. δι' ὅνπερ ἐγεγήθει.
ὅνπερ ἐπηύχετο λιπεῖν τοῦ βίου κληρονόμον.
καὶ πάλιν ὁ κατήγορος ἐκ τοῦ πατρὸς μὲν εἴποι,

καὶ θῆρες τέκνα στέργουσι νόμοις τοῖς τῶν τεκόντων,
πατὴρ δ' ὁ νῦν κρινόμενος, ὦ τόλμης ἀπανθρώπου,
σκληρᾶς σιδήρου χάλυβος ψυχῆς ἐξειργασμένος,
ὦ οἰμωγαὶ καὶ δάκρυα, ἥλιε πάντα βλέπων.
οὕτως ὠμῶς ἀνηλεῶς ἀνεῖλε τὸν υἱέα.
οἷα θηρίον δυσμενὲς αὐτόχειρι θανάτῳ,
ὃν ἔτεκεν, ὃν ἔθρεψεν, ὃν ἤνεγκεν εἰς ἥβην.
καὶ ἀπὸ τῆς ποιότητος ἐρεῖδε τοῦ υἱέος,
σκληρά τις ἄρα ἐριννύς, ὦ δικασταὶ, καὶ δίκη,
καὶ βάσκανοι τελχῖνες δὲ τινὲς τῶν ἀλαστόρων,
συλλήψει καὶ κυήσει τε καὶ τῇ τεκνογονίᾳ
τοῦ δυστυχοῦς τοῦδε παιδὸς ἐοίκασι κωμάσαι
κῶμόν τινα δυσχόρευτον ἀνάμεστον δακρύων.
εἰ πρὸς τοιαύτας δυστυχεῖς ἐτρέφετο τὰς τύχας.
ὥστε πατρὶ μὲν σφάγιον οὕτως ὠμῶς γενέσθαι,
ἡμᾶς δ' οὐχὶ ψηφίσασθαι πρέπουσαν καὶ τὴν δίκην.
πατρὶ τοιούτῳ μυσαρῷ, τοιούτῳ υἱοκτόνῳ,
ὃς τραγῳδίαν ἤνεγκεν ἄλλην τῷ βίῳ νέαν,
ὃς μιασμῶν ἐπλήρωσεν ἔθνος Ἑλλάδος ἅπαν.
τρίτην δὲ τάξιν εἴληχε τὰ διαβεβλημένα,
τουτέστιν ἃ μεμίσηται ἁμαρτημάτων πράξει.
ἄσωτοι, μέθυσοι, ἀργοὶ, ὑπνώδεις, γνωμοσκόποι.
τοιαῦτα τὰ μισούμενα διὰ τὰς ἁμαρτίας.
τὰ δ' ἀδικίας πράττοντα τοῖς νόμοις τιμωροῦνται,
μοιχοὶ, φονεῖς καὶ οἱ θεῶν τὰ ἱερὰ συλῶντες.
ἁμάρτημα καὶ γάρ ἐστιν ὃ δρῶν τις αὐτὸν βλάπτει.
ἀδίκημα δ' ὃ πράττων τις ἑτέρους καταβλάπτει.
πῶς οὖν τὰ τιμωρούμενα διὰ τὰς ἀδικίας
προσώποις νῦν ὁ τεχνικὸς φαίνεται κατατάξας.
τοῖς οὐ τιμωρουμένοις μὲν, μόνον δὲ μισουμένοις.
ὁ γὰρ μοιχὸς κολάζεται· μῖσος δ' οὐκ ἔχει μόνον
ὁ μοιχὸς καὶ ὁ ἄσωτος ὃς ἀναλοῖ πατρῷα.
μοιχούς φησι καὶ κόλακας καὶ τοὺς τοιουτοτρόπους,

τοὺς ἤδη λόγους μοιχικοὺς δόντας καιροῖς ἐν ἄλλοις,
νῦν δὲ πρὸς δικαστήριον ἐπ' ἄλλοις ἐλκομένους.
ἄλλως τε κἂν παρέλκωνται καὶ νῦν δικαστηρίῳ,
ἀμφίβολοι τυγχάνουσιν, εἴπερ μοιχοὶ καὶ ἄλλοι.
ὅθεν λοιπὸν καὶ ἄδηλον, εἴπερ τιμωρηθεῖεν.
εἰ ὁμολογουμένως γὰρ ἦσαν μοιχοὶ ἢ κλέπται,
ἦσαν ἀναμφισβήτητοι καὶ τῶν ἀστασιάστων.
ὅθεν αὐτὰ συνέταξε τῶν μισουμένων τάξει.
τετάρτην δὲ τὰ ἠθικὰ ὡς γεωργοὶ καὶ λίχνοι.
πρὸ τούτων τρίτως τέθειται τὰ διαβεβλημένα,
ὅτι ταῖς ἀποδείξεσι χρήσιμα καὶ ἀγῶσιν.
ἀγῶσι καὶ τὰ ἠθικά τι χρήσιμον οὐκ ἔχει
σχῆμα καὶ ἦθος ἐν αὐτοῖς μιμούμεθα προσώπων
καὶ γυμνασίας πλάττομεν ὡς ἐν ἠθοποιίαις.
τὰ ἠθικὰ προτάττει δὲ τῶν συνεμπεπλεγμένων.
ὅτι καὶ ταῦτα καθ' αὑτὰ μικρὸν γοῦν τι ἰσχύει.
ἐκεῖνα δ' εἰ μὴ συμπλακῇ, σθένος σὐδόλως ἔχει.
τὸ δύο προσηγοριῶν ἁπλῶς μοι νοητέον.
προσηγορίας λέγει δὲ νῦν ἡλικίαν, τύχην.
τὸ κρίσιν ἀναδέξασθαι οὕτω σοι νοητέον,
τουτέστιν ὕλην παρασχεῖν καὶ εὐπορίαν λόγου.
εἰ δὲ πρὸς δικαστήριον νοήσεις παραχθῆναι,
μονομερὲς λοιπόν ἐστι καὶ τῶν ἀσυστατούντωκ
ἕκτην τὰ κατὰ συμπλοκὴν πράγματος καὶ προσώπου
πρᾶγμα τὸ καλλωπίζεσθαι, πρόσωπον δὲ ὁ μείραξ.
τὰ συνεμπεπλεγμένα δὲ δυσὶ προσηγορίαις,
προτάττει καὶ προτίθησι καὶ πρὸ τῶν ἄλλων λέγει.
τὰ κατὰ συμπλοκὴν φημι προσώπων καὶ πραγμάτων,
καὶ τῶν ἐχόντων τὰς ἁπλᾶς πάλιν προσηγορίας.
τῶν μὲν ἐχόντων συμπλοκὴν πραγμάτων ὅτι πρῶτα
τὰ πρόσωπα πεφύκασιν ὑπάρχειν τῶν πραγμάτων.
τῶν τὰς ἁπλᾶς λαχόντων δὲ φέρειν προσηγορίας.
τὰ συνεμπεπλεγμένα δὲ δυσὶ προσηγορίαις

μεῖζον ἰσχύει τῆς ἁπλῆς μιᾶς προσηγορίας.
οὐκ ἔχω δὲ σαφέστερον εἰπεῖν τοῦ τεχνογράφου,
οὐδ' ἀναλίσκειν βούλομαι λόγους τῶν μακρηγόρων,
ταυτὶ δὲ δῆλον μέν ἐστιν ὡς καὶ καθ' ἕν ἐμπίπτει,
τὰ προῤῥηθέντα πρόσωπα ζητήμασιν ἐμπίπτει,
ποτὲ κατὰ ποιότητα μίαν τῶν εἰρημένων.
ποτὲ δὲ κατὰ πλείονας ὁμοῦ συμμεμιγμένας,
οἷον τυχὸν ὡς κύρια, ποτὲ δὲ ὡς τῶν πρός τι.
ποτὲ δὲ ὥσπερ κύρια καὶ πρός τι σὺν τοῖς ἄλλοις.
καὶ τῶν ἁπλῶν παράδειγμά τι [5] χρεία δεδωκέναι.
τῶν μεμιγμένων ἔστω δὲ παράδειγμα τοιόνδε·
Δημάδης ῥήτωρ τὸν υἱὸν μειράκιον ὡραῖον
λίχνον καὶ ἀσωτεύοντα πρὸς Φίλιππον ἐκπέμπων
ἀπολαβών τε πλούσιον κρίνεται κακοῦ βίου.
ἔχεις ἐνθάδε τὰς ἑπτὰ ποιότητας προσώπων·
τὸν μὲν Δημάδην κύριον τῶν πρός τι, τὸν υἱὸν δὲ,
τὸν δέ γε ἀσωτεύοντα τῶν διαβεβλημένων.
τὸ λίχνον δὲ τῶν ἠθικῶν· τὸ πλούσιον δὲ πάλιν,
τῆς κατὰ συμπλοκὴν ἐστι διπλῆς προσηγορίας·
τὸ ῥήτωρ τῆς ἑβδόμης δὲ ἁπλῆς προσηγορίας.
τὰ Δημοσθένους ἅπαντα κατάδηλα τυγχάνει,
καὶ ἑρμηνέως οὐδαμοῦ δεῖται τεχνίτου λόγων.
τὸ ἤδη δὲ διστακτικῶς εἶπε καὶ στρατιώτης,
ὅτι περὶ Χαιρώνειαν ἥττης γεγενημένης,
ὥσπερ Πυθέας ἔγραψεν ὁ Ἀττικὸς ὁ ῥήτωρ
ὁ Δημοσθένης πέφευγε ῥίψας καὶ τὴν ἀσπίδα,
ΑΓΑΘΗ ΤΥΧΗ γράμμασι χρυσοῖς ἐγγεγραμμένην.
ὅπερ καὶ σκώπτων ὕστερον τάδε φησὶν Αἰσχίνης·
τοῦτο τὸ ἐξαγέστατον κάθαρμα Δημοσθένης
τὴν ἀγαθὴν τῆς πόλεως ἐῤῥιψε τύχην φεύγων.
οὕτω ὁ Δημοσθένης δὲ σιγᾶσαι δώροις πείσας,
τὸν ὃς τούτου κατήγορος ἦν τοῦ λειποταξίου.

5 Cod. πέρι τις.

*Νικόδημος τῇ κλήσει δὲ τῷ γένει δ' Ἀμφιδραῖος*
*ὕστερον ἔκτεινεν αὐτὸν σὺν Ἀριστάρχῳ δόλοις.*
*ὡς ἐν τοιούτοις στοχασμοῖς τοῖς ἐκ τῆς ὑπονοίας*
*στοχασμοὺς καὶ [τοὺς] ἀτελεῖς ἐκ πράγματος καλοῦμεν.*
*ὁ Μινουκιανός ἐστι λοιπὸν οὐχὶ μεμπτέος,*
*πρὸς ὃν νῦν ἀποτείνεται τὸν λόγον Ἑρμογένης.*
*εἴπερ ἐνταῦθα εἴρηκεν ἐκλείπειν τὸ σημεῖον·*
*ὑπονοοῦμεν γὰρ αὐτὸν ὡς ἄσωτον φονεῦσαι.*
*οὐ μὴν σημεῖον φανερόν τι βλέπομεν ἐνταῦθα,*
*ὥσπερ ἐπὶ τοῦ θάπτοντος νεοσφαγές τι σῶμα.*
*Χρῶμα νῦν τὴν μετάθεσιν φησὶ τὴν [6] τῆς αἰτίας,*
*ἥπερ ἐστὶ κεφάλαιον τοῦ πράγματος, ὡς εἶπον.*
*τὸν λόγον χρωματίζει γὰρ καὶ πιθανὸν δεικνύει.*
*τὸ οἶμαι σχῆμα ἠθικὸν νῦν καὶ τῆς εἰρωνείας.*
*ἀντὶ τοῦ πάντως γάρ ἐστιν, οὐ μὴν διστακτικὸν δέ.*
*τουτέστι τὴν μετάθεσιν εἶπῃ πεπλανημένην.*
*ἐρεῖ γὰρ ἴσως ὁ πατὴρ, εἰς ἐμπορίαν ἦλθεν,*
*εἴτε τὸν βίον ἐκμισῶν [7] ἐν ξένῃ διατρίβει,*
*ἢ καὶ θανάτῳ φυσικῷ ἢ καὶ λῃσταῖς τεθνήκει.*
*τοιαῦτα χρώματά τινα ἐρεῖ πεπλανημένα.*
*ἀφ' ὧν γὰρ ἄλλοι ἔδρασαν τὰ χρώματα τοιαῦτα.*
*ἀφ' ὧν δ' αὐτὸ ποιήσει τις, βέβαιον καὶ τὸ χρῶμα.*
*ὅθεν ἐρεῖ τί εἴρηκεν, ἤγουν πεπλανημένως.*
*ὅπερ φησὶν ὁ τεχνικὸς, τοιοῦτόν τι τυγχάνει.*
*τότε μόνον οὐ κρίνεται ἐν στοχασμοῖς τὸ πρᾶγμα.*
*ἂν ἐξισάζῃ, πρᾶγμα δὲ νῦν λέγει τὸ σημεῖον.*
*ἀλλ' ἀποροῦσι, πλατυσμοὶ λόγων ὑθλορρήμονων.*
*οἷόν γε καὶ τὸ ἄπορον οὐ κρίνεται καὶ τἄλλα.*
*καὶ πῶς ἐπὶ ἰσάζοντος πράγματος εἶπε μόνου.*
*τὸ ἄπορον καὶ ἄδοξον καὶ τἄλλα μακρηγόρος.*
*ἅπερ ἡμῖν ὁ τεχνικὸς μετὰ μικρὸν ἐξείπῃ.*
*ὁλόκληρα προβλήματα, σημεῖα ἐγκλημάτων.*

---

6 τὴν metri caussa inserui. 7 Cod. μισῶν.

ἅπερ καὶ μέρη πέφυκε πάντως τῶν ζητημάτων.
περὶ μερῶν δ᾽ ὁ τεχνικὸς νῦν λέγει καὶ σημείων.
οἷον πένης καὶ πλούσιος· ἡ στάσις στοχασμὸς μέν,
ἐκ τῶν πραγμάτων ἀτελὲς πᾶν ἐνεστὼς προσώποις.
καὶ πάλιν οὐχὶ πάρεργον ἐτέθη νῦν ἐνθάδε.
ἀλλ᾽ ὥσπερ ἐν οἷς πρότερον δύο πλουσίοις νέοις.
οὐκ ἦν ἐξεταζόμενον οὐ πρόσωπον οὐ πρᾶγμα,
ὅτι περ καὶ ἀμφότερα διόλου ἐξισοῦτο,
οὕτως ἐπὶ τοῦ πένητος πάλιν καὶ τοῦ πλουσίου
οὐ κρίνεται τὰ πράγματα ὄντα διόλου ἴσα.
τὰ πρόσωπα δὲ κρίνεται μόνῳ τῷ παρηλλάχθαι.
τὸ μετὰ ταῦτα ἐξ αὐτῶν ἐστὶν δὲ ἐπιγνῶναι,
τὰ συνεστῶτά τε αὐτὰ καὶ τὰ [8] τῶν ἀσυστάτων.
οὐ μὴν δὲ καὶ διάγνωσιν αὐτῶν [9] ἀκούων μάθε.
ἀνώτερον ὁ τεχνικὸς πρὸ τούτου τοῦ χωρίου
διαφορὰν παρέδωκε προσώπων καὶ πραγμάτων.
ἀφ᾽ ἧς εἶπε διάγνωσιν τῶν στάσεων λαμβάνειν.
καὶ τῶν μελετωμένων δὲ ἐγγὺς δὲ ἀσυστάτων.
οὐ μὴν δὲ καὶ διάγνωσιν τῶν πάντη ἀσυστάτων.
κἂν καί τινα προβλήματα τῶν ἀσυστάτων πάνυ,
ἐντεῦθεν τὴν διάγνωσιν συμβέβηκε λαμβάνειν,
ὥσπερ τὰ κατὰ πρόσωπον καὶ κατὰ πρᾶγμα ἴσα.
οὕτω γὰρ πῶς ὁ σοφιστὴς κατὰ ῥητὸν προσεῖπεν,
ἥνπερ τοῖς γνοῦσι ῥᾴδιον γνῶναι τὰς διαιρέσεις.
τάς τε εἰς τὰ κεφάλαια αὐτῶν τῶν ζητημάτων.
καὶ ὅσα διαιρεῖσθαι δὲ δεδύνηται συνόλως.
ζητήματα γινώσκεις δὲ τὰς δεκατρεῖς τὰς στάσεις.
τὸ ὅσα διαιρεῖσθαι δὲ δεδύνηται συνόλως.
τὰ ἀσυστάτων μὲν ἐγγὺς πλὴν τῶν μελετωμένων.
περὶ τῶν ἀσυστάτων μὲν οὐκ ἐπεμνήσθη πάλιν.
ὥσπερ δοκεῖ Δοξοπατρῇ καὶ ἀπορίαν φέρει.

---

8 τὰ Cod. om. 9 αὐτῶν Cod. per lacunam om.

νῦν δὲ καὶ παραδείγμασιν ἐκεῖνα παρεισάξεις.
ἐστὶ, φησὶ, γοῦν ἐξ αὐτῶν τῶν νῦν παραδειγμάτων.
ὥνπερ σοι παραδέδωκα τῶν τε διόλου ἴσων
καὶ τῶν ἐχόντων πρόσωπον κρινόμενον καὶ πρᾶγμα.
καὶ τῶν λοιπῶν σαφέστατα τὰς στάσεις διαγνόντων.
καὶ πᾶν τι μελετώμενον, ἐγγὺς δὲ ἀσυστάτων
καὶ ὅσα μὴ συνέστηκε μηδόλως μελετᾶται,
πότε σάφῶς δὲ γένοιτο ταῦτά σοι διαγνῶναι,
ὕστερον καὶ μετέπειτα φημὶ καὶ μετὰ ταῦτα.
ὅταν μοι μάθῃς τὰ ὀκτὼ τῶν ἀσυστάτων εἴδη.
καὶ τρία μελετώμενα, ἐγγὺς δὲ ἀσυστάτων.
τὸ μετὰ ταῦτα καθ' ἡμᾶς τοῦτο σημαίνειν νόει.
τὰ μὲν γὰρ ἔχοντα φησὶ καὶ πρόσωπον καὶ πρᾶγμα.
ἀνώτερον, ὡς εἴπομεν, ὁ τεχνικὸς προεῖπε.
τὸ μετὰ ταῦτα τῶν τριῶν ἐπίγνωσιν γενέσθαι.
δεκατριῶν δὲ στάσεων, ἃ συνεστῶτα λέγει,
καὶ τῶν διαιρουμένων δὲ ἐγγὺς δὲ ἀσυστάτων,
καὶ ὅσα μὴ συνέστηκεν, ἀσυστατεῖ δὲ πάντη.
νῦν οὖν εἰσέβαλλεν αὐτὸ διδάσκειν ὥσπερ εἶπε.
καὶ πρῶτον τὰ γνωρίσματα τῶν συνεστώτων λέγει.
τὸ ἔχειν καὶ τὸ πρόσωπον κρινόμενον καὶ πρᾶγμα.
εἴτουν μόνον τὸ πρόσωπον, εἴτε τὸ πρᾶγμα μόνον.
καὶ λόγους ἑκατέρωθεν ἤγουν ἀντιλογίας,
ἔκ τε τοῦ κατηγόρου τε καὶ τοῦ κατηγορουμένου.
λόγους φημὶ δὲ πιθανοὺς καὶ διαφόρους ἅμα,
καὶ ἰσχυροὺς ταῖς πίστεσι, στερρόὺς τῇ ἀποδείξει,
πρὸς τούτοις καὶ τὴν ἔκβασιν ἔχον ἀφανεστάτην.
καὶ μὴ προεγνωσμένον δὲ τοῖς δικασταῖς ὑπάρχον.
καὶ κρίσει πέρας δὲ λαβεῖν δυνάμενον καὶ τέλος,
ταῦτα φησὶ γνωρίσματα τῶν συνεστώτων εἶναι.
ἀσύστατα τὰ τούτων δὲ τινὸς ἐλλελειμμένα,
ἅπερ οὐκ ἔχει πρόσωπον κρινόμενον ἢ πρᾶγμα.
ἀμφότερα ἰσάζοντα διόλου δὲ τυγχάνει,

ἢ λόγους ἐξ ἑνὸς μέρους φαίνεται κεκτημένον,
εἴτουν ἀπίθανά εἰσιν, εἴτε καὶ ἀντιστρέφει,
εἴτε μὴν ἀπερίστατα, εἴτε καὶ τῶν ἀδόξων,
ἢ πέρας μὴ λαμβάνοντα, εἴτε τῶν ἀδυνάτων.
ἃ καὶ κατ᾽ εἶδος βούλεται νῦν παραδεδωκέναι.
τρία δὲ σύμπαν ζήτημα εἰσὶ τὰ συνεστῶτα.
ὁ κρίνων, ὁ κρινόμενος, πρᾶγμα τὸ κρινόμενον.
ἀπὸ μὲν οὖν τοῦ κρίνοντος δύο ζητοῦμεν ταῦτα·
τὸ μὴ προειλημμένον τε καὶ μὴ λαμβάνον πέρας,
ἐκ κρινομένων δὲ ταυτὶ τὰ τέσσαρα ζητοῦμεν·
λόγους μὲν ἑκατέρωθεν καὶ πιθανοὺς δὲ λόγους
καὶ διαφόρους σὺν αὐτοῖς καὶ ἰσχυροὺς δὲ ἅμα.
ἐκ δὲ τοῦ πράγματος αὐτοῦ τάδε ζητοῦμεν τρία,
τὸ εὔπλαστον, τὸ ἔνδοξον, τὸ δύνασθαι γενέσθαι.
ἀσύστατα τυγχάνει δὲ τὰ τούτων ἐναντία,
ἃ καὶ κατ᾽ εἶδος βούλεται νῦν παραδεδωκέναι.
εἰρήσεται κατ᾽ εἶδος δέ· εἶδος τὸν τρόπον λέγει.
κατ᾽ εἶδος ὑπισχνεῖται δὲ, οὐκ ἀριθμῷ νῦν λέγει,
ὅτι τὰ συνεστῶτα δὲ καὶ τὰ τῶν ἀσυστάτων
ἐν ἀριθμῷ περιλαβεῖν ἀδύνατον ὑπάρχει.
καὶ πρῶτον τὸ μονομερὲς εἶδος τῶν ἀσυστάτων.
τὸ πρῶτον οὐχὶ τακτικὸν νῦν ἀριθμοῦ τυγχάνει.
ἀντὶ τοῦ ἓν μὲν πέφυκεν εἶδος τῶν ἀσυστάτων.
οὐ γάρ τι πρῶτον πέφυκε καὶ δεύτερον οὐκ εἶδος.
μονομερές μοι γίνωσκε πρόβλημά πως τυγχάνειν
τὸ μὴ ἐξ ἑκατέρωθεν λόγοις τὸ κράτος ἔχον
ἀπὸ τοῦ κατηγόρου τε καὶ τοῦ κατηγορουμένου·
ἐκ μέρους τούτων δὲ ἑνὸς ὅθεν ἐκλήθη οὕτως,
ἢ μόνος ὁ διώκων γὰρ ἰσχύει ὡς ἐνταῦθα,
τί γὰρ ἐρεῖ πορνοβοσκὸς κτείνας τοὺς δέκα νέους,
ὄργμα σκαιωρήσας τε πάντως οὐκ ἐν ἀγνοίᾳ.

---

10 τὸ κρινόμενον Cod. per lacunam om.

αὐτὸς ὑποδεξάμενος αὐτοὺς πρὸς τὸ κωμάζειν.
εἴπερ δ' οὐκ ἦν πορνοβοσκὸς, ἀλλά τις τῶν κοσμίων,
πάντως δ' ἂν ἦν ἀντέγκλημα, οὐχὶ μονομερὲς δέ.
ἢ μόνος ὁ διώκων οὖν ἰσχύει ὡς ἐνταῦθα.
εἴτουν ὁ φεύγων μόνος δὲ, ὥσπερ ὁ σώφρων μείραξ,
ὁ φόνου κατηγόρημα παρά τινων λαμβάνων.
ἀνθ' ὧν πολλοὶ τῶν ἐραστῶν κάλλους ἐρῶντες τούτου,
ἀποτυχίαν ἑαυτοὺς ἀπῆγχον ἀναρτῶντες,
καλῶς ἰσάζον εἴρηκεν ὁ τεχνικὸς διόλου,
μικρὰ γάρ τις ἐναλλαγὴ τούτῳ παραπεσοῦσα,
προσώπου, χρόνου, πράγματος, αἰτίας, τόπου, τρόπου,
μετάληψιν ποιήσειε στάσιν ἐξ ἀσυστάτου.
κατασκευὰς οὐκ ἔχοντα νῦν λέγει διαφόρους.
μίαν γὰρ ἕκαστον αὐτῶν καταφυγὴν ποιεῖται
τὰ πρότερον λεγόμενα περὶ τοῦ ἀντιδίκου.
τὸ ἄπορον ὁμώνυμον εἰδὼς ὁ τεχνογράφος.
σημαίνει γὰρ τὸ πενιχρὸν καὶ τὸ μὴ ἔχον πέρας,
εἰπὼν οὗ λύσιν ἐφευρεῖν οὐκ ἔστιν οὐδὲ πέρας,
ἔλυσε τὴν ἀσάφειαν τὴν ἐξ ὁμωνυμίας,
καὶ μᾶλλον δοὺς παράδειγμα πρὸς πλείονα τὴν γνῶσιν.
ὅναρ ἰδὼν Ἀλέξανδρος ὀνείροις μὴ πιστεύειν,
βουλεύεται τὸν ὄνειρον εἰ δεῖ προσκυρωθῆναι.
τὸ ἐναντίον γὰρ τὰ νῦν οὗ βούλεται ποιήσει.
ὅθεν καὶ ἄπορον αὐτὸ δικαίως ἐπεκλήθη.
ἰᾶται μὲν τὸ ἄπορον καὶ σύστασιν λαμβάνει.
καὶ γίνεται πραγματικὴ στάσις ἐξ ἀσυστάτου,
ἂν ἓν τῶν περιστατικῶν κατὰ προσθήκην λάβῃ.
οἷον τυχὸν κραιπαληγῶν ὀνείροις μὴ πιστεύειν·
ἐν χρόνῳ τῷ χειμερινῷ δι' ὃ ποθεῖ τις πρᾶγμα,
ἐπίσης δὲ καὶ τὰ λοιπὰ, λόγους εἰ μὴ μηκύνω.
Ἀπίθανον ὑπάρχει μὲν, ὃ δύναται γενέσθαι
περίστασιν ἑτέραν οὐ πιστοῦται.
πολὺ γὰρ ἠναντίωται νῦν γνώμης τοῦ Σωκράτου

τὸ βόσκειν πόρνας μαστροπὸν ἄντικρυς δεδειγμένον.
ὁ λέγων οὖν πορνοβοσκὸν Σωκράτην πεφυκέναι
οὐ πείσει τοὺς ἀκροατὰς τοῦτον σαφῶς εἰδότας
ὥσπερ ὁ λέγειν ἄδικον τὸν μέγαν Ἀριστείδην,
τοῦ Λυσιμάχου τὸν υἱόν, τὸν Ἀττικὸν ἐκεῖνον.
ὅσπερ ἔσχεν ἐπώνυμον τὸ δίκαιος καλεῖσθαι.
ἐξ ἔργων ὧνπερ ἔπραττε τῶν Ἀθηναίων ἄρχων.
εἰ δὲ κατηγορήθησαν καὶ οὗτοι γὰρ οἱ δύο,
ἀλλ' ὁ Σωκράτης μὲν αὐτὸς ὡς φοιτητὰς παιδεύων
πορρώτατα ἐκτρέπεσθαι πραγμάτων δημοσίων,
ἃ καὶ φθορὰν ἐκάλεσαν οἱ Ἀττικοὶ τῶν νέων,
καὶ τούτου χάριν τὸν σοφὸν ἀπέκτειναν ἐκεῖνον,
ὁ δ' Ἀριστείδης δ' ἔσχηκε τινὰ κατηγορίαν,
ἀντιπολιτευόμενος πρὸς τὸν Θεμιστοκλέα.
οὐ μὴν κατηγορήθη δὲ πορνοβοσκὸς Σωκράτης,
οὐδ' Ἀριστείδης ἄδικος παρά τινος ἀνθρώπου.
ἀδύνατον ᾧ σύνολον οὐ πέφυκε γενέσθαι
ὡς ἄνθρωπον ἀδύνατον ὑπάρχειν μὲν τῇ φύσει,
ἢ πίνειν ὅλον ποταμὸν ἤ τι τῶν ὑπὲρ φύσιν.
πῶς οὖν ἀδύνατόν ἐστι Σιφνίους Μαρωνείτας
περὶ ἀρχῆς βουλεύεσθαι μόνον τε τῶν Ἑλλήνων.
μικροπολῖται πόσοι γὰρ ὡς πρὶν οἱ Μακεδόνες,
οἵων κατῆρξαν πόλεων κατὰ τρόπων, πραγμάτων.
τοῦτο μὲν οὐκ ἀδύνατον, ἀπίθανον δὲ λέγω.
ἄλλως τε καὶ ἀδύνατον τὸ μάταια βουλεύειν.
„ἀρχὴν δὲ θηρῶν οὐ πρέπει τἀμήχανα."
τὴν δὲ ἐπιδιόρθωσιν τὸν Πύθιον ὃν φέρει,
ἐγὼ καλῶ τῶν ἀπρεπῶν, οὐ μὴν τῶν ἀδυνάτων.
εἰ γὰρ θελήσει καὶ θεὸς ψεύσασθαι, σθένει τοῦτο,
ἀλλ' ἀπρεπὲς τὸ ψεύσασθαι φύσει τυγχάνει θείᾳ.
ταῖς λύσεσι τοῖς λήροις δέ τις ἄλλος προσεχέτω.
ὃ θέλεις δὲ παράδειγμα, θήσομεν ἀδυνάτου.

Ἀλέξανδρος τὴν Ἄορνιν [11] ὕψει λαβεῖν μὴ σθένων,
συνθεὶς ἀνθρώπους πτερωτοὺς ὑπερπετᾶσαι σπεύδει.
τοιούτῳ τρόπῳ βούλεται τὴν χώραν ἐκπορθῆσαι.

## Liber

### περὶ εὑρέσεων incipit ita:

Λεῦρο μολοῦσα Μοῦσά μοι πάλιν περιπεζια,
μὴ λέξεσι φλεγμαίνουσα μηδὲ ῥημάτων κόμπῳ,
καὶ τὸ περὶ εὑρέσεων βιβλίον διατράνου.
εὐλήπτῳ λόγῳ καὶ σαφεῖ καὶ διδασκάλου τρόπῳ.
τοῖς κεχρημένοις [1] γὰρ μαθεῖν, οὐ τοῖς ἐμπείροις [2] γράφεις·
χρὴ δὲ τὸν ἐκδιδάσκοντα τὸν περὶ τέχνης λόγον,
εὔληπτον εἶναι καὶ σαφῆ τοῖς χρῄζουσι μανθάνειν,
ἀπὸ τέχνης γόητα· καὶ συγκεκροτημένον
ἔλεγχος ἔγραψεν Ἀλκιδάμας
λοιπὸν σαφῶς καὶ μὴ κομψῶς ἐξηγουμένως γράφε.
ἢ γὰρ ἂν ἄτοπον δεινῶς, εἰδυῖαν τὰ τῆς τέχνης
ὡς ἄτεχνον ἐκτρέπεσθαι μακρόθεν τῶν ἐντέχνων,
ὑφορωμένην ἀπρεπῶς τῶν φιλοτιμουμένων
χαριζομένην τοῖς κομψοῖς καὶ κομπολακυθοῖσι.
ὁ Ἑρμογένης τεχνικῶς τῶν στάσεων τῇ βίβλῳ
πρῶτον περὶ προσώπων μὲν διδάξας καὶ πραγμάτων,
τῶν ἐξεταζομένων τε καὶ τῶν ἀνεξετάστων·
ταῦτα γὰρ πάσης στάσεως συστατικὰ στοιχεῖα,
καὶ περὶ προβλημάτων δὲ γράψας τῶν ἀσυστάτων,
καὶ ἀσυστάτων τῶν ἐγγὺς ἀλλὰ μελετωμένων.
εἶτα καὶ μέθοδον εἰπὼν στάσεων γνωρισμάτων,
καὶ διελὼν εἰς λογικὰς καὶ νομικὰς τὰς στάσεις,
καὶ εἰς τὰς μέσῳ λογικῶν καὶ νομικῶν κειμένας,

---

11 cfr. Arrian. Exp. Al. III. 29. 1. Dionys. Per. 1151.

1 in cod. super τοῖς scriptum est πρὸς, super οις, ους.

2 Cod. πρὸς ἐμπείρους. supra lin. τοῖς ἐμπείροις.

ἑξῆς καὶ τὰ κεφάλαια κατέλεξεν ἐντέχνως.
τίνα τῆς δεῖνος στάσεως καὶ ποῖα δὲ τῆς δεῖνος,
καὶ ποῖα τῶν προσώπων δὲ καὶ ποῖα τῶν πραγμάτων.
τίνα τε τοῦ διώκοντος, τοῦ φεύγοντος δὲ τίνα,
καὶ τίνα πέφυκε κοινὰ, πάντως καλῶς εἰρήκει.
μόνην τὴν ἀπαρίθμησιν ἐκείνων διαγράψας,
εἰ καὶ μικρὸν ἐφήψατο τῶν ἐπιχειρημάτων.
ὅσον πρὸς τὸ ἐνδείξασθαι τὴν κεφαλαίων φύσιν.

## Liber de Ideis incipit:

Εἴπερ ἄλλο τι ῥήτορι καὶ τὰς ἰδέας οἶμαι.
διδάξας ἐν ταῖς στάσεσι ποιότητα προσώπων,
ἐν δέ γε ταῖς εὑρέσεσι ποιότητα πραγμάτων,
ἐνταῦθα νῦν ποιότητας τῶν λόγων ἐκδιδάσκει.
ποίας ἐν ποίοις πράγμασι καὶ ποίοις δὲ προσώποις
τοὺς λόγους προσαρμόσομεν λαμπροὺς τοῖς λαμπροτάτοις,
καὶ τοῖς λοιποῖς ὁμοίως δὲ καὶ προσφυεῖς ἐκείνοις.
νῦν οὖν κατ' ἐπανάληψιν οὕτω φησὶν ἐνθάδε.
εἰ ἄλλο τι τῷ ῥήτορι τυγχάνει ἀναγκαῖον,
τουτέστιν εἰ τοῖς ῥήτορσι τυγχάνει ἀναγκαῖα
τὰ πρόσωπα καὶ πράγματα καὶ ἡ ποιότης τούτων,
καὶ ἡ τῶν λόγων χρήσιμος καθέστηκε ποιότης,
ἐξ ἧς ἐκείνοις γίνεται ῥητορικῆς τὸ κράτος.
ἐκ πράγματος δ' ἡ πρότασις οὖσα τοῦ προοιμίου
λάθρα τὸν μὴ δεχόμενον ἰδέας διαβάλλει.
μεθόδου δὲ δεινότητος πάντως ὑπάρχει τοῦτο,
τὸ λόγῳ καὶ τοῖς μέρεσι κεχρῆσθαι τοῖς τοῦ λόγου.
κατὰ καιρὸν τὸν πρέποντα, καὶ ὅπου ἐξὸν χρῆσθαι.[1]
εἰ γὰρ ἀντέτεινεν, εὐθὺς ὑπόληψιν ἐνδίδου
ἀμφίβολον τῶν ἰδεῶν τὴν βίβλον πεφυκέναι.

1 Cod. δὲ χρῆσθαι.

τὸ ὅπη ἔχουσι, φησὶ Δοξοπατρῆς τοιῶδε, [2]
οἷον ἡ μὲν σαφήνεια εὔνουν ποιεῖ τὸν λόγον.
τὸ μέγεθος ἀξίωμα καὶ ὄγκον ἐμποιεῖ δέ.
γοργότης δὲ τὸ ὕπτιον ἐξαίρει τὸ τοῦ λόγου.
περὶ τοῦ ὅπη ἔχουσι Δοξοπάτρης μὲν ταῦτα,
ἐγὼ δὲ τοῦτο οὕτω σοι τανῦν ἐπεξηγοῦμαι.

2 Differunt haec a Jo. Sicel. T. VI. p. 82.

# ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ
## ΤΟΥ
# ΨΕΛΛΟΥ.[1]

Εἰ μάθοις τῆς ῥητορικῆς τὴν τέχνην, Στεφηφόρε,
ἕξεις καὶ λόγου δύναμιν, ἕξεις καὶ λόγου χάριν.
ἕξεις καὶ πιθανότητα τῶν ἐπιχειρημάτων
πολιτικῶν, καὶ γάρ ἐστι θεωρὸς ζητημάτων.
πολιτικὸν δὲ ζήτημα κατὰ τὸν τεχνογράφον
ἀμφιβολία λογικὴ καὶ μερικὴ τυγχάνει.
ἐκ τῶν παρὰ ταῖς πόλεσιν ἐθῶν καὶ νόμων πλέον
περὶ δικαίων καὶ καλῶν καὶ περὶ συμφερόντων,
εἴδη γὰρ τῆς ῥητορικῆς ταῦτα τὰ τρία μόνα.
δικανικὸν καὶ συμβουλὴ, πανήγυρις τὸ τριτον,
καὶ τέλος μὲν δικανικοῦ τὸ δίκαιον τυγχάνει.
τὸ καλὸν πανηγυρικοῦ, συμβουλῆς τὸ συμφέρον·
τὸ λογικὸν δὲ ζήτημα, δέσποτά μου τῆς τέχνης,
οὐκ ἔστι περατούμενον, τοῦτο γὰρ τὸ τῶν νόμων.
ἀλλ' ἕστηκε ζητούμενον εἰς ἅπαντα τὸν χρόνον·
οὐκ ἔστι δ' ἰσοδύναμος φύσις τῶν ζητημάτων.
πρόσωπα γὰρ καὶ πράγματα κρείττω καὶ χείρω φέρει.
πολλάκις δ' ἐστὶν ἄχρηστον ἓν ἐκ τῶν δύο τούτων.

---

1 Descripsi e Cod. Vindob. CCC. Nessel. Fol. 111—133. Ad marg. scholia recentiore manu liquore rubro adscripta sunt, quae describere operae pretium non duxi.

καὶ τηνικαῦτα φαίνεται τοῦ ῥήτορος τὸ κράτος,
ὅταν λαμβάνων ζήτημα χαῦνον ἐξ ἑκατέρων
ταῖς λογικαῖς δυνάμεσιν αἴρει τε καὶ κρατύνει.
εἰσὶ δὲ καὶ κακόπλαστά τινα τῶν προβλημάτων,
ὧν φύσις ἑτερορρέπης, πρὸς δὲ προειλημμένη.
τὰ δὲ καὶ πάντη πέφυκεν ἀσύστατα τὴν φύσιν·
καὶ ἑτερομερέστατα, ὡς ἄπορα τελείως.
ἐκεῖνα δὲ συνέστηκε, κρίνεται, μελετᾶται.
ὧν κρίσεις καὶ τὸ πρόσωπον λαμβάνει καὶ τὸ πρᾶγμα.
φύεται δ' ἑκατέρωθεν τῶν λόγων πιθανότης·
εἰσὶ δὲ ταῦτα σύμπαντα, δέσποτα, δέκα τρία
στάσεις ὀνομαζόμεναι παρὰ τὸ στασιάζειν
τοὺς ῥήτορας τῷ πιθανῷ τῶν ἐπιχειρημάτων.
ὧν στοχασμὸς τὸ πρότερον, ὑπάρχει δ' οὗτος ἄναξ,
ἔλεγχος οὐσιοποιὸς ἐκ φανεροῦ σημείου.
ὅρος ἐστὶ τὸ δεύτερον οὕτως ὠνομασμένος,
ὀνόματός τις ζήτησις πραγματός τινος χάριν.
τὸ τρίτον δὲ πραγματικὴ ζητοῦσα τὸ πρακτέον.
ἐντεῦθεν γὰρ ἐδέξατό τὴν κλῆσιν, Στεφηφόρε.
τὸ τέταρτον ἀντίληψις δοκοῦντος ἀνευθύνου.
ὡς ὑπευθύνου πράγματός τινος κατηγορία.
τὸ πέμπτον δ' αὖ ἀντίστασις, ὃ φεύγων γὰρ ἐν ταύτῃ
ὁμολογῶν τὸ ἔγκλημα τὸ προσενηνεγμένον
ἀνθίστησιν εὐτύχημα αὐτόθεν πεπραγμένον.
εἴ δέ τις φόνον δεδρακὼς ὁμολογῶν τὸν φόνον·
ἄξιον φόνου δείκνυσιν αὐτὸν τὸν πεπονθότα,
ἀντέγκλημα συνίστησιν ἀντεγκαλῶν δικαίως.
εἰ δ' ἄλλην περιτίθησιν εὐφυῶς τὴν αἰτίαν,
εἰ μέν τι κολαζόμενον μετάστασις τυγχάνει·
εἰ δ' ἔστιν ἀτιμώρητον τὸ ζήτημα συγγνώμη.
εἰ δὲ συμβάντος πράγματος νόμῳ κολαζομένου·
ὁ μὲν τοῦ νόμου τὸ ῥητὸν προβάλλεται δικαίως,
ὁ δὲ τὸν νόμον ἀναιρεῖ σαφῶς ταῖς διανοίαις.

ῥε-

ῥητόν τε καὶ διάνοια τὸ ζήτημα τυγχάνει.
εἰ δέ τις πρᾶγμα τῷ ῥητῷ προσφυῶς ἀντιξέει,
συλλογισμὸν ἐργάζεται ῥητορικὸν ἐνταῦθα.
παράθεσις οὗτός ἐστι πρὸς ἔγγραφον ἀγράφου.
εἰ δ' ἔστιν ἀμφισβήτησις νόμοιν δυοῖν ἢ πλέον,
καὶ μὴ πολλῶν τὸ ζήτημα, ἑνὸς δὲ τεμνομένου,
ἀντινομία πέφυκεν ἡ ζήτησις εἰκότως.
ἀμφιβολία δέ ἐστι ζήτησις προχωροῦσα
ἐκ προσῳδίας τονικῆς, ἐκ μερισμοῦ ῥημάτων.
εἰ δ' ἔστιν ἀμφισβήτησις, εἰ δεῖ γενέσθαι κρίσιν,
μετάληψις τὸ ζήτημα, ἣν οὕτω διαιρήσεις.
τὸ μὲν γὰρ ταύτης ἔγγραφον, τὸ δ' ἄγραφον τυγχάνει.
παραγραφὴν τὸ ἔγγραφον ὀνόμαζε τελείαν,
ἔχον ἐκ νόμου τὴν ἰσχὺν τοῦ λόγου καὶ τὸ κράτος.
τὸ δ' ἄγραφον οὐ νομικόν, οὐ γὰρ προβάλλει νόμον.
ἀλλ' ἔστι λογικώτερον, καὶ γὰρ αἱ δύο στάσεις,
πραγματικὴ, μετάληψις, ὥσπερ ἡ τέχνη λέγει,
τῶν λογικῶν καὶ νομικῶν μέσαι τυγχάνουσί πως.
οὐχ ὅλαι, τοῖς δὲ μέρεσι πρὸς ἄμφω τεταγμέναι.
ἑκάστη δὲ τῶν στάσεων τῶν ἀπηριθμημένων
καὶ ἰδικοῖς ὀνόμασι καὶ γενικοῖς καλεῖται.
καὶ κεφαλαίοις ἰδικοῖς καὶ κοινοῖς τέμνεταί πως,
ὧν τὰ μὲν τοῦ διώκοντος τυγχάνουσιν ἰδίως.
τὰ δέ εἰσι τοῦ φεύγοντος, τὰ δὲ κοινὰ τῶν δύο.
πάλιν κατ' ἄλλον μερισμὸν τὰ μὲν τῶν ζητημάτων
ὡς λόγον γένους ἔχοντα τέμνεταί πως εἰς εἴδη.
τὰ δ' εἰσὶ μερικώτατα, τομὴν μὴ δεδεγμένα.
οὗτος ὁ λόγος πέφυκε τῶν ζητημάτων ἄναξ.
ἐντεῦθεν δὲ λεκτέον σοι ὡς περὶ προοιμίων.
καὶ τῶν λοιπῶν εὑρέσεων τοῦ λόγου καὶ σχημάτων.
ὁ κατὰ τέχνην, δέσποτα, συντεθειμένος λόγος,
ἔχει καὶ σῶμα καὶ ψυχὴν καὶ κεφαλὴν καὶ πόδας.
ψυχὴ μὲν ἡ διάνοια, σῶμα δ' ἐστὶν ἡ λέξις·

κεφαλὴ τὰ προοίμια, ἐπίλογος οἱ πόδες.
καὶ πλεῖστοι μὲν τυγχάνουσι τόποι τῶν προοιμίων·
ὁ δ' Ἑρμογένης τέσσαρας τεχνογραφεῖ καὶ μόνας·
δεῖ γὰρ πρὸς τὴν ὑπόληψιν τῶν ἀπηριθμημένων
συντάττειν τὰ προοίμια καὶ χαίρειν ἢ λυπεῖσθαι.
τῶν ἐκ τῆς διαιρέσεως τόπος ἐστὶ τοιοῦτος
ὅταν πραχθέντων, δέσποτα, δύο ἀδικημάτων,
ὧν ἕκαστον καὶ κρίνεται, πρὸς δὲ καὶ τιμωρεῖται,
μερίζοντες ποιήσωμεν προοίμιον τοιοῦτον.
εἰ καὶ δι' ἓν ἀδίκημα οὗτος τιμωρητέος·
πόσῳ γε δι' ἀμφότερα τυγχάνει κολαστέος.
τοιοῦτον καὶ τὸ δεύτερον, τοιοῦτον καὶ τὸ τρίτον
εἶδος τυγχάνει, δέσποτα, τοῦδε τοῦ προοιμίου.
τὸ μὴ ἐξ ὑπολήψεων· τὸ δεύτερον ἐκ χρόνου.
καὶ τρίτον πάλιν τίθησι τῶν προοιμίων τόπον.
ὃν οὕτως κατωνόμασεν ὡς ἐκ περιουσίας.
ὡς ἐδυνάμην γράφεσθαι καὶ ἱεροσυλίας.
μείζονος ἀδικήματος καὶ χείρονος τοῦ πρώτου.
ἐκ τοῦ καιροῦ δ' ὁ τέταρτος τόπος τῶν προοιμίων,
ὅταν ἀξίωσιν ποιῶν γράφεις ὡς πεπραγμένην.
ἔστι δὲ πᾶν προοίμιον δὴ τούτων τῶν τεσσάρων·
προτάσεως, κατασκευῆς, ἀξιώσεως τρίτης,
καὶ τοῦ τετάρτου βάσεως, ὃ τέλος προοιμίου.
αὐτάρκης δὲ περιβολὴ τυγχάνει προοιμίων,
διπλασιάσαι ὄνομα, διπλασιάσαι κῶλον.
ὡς δ' ἐπὶ παραδείγματος τὰ τέσσαρα δεικτέον·
μαρτύρων μνήμης τίς ἂν ᾖ φιλομάρτυρι κόρος;
τοῦτο τοῦ λόγου πρότασις, εἶτα καὶ τἄλλα σκόπει·
ἡ γὰρ τοῦ μάρτυρος τιμὴ εὔνοια πρὸς δεσπότην.
κατασκευὴ προτάσεως τοῦτο σαφὴς τυγχάνει.
τῷ λόγῳ τοίνυν τίμησον τὸν μεμαρτυρηκότα·
τοῦτο σαφὴς ἀξίωσις, εἶτα τὴν βάσιν βλέπε,
ὅπως ἂν μάρτυς γένοιο καὶ σὺ τῇ προαιρέσει.

βάσις γὰρ ἐπωνόμασται καὶ ἔσχατόν τι μέρος.
ἐν ᾧ καὶ βαίνειν ἔοικε τὸ προοίμιον ὅλον.
ἐπὶ τῆς ἀξιώσεως κατασκευὴ καὶ τοῦτο.
ὃ δρῶμεν ἐπιφώνημα τολμᾷν εἰς βεβη — —
περὶ οὗ σε διδάξομεν τοῦ λόγου προϊόντος.
καὶ τέχνη μέν σοι σύντομος αὕτη τῶν προοιμίων.
μέλλων δ' εἰς τὴν ἐξήγησιν τὸν λόγον παρεισάγειν
ζήτει τὴν προκατάστασιν, ὁπόταν ταύτην λάβῃς.
ἐστὶ δὲ τὸ προοίμιον διηγήσεως μέρος
οἷόν τις προδιήγησις τῶν ἀπ' ἀρχῆς εἰς τέλος.
ἄτεχνον γὰρ ὡς ἀληθῶς εἰ μὴ προκαταστάσεις
αὐτῆς τῆς διηγήσεως ἄρξαιο παραυτίκα·
ἡ μετοικία τοιγαροῦν προκαταστάσεις ἔχει.
αἵ τε τῶν νόμων εἰσφοραὶ καὶ λύσεις καὶ τὰ πλείω
μέρη τῶν ὑποθέσεων προκαταστάσεις ἔχει.
εἰς οἵαν γὰρ διήγησιν προοιμιόν τι λάβῃς
τοῦτό σοι προκατάστασις ἔστω συντεταγμένη.
προκατάστασιν τοιγαροῦν τὴν διήγησιν λέγε,
ἡ δὲ πλατεῖά τέ ἐστι τῇ φράσει καὶ ποικίλη·
οὐ γὰρ ἐστενοχώρηται μέτρῳ ῥητῷ τοῦ λόγου.
ἀλλὰ πλατύνεται πολλοῖς κώλοις καὶ διανοίαις.
εἰ βούλει δὲ καὶ τὴν αὐτὴν ἔννοιαν μεταπλάσαι
ἐν διαφόροις λέξεσιν, ὀνόμασιν ποικίλοις,
ποικίλον καὶ μετατιθεὶς πρῶτον μὲν τὸ πρακτέον·
εἶτα τὸ τούτου αἴτιον, εἶτα τὸ παρειμένον.
εἶτα τὸ τούτου αἴτιον, τέσσαρα ταῦτα μέρη.
τρόποι δὲ διηγήσεων τρεῖς οἵδε, Στεφηφόρε.
Ἁπλοῦς καὶ ἐγκατάσκευος ἐνδιάσκευος τρίτος.
ὅταν μέν γε τὰ πράγματα πολλά τε καὶ ποικίλα,
ἰσχὺν αὐτόθεν ἔχοντα καὶ δίχα περινοίας·
μηδὲν ποικίλῃς, δέσποτα, ἁπλῇ χρῶ διηγήσει.
ὁποῖον τὸ παράδειγμα τοῦ Δημοσθένους ἔνι.

ἐξήλθομεν ἐς Πάνακτον [1] ἔτος δὴ τοῦτο τρίτον·
καὶ μεθ' ἡμῶν ἐσκήνωσαν Ἀρίστωνος οἱ παῖδες,
εἶτα δὴ καὶ κατέπαιζον ἐπόψεσι τῶν πάντων,
ὑβρίζοντες καὶ τύπτοντες ῥηγνύντες τὴν ἄμισθον.
εἰ δ' ἔστιν ἡ διήγησις σύντομος δεινοτέρα,
ἐγκατασκεύως διηγοῦ πλατύνων ταῖς αἰτίαις.
εἰ δὲ καὶ σύντομός ἐστιν ὁμοῦ καὶ σφοδροτέρα,
θαῤῥούντως διασκεύαζε ἐνδιασκεύοις τρόποις.
καὶ πρῶτόν σοι παράδειγμα ποιητικὸν ῥητέον.
αὐέρυσαν τὸ πρῶτον [μὲν] ἔσφαξαν ἔδειράν τε.
εἶτα μηροὺς ἐξέταμον, ἐκάλυψαν τῇ κνίσσῃ,
ἐπιμελῶς ἐξέπυσαν εἰρύσαντό τε πάντα.
ῥητέον δὲ καὶ συντόμως ἄλλο παράδειγμά σοι
τοῦ Θεολόγου πάνσοφον ἐκ τοῦ ἐπιταφίου.
πηδῶσι γὰρ, βοῶσί τε, πέμπουσιν ἄνω κόνιν.
καθήμενοί τ' ἐλαύνουσι, παίουσι τὸν ἀέρα.
ζευγνύουσι καὶ σύντομον μεταζευγνύουσί πως.
ἄνω δ' εἰπὼν ὁ πάνσοφος τὴν σοφιστομανίαν,
εἶτα προσθεὶς τὸ αἴτιον, ὅτι πλῆθος καὶ νέοι,
ἔκθεσιν ἐγκατάσκευον εἴρηκέ σοι συντόμως.
ἡ δέ γε προκατασκευὴ, καὶ τοῦτο γὰρ ῥητέον,
πρεσβύτερον κατασκευῆς τυγχάνει φερωνύμως.
ὅπερ σοὶ παραδείγματι καὶ πάλιν διδακτέον.
οὐχὶ τῷ Δημοσθενικῷ τῷδε τοῦ Θεολόγου.
οὗτος καὶ γὰρ ὁ πάνσοφος φιλόσοφος καὶ ῥήτωρ,
κατασκευάζειν ὁρμηθεὶς τὴν θείαν μοναρχίαν,
προτίθησι κεφάλαια πάντα τοῦ λόγου τρία.
περὶ θεοῦ γὰρ, ἔφησεν, ἄνωθεν τρεῖς αἱ δόξαι,
ἄναρχόν τε πολύαρχον καὶ τρίτον μοναρχία.
ἡ τοίνυν τούτων ἔκθεσις τῶν τριῶν κεφαλαίων
τυγχάνει προκατασκευὴ τεχνικῶς προκειμένη.

---

1 Cod. Ναύπακτον. correxi ex Dem. in Con. p. 1257.

ἔστι καὶ εἶδος λύσεως βίαιον κεκλημένον
ὅταν λαβόντες τὸν δεινὸν λόγον τῶν ἀντιδίκων
εἰς τούτους ἀναστρέψωμεν, ὡς κατ᾽ αὐτῶν δεικνύων.
ὡς εἶπεν ὁ Χρυσόστομος ἐν τῷ φιλογονίῳ.
τὸν λόγον γὰρ εἰσάγοντος τὸν περὶ μυστηρίων
καὶ κλείοντος τὴν πρόσοδον τοῖς ἀκολαστοτέροις,
ὥσπερ τινὲς ἀντέφησαν, ὡς οὐχὶ καθ᾽ ἡμέραν.
τολμῶσι τὴν μετάληψιν μόνον ἅπαξ τοῦ χρόνου.
αὐτὸ γὰρ τοῦτο χαλεπὸν ἀντείρηκε βιαίως
ὁ πάνσοφος Χρυσόστομος, ἡ χρυσώνυμος γλῶττα
ὅτι μηδ᾽ ἅπαξ κοινωνεῖν τῶν θείων μυστηρίων.
ἁγνίζῃ τ᾽ ἢ προκάθαρσιν ἀκριβῆ προλαμβάνεις.
τὸ δὲ τῆς ὑποθέσεως κεφάλαιον ἐν λόγῳ
ἢ παρ᾽ ἡμῶν εἰσάγεται ἢ τῶν ἀντιλεγόντων.
ὃ δεῖται πάντως λύσεως τεχνικῆς καὶ ποικίλης.
εἰσάγεται δὲ τεχνικῶς ἐν κόσμῳ τετρακύκλῳ.
προτάσεσιν, ὑποφοραῖς ἀντιπροτάσεσί τε.
καὶ τῶν ἀντιπροτάσεων λύσεσιν ἀντιθέτοις.
πρότασις μὲν ὑποφορῶν ἐστιν ἐπαγγελία.
ὁ λόγος δ᾽ ὁ ἀντίθετος ὑποφορὰ τελεία.
καὶ πάλιν ἀντιπρότασις ὑπόσχεσις τοῦ λύειν.
μεθ᾽ ἣν ἡ λύσις γίνεται μετ᾽ ἐπιχειρημάτων.
τὸ μὲν γὰρ ἐπιχείρημα κατασκευάζει λύσιν,
ἡ δ᾽ ἐργασία δύναμις τῶν ἐπιχειρημάτων.
ὥσπερ δὴ τὸ ἐνθύμημα πάλιν τῆς ἐργασίας.
τὰ δὲ ἐπενθυμήματα τῶν προενθυμημάτων.
τρόπῳ, προσώπῳ, χρόνῳ τε καὶ τόπῳ σὺν αἰτίᾳ·
πρῶτον δ᾽ αὐτῷ τῷ πράγματι, ἡ ὕλη γὰρ ἐν τούτῳ,
ἡ δ᾽ ἐργασία σφίγγουσα τὰς προεπιχειρήσεις,
κρατύνεται παραβολῇ καὶ παραδείγματί πως·
ἐλάττοσι τοῖς μείζοσιν, ἴσοις τοῖς ἐναντίοις,
ἡ φύσις δ᾽ ἐπεισάγεται ἡ τῶν ἐνθυμημάτων·
ἐκ πάσης περιστάσεως συγκριτικωτέρως πως·

τὸ δ' ἐπενθύμημα διπλοῦν ἐνθύμημα τυγχάνει.
ἐν στάσεσι δὲ χρηστέον μοι καὶ ἀντιπαραστάσει.
ἐν πᾶσι τοῖς ζητήμασιν εὔχρηστοι γὰρ τῷ τρόπῳ.
ἀλλ' ἡ μὲν ἔνστασίς ἐστιν ὡς τυραννικωτέρα
ἀναίρεσιν εἰσάγουσα τοῦ πράγματος καὶ λύσιν.
ἡ δὲ ἀντιπαράστασις τυγχάνει λειοτέρα·
εἰ μὲν γὰρ οὕτω τις ἐρεῖ, οὐκ ἔδει σε φονεῖσαι,
ἀντίστασιν εἰσήνεγκε τὴν πρᾶξιν ἀναιροῦσαν.
εἰ δ' εἴποι τις, κἂν ἔδει σε, ἀλλ' οὐ τοιοῦτον τρόπον,
εἶπεν ἀντιπαράστασιν λύσιν ὁμαλωτέραν.
ποῖον δ' εἰσάγειν πρότερον τοῖς ζητήμασι δέον
οὐκ ἔστιν ἀποφήνασθαι σταθμῷ δὲ σὺν τῷ λόγῳ.
πλὴν ἡ ἀντιπαράστασις ὥσπερ ὁδός τις λεία.
τὰ δ' ἀπ' ἀρχῆς λεγόμενα μέχρις αὐτοῦ τοῦ τέλους
ἔστι συνεκτικώτερα κεφάλαια τῶν ἄλλων,
ὅπερ κατασκευάζεται ἰδιάζουσι τρόποις.
οὐ γὰρ ταῖς περιστάσεσιν, ἀλλὰ τομαῖς ποικίλαις,
ἀποταθεῖσι πνεύμασι, σφιγχθείσαις περιόδοις.
ἑκάστη δ' ὑποδιαίρεσις δρᾷ προσωποποιΐαν.
ἐπὶ τῷ τέλει καὶ πλαστῷ χρήσῃ τεχνικωτάτως,
ἐπὶ δὲ τοῖς πραγματικοῖς δυσχερῆ λύσιν ἔχει.
τὰ ἀπ' ἀρχῆς λεγόμενα μέχρις αὐτοῦ τοῦ τέλους.
Χρῶ δὲ τοῖς μεταληπτικοῖς μᾶλλον τῶν ἄλλων πλέον.
ἡ δέ γε τάξις, δέσποτα, τῶν ἐπιχειρημάτων
διπλῆ τις ἀποδεικτική, πανηγυρικωτέρα,
ἡ μέν ἐστι δικανικὴ φράσεως δεομένη,
ἐναγωνίου μάλιστα τῆς πολιτικωτέρας.
ἡ δὲ φαιδρὰ καὶ πάγκαλος χρωννύουσα τὸν λόγον,
εἰ τοίνυν λόγος πέφυκεν ἐκ δυοῖν τεθειμένος,
φυλάξεις τὰ φαιδρότερα τῷ τελευταίῳ μέρει.
ὅρος δὲ σὺν ἀνθορισμῷ, συλλογισμὸς καὶ λύσις,
ὀνόματα μὲν τέσσαρα, τῇ δὲ δυνάμει δύο.
τοῖς γὰρ αὐτοῖς κρατεύοντα συλλογισμῷ καὶ ὅρος.

ὥσπερ πάλιν ἀνθορισμὸς συλλογισμῷ τε λύσις.
ἐν μέσῳ δὲ τοῦ πράγματος τῷ λόγῳ προκειμένου
ὁ μὲν συλλογισμὸς αὐτὸς, ἥ τε δὴ τούτου λύσις
ἑπόμενα τῷ πράγματι καὶ δεύτερα τυγχάνει.
ὅρος δὲ σὺν ἀνθορισμῷ πρότερα προσηκόντως.
πρὸς τούτοις τὴν διασκευὴν τοῦ προβλήματος μάθε.
λεπτὴ γὰρ διατύπωσις τοῦ πράγματος τυγχάνει.
ὡς προλαβόντες εἴπομεν ἔν γε τῇ διηγήσει.
ἐν ταύτῃ δεῖ τὸν ῥήτορα τολμᾷν τι τῶν εἰκότων.
κἂν μὲν ἐμπίπτειν πέφυκε δὶς αὕτη καὶ πολλάκις,
μὴ χρήσῃ ταύτῃ πανταχοῦ, ἀλλ᾽ οἰκονομητέον.
ἵνα μὴ δόξῃς φορτικὸς τοῖς αὐτοῖς κεχρημένος.
εἰ δ᾽ ἐπεισάγειν βούλοιο τῷ λόγῳ τι χωρίον,
ἀφ᾽ ἑνός που ὀνόματος πρόφασιν ἕξεις λέγειν.
οἷον γὰρ εἴποις ἀριθμὸν, σύλλεγέ μοι τοσοῦτον
ἐξ ἱστορίας, δέσποτα, τῷ λόγῳ προσηκούσης.
λόγον δὲ σχῆμα πέφυκεν ἀντίθετον τὸ πρῶτον.
τὸν νοῦν τὸν ὑποκείμενον διπλοῦν σοι παρεισάγων.
τοῦ κατὰ φύσιν γὰρ αὐτοῦ πράγματος ζητουμένου,
λαμβάνει τὴν ἀντίθετον ἔννοιαν ἐν τῷ τέλει.
οἷον ἡμέρα πέφυκεν, εἰ μὴ γὰρ ἦν ἡμέρα.
ἐπεὶ δ᾽ ἡμέρα πέφυκε, τοῦτ᾽ ἀντίθετον σχῆμα·
περίοδος δὲ πέφυκε κλεὶς ἐπιχειρημάτων.
συνάγουσα καὶ σχήματα καὶ νοήματα πλέον
τούτων τὴν ὅλην ἔννοιαν ἐν τέχνῃ εὐθυβόλῳ.
ποιοῦσι δὲ περίοδον οἱ πολύτροποι πτώσεις.
ἡ κλητικὴ δὲ πνεύματος οὐ περιόδου τόπος.
ὦ τί γὰρ ἂν εἰπών σέ τις ὀρθῶς πάντως προσείποι.
οὐκ ἔσφιγξεν, ἐπλάτυνεν, οὐ περίοδος ἄρα.
εἴδη δὲ πλεῖστα πέφυκε τῶν περιόδων, ἄναξ.
ἔστι δ᾽ ἡ μὲν μονόκωλος, ἡ δὲ καὶ διπλασίων.
ἄλλη δ᾽ ἐστὶ καὶ τρίκωλος, ἡ δὲ τοῦτο τετράκις.
ἡ δέ τις καὶ χιάζεται, εἶτ᾽ ἀναστρέφεταί πως.

σαφῆ τὰ παραδείγματα πάντων τούτων τυγχάνει.
σὺ δ' ἔχε μοι τὴν σύνοψιν, εἶτ' ἐρώτα θαῤῥούντως.
κἀγώ σοι τὴν διάλυσιν λέξω τοῦ ζητουμένου.
εἶτ' οὐ θαυμάζεις, δέσποτα, τοῦ γράφοντος τὴν τέχνην,
ἂν ἔχῃς εἰλικτάριον βραχὺ τῆς ὅλης τέχνης,
ἔτι καὶ σχῆμα πνεύματος ῥητορικοῦ τοιοῦτον
σύνθεσις λόγου πέφυκε νοῦν ὅλον ἀπαρτίζον.
ἐν κώλοις τε καὶ κόμμασι τῶν κώλων μικροτέροις.
τὸ μὲν γὰρ ἐξ ἀσυλλάβων καὶ βραχύτερον μᾶλλον
κόμμα ἐστὶ μετρούμενον ἐπῳδῷ ἰσομέτρῳ·
τὸ δ' αὖ ὑπὲρ τὸ τρίμετρον ἡρωϊκοῦ πλησίον
κῶλον κατονομάζεται ὀρθὸν καὶ τεταμένον·
εἴδη δὲ δύο πέφυκε τῶν τεχνικῶν πνευμάτων.
εἰ γὰρ ἓν νόημα λάβῃς, ποικίλως μεταλλάξεις
ἐν κώλοις τε καὶ κόμμασιν, ἢ πολλὰ καὶ ποικίλα,
ἕκαστον ἐξεργάσαιο ἐν κόμμασι καὶ κώλοις.
ἀκμὴ μὲν λόγου πέφυκε, δεῖ γὰρ μαθεῖν καὶ τοῦτο,
μεταβολή τις σύντομος σχημάτων κατὰ πνεῦμα,
ἀκμὴ δὲ πάλιν πέφυκεν ἄλλη τῶν νοημάτων.
ὅταν πληρώσας νόημα πνεύματι τεταμένον
εἰς ἄλλο λάβῃς μετελθὸν κἀκεῖθεν ἂν εἰς ἄλλο.
τὸ δὲ διλήμματόν ἐστι σχῆμα δριμύ τι λόγου.
ὅταν ἐρώτημα τεμὼν εἰς τμήματά πως δύο.
ὧν ἕκαστον ἀντίκρημνον ἐχθρῶν τινων πυνθάνῃ.
ἢ γὰρ ἐπιστομίσειας λέγειν μὴ δυναμένους,
ἢ καὶ τολμήσαντας εἰπεῖν, ἔχειν νενικημένους.
παρήχησις κάλλος ἐστὶν ὁμοίων ὀνομάτων
ταὐτὸν ἠχούντων, δέσποτα, ἐν διαφόρῳ γνώμῃ.
ὡς εἴρηκεν ὁ Ξενοφῶν τὸ πείθει τὸν Πειθίαν.
ὁ κύκλος δὲ τορνεύεται, ὅτ' εἰς ἀρχὴν καὶ τέλος
ἀντωνυμίαν τὴν αὐτὴν ἢ μέρος ἄλλο θήσεις.
τοῦ δὲ ἐπιφωνήματος μέρη τυγχάνει δύο.
τὸ μὲν γάρ ἐστιν ἔξωθεν λόγος ἐμβεβλημένος,

ἐφ' ᾧ δή λάβῃς πρᾶγμά τι προκείμενον ἐπᾴδων.
τετολμημένον ἀσφαλῶς ἐπιπεφωνημένον.
λεκτέον δὲ παράδειγμα Ὁμηρικὸν συντόμως.
σὺν δ' Εὖρος Νότος τ' ὄρωρεν· ἀθρόως ἐπάϊξεν
ὁ δυσαής που Ζέφυρος Βορῆᾶς αἰθριγενέτης.
ἐκάλυψε δὲ νέφεσι γαῖαν ὁμοῦ καὶ πόντον.
ὄρωρε δ' οὐρανόθεν νύξ, τοῦτο τὸ τελευταῖον
πέφυκεν ἐπιφώνημα ἔξωθεν εἰσηγμένον.
ἀλλότριον καὶ γνήσιον ὡσὰν λαβεῖν ἐθέλοις.
τετόλμηται δ' ἐξ οὐρανοῦ τὴν νύκτα παρελκύον.
δεύτερον ἐπιφώνημά τισιν εἰσδεδειγμένον,
ὅταν ταθέντος πνεύματος ἐν κώλοις διαφόροις
ἓν κῶλον τέλος προστεθῇ πάντων συνδεδραγμένον.
ὡς Ὅμηρος τὸν Αἴαντα ποικίλως διαγράψας.
αὖθις ἐπαλιλλόγησεν ἑνὶ τὰ πάντα κώλῳ.
ἄλλο δ' ἐπ' ἄλλῳ τι κακὸν ᾗ ἐπεστηριγμένον
καὶ τρίτον ἐπιφώνημα φθόνος οὐδεὶς εἰ λέγεις.
τὰ τῶν τροπῶν ὀνόματα τῷ προκειμένῳ λόγῳ
οἰκείως προφερόμενα καὶ καταλλήλῳ τρόπῳ.
τροπὴ δὲ ὀνομάζεται ὀνόματος κοινότης.
τοῦ προτεθέντος πράγματος καὶ τοῦ παρεισηγμένου.
σεμνὸς δὲ λόγος ὄνομα ὀνόματι καλλύνων.
εἰ γὰρ τὴν πόρνην φήσειας ἑταῖραν μεταλλάξας.
τὴν κλῆσιν ἀπεσέμνυνας τεχνικῶς μεταφράσας.
πᾶν δ' εἴ τις λόγος ἄτεχνος μὴ προεξειργασμένος,
κακόζηλον ὀνόμαζε γενικωτέρῳ λόγῳ,
ἔστι δέ τι καὶ πρόβλημα τῶν ἐσχηματισμένων.
κατ' ἔμφασιν καὶ πλάγιον τρίτον κατ' ἐναντίον.
καὶ μᾶλλον τὸ κατ' ἔμφασιν ῥητορικώτερόν πως.
προβλήματα συγκριτικὰ πανταχοῦ σοι γραπτέα.
ἐν στοχασμῷ καὶ ῥᾴδιον βουλήσει καὶ δυνάμει.
τὸ γὰρ ἐγὼ πρὸς βούλησιν καὶ τὸ σὺ τεθειμένα
τὴν σύγκρισιν ἐργάσαιντο ῥᾷστά σοι, Στεφηφόρε.

καὶ τοῦτο τῆς εὑρέσεως τυγχάνει σοι τὸ τέλος.
ἔστι καὶ τρίτον μάθημα τῆς πυριτινόου τέχνης.
ὅπερ ἰδέας λέγουσιν ἤτοι μορφὰς τοῦ λόγου.
καὶ πρῶτον μέρος ἔννοια· ἡ λέξις μετὰ ταύτην.
εἶτα δὲ τρίτον πέφυκε τῆς λέξεως τὸ σχῆμα.
ἡ μέθοδος δὲ τέταρτον τυγχάνει τῆς ἐννοίας.

*Μέρη ἑκάστης ἰδέας ἑπτώ.*

*Ἔννοια, λέξις, σχῆμα, μέθοδος, κῶλα, ἀνάπαυσις, σύνθεσις, ῥυθμός.*

Ἰδέα λέξις πέφυκεν ποιότης ἁρμόδιος
προσώποις τε καὶ πράγμασι τοῖς ὑποτιθεμένοις.
κατ᾽ ἔννοιαν καὶ τάξιν δὲ πλεῖόν τε ἁρμονίας.

Μεθ᾽ ἣν τὰ κῶλα πέφυκεν, εἶτα λοιπὰ τὰ τρία,
ἀνάπαυσις καὶ σύνθεσις καὶ ῥυθμὸς τελευταῖον.
τούτοις ἑκάστη τέμνεται τοῖς μέρεσιν ἰδέα.
εἰσὶ δὲ αἱ μὲν γενικῶς τεμνόμεναι εἰς εἴδη
σαφήνεια καὶ μέγεθος καὶ κεκαλλωπισμένον.
καὶ τοῦ σαφοῦς μὲν ἀσαφὲς ἀντίθετον τυγχάνει.
τὸ μέγεθος δ᾽ εὐτέλειαν ἀπεναντίαν ἔχει.
τὸ δ᾽ ἀκαλλὲς ἀντίῤῥοπον τοῦ κεκαλλωπισμένου.
τέσσαρα δὲ τυγχάνουσιν ἰδικῶς τεταγμένα.
γοργότης, ἧς ἀντίθετόν ἐστιν ἡ ὑπτιότης.
ἦθος καὶ ἐνδιάθετον, ἀλήθεια, δεινότης.
τέμνεται δ᾽ ἡ σαφήνεια εἰς δύο ταῦτα μέρη.
εἰς καθαρότητά φημι καὶ εἰς εὐκρίνειάν τε.
τῇ πρώτῃ μὲν ἀντίῤῥοπος περιβολὴ τυγχάνει.
καὶ τῇ δευτέρᾳ σύγχυσις κακία τις τοῦ λόγου.
τὸ μέγεθος δὲ τέμνεται εἰς ἓξ ταύτας ἰδέας.
σεμνότητα, τραχύτητα, λαμπρότητα τὴν τρίτην.
ἀκμήν τε καὶ σφοδρότητα, περιβολὴν τὴν ἕκτην.
τοῦ ἤθους δ᾽ εἰσὶ τέσσαρες αἰτίαι τεμνομένου.

ἐπιεικὲς, ἀφέλεια, ἀλήθεια, βαρύτης.
ἥ τις αὐτὴ μὲν καθ' αὑτὴν οὐδαμῶς θεωρεῖται.
συνίσταται δ' ἐξ ἀφελοῦς καὶ τῆς ἐπιεικείας.
τῆς ἀφελείας πέφυκε δριμύτης καὶ γλυκύτης.
ἔννοια καθαρότητος ἡ κοινὴ καὶ συνήθης.
λέξις σαφὴς μὴ τροπικὴ, ἀλλ' ἡ συνηθεστάτη.
σχῆμα τὸ καθ' ὀρθότητα πτώσεως τεταγμένον.
κῶλα μικρὰ εἰς ἔννοιαν καθ' ἓν ἀπηρτισμένα.
συνθήκη μὴ φροντίζουσα συγκρούσεως στοιχείων.
ἀνάπαυσις ἰαμβικὴ κατάληψις τοιαύτη.
τῆς δ' εὐκρινείας ἔννοιαι ἐν κεφαλαίοις δύο,
αἱ καταστατικώτεραι καὶ εἰς ἀρχὴν τὸν λόγον
ἀνάγουσαι καὶ σφίγγουσαι καὶ πάλιν κατωτέρω
διατυποῦσαι κάλλιστα τὴν τάξιν τῶν μελλόντων.
μέθοδος ἡ τὰ πράγματα τιθεῖσα κατὰ φύσιν.
τὰς ἀντιθέσεις πρότερον καὶ δεύτερον τὰς λύσεις.
σχῆμα τὸ κατὰ ἄθροισιν, ὁ μερισμὸς, ἡ τάξις.
λέξεις καὶ κῶλα καὶ ῥυθμὸς, ἀνάπαυσις, συνθήκη,
οἷα καὶ καθαρότητος τῆς ἀδελφῆς ἰδέας.
ἔννοιαι δὲ σεμνότητος περὶ θεῶν καὶ θείων.
μέθοδοι ἀποφαντικαὶ εἴπως καὶ πεποιθότως.
καὶ μᾶλλον ἀλληγορικαὶ μέχρι παντὸς ἀρκοῦσαι.
λέξις πλατεῖα καὶ καλὴ τὸ στόμα διογκοῦσα,
σχῆμα τὸ κατ' ὀρθότητα, κῶλα συντετμημένα.
συνθήκη μίξιν ἔχουσα παμπόλλων φωνηέντων.
ἀνάπαυσις ἡ λήγουσα σπονδείοις καὶ δακτύλοις.
ἐξ ὧν οἰκεῖος ὁ ῥυθμὸς καὶ γνώριμος τυγχάνει.
ἔννοια δὲ τραχύτητος ἡ κατὰ τῶν μειζόνων.
προσώπων ἐπιτίμησιν ἔχουσα παραδόξως.
μέθοδος μὴ λεαίνουσα τὴν ἀκοὴν τῇ τέχνῃ,
ἀλλ' ἣ ἀπερικάλυπτος καὶ μὴ συμπεπλεγμένη,
λέξις σκληρὰ μεθ' ἑαυτὴν, πρὸς δὲ καὶ τετραμμένη,
σχήματα τὰ προστακτικὰ, ἐλεγκτικὰ δὲ πλέον.

καὶ κῶλα τὰ βραχύτερα καὶ ἄῤῥυθμος συνθήκη·
ἔννοιαι δὲ σφοδρότητος ἔλεγχος τῶν χειρόνων
μέθοδος ἀνενδοίαστος λέξις ἡ καινοτέρα.
σχῆμα τὸ κατ᾽ ἀποστροφὴν, κῶλα τρισύλλαβά πως.
συνθήκη τὰ φωνήεντα συγκρούουσα πολλάκις.
καὶ τἄλλ᾽ ὡς ἐν τραχύτητι, οὐδὲν γὰρ διαφέρει.
ἔννοιαι δὲ λαμπρότητος λαμπραὶ πάντως τὴν φύσιν.
αἱ μετὰ πεποιθήσεως αἱ μετὰ παῤῥησίας.
λέξεις αἵ τε σεμνότητος αἱ διεξωγκωμέναι.
σχῆμα τὸ κατ᾽ ἀναίρεσιν τό τε τοῦ ἀσυνδέτου.
πλαγιασμὸς, ἀπόστασις ἥγε τεχνικωτέρα.
ἀνάπαυσις δὲ καὶ ῥυθμὸς σεμνὰ σὺν τῇ συνθήκῃ,
ἔννοιαι δὲ καὶ μέθοδοι τῆς ἀκμῆς ἰσοτίμως.
ὅσαι καὶ τῆς τραχύτητος τῆς τε σφοδρᾶς ἰδέας.
σχήματα τῆς λαμπρότητος, σφοδρότητος τὰ κῶλα,
ἀνάπαυσις δὲ καὶ ῥυθμὸς πρὸς τούτοις καὶ συνθήκη.
ὅσα καὶ τῆς λαμπρότητος τυγχάνει τῆς ἰδέας.
λέξεις οὐδεὶς περιβολῆς εἵρηκε τῶν ῥητόρων.
εἰ μή τις δογματίσειε τὰς ἰσοδυναμούσας.
σχήματα δὲ τὰ τίκτοντα ἐννοίας διαφόρους.
πλαγιασμὸς καὶ μερισμὸς καὶ τὸ κατὰ τὴν κρίσιν.
πρὸς δὲ τὸ καθ᾽ ὑπόθεσιν, εἶτα τὸ ἐπιτρέχον.
τἄλλα οὐκ ἔστιν ἴδια περιβολῆς ἰδέας.
κάλλους οὐκ ἔστιν ἔννοια, οὐ μέθοδος οἰκεία.
σχήματα δὲ παμποίκιλα καὶ πολλὰ τῆς ιδέας.
αἱ παρισώσεις ἅπασαι τῶν ἄνω καὶ τῶν κάτω
αἱ κατὰ κῶλ᾽ ἐπάνοδοι, ἀλλὰ μὴ κατὰ κόμμα.
ἀντιστροφαὶ καὶ κλίμακες, ὑπερβατὰ πρὸς τούτοις.
καινοπρεπῆ πολύπτωτα, εὐειδεῖς ἀναιρέσεις.
κῶλα δὲ τὰ μικρότερα, ἀσύγκρουστος συνθήκη.
ἀλλ᾽ οὐδὲ τῆς γοργότητος ἔννοιάν τις εὑρήσει.
κυρίως δ᾽ ἔχει μέθοδον οὐδὲν ὁμοίαν ἄλλαις.
χρῆσθαι ταῖς ἀπαντήσεσιν ἀθρόαις καὶ ταχείαις.

σχήματα τῆς γοργότητός ἐστι τὸ ἐπιτρέχον.
ἀσύνδετον, κομματικὸν, ἐξαλλαγαὶ ταχεῖαι,
συνθήκη μὴ συγκρούουσα φύσιν τῶν φωνηέντων.
ἀνάπαυσις τροχαϊκὴ μηδαμῶς βεβηκυῖα.
τῆς ἀφελείας ἔννοιαι αἱ πρόχειροι τελείως.
αἱ πάντη ἀπερίεργοι καὶ οἷον νηπιώδεις.
μέθοδοι πλεονάζουσαι μᾶλλον τοῖς κατὰ μέρος.
λέξεις αἱ ἰδιότροποι, οἷον τὸ ἀδελφίζειν.
κῶλα τὰ καθαρότητος, συνθήκη λελυμένη.
ἀνάπαυσις ἡ μένουσα, ῥυθμὸς τούτων οἰκεῖος.
ἔννοιαι τῆς γλυκύτητος αἱ μυθικαὶ τὸ πλέον.
ἢ μύθοις παραπλήσιοι προσφυῶς διηγήσεις.
τὰ σαίνοντα τὴν αἴσθησιν· τὰ τοῖς ἀπροαιρέτοις
προαίρεσιν προσπλάττοντα, γλυκὺ γὰρ τοῦτο πάντως.
μέθοδοι καθαρότητος, λέξεις τῆς ἀφελείας.
σχήματα καθαρότητος, ὡς αὐτοῦ καὶ τοῦ κάλλους.
συνθήκη δ' ἡ εὐσύνθετος ἐγγίζουσα καὶ μέτρῳ,
ἀνάπαυσις σεμνότητος, ῥυθμὸς τῆς ἀφελείας.
ἔννοιαι δὲ δριμύτητος ἐπιπολῆς βαθεῖαι.
μέθοδος μὴ παρέννοιαν εἰσάγειν ἐν τῷ λόγῳ.
τὰ δὲ ποικίλα καὶ δεινὰ ἁπλούστερον συγγράφειν·
δεύτερον εἶδος πέφυκε δριμύτητος ἐν λέξει.
ἥ τις κυρία μέν ἐστι· κυρία δ' οὐ κυρία.
κυρίως γὰρ φιλάνθρωποι τυγχάνουσιν αἱ κύνες.
φιλοῦσι γὰρ τὸν ἄνθρωπον κυρίως δ' οὐ κυρίως.
ἄλλην γὰρ ἔχει ἔννοιαν τὸ τῆς φιλανθρωπίας
καὶ τὸ καθ' ὁμοιότητα λέξεως εἰρημένον
δριμύ πως, εἴπερ καὶ δριμὺ δοκεῖ τῷ τεχνογράφῳ.
εἶδος ἄλλο δριμύτητος ἡ παρονομασία.
καὶ πάλιν ἄλλο πέφυκε τὸ καθ' ἀκολουθίαν,
τροπῆς μὲν πάνυ τε σκληρᾶς εἰσάγον σκληροτέραν.
ἐπιεικείας δ' ἔννοια μειονεκτεῖν ἑκόντα.
καὶ τῷ ἐχθρῷ χαρίζεσθαι καὶ πλέον τι διδόναι.

δεικνύειν τε οἷς ἕἴσεισι τὴν δίκην κατ᾽ ἀνάγκην.
μέθοδος δὲ ὑφίεσθαι τῶν ἑαυτοῦ δικαίων.
καὶ μὴ σφοδρῶς προσφέρεσθαι κατὰ τῶν ἀντιδίκων·
ἡ λέξις δὲ καὶ τὰ λοιπὰ οἷα τῆς ἀφελείας,
τοῦ ἀληθοῦς δὲ ἔννοια καὶ τοῦ ἐνδιαθέτου.
αἱ ἀληθεῖς ἐπιεικεῖς καὶ σχετλιάζουσαί πως,
μέθοδος ἡ σχετλίασις εἰς ἔννοιαν τοιαύτην.
ἐν ᾗ μὴ σχετλιάσεως χρεία τῆς εἰρημένης.
τὸ χρῆσθαί τε τοῖς πάθεσιν, ὅρκῳ, φόβῳ καὶ λύπῃ,
εὐχῇ, ὀργῇ καὶ θαύματι μηδὲν προειρηκότα.
καὶ τὸ τῶν ἀντιθέσεων μὴ συνδεσμῶν τὰς λύσεις.
καὶ χωρὶς καταστάσεως ἐπάγειν τὰς ἐννοίας.
ἀκολουθίαν τε εἰρμῶν καὶ ταῖς ὁρμαῖς μὴ σώζειν.
λέξις ἡ τῆς τραχύτητος ἐλεεινολογοῦντι
ἡ καθαρὰ καὶ ἀφελὴς καὶ πλέον ἡ γλυκεῖα,
σχήματα ταῖς ἐπιφοραῖς τὰ τῆς σφοδρᾶς ἰδέας,
ἀποστροφαὶ τὸ δεικτικόν, διαπορεῖν ἐντέχνως.
ἐνδοιασμὸς, ἐπίκρισις ἐπιδιόρθωσίς τε.
κῶλά τε καὶ ἀνάπαυσις καὶ ῥυθμὸς καὶ συνθήκη.
πάντα τὰ τῆς σφοδρότητος καὶ τὰ τῆς ἀφελείας.
ἔννοιαι δὲ βαρύτητος· εἴτις ἀγανακτοίη·
εὐεργεσίας ἀριθμῶν, καὶ τυχὼν τιμωρίας,
αἵ τε κατονειδίζουσαι τοῖς συγγνωμονηκόσι.
μᾶλλον ἐκ παραθέσεως τῶν τυχόντων κρειττόνων
αἱ εἰρωνεῖαι μέθοδοι αἱ πρὸς ἐχθρῶν ἐλάττους.
οὐδὲν ἄλλο βαρύτητος παράδοξοι, βαθεῖαι,
λέξις ἀξιωματικὴ μᾶλλον δ᾽ ἡ τετραμμένη·
σχήματα κῶλα καὶ ῥυθμοὶ, ἀνάπαυσις, συνθήκη.
οἷα καὶ τῆς σεμνότητος καὶ τῆς ἀκμῆς τυγχάνει.
λαμπρότητος περιβολαὶ τῶν ἀπηριθμημένων.
ὁ λόγος δ᾽ ὁ πολιτικὸς πᾶσι μὲν κεκοσμείσθω.
τὰς δέ γε κατ᾽ ἐξαίρετον ἐχέτω τὰς ἰδέας.
τὸ ἠθικὸν, τὸ ἀληθὲς, τὸ περιβεβλημένον·

γοργότητα, σαφήνειαν, τὸ τραχὺ, τὸ ἀκμαῖον.
σεμνότητα, λαμπρότητα, δεινότητα, μεθόδους.
ἃς δή σοι συνοψίσωμεν ὥσπερ ἐν κεφαλαίῳ.
λέξις ἧς ἐστιν ἄγνοια τρεῖς ἔχει τὰς μεθόδους.
εὑρέσεως νοήσεως τῆς ἀποκεκρυμμένης.
ἢ ἐθνικὴ καὶ γάρ ἐστιν ἡ τέχνης ἢ καὶ νόμων.
λέξεως ἁμαρτήματα φθορὰ ἡ ἀκαιρία.
ταυτότητι χρησόμεθα τῶν ὀνομάτων τότε.
ὅταν ἓν ᾖ τὸ ὄνομα τοῦ πράγματος οἰκεῖον.
ἡ περιττότης πέφυκε καὶ λέξεως καὶ γνώμης.
ἡ μὲν κατὰ διατριβὴν, ἡ δὲ κατ' ἐνθύμημα.
τῶν αὐθαδῶν καὶ τολμηρῶν ἐν λόγῳ νοημάτων
δύο τὰ θεραπεύματα καὶ τὰ παραμυθοῦντα.
τῆς τόλμης ὁμολόγημα, βραχεῖά τε προσθήκη.
παράλειψιν ἐργάσαιο τεχνικὴν ἐν τῷ λόγῳ.
μείζονα τὴν ὑπόνοιαν δηλῶν τῶν σιγηθέντων.
τὸ περιπλέκειν ἐν καιρῷ οὐκ ἔστιν ἀτεχνίας.
γνῶθι τὴν ἐπανάληψιν διδασκαλίας χάριν·
τοῦ πράγματος τυγχάνουσαν βεβαιοτέρῳ τρόπῳ.
τὸ σχῆμα τὸ τῆς πεύσεως ἀντίῤῥησιν οὐκ ἔχει.
τὰ ἴσα τὰ ὑπερβατὰ προσποίησις σχεδίου.
αὔξησις εἶτ' ἀπόδειξις, τὸ λέγειν ἐναντία.
τὸ ἐγκωμίων ἑαυτὸν ἀξιοῦν ἐν τῷ λόγῳ,
τὸ χρῆσθαί τε τοῖς ἔπεσι, κολλήσει, παρῳδίᾳ.
τὸ τραγικῶς ἐν τῷ πεζῷ λέγειν κατὰ τὴν τέχνην.
ἅπαντα ταῦτα μέθοδοι δεινότητος ἰδέας.
ἔστω γοῦν σοι τεχνίδριον ἡ σύνοψις τῆς τέχνης.
εὐσύνοπτόν τι μάθημα, σύντομον τετμημένον,
ἡδυεπὲς, ἡδύφθογγον, ἡδυμελὲς ἐκτόπως.
ὡς ἂν καὶ παίζων λογικῶς κερδαίνῃς τι τοῦ λόγου.

# ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ
## ΩΝ
# ΕΡΜΟΓΕΝΗΣ
## ΕΜΝΗΜΟΝΕΥΣΕΝ ΕΝ ΤΟΙΣ ΠΕΡΙ ΕΥΡΕΣΕΩΝ ΚΑΙ ΙΔΕΩΝ ΒΙΒΛΙΟΙΣ ΣΥΝΟΨΙΣ [1]

*Στρογγύλον σχῆμά ἐστι τόδε·* „*ὥσπερ γὰρ* [2] *εἴ τις ἐκείνων ἑάλω σὺ τάδε οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῶς, ἄλλος οὐ γράψει.*“

*Ἀντίθετον δὲ, ἐπειδὴ ἡμέρα ἐστὶ, δεῖ ποιῆσαι τόδε, εἰ μὲν γὰρ μὴ* [3] *ἡμέρα ἦν, ἀλλὰ νύξ, ἴσως ἐχρῆν μὴ ποιεῖν. ἐπεὶ δέ ἐστιν ἡμέρα, ποιῆσαι προσήκει.*

*Περίοδος·* „*ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ.*“ [4]

*Κωλικὸν ἐν ταὐτῷ δὲ καὶ κομματικόν·* „*ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμὸν,* [5] *καὶ τὰ ἑξῆς.*“

*Σχοι-*

---

1 Descripsi e Cod. Mon. 327. coll. Codice Ven. Class. XI. Cod. II. chartac. sec. XV. folio [Ven. 2.] et Class. VIII. Cod. XVIII. [Ven. 1.] Titulum receptum obtulit Ven. 1. 2 γὰρ Mon. om., recepi ex Ven. 1. 2. — In Androt. p. 595. 3 Ven. 1. μὴ ἦν ἡμέρα. 4 Phil. III. p. 115. 5 pro cor.

*Σχοινοτενὲς ἐκ τῶν Θουκυδίδου·* „ὁ γὰρ Ἀχελῶ-
„ος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ
„Ἀγριάνων καὶ Ἀμφιλόχων ἄνωθεν παρὰ Στράτον [6] πό-
„λιν εἰς [7] θάλασσαν ἔξεισι παρ' Οἰνιάδας."

*Πνευματικόν·* „ὅτε γὰρ περιὼν ὁ Φίλιππος Ἰλ- 5
„λυριοὺς καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων
„κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποι-
„εῖτο ὑφ' ἑαυτῷ, [8] καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ
„τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο,
„ὧν εἷς οὗτος ἦν, τότε δὴ τότε πάντες, ἐφ' οὓς ταῦτα 10
„παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ᾐσθά-
„νοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ." ἕτερον. „ἀλλ'
„ὁ τὴν Εὔβοιαν, [9] καὶ τὰ ἑξῆς

*Ἀκμαῖον τὸ προειρημένον πνευματικόν.*

*Καταφορά·* 15

*Τί δὲ λαὸν ἀνήγαγεν* [10] *ἐνθάδ' ἀγείρας*
*Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠὐκόμοιο;*
*ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων.*

*Διλήμματον·* „παρῆς τούτοις λεγομένοις, καὶ
„συνηυφραίνου, [11] ἢ οὐ παρῆς· εἰ μὲν παρῆς, πῶς [12] 20
„κατηγορεῖς τούτων, οἷς συνηυφραίνου· εἰ δὲ οὐ παρῆς,
„δίκης ἄξιος εἶ, τοῖς ἀγαθοῖς τῆς πόλεως μὴ συμπαρών."

*Παρήχησις·*

*ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἷος ἀλᾶτο,*
*ὃν θυμὸν κατέδων, πάτον* [13] *ἀνθρώπων ἀλεείνων.* 25

---

6 Mon. παραστράτον. Ven. 1. παρὰ στράτον. Ven. 2. παρὰ στράτου. — Thuc. II. 102. 7 Mon. εἰς om., recepi ex Ven. 2. A Ven. 1. εἰς θάλασσαν abest. 8 Ven. 1. 2. ἑαυτόν. — pro cor. p. 240. 9 Ven. 2. addit ἐκεῖνος. 10 Ven. 1. τί δὲ λαὸν ἀνήγειρεν ἐνθάδ' Ἀτρείδης. — Il. ι. 338. 11 καὶ συνηυφρ. Mon. om., recepi ex Ven. 1. 2. — pro cor. p. 300. 12 πῶς deest in Mon. et Ven. 2., recepi ex Ven. 1. 13 Ven. 1. πάντων — Il. ζ. 201.

*Κύκλος*· „σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατήρ, εἰ-„περ ἦν ὅμοιός σοι·[14] καὶ περιοδικῶς· οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ."

*Ἐπιφώνημα*· „σὺν δ' Εὖρός τε Νότος τ' ἔπε-σε,"[15] καὶ τὰ ἑξῆς· εἶτα τὸ ἐπιφώνημα· „ὀρώρει δ' οὐ-ρανόθεν νύξ." ἕτερον. „Αἴας[16] δ' οὐκέτι μίμνε," καὶ τὰ ἑξῆς· εἶτα τὸ ἐπιφώνημα· „πάντη δὲ κακὸν κακῷ ἐ-στήρικτο." κόσμος γάρ ἐστι τοῦ λόγου τὸ ἐπιφώνημα, ἐοικὸς τοῖς τῶν πλουσίων γείσοις. ἄλλο· ἐν χειμῶνι καὶ νῦν ἐστι τὰ τῆς πόλεως πράγματα καὶ κλύδωνι, καὶ σα-λεύεται τὰ καθεστηκότα καὶ δεῖται τοῦ κυβερνήσοντος.

*Σεμνόν*· Διονυσίων ἦν πομπή, ὁ δέ μοι ἠκολού-θησε μέχρι τοῦ[17] πρὸς τὴν θύραν· ἔπειτα φοιτῶν καὶ κολακεύων τὴν μητέρα ἔγνω με. ἄλλως·

λῦσε δὲ παρθενίην[18] ζώνην, ἐπὶ δ' ὕπνον ἔχευεν,
ἡ δ' ὑποκυσσαμένη Πελίην τέκε καὶ Νηλῆα.[19]

*Κακόζηλον*·

ἦκε δ' ἀποῤῥήξας κεφαλὴν ὄρεος μεγάλοιο.

*Συγκριτικόν*· ἐκ τοῦ Σωπάτρου· δεινὸν ἀποτυγ-χάνειν βάλλοντας Ἕλληνας, ἀλλὰ τοὺς τραυματίας γίνε-σθαι χαλεπώτερον· λυπηρὸν, ὑπ' ἀριστέως[21] τιτρώσκε-σθαι, ἀλλ' ἔτι δεινότερον τὸ καὶ τοὺς ἀσθενεῖς καθ' ἡμῶν ἐντρυφᾶν.

Ἰστέον, ὡς μέλλοντες τῶν[22] παρὰ Ἑρμογένει ἰδεῶν τὰ σχήματα τοῦ λόγου διεξιέναι, κατὰ τάξιν αὐτὰ ἐκ-θησόμεθα, ὡς ἐκεῖνος ἐξέθετο.

---

14 Phil. IV. p. 151. 15 Od. ε. 295. 16 Il. π. 102. et 110. 17 Cod. τά. scr. τοῦ. coll. Hermog. p. 177. v. 13. 18 Ven. 2. παρθενικήν. sq. δ' Ven. 2. om. — Od. λ. 245. 19 Ven. 2. Νηλέα. 20 Ven. 1. οὔρεος. — Od. ι. 481. 21 Ven. 2. λυπηρὸν, εἰ ἐπ' ἀριστέως, idem erat in Ven. 1. sed correctum ὑπ' ἀριστέως. 22 τῶν Mon. om., recepi ex Ven. 2.

Σχῆμα τὸ κατ' ὀρθότητα· „Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Ἀθηναίων καὶ Λακε„δαιμονίων.“

Κατ' ἄθροισιν εἰς μερισμόν· τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεούς, τῶν ὁσίων δὲ τοὺς οἰχομένους ἀποστερεῖ.

Ἀπαρίθμησις,

ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες, [23]
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη.

Σχῆμα ὅταν τις ἑαυτὸν ἐρωτᾷ· „τίνος οὖν „ἕνεκα ταῦτα λέγω· ἑνὸς μέν, ὦ Ἀθηναῖοι, μάλιστα καὶ „πρώτου, ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ „μου, θαυμάζῃ.“ [24]

Ἐπανάληψις· „πρώτου [25] μὲν οὖν καὶ μάλιστα, „οὗπερ ἕνεκα ταῦτα διεξῆλθον· δευτέρου δὲ τίνος; καὶ „οὐδὲν ἐλάττονος ἢ τούτου.“

Ἐπίκρισις· καὶ οὐδεὶς πώποτε ἀντεῖπε, μὴ οὐ καλῶς ἔχειν αὐτούς· εἰκότως.

Σχῆμα τὸ εἰς τὴν ἑαυτοῦ γνώμην ἀναφέρειν τι τῶν ῥηθησομένων, οἶμαι γὰρ οὐδὲν οὕτω τοῖς δημοκρατουμένοις πρέπειν, ὡς περὶ τὸ δίκαιον σπουδάζειν.

Προστακτικόν· „τῆς Ἀριστογείτονος [26] κρίσεως „ἀναμνησθέντες ἐγκαλύψασθε.“ καὶ, „ἀλλ' ἴθι νῦν με„τὰ λαὸν Ἀχαιῶν.“ [27]

Τὸ κατ' ἐρώτησιν ἐλεγκτικόν· „εἶτα Ὀλύν„θιοι μὲν ἴσασι τὸ μέλλον προορᾷν· ὑμεῖς δὲ ὄντες Ἀ„θηναῖοι ταὐτὸ τοῦτο οὐχὶ φυλάξεσθε.“ [28]

Τὸ κατὰ ἀποστροφήν· „ἀλλὰ τί ἐχρῆν, Αἰ-

---

Tum Mon. Ven. 1. 2. περὶ Ἑρμογένους. scr. παρὰ Ἑρμογένει. 23 Ven. 1. πόλιες. — Il. δ. 52. 24 Mon. θαυμάζει. Ven. 1. 2. θαυμάζῃ. — de fals. leg. p. 348. 25 de fals. p. 349. 26 Dem. Epist. III. p. 1485. 27 Il. β. 163. 28 c. Aristocr. p. 656.

„σχίνη, τὴν πόλιν ποιεῖν, [29] ἀρχὴν καὶ τυραννίδα τῶν „Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον."

*Τὸ κατ' ἐρώτησιν·*

*πῶς τίς τοι πρόφρων ἔπεσι πείθηται Ἀχαιῶν;* [30]

καὶ [31]

*τί δὲ λαὸν ἀνήγαγε ἐνθάδ' ἀγείρας;*

*Δεικτικόν· οὐ λέγω, ἀλλ' ἔγωγε οἶμαί μοι προσήκειν ἀμφοτέροις ὑμῖν ἐπιδεῖξαι· ἄλλως·*

*ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.* [32]

*Ἀναίρεσις·* „οὐ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ „πλίνθοις ἐγώ· ἀλλὰ τὸν ἐμὸν τειχισμὸν ἐὰν βούλῃ [33] „σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ συμμάχους."

*Ἀπόστασις·* „αὕτη τῶν περὶ Θήβας [34] ἐγένετο „πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. Τοῦτο τὸ ψήφισμα," καὶ τὰ ἑξῆς.

*Τὸ κατὰ προτίμησιν, ὃ καὶ κατὰ ἀπαρίθμησιν λέγεται·* „οἷον ἐγὼ δὲ ὑμῖν, ὦ Ἀθηναῖοι, „βούλομαι πρῶτον μὲν περὶ ὧν Φίλιππος ἐπέσταλκε, περὶ „τούτων διεξελθεῖν· ὕστερον δὲ, περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν."

*Τὸ καθ' ὑπόθεσιν·* „εἰ μὲν τοίνυν πᾶσι ψηφι„ούμεθα ταῦτα, λήσομεν [35] ὡς ἔοικε μισθοφόρων ἔργον „ἀνθρώπων ποιοῦντες, τὴν ἑκάστου σωτηρίαν τούτων „δορυφοροῦντες·" καὶ παρ' Ὁμήρῳ: [36]

*εἴπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε.*

*Πλαγιασμός·* „πολλῶν ὄντων καὶ μεγάλων, ἃ τὴν ῥητορικὴν ποιεῖ. [37]

---

29 Ven. 1. 2. ποιεῖν τὴν πόλιν. mox Ven. 1. ἑαυτῷ ὁρᾶσαν. — pro cor. p. 246. 30 Ven. 1. ἔπεσιν ἀρήγοιτο Ἀχ. — Il. α. 150. 31 Il. ι. 338. 32 Il. α. 287. 33 Mon. βούλει. Ven. 1. 2. βούλῃ. — pro cor. p. 325. 34 Codd. Θηβῶν. — — pro cor. p. 291. 35 Ven. 1. 2. λύσομεν. in Ven. 2. super υ scriptum est η. — c. Aristocr. p. 661. 36 Il. β. 123. 37 Ven. 1. συνίστησι. — Hermog. rhet. init.

Ἐπιτρέχον· „ἐπειδὴ γὰρ δωροδοκεῖν ἤρξαντό τι„νες, καὶ δι᾽ ἀβελτερίαν οἱ πολλοὶ, μᾶλλον δὲ διὰ δυς„τυχίαν τούτους πιστοτέρους ἡγήσαντο [38] τῶν ὑπὲρ αὐ„τῶν λεγόντων.“

Ἀπόστασις· [39] „οὕτως ἀθλίως διέκειντο, [40] ὥστε „οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόν„τος ῥῆξαι φωνήν“.

Τὸ κατ᾽ [41] ἄρσιν καὶ θέσιν· „οὐχ ὡς τῶν ἀπο„δωσομένων τὰ ὑμέτερα, [42] ἀλλ᾽ ὡς τῶν φυλαξόντων“.

Ἐξ ἀναιρέσεως [43] συμπλεκτικόν· „οὐ γὰρ μό„νον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ᾽ ἂν ἀκού„σαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμ„βάνω“.

Τὸ κατὰ συστροφήν· „ὃ γὰρ οἷς ἂν ἐγὼ λη„φθείην, [44] καὶ τὰ ἑξῆς· καὶ πάλιν· „τοῦ τ᾽ ἐκεῖνον, „ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι“ [45]

Παρίσωσις κατὰ συλλαβήν· „προσήκει προ„θύμως“ [46] κατὰ δὲ τέλειον [47] μέρος λόγου· „προ„σιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ.“ Τοῦτο δὲ ὀνομάζεται κατὰ κῶλον ἐπαναφορά· κατὰ δὲ τὸ τέλος παρίσωσις. Κατὰ μὲν συλλαβήν, ὃ καὶ ὁμοιοτέλευτον λέγεται,

εὖ μέν τις δόρυ θηξάσθω· εὖ δ᾽ ἀσπίδα θέσθω. [48]

κατὰ δὲ τέλειον μέρος λόγου, ὅπερ καὶ ἀντιστροφὴ λέ-

---

38 Ven. 1. ἠγήσαντο ad finem ponit. — de fals. leg. p. 425. 39 Ven. 1. 2. ὑπόστασις. tum Ven. 2. οὕτως δὲ ἄ. 40 Ven. 1. 2. διέκειτο. — Phil. III. p. 126. 41 Ven. 1. 2. κατὰ ἄρσιν. 42 Ven. 1. ὑμέτερα. Ven. 2. Mon. ἡμέτερα. — de fals. leg. p. 344. 43 Ven. 2. omissa littera initiali ναίρεσις Ven. 1. ἀναίρεσις. Uterque συμπλεκτικὸν om. — Olynth. I. init. 44 Phil. III. p. 115. 45 Ol. II. p. 19. 46 Ol. I. init. 47 Mon. τελείου. Ven. 1. 2. τέλειον. 48 Il. β. 382.

γεται· „πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν, „ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν, οἷον οὐκ „ἔδει· πάρεστιν Αἰσχίνης.“ [49]

*Παρίσωσις καθ' ὅλον κῶλον.* „τὸ λαβεῖν „οὖν [50] τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν „τούτων ἀποδοῦναι παρανόμων γράφῃ.“

*Παρίσωσις ἐξ ἐπεμβολῆς.* „τὸ μὲν γὰρ πολλὰ „ἀπολωλεκέναι κατὰ τὸν πόλεμον, τῆς ἡμετέρας ἀμελείας „ἄν τις θείη [51] δικαίως· τὸ δὲ μήτε πάλαι τοῦτο πεπον- „θέναι, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀν- „τίῤῥοπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ' ἐκείνων „εὐνοίας εὐεργέτημ' ἂν ἔγωγε θείην.“ [52]

*Παρίσωσις κατ' ἐναλλαγήν.* „Τὸ μέν τοίνυν „ἐν τῇ πρεσβείᾳ πρῶτον Φιλίππου μὲν κλέμμα, [53] δω- „ροδόκημα δὲ τῶν ἀδικούντων [54] τούτων τοιοῦτον ἐγέ- „νετο.“

*Ἐπαναστροφή.* „οὐ γὰρ δήπου Κτησιφῶντα μὲν „δύναιτ' ἂν διώκειν δι' ἐμὲ, ἐμὲ δὲ, εἴπερ ἐνόμιζεν [55] „αὐτὸν ἐξελέγξειν, [56] οὐκ ἂν ἐγράψατο“.

*Κλιμακωτόν.* „οὐκ εἶπον μὲν ταῦτα, [57] οὐκ ἔγρα- „ψα δὲ, οὐδὲ ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δὲ, οὐδὲ „ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δέ“.

*Ὑπερβατὸν καθ' ὑπέρθεσιν.* „τὴν τοῦ διαπρά- „ξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος βασιλεὺς Μα- „κεδόνων, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ἠρημένος.“ [58]

---

49 pro cor. p. 294. 50 pro cor. p. 267. 51 Ven. 1. τοῦτο θείη. — Ol. I. p. 12. 52 Ven. 2. θείην ἔγωγε Ven. 1. εὐεργέτημα ἂν θείην ἔγωγε. 53 Ven. 1. κλέμμα μὲν Φιλίππου. 54 Ven. 1. 2. ἀδίκων. pro cor. p. 236. 55 Ven. 2. ἐνόμιζον. — pro cor. p. 229. 56 Ven. 1. ἐξελέγξειν, omisso αὐτόν. Mon. Ven. 2. ἐξελέγχειν. 57 pro cor. p. 288. 58 Ven. 1. εἰρημένος. Ol. II. p. 22.

Ὑπερβατὸν κατὰ παρένθεσιν· „τοῦ τ' ἐκεῖ„νον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι.“ [59]

Καινοπρεπές. „Θετταλοὶ δὲ οὐδένα πώποτε ὄν „τινα οὔ.“ [60] καὶ ὁ Θουκυδίδης, [61] „καὶ ὀλίγον ἔπρασσον „οὐδέν.“

Πολύπτωτον· „οὗτοι γὰρ ἡγοῦνται, τούτοις πεί„θεσθε, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε.“ [62]

Τὸ καθ' ὑποστροφήν· „ἔστι τοίνυν οὗτος ὁ πρῶ„τος Ἀθηναίων αἰσθόμενος, Φίλιππον, ὡς τότε δημηγο„ρῶν ἔφη, ἐπιβουλεύοντα τοῖς [63] Ἕλλησιν.“

Εἰρωνεία· „σφόδρα γε βούλεται, τοὺς Ἕλληνας „ἐλευθέρους [64] εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα.“

Τὸ κατὰ ἀποσιώπησιν· „ὅσα μὲν οὖν τοὺς χο„ρευτὰς ἐναντιούμενος ἡμῖν ἀφεθῆναι τῆς στρατείας [65] „ἠνώχλησεν, ἢ προβαλλόμενος, [66] καὶ κελεύων ἑαυτὸν εἰς „Διονύσια χειροτονεῖν ἐπιμελητήν, ἢ τἄλλα πάντα, ὅσα „τοιαῦτα, ἐάσω.“

Ἐπιδιόρθωσις· „ἃς ἔστι τῶν αἰσχρῶν, μᾶλλον „δὲ τῶν αἰσχίστων.“ [67]

---

59 Ven. 2. γενέσθαι. Ol. II. p. 19. 60 C. Aristocr. p. 657. 61 Thuc. VIII. 15. καὶ ὀλίγον ἐπράσσετο οὐδέν. 62 Mon. παρακρουσθέντας. Ven. 1. 2. παρακρουσθῆτε. — de fals. leg. p. 436. 63 τοῖς ex Ven. 1. 2. recepi, Mon. om. — de fals. leg. p. 344. 64 ἐλευθέρους Ven. 1. om. 65 Ven. 1. 2. στρατιᾶς. 66 Ven. 1. προσβαλλόμενος. — In Mid. p. 519. 67 Ol. II. init.

# ΚΑΣΤΟΡΟΣ

## ΡΟΔΙΟΥ ΡΗΤΟΡΟΣ ΤΟΥ ΚΑΙ ΦΙΛΟΡΩΜΑΙΟΥ ΠΕΡΙ ΜΕΤΡΩΝ ΡΗΤΟΡΙΚΩΝ.[1]

Ὅτι τὰ φυσικὰ μέτρα ἤτοι πόδες τὸν ἀριθμὸν εἰσιν ἐννέα· δάκτυλος – υυ. σπονδεῖος – –. ἀνάπαιστος υυ– ἴαμβος υ – τροχαῖος – υ. ἀντίσπαστος[2] υ – – υ. ἰωνικὸς ἀπὸ μείζονος, – – υυ. ἰωνικὸς ἀπ' ἐλάσσονος υυ – –. κρητικὸς υ – υ. χοριαμβος, – υυ –. Τὰ δὲ περὶ ταῦτα καλοῦνται ἀσυνάρτητα καὶ συγκεχυμένα.

### Περὶ ποδῶν καθαρότητος, ἢ ὑποβέβηκε τῇ σαφηνείᾳ.

Ὁ καθαρὸς λόγος ἔχειν μὲν κῶλα ἐθέλει μακρὰ συντεθειμένα ἐν τῇ ἀρχῇ καὶ ἐν τῷ τέλει, ὡς ἐπὶ τὸ πλεῖστον ἐξ ἰάμβων καὶ τροχαίων, ἐν δὲ τῷ μέσῳ ὀλίγοις κεχρῆσθαι τούτοις, συμπλέκεσθαι δὲ καὶ τοῖς δακτύλοις καὶ τοῖς λοιποῖς φυσικοῖς· οἱ δὲ ἰδικώτατοι πόδες τοῦ πεζοῦ λόγου εἰσὶν, ὡς εἴρηται, ὅ τε ἴαμβος καὶ ὁ τροχαῖος· ὅθεν καὶ τὰ κωμικὰ ἐκ τούτων συνιστάμενα λέγονται ἔμμετρος ῥητορικὴ, ὅτι ὥσπερ ἐν τῇ τῆς καθαρότητος ἰδέᾳ οἱ πλείονες πόδες τροχαϊκοί εἰσι καὶ ἰαμ-

1 De Castore aliunde nihil constat. Descripsi hunc libellum e cod. Par. 2929. 2 Cod. ἀντίπαιστος.

βικοὶ, οὕτως ἐν τῇ τῆς γλυκύτητος συνθήκῃ δάκτυλοι καὶ ἀνάπαιστοι· ἐπειδὴ ἐξ ἐναντίων ποδῶν γινομένη ἡ συνθήκη κατάλληλον ποιεῖ τὸν λόγον· τὰ γὰρ ἐξ ὁμοίων ἀηδῆ πέφυκε· διὰ τοῦτο μήτε ἐπ' ἀλλήλους δισύλλαβα ἢ τρισύλλαβα ἢ τετρασύλλαβα, ἢ ἐπ' ἀλλήλους τοῦ αὐτοῦ τόνου ὀξυτόνους ἢ παροξυτόνους ἢ προπαροξυτόνους δεῖ συντιθέναι. ὅθεν καὶ τὸν πεζὸν λόγον κατὰ διποδίαν μετροῦμεν, δακτύλοις ἐκ μακρᾶς ὄντα καὶ δύο βραχειῶν, μετὰ ἀναπαίστου τοῦ μετὰ δύο βραχειῶν καὶ μακρᾶς. Ἰστέον δὲ ὅτι ἐὰν ἀναπαύηται τὸ κῶλον εἰς τέλειον πόδα, λέγεται ἀκατάληκτον, εἰ δὲ λείπει, καταληκτικὸν ὀνομάζεται· οὗτος ἀστρατείας ἑάλω, καὶ κέχρηται συμφορᾷ·[3] ἔστι γὰρ τετράμετρον δὶς τέσσαρες ὀκτὼ, καὶ λεῖπον συλλαβὴν γέγονε καταληκτικόν· οὐκ ἀκριβῶς δὲ τὰ μέτρα φυλάττονται ἐν τῷ πεζῷ λόγῳ, ἵνα μὴ λογισθῇ ἔμμετρος ἡ συνθήκη, ὡς τὰ ἔπη καὶ τὰ ἔμμετρα, ἀλλὰ θέλει ἔχειν καὶ μέτρον καὶ οὐ μέτρον, ἀλλὰ τοιόνδε μέτρον κατὰ τὴν ἰδέαν τοῦ λόγου· λανθάνει δέ πως τὴν ἀκοὴν ἐμπίπτων μέσον τοῦ πεζοῦ στίχος, ὡς καὶ παρὰ Δημοσθένει εὑρίσκεται, ὡς ἐν τῷ·

*Καὶ μή με Καλλισθένης*[4] *ἐν κεναῖς πλανᾷ·*

καὶ αὖθις·

*Ἤνεγκεν ᾠδὴν Ἀφαρεὺς ἐνόπλιον·*

καὶ ἀλλαχοῦ·

*Τίς οὗτος ὃς κυκᾷ πᾶν λοιδορίαις.*

*Οὐ μὴν*[5] *ἀλλὰ καὶ παρὰ τῇ θείᾳ γραφῇ εὑρήσεις οὕτως ἐμμέτρως, ὡς ἐν τῇ Ἐξόδῳ·*[6]

---

3 Dem. in Mid. p. 533. 4 Cod. καλλισθενίς. 5 *Οὐ μὴν ἀλλὰ καὶ παρὰ τῇ θείᾳ γραφῇ — — — λαλεῖ βλασφημίας* ad marginem scripta sunt liquore rubro, manu eadem. Fuere primum in contextu, sed erasa sunt, et vv. *εὑρίσκονται, ὡς ἐν τῷ καὶ μή με Καλλ. — — κυκᾷ πᾶν λοιδορίαις* substituta. 6 Ex. V. 9.

Καὶ μὴ μεριμνάτωσαν ἐν κενοῖς λόγοις·

καὶ ἐν τῇ πρώτῃ ᾠδῇ· [7]

εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι·

καὶ ἐν τῷ εὐαγγελίῳ· [8]

Τίς οὗτος ὃς λαλεῖ βλασφημίας;

εὐγνωμόνως δὲ τῶν μερῶν ἀκουστέον. Δεῖ δὲ γινώσκειν ὅτι ἡ εὐκρίνεια κῶλα καὶ συνθήκην καὶ ἀνάπαυσιν καὶ ῥυθμὸν τῆς καθαρότητος ἐπιδέχεται· κῶλα γὰρ μικρὰ καὶ κομματικὰ καὶ συνθήκη ἐξ ἰάμβων καὶ τροχαίων, ἀνάπαυσις ἰαμβικὴ ἢ τροχαϊκὴ καὶ αἱ τούτων καταλήξεις.

## Περὶ ποδῶν τῆς σεμνότητος.

Δάκτυλος – υυ. ἀνάπαιστος υυ–. παίωνες· παίων πρῶτος υ–υυ. παίων δεύτερος –υυυ. παίων τρίτος υυ –υ. παίων τέταρτος υυυ –. καὶ σπονδεῖος· ἔστιν ὅτε καὶ ἴαμβος. Φεύγει δὲ τὸν σπονδεῖον καὶ τὰ ἰωνικὰ ––, υυυ–. ὅθεν καί τις μεταποιήσας στίχους Ὁμηρικοὺς ἐκφεύγων τὸ τῆς σεμνότητος μέτρον, ἐξ ἰωνικῶν δύο ἀπὸ μείζονος καὶ ἀπὸ τροχαίων ἔπλεξε τὸν στίχον. [1]

Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον,

εἰπών· σείων μελίην Πηλιάδα· ἰδοὺ δύο ἰωνικοὶ ἀπὸ μείζονος· εἶτα τρεῖς τροχαῖοι, δύο χορεῖοι, καὶ εἷς τροχαῖος· ὁ γὰρ χορεῖος δυνάμει τροχαῖός ἐστιν· αἱ γὰρ δύο βραχεῖαι τοῦ χορείου ποιοῦσαι μίαν μακρὰν ἀποτε-
υ υ υ
λοῦσι πόδα ἐκ μακρᾶς δυνάμει καὶ βραχείας δα δε ξι.
υ υ
τροχαῖος δυνάμει, οἷον, κατὰ αἱ τρεῖς βραχεῖαι τροχαῖον
– – υυ– – υυυ υ υ υυυ
ὦμον, καὶ ἔστιν οὕτως· σείων μελίην Πηλιάδα κατὰ δεξιὸν ὦμον. Δεῖ δὲ γινώσκειν ὅτι ἡ ἐπιφορὰ τοῦ ξ̄ καὶ τῶν δύο συμφώνων ον κατὰ οὐ ποιοῦσιν ἔκτασιν· πάλιν

7 Ex. XV. 19. 8 Luc. V. 21. 1 cfr. Hermog. de Id. I. 6.

*Ὡς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς·*
*Βεβρυχὼς κόνις δεδραγμένος αἱματοέσσης.*

*Ταῦτα λέγει Ἑρμογένης μετατιθέμενα γίνεσθαι μέτρον τροχαίοις ἐπίμικτον· συνίσταται γὰρ ἀπὸ χορείας καὶ ἰάμβου· ὁ δὲ χορεῖος, ὡς ἔφαμεν δυνάμει τροχαῖός ἐστιν, ἐπεὶ ὁ πρῶτος στίχος ἐκ μόνων τροχαίων συνίσταται οὕτως·*

*ὡς ὁ πρόσθ' ἵππων ἔκειτο καὶ δίφρου τανυσθείς,*

*καὶ ἔστι τετράμετρον· ὀκτὼ πόδας ὀφείλει ἔχειν· τοῦτο δὲ πόδας ἔχει ἑπτά· ὁ δὲ δεύτερος στίχος ἐστὶν ἐπίμικτος ἐκ χοριάμβου συνιστάμενος·*

*Αἱματοέσσης κόνις δεδραγμένος βεβρυχώς·*

*συνέστηκε δὲ ὁ χορίαμβος ἐκ τροχαίου καὶ ἰάμβου, καὶ ἔστι τετράμετρον καταληκτικόν· λείπει γὰρ μιᾷ συλλαβῇ πρὸς ὀκτὼ συλλαβαῖς· ἄλλο·*

*Οἱ μὲν ἐπ' ἄκραισι πυραῖς ἔκειντο γῆς ἐπὶ ξένης·*

*τετράμετρον ὑπερκατάληκτον, διὰ τὸ ἔχειν ἐννέα πόδας·*

*βραχυκατάληκτον τοῦτο· ὀρφανὴν[2] αἶαν προλιπόντες καὶ ἐρατεινὴν ἂν ἦβην· ἐγὼ δὲ αὐτὸ λέγω[3] καταληκτικόν· οὐ γὰρ λείπει[4] πόδα, ἀλλὰ συλλαβήν· ὁ δὲ τρίτος στίχος δίμετρον ἀκατάληκτον οὕτως·*

*Καὶ καλὸν ἡλίου πρόσωπον,*

*μὴ θαυμάσῃς τροχαϊκὸν μέτρον, εἰ εἰς τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν, δάκτυλον, καὶ τοὺς ἐναντίους τούτοις, τόν τε σπονδεῖον καὶ ἀνάπαιστον, ὅτι ἡ ἀνάπαυσις τῆς σεμνότητος ἵστασθαι θέλει εἰς δάκτυλον ἢ ἀνάπαιστον ἢ παίωνα ἢ σπονδεῖον· ἔστι δ' ὅτε καὶ εἰς ἴαμβον· χωρὶς μέντοι καταλήξεως, ἵνα τέλειος ᾖ ὁ ποῦς, καὶ μὴ ἐμπέσῃ εἰς τροχαῖον ἡ βάσις, μηδὲ ἁρπασθῇ ὁ ῥυθμὸς, ἀλλὰ βεβηκὼς ᾖ, ὡς εἶναι μὴ ἐλάττων τριῶν συλλαβῶν, καὶ ἵνα ὦσιν αἱ πλείονες τῶν συλ-*

---

2 Cod. ὄφραν. 3 Ald. λέγων. 4 Cod. λ̄.

λαβῶν μακραὶ, ὡς τό· ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις διοικεῖται· ἐπίτριτος γὰρ ᾱ ἐστίν. Ἰστέον ὅτι εἰ ἐξ ὅλων ἐπιτρίτων ἢ δακτυλικῶν λόγος συντεθῇ, ἡ δὲ ἀνάπαυσις μὴ καταλήγοι εἰς σεμνότητος πόδα, οὐ γίνεται σεμνὸς ὁ ῥυθμὸς, ἀλλὰ μᾶλλον ἑτέρας ἰδέας, δι' ὧν ὁ λόγος συνίσταται.

## Περὶ ποδῶν τραχύτητος.

Ἵνα εἰσὶν οἱ πόδες ἀκόλουθοι, καὶ ἡ συνθήκη μὴ ἔχοι ἡδονὴν, τοῦτο δὲ ἐκ τῆς ἀναπαύσεως, ἵνα νῦν μὲν ἐπὶ τοῦδε τοῦ ποδὸς ἀναπαύσηται τὸ κῶλον, νῦν δὲ ἐπὶ τοῦδε· κῶλα δὲ βραχέα, μᾶλλον δὲ κόμματα ὀφείλει ἔχειν ὡς τὸ οὐκ ἐκβησόμεθα, οὐκ ἔξιμεν, ὅτι οἱ πόδες τῆς σφοδρότητος οἱ αὐτοί εἰσι τῆς βραχύτητος, ὥσπερ καὶ τὰ λοιπὰ, πλὴν ἡ συνθήκη καὶ δι' ὀνομάτων γίνεται, οἷον περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεύς.

## Περὶ ποδῶν λαμπρότητος.

Δάκτυλος, ἀνάπαιστος, σπονδεῖος, παίωνες, ἴαμβος καὶ ἐπίτριτοι· αἱ δὲ τροχαϊκαὶ ἀνάπαύσεις, αἱ μερικαὶ καὶ αἱ κατὰ μέσας τὰς περιόδους εὑρίσκονται· κῶλα δὲ μακρὰ τῆς λαμπρὸν ποιούσης τὸν λόγον ἰδέας.

## Περὶ ποδῶν ἀκμῆς.

Δάκτυλος, ἀνάπαιστος, σπονδεῖος, παίωνες, ἴαμβος καὶ ἐπίτριτοι· αἱ δὲ ἀναπαύσεις αἱ τῆς καθαρότητος αἱ ἱστᾶσαι τὸν λόγον ἐν ἰαμβικῷ ἢ τροχαϊκῷ μέρει λόγου καὶ καταλήξει τροχαϊκῇ ἢ ἰαμβικῇ.

## Περὶ ποδῶν περιβολῆς.

Ὅτι τοὺς τῆς ἀκμῆς δέχεται· ὁμοίως γὰρ καὶ κῶλα, συνθήκας τε καὶ ἀναπαύσεις καὶ ῥυθμούς.

*Περὶ ποδῶν κεκαλλωπισμένης ληγούσης.*

*Οἱ πόδες τῆς κεκαλλωπισμένης ληγούσης ἡρμοσμένοι ὀφείλουσιν εἶναι, ὡς ὁ χορίαμβος – υ υ – καὶ ἴαμβος καὶ τροχαῖος· ἀνάρμοστοι γὰρ οἱ ἐκ δύο βραχειῶν καὶ μακρᾶς ἢ δύο – – ἢ τριῶν* $\overset{\upsilon}{\upsilon}$ *· καὶ ἵνα μὴ ὡς τὰ μέρη τοῦ λόγου* $\overset{\upsilon}{\upsilon}$ *ἰσοσύλλαβα μηδὲ ἰσόχρονα, μηδὲ ἰσότονα, ἀλλὰ τὰ μὲν ἐλαττόνων συλλαβῶν, τὰ δὲ πλειόνων καὶ χρόνων· ἡ δὲ πλειόνων καὶ χρόνων· ἡ δὲ ἀνάπαυσις οὐ βεβηκυῖα· καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ· βεβηκυῖα δὲ λέγεται εἰ ἅμα τῇ ἐννοίᾳ καὶ μέρος λόγου τι μακρὸν καὶ εἰς μακρὰν τὴν τελευταίαν καταλήγοι συλλαβήν· δέχεται πόδας ἐπίτριτον πρῶτον υ – – – καὶ παίωνα δεύτερον – υ υ υ, ὅτι ὁ ῥυθμὸς γίνεται,*[1] *ὅταν ἔχῃ ἐν τῷ τέλει δισσύλλαβον*[2] *ἢ μονοσύλλαβον λέξιν, ὡς τὸ περὶ*[3] *τοῦ πῶς ἀκούειν ἐμοῦ δεῖ, καὶ ὅντιν' ἂν, καὶ ἔτι, δ' ἀμβροσίη*[4] *νὺξ, καὶ, κάρη τάμοι ἀλλότριος φὼς,*[5] *καὶ, Ἀρτέμιδι νύξ.*[6]

*Περὶ ποδῶν γοργότητος.*

*Ἵνα πλεονάζωσιν οἱ τροχαῖοι καὶ αἱ τροχαϊκαὶ συζυγίαι. οἷον·*

*Θᾶσσον ἢ μ' ἐχρῆν προβαίνων ἰκόμην δι' ἄστεος·*[7]

*καὶ ἔστι τροχαϊκὸν τετράμετρον καταληκτικόν· λείπει γὰρ συλλαβή· αἱ δὲ λέξεις βραχεῖαι θέλουσιν εἶναι· ἡ δὲ ἀνάπαυσις εἰς τροχαῖον λήγοι καὶ μὴ βεβηκυῖα, οἷον· ἑσπέρα μὲν γὰρ ἦν· ἦκε δ' ἀγγέλων*[8] *τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται, καὶ ἀπὸ τροχαίου ἄρχεται καὶ εἰς τροχαῖον λήγει.*

---

1 Cod. *γράφεται*, scripsi *γίνεται*. vide Epist. crit. p. 11.
2 Cod. *δισσύλλαβα ἢ μονοσύλλαβα*. 3 Dem. pro cor. init.
4 Cod. *ἀβροσίη*. Od. δ, 249. 5 Il. ε, 214. 6 Od. ο, 410.
7 Eur. Orest. 719. 8 Cod. *ἀγγέλων*. — Dem. pro cor. p. 284.

*Περὶ ποδῶν ἀφελείας.*

*Οἷοι καὶ τῆς καθαρότητος, ῥυθμὸς καὶ ἀνάπαυσις ἡ βεβηκυῖα καὶ εἰς τέλειον πόδα λήγουσα.*

*Περὶ ποδῶν γλυκύτητος.*

*Δάκτυλος, ἀνάπαιστος, παίωνες· υυυ – πρῶτος. υυ – υ δεύτερος. υ – υυ τρίτος. – υυυ τέταρτος. Ἐπίτριτοι οὖν, υ – – – πρῶτος. – υ – – δεύτερος. – – υ – τρίτος. – – – υ τέταρτος· ἀνάπαυσις ἡ βεβηκυῖα· δεῖ δὲ τὴν γλυκύτητα ἐγγίζειν τῷ μέτρῳ καὶ τοὺς πόδας τῆς σεμνότητος.*

*Περὶ ποδῶν δριμύτητος.*

*Πάντα τὰ τῆς γλυκύτητος.*

*Περὶ ποδῶν ἐπιεικείας.*

*Ἐπεὶ γὰρ καὶ λέξιν καὶ σχήματα, κῶλά τε καὶ συνθήκην καὶ ἀνάπαυσιν καὶ ῥυθμὸν τῆς ἀφελείας ἔχει καὶ καθαρότητος, καὶ οἱ πόδες ὀφείλουσιν εἶναι τῆς ἀφελείας.*

*Περὶ ποδῶν τοῦ ἐμψύχου καὶ ἀληθινοῦ λόγου καὶ τῶν λοιπῶν σχημάτων, κώλων, συνθήκης, ἀναπαύσεως, ῥυθμοῦ.*

*Οἷα καὶ ἐν τῇ σφοδρότητι.*

*Περὶ ποδῶν βαρύτητος.*

*Οἷα καὶ τοῦ ἠθικοῦ λόγου, ὁμοίως γὰρ λέξεις καὶ σχήματα, κῶλα, συνθήκη, ἀνάπαυσις καὶ ῥυθμός.*

*Περὶ ποδῶν δεινότητος.*

*Σχῆμα, συνθήκη, ἀνάπαυσις, ῥυθμός, ὅσα ἀκμαῖα, λαμπρὰ, σεμνὰ, περιβλητικὰ, ὁμοίως καὶ πόδες.*

## ΠΕΡΙ ΠΟΔΩΝ.

Περὶ [1] τοίνυν πάσης ἰδέας ἐκθέμενοι [2] καθ' Ἑρμογένην δεῖν ᾠήθημεν καὶ περὶ τῆς παρὰ [3] τῷ Λαχάρῳ [4] ἐκθέσθαι, ὡς ἂν δι' αὐτῶν παράδειγμα λαβόντες τὰ μετρηθέντα ὑπ' αὐτοῦ κῶλα Πλάτωνος καὶ Θουκυδίδου τὰ ἐν τῷ ἐπιταφίῳ, καὶ Δημοσθένει τὰ ἐν τῷ περὶ τοῦ στεφάνου [5] τούτων ἀκριβῶς νοηθέντων καὶ τῆς ἰδέας γνωσθείσης ὁποία ἐστὶν, ὅτι ἀξιωματικὴ καὶ λαμπρὰ, καὶ τῶν λοιπῶν ἰδεῶν τῆς καθαρᾶς καὶ τῆς σεμνῆς· ἔστι δὲ τῆς ἰδέας καὶ τοῦ ὡραίου καὶ κεκαλλωπισμένου λόγου καὶ τῶν λοιπῶν· ῥᾳδίαν εὕρωμεν ἑκάστῳ ῥήτορος λόγῳ τὴν ἀναμέτρησιν, καὶ μάλιστα τοῦ καθηγεμόνος· ἔστω δὲ πρῶτον παράδειγμα τὰ Θουκυδίδεια κῶλα· εἰ γὰρ μὴ εἴη ὑπὲρ μέτρον τὰ τῶν ῥητόρων σκέμματα, κινδυνεύει τῆς τέχνης τὸ χρήσιμον, συμπνίγον τὸν λέγοντα μὴ πέρα τοῦ γνωριζομένου, ἀλλ' ἀγχοῦ νίσσης τρέχοντος τοῦ δρομέως, μέχρις ἂν εἰς κρημνὸν ὡς οἷα καταντήσαντος ἢ ἄλλου τινὸς τοῦ ἐπιπροσθοῦντος κατὰ πρόσωπον συναπαντήσῃ, οὐκ ἀκριβολογήσεται τὸ μέτρον, ἐν παντὶ μέρει τοῦ κώλου, ἀλλὰ γνωσθείσης τῆς τελευτῆς αἱ μὲν ἀρχαὶ καὶ τὰ τέλη ὀφείλουσι τῆς ἰδέας αὐτῆς, οὐ τὸ κῶλον ἀκριβῶς εὑρίσκεσθαι, καὶ λίαν τῇ αἰσθήσει γνωρίζοντα· τὰ δὲ μέσα οὐκ ἀκριβολογηθήσονται, ὡς ὑπὸ τῶν ἑκατέρων μερῶν συγκαλυπτομένης τῆς μεσότητος καὶ λανθανούσης τῆς παραλλαγῆς, διὰ τοῦτο εἰ τύχοι ἑτέρας ἰδέας εὑρίσκεσθαι

---

1 περὶ abest a Cod. h. l. et v. sq. 2 Cod. ἐκθέμενος. 3 Cod. παρά. primum scriptum fuisse videtur περί. tum ι mutatum in α, relicto ε. 4 ad marg. οὗτος ὁ Λαχάρης [infra scribitur Λάχαρος.] Ἀθηναῖος ἦν σοφιστής· ἔγραψε δὲ κάλλιστα περὶ κώλου καὶ κόμματος καὶ περιόδου. 5 Cod. στένους.

πόδας ἐν αὐτῇ· δύο ἢ τρεῖς, οἷον τῇ σεμνότητι τῆς καθαρότητος ἢ ἐν τῷ κεκαλλωπισμένῳ τῆς περιβολῆς, οὐδὲν λυμανεῖται τῷ λόγῳ· τοῦτο γὰρ εὕροις καὶ παρ' αὐτῷ τῷ ῥήτορι· μή τι γε παρ' ἄλλῳ τῶν οὐχ οὕτως ἀκριβολογησαμένων περὶ τὴν τοῦ λόγου εὐρυθμίαν καὶ θαυμαζομένην ἁρμονίαν· ἄρξομαι δὲ οὕτω περιστίξας τοὺς πόδας, οὐ κατὰ τὰ πέρα τῶν λέξεων, ἀλλὰ κατὰ τὰ τέλη τῶν ποδῶν, ὡς ἂν καὶ τοῖς εἰσαγομένοις εὐμαρὴς εἴη ἡ περὶ αὐτῶν γνῶσις.

Πρὸς μέντοι τοῖς φυσικοῖς ἐννέα ποσὶ προσθείην καὶ τοὺς λοιποὺς ὀκτώ, ὧν ὁ Λάχαρος μέμνηται· ὅμως οὖν κρεῖσσον ἅμα συνάψαντας πάντων νῦν μνησθῆναι, ἵνα μὴ κερματιζόμενοι ἐν διαφόροις τόποις ἀσάφειαν παρέχωσι τοῖς ἀναγινώσκουσιν· εἰσὶ τοίνυν πόδες εὑρισκόμενοι ἐν τῷ πεζῷ λόγῳ ἄλλοι ἐν ἄλλαις ἰδέαις οἵδε· σπονδεῖος, ἴαμβος, τροχαῖος. Δεῖ δὲ γινώσκειν, ὡς ἀντὶ τροχαίου ὑπεισέρχεται χορεῖος, διαλυομένης τῆς ἐν τῷ τροχαίῳ μακρᾶς, ἢ καὶ μετὰ ἰάμβου κειμένη ποιεῖ χοριαμβικὸν μέτρον, ἀλλὰ καὶ τοῦ ἰάμβου διαλύεται ἡ μακρὰ, καὶ γίνεται χορεῖος, ὁ γὰρ τροχαῖος καὶ ὁ ἴαμβος δυνάμει χορεῖοί εἰσιν· εἶτα δάκτυλος, ὃς καὶ αὐτὸς διαλύων τὴν μακρὰν, ἡνίκα χρεία εἴη, γίνεται προκελευσματικός· ἀνάπαιστος υ υ – βακχεῖος ⏑ ⏑ –. παλιμβάκχειος – – ⏑. ἀμφίμακρος ὁ καὶ κρητικὸς καλούμενος – ⏑ –. μολοττὸς – – –. Τετρασύλλαβοι δὲ οἵδε· παίων πρῶτος υ υ υ υ, παίων δεύτερος υ υ υ –, ἰωνικὸς ἀπ' ἐλάττονος υ υ – –, ἐπίτριτος πρῶτος υ – – –, ἐπίτριτος δεύτερος – υ – –, ἐπίτριτος τρίτος – – υ –, διΐαμβος υ – υ –, δισπόδειος – – – –. Δεῖ δὲ γινώσκειν, ὅτι δύο βραχεῖαι συναιροῦνται εἰς μίαν μακράν, καὶ ἡ μία μακρὰ εἰς δύο βραχείας διαλύεται, καὶ τοῦτό σοι ἔστω κανὼν, ἡνίκα χρεία γένηται ἐκ περισσοτέρων συλλαβῶν ὀλιγωτέρας εὑρέσθαι, καὶ ἐξ ὀλί-

γων

γων πλείονας· ἀλλὰ καὶ τοῦτο μὴ διαλανθανέτω, ὡς αἱ θέσει μακραὶ ἀνεμποδίστως συστέλλονται, ἀλλὰ καὶ τὸ ῡ καὶ τὸ ῑ· τὸ μέντοι ᾱ ὡς φύσει διογκοῦν τὸ στόμα καὶ εὐφωνοτέραν ποιεῖ τὴν συλλαβήν· ἔστι δὲ διαφορὰ ἐν τοῖς συμφώνοις, ἃ μᾶλλον ἀξιωματικώτερον καὶ μεγαλοπρεπῆ τὸν λόγον ἀποτελοῦσι· πρῶτον μὲν τὰ διπλᾶ. εἶτα δεύτερα τὰ δασέα, καὶ μετὰ ταῦτα τὰ μέσα, εἶθ' οὕτως τὰ ἀμετάβολα· εἶτα δὲ καὶ τὰ ψιλά· καὶ τούτων οὕτως ἐκδηλωθέντων δεῖ εἰδέναι, ὅτι ὥσπερ τὸ δακτυλικὸν μέτρον γνώριμον ἔχει τὸν στίχον, καὶ τὸ ἰαμβικὸν ὡσαύτως καὶ τὸ τροχαϊκόν· τὰ γὰρ ἕτερα πολύμικτα ὄντα οὐκ ἔχει ἓν πέρας· ἀλλὰ τὰ μὲν δύο συλλαβῶν, τὰ δὲ τριῶν ἢ τεσσάρων, ἢ καὶ ἕως ὀκτὼ καὶ περαιτέρω· τὸ μέντοι ἰαμβικόν, ὡς εἴρηται, τὸ καθαρόν, συλλαβῶν ιβ'. ὁμοίως καὶ τὸ τροχαϊκόν· τὸ δὲ δακτυλικὸν συλλαβῶν ιζ'· καὶ οὐδεὶς ὑπερβαίνει οὔτε τὸ ιβ' ἐν τῷ ἰαμβικῷ ἢ τροχαϊκῷ, οὔτε συνάπτει τῷ τέλει τοῦ στίχου μέρος ἕτερον στίχου· ἀλλ' οὔτε ἐν τῷ δακτυλικῷ, ἀλλὰ καὶ ἐν τοῖς διμέτροις καὶ τριμέτροις τὸ αὐτὸ εὑρίσκεται, κἂν ἕτερος στίχος καὶ βραχύτερος εἴη· οὕτω καὶ ἐν τῷ πεζῷ λόγῳ, εἰ μετρεῖν βούλοιό τινα λόγον ῥητορικόν, μὴ ὑπερβαίνειν δεῖ τὸ κῶλον ἢ τὸ κόμμα, ἢ τὸν ἐπῳδόν· οὐ μόνον γὰρ κατὰ περίοδον γίνεται ἡ μέτρησις, ἀλλὰ καὶ κατὰ πνεῦμα, ἀλλ' ὡς εἴρηται κατὰ κῶλον, ὡς δειχθήσεται ἔκ τε τῶν τοῦ Λαχάρου παραδειγμάτων, καὶ ἐξ ὧν μετρικῶς σοι θήσομαι τὸν ὅλον Δημοσθενικὸν λόγον, τὸν ἐπιγράφοντα πρὸς τὴν ἐπιστολὴν Φιλίππου· τοῦτον γὰρ στίξομεν σὺν θεῷ φάναι κατὰ κῶλον καταντήσαντες εἰς τὴν ποσότητα τῶν κώλων κατὰ τὸν ἀριθμὸν τὸν ἐγκείμενον ἐν τοῖς ἀρχαίοις βιβλίοις, ὡς ἐμέτρησεν αὐτὸς ὁ Δημοσθένης τὸν ἴδιον λόγον· εἴπωμεν οὖν πρῶτον τοῦ Λαχάρου τὴν τεχνολογίαν αὐτολεξεὶ ἔχουσαν οὕτως· οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἐπαινοῦσι τὸν

προσθέντα [6] τῷ νόμῳ τὸν λόγον τόνδε ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν· μετρεῖται δὲ οὕτως· οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων, δύο, ἐπαινοῦσι τὸν προστεθέντα τῷ νόμῳ λόγον τόνδε· εἶτα τὸ τρίτον κῶλον, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν· τετράμετρον ὑπερκατάληκτον διὰ τὴν περιττεύουσαν συλλαβήν· εἶτα Πλατωνικὸν ῥητόν· ἔργῳ μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν ἀνθρώποις, τετράμετρον καταληκτικὸν κατὰ διποδίαν βαῖνον· εἶτα τὸ δεύτερον κῶλον, ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν. τρίμετρον ἀκατάληκτον διὰ τὸ εἰς τέλειον πόδα λήγειν.

Δημοσθενικὸν ἐκ τοῦ λόγου τοῦ περὶ στεφάνου· πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, τοῦ δὲ δευτέρου κώλου, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν· τρίμετρον ὑπερκατάληκτον· τοῦ δὲ τρίτου κώλου· ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει, τοσαύτην ὑπάρξαι μοι παρ᾽ ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· τρίμετρον ἀκατάληκτον· τοῦ δὲ τετάρτου κώλου· ἔπειθ᾽ ὅπερ ἐστὶ μάλιστ᾽ ὑπὲρ ἡμῶν καὶ τῆς ἡμετέρας εὐσεβείας τε καὶ δόξης· τετράμετρον ὑπερκατάληκτον· πέμπτον, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν· δίμετρον ὑπερκατάληκτον· ἕκτον κῶλον, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ, καταληκτικὸν εἰς συλλαβήν· εἶτα ἕκτον κῶλον, σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε· δίμετρον ἀκατάληκτον· ὄγδοον κῶλον, ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον· δίμετρον ἀκατάληκτον· ἔνατον κῶλον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτο γέγραπται· τρίμετρον ὑπερκατάληκτον εἰς συλλαβήν· δέκατον κῶλον, τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι· δίμετρον ἀκατάληκτον· ἑνδέκατον κῶλον ἤτοι κύμ-

6 Cod. προστεθέντα. — Thuc. II. 35.

μα· τούτου δέ ἐστι· μονόμετρον ἀκατάληκτον, δωδέκατον· οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν· τρίμετρον ὑπερκατάληκτον· τεσσαρεσκαιδέκατον κῶλον· ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ,[7] τρίμετρον βραχυκατάληκτον· πεντεκαιδέκατον κῶλον, ὡς βεβούληται καὶ προήρηται τῶν ἀγωνιζομένων ἕκαστος· τετράμετρον καταληκτικὸν εἰς συλλαβήν· ἕκτον καὶ δέκατον κῶλον οὕτως· ἔασαι χρῆσθαι, δίμετρον καταληκτικὸν εἰς συλλαβήν. Ταῦτα παρεθέμεθα εἰς ἔνδειξιν ὑποδείγματος μέτρα ῥητορικῶν σκεμμάτων.

7 Cod. ἀπο$^{λ.}$

# ΑΝΩΝΥΜΟΥ
## ΕΚΘΕΣΙΣ ΡΗΤΟΡΙΚΗΣ.

Opusculum hoc e codice Bibl. Univ. Hafniensis Fabriciano No. 88. 8vo minori, membranaceo, diligentissime exarato primus edidit O. D. Blochius in Miscellaneis Hafniensibus Tom. II. p. 155—184. Hafniae 1824. Codex habet titulum: *Συναγωγὴ τῶν ἀναγκαιοτάτων ἐξηγήσεων εἰς τὴν ῥητορικὴν τῶν ἀποδοθεισῶν ὑπὸ τῶν χριστιανῶν ἐξηγητῶν καὶ ἑλλήνων· ὧν εἰσὶ χριστιανοὶ μὲν ἰωάννης, φιλόσοφος μέγας καὶ ὀρθοδοξότατος, ὁ σικελιώτης· καὶ ἕτερος ἰωάννης διδάσκαλος ὁ γεωμέτρης· γρηγόριος μητροπολίτης κορίνθου· ἕτερος μητροπολίτης σάρδεων ὁ δοξαπατρὸς κύριος ἰωάννης· γεώργιος ὁ διαιρετὴς λεγόμενος· ἕλληνες δὲ σιμπλίκιος, λογγῖνος, συριανὸς, ἰάμβλιχος.* De hoc titulo eadem valent, quae dixi in Prolegomenis Tomi sexti p. VI. et VII. Expositionis ipsius magna pars ad verbum consentit cum Maximae Planudae Prolegomenis: reliqua unde compilata sint, non inveni.

# ΑΝΩΝΥΜΟΥ
## ΕΚΘΕΣΙΣ ΡΗΤΟΡΙΚΗΣ.

Πρὸ τῆς ἀκριβοῦς ἐκθέσεως τῶν κατὰ μέρος ὀφειλόντων ἐν τῷ παρόντι θεωρηθῆναι πονήματι ζήτημά τι βούλομαι προεκθέσθαι δυνάμενον οὐκ ὀλίγον συμβαλέσθαι πρὸς τὴν εὐσέβειαν. ἔστι δὲ τοιοῦτον. Ζητοῦσί τινες τῶν τῆς ἔξω παιδείας εἰ ἐκ θεοῦ τοῖς ἀνθρώποις δέδοται ἡ ῥητορική. Ἕλληνες μὲν οὖν ἐκ θεοῦ τὴν ταύτης λέγοντες γένεσιν μυθικῇ τινι χρῶνται μαρτυρίᾳ πρὸς τὴν ἀπόδειξιν· αὕτη δ' ἐστὶν, ὡς ἄρα οἱ θεοὶ μετὰ τὴν τοῦ κόσμου τούτου δημιουργίαν προσετάχθησαν ὑπὸ τοῦ Διὸς ἄλλος ἄλλο τι προσαγαγεῖν καὶ διακοσμῆσαι τόδε τὸ πᾶν. οἱ μὲν οὖν ἄλλοι προσέφερον ἕκαστος ὅ τι ἂν δύναιτο, ὁ δὲ Ἑρμῆς τὴν ῥητορικὴν ἐχαρίσατο. οὕτω μὲν οὖν Ἑλλήνων παῖδες μυθεύονται· οἱ δὲ καθ' ἡμᾶς ἐκ θεοῦ ταύτην δεδόσθαι τοῖς ἀνθρώποις λέγοντες καὶ συλλογισμῷ τινι χρῶνται πρὸς τὴν ἀπόδειξιν. ἐκ θεοῦ πάντα τὰ ἀγαθά· τῶν ἀγαθῶν δέ τι καὶ ἡ ῥητορική· ἐκ θεοῦ ἄρα ἐστὶν ἡ ῥητορική. [1] Ὅτι δὲ καὶ ἐν τῷ θεῷ ἡ

1 Cod. ad marg. εἰ καὶ πρότερόν ἐστι κατὰ λογικὴν ἀκολουθίαν ἐπὶ πάσης ζητήσεως τὸ εἰ ἔστι τοῦ τί ἐστιν, ἀλλ' ἡμῖν ἐξέστω νῦν ἐν τῷ παρόντι παρ' ἡμῶν αὐτῶν λαβοῦσι τὸ ἐνδόσιμον τὸ ὁποῖόν τί ἐστι προτάξαι τῶν ἄλλων. τὸ γὰρ ζητεῖν εἰ ἐ θεοῦ τοῖς ἀνθρώποις ἡ ῥητορικὴ δέδοται, τοῦ ὁποῖόν τί ἐστι μέρος ἂν εἴη δήπουθεν. δῆλον γάρ, ὡς εἰ ἀγαθὸν τοῦτο φανείη καὶ χρή-

ῥητορική, Ἕλληνες μὲν καὶ πάλιν μυθικαῖς χρῶνται ταῖς ἀποδείξεσιν· ποτὲ μὲν δικαζομένους αὐτοὺς τοὺς θεοὺς παρεισάγοντες, ὡς Ἄρην καὶ Ἀθηνᾶν ἐν Ἀρείῳ πάγῳ τῆς Ἀττικῆς, καὶ Ἄρην πάλιν καὶ Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίου, Εὐμενίδας τε καὶ Ὀρέστην ὑπὲρ τῆς μητροφονίας. ποτὲ δὲ καὶ βουλευομένους περὶ Ἰλίου, καθά φησιν Ὅμηρος. ποτὲ δὲ τοὺς μὲν τῶν ἀνθρώπων ἐγκωμιάζοντας, τοὺς δὲ διαβάλλοντας· ἡμεῖς δὲ κἀνταῦθα τῶν μύθων ἀφειμένοι τῆς ἀληθείας φροντίσωμεν, δεικνύντες καὶ τοῖς τρισὶν εἴδεσι τῆς τέχνης τὸν θεὸν χρησάμενον· τῷ μὲν συμβουλευτικῷ δι' ὧν λέγει, [2] „ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν·" τῷ δὲ δικανικῷ δι' ὧν τῷ παραβάντι δικάζει, [3] καὶ δι' ὧν ὁ αὐτὸς ὁμοῦ δικαστὴς καὶ κατήγορος γίνεται· αὐτὸς γὰρ ἦν ὁ νομοθετήσας ἅμα καὶ ἀδικούμενος· τῷ δὲ πανηγυρικῷ δι' ἐκείνων, [4] „καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν."

*Τὴν ῥητορικὴν κ. τ. λ.* T. V. p. 212. v. 3.—214. v. 15.

Cod.

p. 213. v. 1. *οὐ νέμ. Τρῶας καὶ τὰ ἑξῆς.* — *οὐ νέμ. Τρῶας καὶ Εὐκνήμιδας Ἀχαιοὺς τοιῆδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.*

4. *περὶ* — *δὲ.*

6. Post ἡ θέα Cod. pergit: *Ἄλλοι δὲ ὡρίσαντο αὐτὴν οὕτως· δύναμις ἀνασκευαστικὴ καὶ κα-*

---

*σιμον, ἐκ θεοῦ δὲ πᾶν ἀγαθὸν τοῖς ἀνθρώποις κατὰ κοινήν ἐστιν ἔννοιαν, ὁ νουνεχὴς ἀκροατὴς τὸ λεῖπον ἐξ ἀνάγκης συμπεραῖναι δυνήσεται· παρέστη δέ μοι τὴν τοῦ παντὸς λόγου μεταχείρισιν οὕτω διαθέσθαι, ἵν' ἡμῖν ὁ λόγος τὴν προσήκουσαν ἀρχὴν ἔχῃ λαβών, ἐκ θεοῦ τε ἀρχόμενος, καὶ εἰς αὐτὸν πάλιν ἀναπαυόμενος.* 2 Gen. I, 26. 3 Gen. III, 11. 4 Gen. I, 31.

τασκευαστικὴ δικαίων τε καὶ ἀδίκων πραγμάτων. οὐκ ἀποδεκτέος δὲ οὐδ' οὗτος.

p. 213. v. 15. τοῦ δικαστικοῦ δηλαδὴ — δηλονότι τοῦ δικαστικοῦ.

16. λόγον — λόγους.

20. χρήσασθαι — χρῆσθαι.

p. 214. v. 1—7. abest a codice: v. 7. Codex ita: τὸ μὲν οὖν τέχνη ἀντὶ γένους εἴληπται, τὰ δὲ λ. ἀ. σ. διαφορῶν· καὶ τὸ μὲν πιθανοῦ λόγου διὰ τὴν τεκτ.

14. καὶ Cod. om.

15. post διεξιέναι Cod. pergit:

Ὡς ἂν δὲ κατὰ τὸν ἀκριβῆ λόγον, τίνα τὰ τῆς ῥητορικῆς εἴδη καὶ μέρη, συνίδωμεν, ἄνωθέν ποθεν τῆς διαιρέσεως ἀρξώμεθα. ἡ ποιότης ἔσνι καὶ αὐτὴ γενικώτατον γένος· ὑπὸ δὲ ταύτην ἐστὶν ἕξις καὶ διάθεσις· ὑπὸ δὲ τὴν ἕξιν ἐπιστήμη καὶ ἀρετή· ὑπὸ δὲ τὴν ἐπιστήμην τέχνη, ὁμωνύμως τῷ γένει καὶ αὐτὴ καλουμένη ἐπιστήμη· ὑπὸ δὲ τὴν τέχνην λογικὴ τέχνη καὶ πρακτική· ἡ οὖν λογικὴ τέχνη ἢ περὶ λόγους καὶ πράγματα [5] καταγίνεται καὶ τοιαῦτά τινα, καὶ ποιεῖ τὴν γραμματικήν· ἢ περὶ πολιτικὰ πράγματα, καὶ ποιεῖ τὴν ῥητορικήν· ἢ περὶ πάντα ἐπίσης, καὶ ποιεῖ τὴν διαλεκτικήν. Διαιρεῖται δὲ κ. τ. λ.

T. V. p. 216. v. 12.

v. 18. βουλευτὴς — Cod. σύμβουλος.

22. τρία τὰ τῆς ψ. μέρη — τὰ τῆς ψ. μέρη τρία εἰσί.

24. ἐπιθυμητ. — χρόνον. — καὶ ἐπιθυμητ. ὧ τὸ παν-ηγυρικόν· ἐκληρώσατο δὲ τὸ μὲν δικαν. τὸν παρελθόντα χρόνον.

p. 217. v. 3. τούτων. — αὐτῶν.

5. τινὰ Cod. om.

---

5 Bloch. legendum putat: γράμματα.

7. ἐν τῇ ἐνστῇ.
8. ἀνακύπτει ἀνακαλύπτει
9. Post ψέγομεν sequitur in codice:

Ἤλθωμεν δὲ καὶ ἐπὶ τὴν τῶν πολυθρυλλήτων κεφαλαίων ζήτησιν, ὀκτὼ τὸν ἀριθμὸν, ὥς φασι, τυγχανόντων. ἔστι δὲ ταῦτα· ὁ σκοπὸς, τὸ χρήσιμον, τὸ γνήσιον, ἡ τάξις τῆς ἀναγνώσεως, ἡ αἰτία τῆς ἐπιγραφῆς, ἡ εἰς τὰ μέρη διαίρεσις, ὁ διδασκαλικὸς τρόπος καὶ ἡ ὑπό τι μέρος ἀναφορά. Σκοπὸς τοίνυν ἐστὶ τῶν προγυμνασμάτων προασκῆσαι καὶ προεθίσαι ἡμᾶς εἰς τὰ κατὰ ῥητορικὴν εἴδη καὶ μέρη, καὶ ἔτι εἰς τὰ τοῦ πολιτικοῦ λόγου μέρη. τὸ χρήσιμον ἀπὸ τοῦ σκοποῦ φανερόν· χρησιμεύει γὰρ ἡμῖν εἰς τὰ κατὰ ῥητορικὴν εἴδη καὶ μέρη. τὸ γνήσιον ἀπὸ τοῦ ἐπιφερομένου παλαιοῦ ἐπιγράμματος εἰς αὐτόν ἐστι κατάδηλον. λέγει γάρ·

Εἴ σοι ῥητορικῆς φίλος πόθος ἔμπεσε θυμῷ,
Μή σε γυμνασίη Ἀφθονίοιο λάθῃ.

Ἡ δὲ τάξις, ὅτι δικαίως προετάγη τὸ παρὸν βιβλίον τῶν ἄλλων τῶν περὶ ῥητορικῆς, διὰ τὸ εἶναι εἰσαγωγὴν, καὶ δέον τὰς εἰσαγωγὰς τῶν πρὸς ἃ εἰσάγουσι προτερεύειν. Ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς ἔστι κατάδηλος ἐκ τῶν εἰρημένων. Ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις δῆλον ὅτι τέμνει τὸ βιβλίον εἴς τε τὰς πρὸς τὸ συμβουλευτικὸν εἶδος γυμναζούσας ἡμᾶς γυμνασίας, καὶ εἰς τὰ λοιπὰ τῆς ῥητορικῆς εἴδη. Ὁ διδασκαλικὸς τρόπος, φασὶν, ὅτι τεσσάρων ὄντων διδασκαλικῶν τρόπων, διαιρετικοῦ, ὁριστικοῦ, ἀποδεικτικοῦ καὶ ἀναλυτικοῦ τῷ μὲν ὁριστικῷ χρῆται, ἡνίκα ὁρίζεται τὰ γυμνάσματα, τὸν μὲν μῦθον λέγων εἶναι λόγον ψευδῆ ἀλήθειαν εἰκονίζοντα, τὸ δὲ διήγημα ἔκθεσιν πράγματος γεγονότος ἢ ὡς γεγονότος· τῷ δὲ διαιρετικῷ, ἡνίκα διαιρεῖ τῶν συγγραμμάτων ἕκαστον λέγων, ὅτι τοῦ μύθου τὸ μέν ἐστι λογικὸν, τὸ δὲ ἠθικὸν, τὸ δὲ μικτόν. τούτοις μὲν οὖν τοῖς δυσὶν ἐνεργείᾳ κέχρηται· φασὶ δὲ

καὶ αὐτὸν τῷ ἀναλυτικῷ χρήσασθαι τρόπῳ, ἐν τῷ λέγειν τοῦ μύθου τὸ γένος· ἀπὸ γὰρ τῶν κάτω καὶ ὑστέρων πρόεισιν ἐπὶ τὰ ἄνω καὶ πρῶτα, ἤτοι ἀπὸ τοῦ μύθου ἐπὶ τὰ ἐξ ὧν ἔσχε τὴν γένεσιν. [6] τοῦτο δέ ἐστιν ἴδιον τοῦ ἀναλυτικοῦ τρόπου, τὸ ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρῶτα ἔρχεσθαι. τὴν δὲ ὑπὸ τὸ μέρος ἀναφορὰν ἐπὶ τοῦ παρόντος βιβλίου ζητήσαντές τινες ἀναφέρεσθαί φασιν αὐτὸ οὔτε εἰς τὸ θεωρητικόν, ἐπεὶ μηδὲ φυσιολογεῖ, ἢ θεολογεῖ ἢ μαθηματικεύεται· ἀλλ᾽ οὐδὲ εἰς τὸ πρακτικόν, οὐδὲ γὰρ διδάσκει, πῶς δεῖ κοσμεῖν τὰ ἤθη, ἀλλ᾽ εἰς τὸ μέσον τούτων, τὸ μεθοδικὸν καὶ ὀργανικόν, ἔστι δὲ τοῦτο τὸ λογικόν, κανόνας γὰρ καὶ μεθόδους διδάσκει.

Τινὲς δὲ καὶ τὸν χαρακτῆρα ζητοῦσι τοῦ παρόντος βιβλίου. χαρακτῆρες δέ εἰσι τρεῖς· ἁδρὸς, ταπεινὸς, μέσος· ἁδρὸς μὲν οὖν ἐστιν ὁ κομπηρὰς ἔχων λέξεις, νοῦν δὲ ταπεινὸν, ὡς ἔχει τὰ τοῦ Λυκόφρονος, ὃν καὶ μὴ οὖσαν καὶ φαινομένην ἔχειν φασὶ τὴν δεινότητα. ταπεινὸς [7] δὲ ὁ μήτε νοῦν ἔχων ὑψηλὸν, λέξεις δὲ συνήθεις τε καὶ τετριμμένας, ὡς τὰ τοῦ θεολόγου συγγράμματα, ὃν καὶ οὖσαν καὶ φαινομένην ἔχειν φασὶ τὴν δεινότητα. μέσος δὲ ὁ μήτε νοῦν ἔχων ὑψηλὸν, μήτε λέξεις κομπηρὰς, ἀλλ᾽ ἀμφότερα μέτρια· οἷά ἐστιν ὡς ἐπὶ τὸ πλεῖστον τὰ τοῦ Χρυσοστόμου, ὃν καὶ οὖσαν καὶ μὴ φαινομένην ἔχειν φασὶ τὴν δεινότητα. [8] Χρῆται οὖν Ἀφθό-

6 Cod. γένησιν. 7 Cod. μέσος δέ. Bloch, scribendum esse censet: ταπεινὸς δέ. „apparet enim, librarii oculum, vocum similitudine deceptum, a primi generis fine ad tertii initium aberrasse, et deinde post aliquot voces ad secundum rediisse.“ 8 Cod. ad marg. Τοὐναντίον ἐστὶν ἀληθὲς περὶ τῶν μεγάλων τούτων διδασκάλων· ὡς ὁ μὲν τὴν γλῶτταν χρυσοῦς οὖσαν καὶ μὴ φαινομένην ἔχει δεινότητα ἐν τοῖς λόγοις· τὸ γὰρ τῆς ἐκείνου διανοίας καὶ βαθύτερον καὶ ἐπηβολώτερον ἐφ᾽ ἑκάσταις τῶν λόγων ταῖς ὕλαις,

νιος ἐνταῦθα καὶ τοῖς τρισὶ χαράκτηρσι· τῷ μὲν ἀδρῷ, ὡς ἐν τῇ ἠθοποιΐᾳ· τῷ δὲ ἀνειμένῳ καὶ ταπεινῷ, ὡς ἐν τῇ ἐκφράσει, καθάπερ καὶ αὐτὸς ἐκεῖσε λέγει δεῖν τὸν χαρακτῆρα ἀνειμένον ἐκφέρειν, τῷ δὲ μέσῳ, ὡς ἔν τισι τῶν ἄλλων.

*Τρόποι δὲ ῥητορικῶν ἀναγνώσεών εἰσι τρεῖς· κ. τ. λ.* T. V. p. 217. v. 10.

v. 17. *ὅτι ῥήτορος* Cod. *ῥήτορος δέ.*
*εὕρεσις* *αἵρεσις.*
19. *καὶ εἰ συνίσταται ἢ μὴ* Cod. om.
*ἐπὶ ποῖον* *ὑπὸ ποῖον.*
20. *εὕρεσις δὲ εὑρεῖν τὸν* *αἵρεσις δὲ αἱρεῖν τά.*
24. *καὶ* Cod. om.
p. 218. v. 5. *ὑπόνοιαν* *ὑπόνοιαν ἐστίν.*
6. *ὅταν εἴπῃ· ἐνταῦθα λαμπρότης ἐστὶν* *ὅταν, ἐνταῦθα, εἴποι, λαμπρότης τυχόν.*
8. *καὶ* Cod. om.
11. *ὅτι ῥητορικὴ* *ἡ δὲ ῥητορική.*
13. *πολιτικὰ* *πολιτικὰ μόνον.*
14. Post *διαλέγεσθαι* Cod. addit: *καθάπερ καὶ Ἀριστοτέλης φησὶν ἐν προοιμίοις τῆς διαλεκτικῆς πραγματείας.*
18. *ῥητορικῆς* *ῥητορικῆς ἐστιν.*

---

ἀποικίλῳ δὲ καὶ ἀμεθοδεύτῳ χρῆται τῇ φράσει εἰ καὶ ἄλλως ἀσφαλεῖ τε καὶ χάριν ἐχούσῃ. ὁ δὲ μέγας Γρηγόριος καὶ οὖσαν καὶ φαινομένην ἔχει δεινότητα· ὅ τε γὰρ νοῦς αὐτοῦ πανταχοῦ ὑψηλότατος καὶ θεῖος ὡς ἀληθῶς, ἥ τε φράσις ταῖς τεχνικαῖς μεθόδοις ἔν τε σχήμασι καὶ κατασκευαῖς καὶ ἀνασκευαῖς καὶ ταῖς ἄλλαις τῆς εὐφραδείας ὁδοῖς πεποίκιλται λίαν, ὡς οὐδὲν σχεδὸν τῶν ἀρχαίων. τὸ δὲ μὴ πάνυ ἀρχαῖον τῆς λέξεως οὐδὲν αὐτῇ πρὸς τὴν δεινότητα προσίσταται· ταύτην γὰρ οὐκ ἐκ τῆς λέξεως σκοπεῖσθαι δεῖ, ἀλλ' ἐκ τῶν νοημάτων, ἔκ τε τοῦ εὐμεθόδου καὶ ἐντέχνου τῆς τῶν λόγων ὁδοῦ.

19. 20. οἷον πᾶσα — κακόν. — οἷον πᾶς ἄνθρωπος λογικός, ἔστι δὲ καὶ Σωκράτης ἄνθρωπος, καὶ Σωκράτης ἄρα λογικός.

22. 23. οἷον — ὄνος, οὐκοῦν ἄρα πᾶν ζῶον. — οἷον ἐπεὶ πᾶς ἄνθρωπος καὶ ἵππος καὶ κάμηλος καὶ ὄνος τὴν κάτω γένυν κινεῖ, καὶ πᾶν ἄρα ζῶον.

24. Post *πάντως ἐστὶν* Cod. pergit: *οἱ γὰρ γύπες ἀσυνδυάστως τίκτουσιν, ὃ καὶ παρατηρεῖν φησι δεῖν ὁ μέγας Βασίλειος πρὸς τοὺς γελῶντας ἡμῶν τὸ μυστήριον, ὁπόταν ἀκούωσι θεοτόκον παρθένον γεννήσασαν, καὶ πάλιν ἐν παρθενίᾳ διαμείνασαν. ἐπὶ τῆς ἐπαγωγῆς οὖν οὐκ ἔστιν ἀναγκαῖον τὸ συναγόμενον, διότι τὰ μὲν καθόλου τῶν μερικῶν διϊκνεῖται, τὰ δὲ μερικὰ οὐ πάντως τῶν καθόλου. Ἐνθύμημα δὲ κ. τ. λ.*

v. 26. ἐκεῖνος Cod. *ἐκεῖνο τὸ παρὰ Δημοσθένει.*

p. 219. v. 4. post *πολεμεῖ* Cod. addit: *τοῦτο καὶ συλλογιστικὸν ἐνθύμημά ἐστιν, ὥς φασιν οἱ τῆς ῥητορικῆς ἐξηγηταὶ, καὶ περίοδος κατὰ Ἑρμογένην λέγεται. Παράδειγμα δέ ἐστιν κ. τ. λ.*

5. *τῶν* Cod. om.

7. Post *ἑξῆς* Cod. pergit: *Καὶ καθόλου γε ἐρεῖν, ῥητορικῆς μέν εἰσιν ὄργανα τὸ κεφάλαιον, τὸ ἐπιχείρημα, ἡ ἐργασία, τὸ ἐνθύμημα καὶ τὸ παράδειγμα· διαλεκτικῆς δὲ ὁ συλλογισμὸς καὶ ἡ ἐπαγωγή. Παραδείγματα τῶν εἰρημένων. συνεχῶς κατατρέχοντος Φιλίππου Χερρόνησον,[9] γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν. κεφάλαιον, χαλεπὸν διορύξαι Χερρόνησον. ἡ λύσις αὐτοῦ κατὰ ἔνστασιν, ὅτι οὐ χαλεπὸν τὸ διορύξαι, εἶτα ἐπιχείρημα ἀπὸ τοῦ πράγματος· γῆν γὰρ ὀρύξομεν, παιδιὰ*

9 Cod. Χηρόνησον.

δὲ τὸ ὀρύσσειν· εἶτα ἐργασία ἀπὸ παραδείγματος, ὅτι καὶ βασιλεὺς τῶν Περσῶν δεηθεὶς ποτε διώρυξε τὸν Ἄθω. εἶτα ἐνθύμημα εἰς τοῦτο· καί τοι ἐκεῖνος μὲν διώρυξεν ὄρος, ἡμεῖς δὲ γῆν ὀρύξομεν. Παραβολὴ δέ ἐστιν, εἴ τις εἴποι, δεῖν τοὺς γονέας τιμᾶν, εἶτα ἐργασίαν θείη ἐκ τῆς παραβολῆς· καὶ γὰρ θηρίων ἔστιν ἃ τοῦτο ποιεῖ. Ἔτι διαφέρει ῥητορικὴ καὶ διαλεκτική, ὅτι ἡ μὲν κ. τ. λ. T. V. p. 219. v. 7.

v. 9. τέχνη διαφέρει Cod. διαφέρει τέχνη.

11. οὐδέποτε οὔποτε.

12. τουτέστιν ὁ χαμαιδιδ. Cod. om.

13. Cod. διδασκαλίαν περὶ τῶν τοῦ λόγου μερῶν ποιεῖται, μηδὲν μετατρ. τῶν ἐθισμῶν. ἐμπ. δέ ἐστιν ἄλ. τριβὴ ἡ ἐκ.

17. Post παραδόξου Cod. pergit: πεῖρα γάρ ἐστιν ἑνὸς ἢ καὶ πλέον τοῦ ἑνὸς ἐπιστασία καὶ γνῶσις πράγματος, χωρὶς τοῦ καὶ τὴν αἰτίαν καὶ τὸν κανόνα ἀποδοῦναι τοῦ γινωσκομένου· ὥσπερ εἴ τις ἰατρὸς πυρέξαντι πιεῖν ὕδωρ δοὺς ἐξάντη τῆς νόσου πεποίηκεν· εἶτα τοῦθ' ἕτερος ἰδὼν καὶ μὴ διακρίνας τὴν ἕξιν τοῦ πάσχοντος, δοὺς ἑτέρῳ ἀπέκτεινεν. δῆλον γάρ, ὡς οὐκ ᾔδει τῶν παθῶν τὴν αἰτίαν, ὅτι τὸ μὲν ἦν ἐκ φλέγματος καὶ χολῆς μελαίνης, (καὶ) διὰ τοῦτο ἀπέκτεινε, τὸ δὲ ἐξ ἄκρας ξηρότητος καὶ θερμότητος καὶ διὰ τοῦτο ἔσωσεν, κατὰ τὸν κανόνα τὸν λέγοντα, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα. ὡς ἐπὶ τὸ πλεῖστον οὖν οἱ ἔμπειροι τῆς ἀληθείας ἀποτυγχάνουσι, καὶ μάλιστα ἐν τοῖς καιριοις· καθάπερ οἱ ἀστρολόγοι, ὅτι αὐτοὶ ἐνιαυτοῖς τὰς ἐπὶ τῶν ἄστρων θέσεις ὑπέστησαν· ἡ δὲ τέχνη ἐν μὲν τοῖς λόγοις καὶ κανόσιν κ. τ. λ. T. V. p. 219. v. 24.

v. 25. καὶ Cod. om.

26. ὅθεν καὶ Cod. καὶ om.

p. 220. v. 7. post καταφρονήματι Cod. pergit: καὶ Δημο-

σθένης ἐν ἑνὶ μὲν τῶν Φιλιππικῶν κατασκευάζει τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον, ἐν ἑτέρῳ δὲ τὸ κτήσασθαι τοῦ φυλάξαι· ὅπερ καὶ Ἀριστείδης ἐν τῷ τέλει τοῦ ὑπὲρ ῥητορικῆς λόγου ἐπισημαίνεται. αὐτὸς δὲ Ἀριστείδης τἀναντία μελετῶν αὐτὸς ἑαυτῷ διαδείκνυται νῦν μὲν ἐν τοῖς Λευκτρικοῖς αὐτοῦ λόγοις, νῦν δὲ ἐν τοῖς Σικελικοῖς· οὐκοῦν οὐκ ἐπιστήμη ἡ ῥητορική, ἀλλὰ τέχνη. ἔσται ἄρα ῥητορικὴ μέθοδος λογικὴ εἰσηγουμένη τὸ δέον μετὰ πειθοῦς πρός γε τὸ παρεστὸς χρήσιμον.

Ὅτι πρὸς τέσσαρα ἡμῖν ἡ ῥητ. κ. τ. λ. T. V. p. 220. v. 8.

v. 10. *δεύτερον* Cod. *δεύτερον δὲ*

11. *λόγον* Cod. om.

13. *τρίτον τὸ πρὸς* *τρίτον πρὸς τό.*

16. Post *προσγίνεσθαι* Cod. transit ad p. 221. v. 15.

p. 221. v. 22. *πλείονος* Cod. *πλείονος δέονται.*

24. *διὰ τὸ τὰς αἰτίας ἀποδοῦναι* Cod. om.

26. *πράξεως ε.* Cod. *πράξεις εἰσὶν.* Tum pergit Codex:

Ἐπεὶ οὖν οὕτω ταῦτα, ζητητέον, περὶ ποίου λόγου δύναμιν ὁρᾶται ἡ ῥητορικὴ, καὶ ἀπὸ ποίου λόγου λογικὴ τέχνη αὕτη λέγεται. ἰστέον τοίνυν, ὡς ὁ λόγος ὁμώνυμός ἐστι φωνὴ, καὶ ἔστι διττὸς, ὅ τε δημιουργικὸς καὶ ὁ καθ' ἡμᾶς. ἀλλὰ περὶ μὲν τοῦ δημιουργικοῦ λόγος οὐδεὶς ἡμῖν ἐν τῷ παρόντι. καλῶς γὰρ ὑπό τινος εἴρηται τῶν ἔξω σοφῶν, ὅτι θεὸν νοῆσαι μὲν χαλεπὸν, φράσαι δὲ ἀδύνατον. ὃν ἀποδεχόμενος ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος οὕτω φησὶν, ἵνα καὶ δόξῃ κατειληφέναι τῷ χαλεπὸν εἰπεῖν, καὶ διαφύγῃ τῷ ἀνεκφράστῳ τὸν ἔλεγχον. καὶ πάλιν τί μέν ἐστι τὸ θεῖον οὐκ ἴσμεν, τί δὲ οὐκ ἔστιν, ἐπιστάμεθα· ἐξ ἀποφάσεως γὰρ, οὐκ ἐκ καταφάσεως τὰ τοῦ θείου γινώσκομεν. Ὁ δὲ καθ' ἡμᾶς λόγος διττός ἐστιν, ὅ τε ἐνδιάθετος, καθ' ὃν βουλευόμεθα, καὶ

ὁ προφορικός, καθ' ὃν φθεγγόμεθα. ὁρίζονται δὲ τὸ μὲν ἐνδιάθετον ἔννοιαν ἀνθρωπίνην, καθ' ἣν ἡμῖν περιγίνεται τὸ, τί χρὴ λέγειν καὶ τί χρὴ πράττειν· τὴν μὲν ἔννοιαν ἀντὶ γένους λαμβάνοντες, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν. τινὲς δὲ καὶ οὕτως αὐτὸν ὁρίζονται· ἐνδιάθετός ἐστι λόγος ἕξις ψυχῆς ἀνθρώπου, καθ' ἣν λογικοί ἐσμεν· τὴν μὲν ἕξιν ὡς γένος τιθέντες· ἔχει γὰρ πάντα τὰ ζῶα ἕξιν τινὰ φυσικήν· ἐπειδὴ δέ ἐστι σώματος ἕξις ἢ ἰσχύος ἢ εἴδους ἤ τινος τοιούτου, προσέθηκαν τὸ ψυχῆς· αὖθις δὲ ἀποδιϊστῶντες τὴν τοιαύτην ψυχικὴν ἕξιν τῶν ἀλόγων ζώων· κἀκεῖνα γὰρ ἔχει ψυχικὴν ἕξιν, ὡς θυμικὸς μὲν ὁ λέων, νωθρὸς δὲ ὁ ὄνος· προσέθηκεν καθ' ἣν λογικοί ἐσμεν, τὸ ἴδιον τοῦ ἀνθρώπου διοριζόμενοι. λογικοὶ γὰρ λεγόμεθα, μὴ μόνον καθ' ὃ λόγῳ χρώμεθα, διδόντες τοῦτον ἀλλήλοις καὶ ἀντιλαμβάνοντες ἐν μέρει, καὶ διὰ τούτου τὰς βουλὰς τῶν καρδιῶν, ὅ φησιν ὁ μέγας Βασίλειος, ἀποκαλύπτοντες· ἀλλὰ καὶ καθ' ὃ βουλευόμεθα περὶ τῶν πρακτέων ἢ μή, καὶ τὸ μεῖζον ἁπάντων καὶ τιμιώτερον καὶ πρότερον τῇ φύσει καὶ προγινωσκόμενον, καθ' ὃ θεὸν ὁμολογοῦμεν εἶναι τοῦδε τοῦ παντὸς ποιητήν τε καὶ συνοχέα καὶ προνοητὴν καὶ δεσπότην, καὶ τούτῳ εὐγνωμόνως ἡμᾶς αὐτοὺς ὑποτάττομεν. Τὸν δὲ προφορικὸν ὁρίζονται οὕτως· προφορικός ἐστι λόγος δήλωσις ἐννοίας ἀνθρώπου διὰ φωνῆς ἐνάρθρου· τὴν μὲν δήλωσιν γένος ἡγούμενοι, ἐπειδὴ δὲ καὶ πραγμάτων ἐστὶ δήλωσις, ὡς καπνὸς τοῦ πυρός, προστιθέντες τὸ ἐννοίας ἀνθρώπου· καὶ ἐπεὶ δυνατόν ἐστι πάλιν αὐτοῦ ἔννοιαν καὶ δι' ὀρχήσεως δηλωθῆναι τουτέστιν ὅτι χαίρει καὶ ἀγαλλιᾷ, προσέθηκαν τὸ διὰ φωνῆς· ἀλλ' ἐπεὶ καὶ στενάζων τις καὶ καγχάζων δηλοῖ τὴν ἑαυτοῦ ἔννοιαν διὰ φωνῆς, ἀλλ' ἀνάρθρου καὶ ἀσημάντου, προσέθηκαν τὸ ἐνάρθρου. Ἔστι δὲ καὶ πρῶτος τῇ φύσει ὁ ἐνδιάθετος τοῦ προφορικοῦ, ἐπεὶ καὶ

συναναιρεῖ μὲν αὐτὸν, οὐ συναναιρεῖται δέ, ἀλλὰ καὶ πάντες ἄνθρωποι λογικοὶ λεγόμεθα κατὰ τὸν ἐνδιάθετον· εἴγε καὶ καθεύδοντες καὶ σιωπῶντες λογικοὶ λεγόμεθα, καὶ ὁ Πυθαγόρας δὲ λογικὸς ἐλέγετο, τοσοῦτον χρόνον σιωπὴν ἀσκήσας.

Τοσούτων τοίνυν τῶν σημαινομένων ὄντων τοῦ λόγου, φασὶν, ὅτι ἡ ῥητορικὴ ἑκατέρωθεν λέγεται τέχνη, ἀπό τε τοῦ προφορικοῦ καὶ τοῦ ἐνδιαθέτου· ἀπὸ μὲν τοῦ ἐνδιαθέτου, καθ' ὃ κοσμεῖ αὐτὸν κατὰ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων καὶ τῶν νοημάτων· ἀπὸ δὲ τοῦ προφορικοῦ, καθ' ὃ καὶ αὐτὸν κοσμεῖ χαριζομένη τὸ εὐφραδῶς καὶ εὐρύθμως λέγειν, εἴπερ καὶ αὐτὸς τὴν τῶν λέξεων συνθήκην καὶ εὐρυθμίαν ἐκύρωσεν. κοσμεῖ δὲ καὶ ἡ γραμματικὴ, τὸ ἄπταιστον αὐτῷ παρέχουσα, δι' ἧς τοὺς βαρβαρισμοὺς καὶ σολοικισμοὺς ἐκφεύγομεν.

Ἐπεὶ [10] δὲ πειθοῦς δημιουργὸν τὴν ῥητορικὴν εἶναι λέγομεν, ζητητέον τί ἐστι τὸ ἀληθὲς, καὶ τί τὸ πιθανὸν, καὶ τίνι διαφέρουσιν ἀλλήλων. Ἔστι τοίνυν ἀληθὲς μὲν τὸ ἀφ' ἑαυτοῦ κεκτημένον τὴν τοῦ ὅ ἐστι μαρτυρίαν, ἀλλ' οὐχὶ δεόμενόν τινος πρὸς παράστασιν τῆς ἑαυτοῦ ἰδιότητος· ἢ ἵνα σαφέστερον εἴπω, τὸ δι' ἑαυτὸ ὂν ὅπερ ἐστὶ λεγόμενον ἀεὶ, ἀλλὰ μὴ δι' ἕτερον· ὡς τὸ τὸν ἥλιον εἶναι λαμπρὸν, τὸ πῦρ θερμὸν, τὴν ἡμέραν φαεινὴν, τὴν δὲ νύκτα σκοτεινήν· ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια, οἴκοθεν ἔχοντα τὴν τοῦ ὅ εἰσι μαρτυρίαν, οὐδενὸς δέονται τῶν ἔξωθεν πρὸς παράστασιν τῆς ἑαυτῶν ἰδιότητος, καὶ ἁπλῶς εἰπεῖν, ἐφ' ὧν μὴ ἐγχωρεῖ λόγον εἰπεῖν ἐναντίον· ἢ ὑπεναντίον ἢ ὁπωσοῦν ἀντικείμενον· τὸ γὰρ τὸν θεὸν ἀγαθὸν εἶναι καὶ δημιουργὸν καὶ προνοητὴν καὶ κηδεμόνα τοῦδε τοῦ παντὸς, οὐχ ἁπλῶς

10 Hoc loco in Codice, in media licet pagina, semel dilatatum est marginis spatium et litera initialis abiecta, quasi novum fieret initium.

ἐστιν ἀληθὲς, ἀλλ' ὑπὲρ πᾶσαν ἀλήθειαν, καὶ πολλῷ μᾶλλον πιστεύεσθαι δικαιότερον, ἢ εἴ τις ἐν καθαρᾷ μεσημβρίᾳ πρὸς τὸν ἥλιον ἀποβλέπων, ὁμολογεῖ τοῦτον εἶναι φανότατον· ἀλλ' ἐπεὶ τὸ ἀληθὲς ἡμῖν ἐνταῦθα ὑπόκειται, ᾧ μηδαμῶς ἔτυχε τὸ ψεῦδος ἐπηρεάσαν, ἐνταῦθα δὲ πολλοὶ τῶν ἀσεβῶν τε καὶ αἱρετικῶν τὴν αὐτοῦ δόξαν διέβαλον, καθάπερ ὁ Μαρκίων καὶ ὁ Μάνης, καὶ πρὸ τούτων Ἕλληνες, ὁ μὲν οὐκ ἀγαθὸν εἶναι εἰπὼν τὸν τὸ πᾶν τοῦτο συστησάμενον, τῶν δὲ οἱ μὲν μηδὲ εἶναι τὸ παράπαν θεὸν δογματίσαντες, οἱ δὲ τὴν τοῦ παντὸς δημιουργίαν ἀναθέντες τοῖς δαίμοσι· διὰ τοῦτο καὶ ἡμεῖς ἔρρειν ἐκείνους ἀφέντες, καθ' ὑπεροχὴν ἀσύγκριτον καὶ ἀπαράμιλλον ἐπὶ θεοῦ τὴν τοῦ ὅ ἐστιν ἀλήθειαν εἶναι φαμὲν κατὰ τὸ κρύφιον τῆς αὐτοῦ θείας οὐσίας καὶ πάσῃ φύσει οὐρανίᾳ τε καὶ ἐπιγείῳ παντάπασιν ἄγνωστον, καθάπερ αὐτὸν ὑπερούσιον εἶναι πιστεύομεν, ὑπέρθεον, ὑπεράγαθον, καὶ ἁπλῶς ἃ ἐπὶ θεοῦ λέγεται καὶ σημαίνουσιν αὐτὸν εἶναι ὑπὲρ πᾶν ὄνομα οὐσίας ἢ ἐνεργείας ἢ τοιούτου τινὸς δηλωτικοῦ. [11] Ἔστι μὲν οὖν ἡ ἀλήθεια στάσις καὶ ἑδραίωσις καὶ οἷον ἀκινησία· ὅθεν τὰ παρὰ ταύτην ὡς ἐπὶ πολὺ καὶ ἐπ' ἔλαττον καὶ μᾶλλον καὶ ἧττον ἐγκλινόμενα τῆς κατὰ τὸν ὅρον ἀκριβείας τοῦ ἀληθοῦς ἐκπίπτουσιν. αὐτίκα γὰρ τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ γινόμενον καὶ μὴ πανταχοῦ ἀληθεῦον, μετέχον [12] μέντοι μᾶλλον ἀληθείας ἢ ψεύδους, πιθανόν ἐστι· τὸ δὲ ἐπ' ἔλαττον μετέχον τῆς ἀληθείας ἀπίθανον· τὸ δὲ ἐπίσης οὐ πιθανὸν, ἀλλ' ἀμφιβαλλόμενον. τὰ δὲ παραδείγματα σαφέστερον ποιήσουσι τὸ λεγόμενον· τοιοῦτός ἐστιν ἕκαστος οἵσπερ ἥδεται ξυνών· [13] τοῦτο πιθανόν ἐστιν ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον, καὶ κατὰ τοῦτο πλέον ἀληθείας ἢ ψεύδους μετέχει· ὁρῶμεν γὰρ,

11 Bloch. legendum putat δηλωτικόν. 12 Cod. μετέχει, scripsi μετέχον. 13 Eurip. Phoenic. Fr. IX.

ὅτι ὡς ἐπὶ τὸ πολὺ τοιοῦτοί εἰσιν οἱ ἄνθρωποι, οἷοι τυγχάνουσιν ὄντες ἐκεῖνοι, ὧν ταῖς ὁμιλίαις καὶ ταῖς διατριβαῖς χαίρουσιν. ἀλλ' ἔστιν ὅπου καὶ διαψεύδεται· βασιλεῖς γὰρ πολλάκις ἥδονται τεχνίταις τισὶν, οὐ τοιοῦτοι τὸν τρόπον ὄντες, οὔτε τἆλλα τῶν ἐπιτηδευμάτων ἔχοντες. καὶ Ἡρώδης ὁ τετράρχης, ὡς τὸ ἱερόν φησιν εὐαγγέλιον, ἀκούων Ἰωάννου τοῦ βαπτιστοῦ πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουεν· ἀλλ' ἦν φονεὺς καὶ παράνομος. πάλιν πολλοὶ παρὰ Χριστιανοῖς ὄντες βάρβαροι, οἵπερ ἥδονται Χριστιανοὶ, μὴ τοιοῦτοι τυγχάνοντες. πάλιν ἐνδέχεταί τινα ἀσθενῆ συνόντα τισὶ ῥωμαλέοις συγγενέσιν ἥδεσθαι μὲν αὐτοῖς τοιούτοις οὖσιν, οὐ μὴν καὶ αὐτὸν ῥωμαλέον εἶναι. ἢ πάλιν ἐνδέχεταί τινα πατέρα γηραιὸν, μηδαμῶς περὶ λόγους ἐσπουδακότα, ἥδεσθαι μὲν τοῖς υἱοῖς φιλοσοφοῦσιν, οὐ μὴν καὶ αὐτὸν φιλόσοφον εἶναι. καὶ ἄλλως δὲ εἰκός τινα κατά τι συνηδόμενόν τινι κατ' ἄλλο διαφέρεσθαι πάλιν καὶ ἄχθεσθαι· καὶ οὐ τοῖς πράγμασι μόνον διοριστέον αὐτὸ, ἀλλὰ καὶ τοῖς καιροῖς· νῦν μὲν γὰρ ἥδεταί τις, νῦν δὲ πάλιν ἄχθεται· καὶ οὐ τοιοῦτός ἐστιν ἀεὶ, ἀλλὰ καὶ δι' ἠντιναοῦν πολλάκις αἰτίαν ἥδεται. τὸ γοῦν ἀληθεῦον ἐν καιρῷ καὶ δι' ὡρισμένας τινὰς αἰτίας πιθανὸν οὐκ ἀληθές. τὸ δὲ ἀεὶ καὶ ἐπὶ πάντων καιρῶν καὶ πραγμάτων καὶ διὰ πᾶσαν αἰτίαν οὕτω συμβαῖνον ἀληθές. ἔτι καὶ τοῦτο ἀληθές ἐστιν, ὡς ἐπὶ τὸ πολὺ μὲν, οὐκ ἀεὶ δὲ γινόμενον· οἱ τῶν μειζόνων ὀρεγόμενοι καὶ τῶν μικρῶν ἀποτυγχάνουσιν. εἰ γὰρ ἀναγκαῖον ἦν ταῦτα οὕτως ἔχειν, οὐκ ἂν Ἀλέξανδρος ὁ Μακεδὼν καὶ πρὸ ἐκείνου Κῦρος ὁ Πέρσης, καὶ ἔτι μετ' αὐτοὺς Αὔγουστος ὁ Ῥωμαίων ἀπὸ μικρῶν ἀρξάμενοι καὶ φιλοπονήσαντες τῆς ὅλης οἰκουμένης ἐκράτησαν· οὕτω μὲν οὖν διαφέρει τὸ πιθανὸν τοῦ ἀληθοῦς, καθ' ὃ τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ γινόμενον, ἔστι δ' ὅτε καὶ μὴ γινόμενόν ἐστιν ἐκ τοῦ παραδόξου·

τὸ δὲ ἀληθὲς ἀεὶ καὶ ἐπὶ πάντων πραγμάτων καὶ διὰ πᾶσαν αἰτίαν οὕτω συμβαῖνον. Ἀλλὰ κἀκ τοῦ ὁρισμοῦ τοῦ ἐναντίου, τοῦ ἀπιθάνου, ἔκδηλον ἂν αὐτὸ γένοιτο. ἀπίθανον γὰρ ἐκεῖνό φασιν, τὸ μὴ ὡς ἐπὶ τὸ πολὺ γινόμενον, ἀλλὰ σπανίως καὶ ἐκ τοῦ παραδόξου· οἷον ἐπείπερ ὑπόληψίς ἐστι περὶ τῶν μητέρων, ὅτι φιλόπαιδές εἰσι, καὶ παντὸς μᾶλλον τὰ οἰκεῖα στέργουσι τέκνα, κατὰ τὸν ἐρωτηθέντα σοφὸν περὶ τούτου τὸ διὰ τί, καὶ ἀποκρινάμενον, ὅτι αἱ μὲν μητέρες πιστεύουσιν ἀναμφιβόλως εἶναι τὰ γεννώμενα ἐξ αὐτῶν, οἱ δέ γε ἄνδρες οἴονται, ὁ λέγων περὶ τῆς Μηδείας, ὅτι τὰ οἰκεῖα τέκνα ἀπέσφαξεν, ἀπίθανα λέγειν δοκεῖ. πάλιν ὑπόληψίς ἐστι περὶ τῶν ἐν συμφοραῖς ὄντων, ὅτι ἀλγοῦσι καὶ ὀδύρονται, ἀλλ᾽ οὐκ ᾄδουσι, οὐδὲ τέρπονται ταῖς ᾠδαῖς· ὁ γοῦν λέγων τὸν Ἀρίονα ἐν κακοῖς ὄντα ᾄσαι ἀπίθανα λέγειν δοκεῖ. καὶ πάλιν εἴ τις λέγοι, τοὺς κρείττονας ἐρᾶν τοῦ χείρονος, ἀπίθανα φησίν. πλὴν ἔστιν ὅτε καὶ ταῦτα γίνεται ἐκ τοῦ παραδόξου. Τὰ οὖν πιθανὰ καὶ προτάσεις ἐνδόξους οἱ διαλεκτικοὶ νομίζουσιν· ἀληθῆ μὲν γάρ εἰσιν, ὡς εἴρηται, καὶ πρῶτα, τὰ μὴ δι᾽ ἑτέρων, ἀλλὰ δι᾽ αὐτῶν ἔχοντα τὴν πίστιν, ὥσπερ καὶ Ἀριστοτέλει δοκεῖ· ἔνδοξα δὲ τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς. καὶ τούτοις ἢ τοῖς πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς μάλιστα γνωρίμοις καὶ ἐνδόξοις· τὸ δὲ π ᾶ σ ι ν ἐνταῦθα κατὰ δύο σημαινόμενα λέγεσθαι νομιστέον· ἢ γὰρ τὰ πᾶσιν ἀνθρώποις ἁπλῶς τε καὶ ἀπολύτως δοκοῦντα φησὶν ὁ φιλόσοφος ἔνδοξα, καθάπερ ἅπασι δοκεῖ, ὅτι ἀγαθὸς ὁ θεὸς, ἡ ὑγεία, ἡ ζωὴ καὶ ὁ πλοῦτος αἱρετὰ καὶ ὠφέλιμα ἢ τὸ πᾶσι τοῖς πρὸς οὓς ἐστιν ἡμῖν ὁ λόγος δηλονότι, ἵν᾽ ᾖ μετὰ προσδιορισμοῦ τὸ λεγόμενον τοιοῦτον, ἔνδοξα δὲ τὰ δοκοῦντα πᾶσιν, ἡμῖν τε δηλονότι τοῖς ὀρθοδόξοις κἀκείνοις πρὸς οὓς διαλεγόμεθα, οἷον φέρε εἰπεῖν Ἰουδαίοις ἢ αἱρετικοῖς ἢ Λατίνοις. τούτοις γὰρ ἐν μέρει

διαλεγόμενοι ἐκ τῶν ἅπασιν ἡμῖν ὁμοτίμως δοκούντων, δηλαδὴ τῶν θείων γραφῶν, ποιούμεθα τὴν διάλεξιν, μεταφέροντες κατ' αὐτῶν, ὅ τι ἂν μὴ καλῶς φαίνωνται λέγειν ἡμῖν. τοῖς δὲ τοῦ Μωάμεδ θιασώταις διαλεγόμενοι, ἐνδόξους μὲν καὶ πρὸς ἐκείνους ποιησόμεθα τοὺς συλλογισμούς, πλὴν οὐκ ἐκ τῶν ἡμῖν τε καὶ ἐκείνοις δοκούντων· οὐδὲ γὰρ ἔχουσί τι κοινὸν οἱ μικρώτατοι πρὸς τὰς θείας γραφὰς, ἀλλ' ἐκ τῶν ἅπασι τούτοις δοκούντων ποιησόμεθα τὴν διάλεξιν, προτιθέντες εἰς τὸ μέσον τὰ δόγματα τοῦ Μωάμεδ, καὶ ταῦτα ἀνασκευάζοντες ἔκ τε τῶν φυσικῶν ἐννοιῶν καὶ ἐκ τῶν αὐτοῖς πᾶσι δοκούντων, ὡς ψευδῆ καὶ ἀπίθανα καὶ γραϊδίων κωθωνιζομένων ἢ παιδαρίων κορυζώντων ληρήματα, μᾶλλον δὲ εἰπεῖν οἰκειότερον κατὰ τὴν θείαν φωνὴν, δαιμόνων εὑρέματα σκοτεινὰ καὶ διανοίας κακοδαίμονος ἀναπλάσματα· ταῦτα μὲν οὖν ἡ φωνὴ τοῦ πᾶσιν ἔχει τὰ σημαινόμενα· πάλιν οὖν ἐπαναλαβόντες λέγωμεν· ἔνδοξά εἰσι τὰ δοκοῦντα πᾶσι καὶ σοφοῖς καὶ χυδαίοις, οἷον ὅτι ὁ θεὸς ἀγαθὸς, καὶ τὸ ἀγαθὸν ὠφέλιμον, ἢ ὅτι ἡ ὑγεία καὶ ὁ πλοῦτος καὶ ἡ ζωὴ αἱρετά· ἢ τοῖς πλείστοις δηλονότι τῶν σοφῶν καὶ χυδαίων, οἷον ὅτι ἡ ψυχὴ τιμιωτέρα τοῦ σώματος, καὶ ἡ φρόνησις πλούτου τιμιωτέρα· ἢ τὰ δοκοῦντα τοῖς σοφοῖς, καὶ τούτων ἢ τὰ πᾶσι δοκοῦντα, καθάπερ ἅπαντες ἐδόξασαν οἱ σοφοὶ, τὰ ψυχικὰ ἀγαθὰ τῶν σωματικῶν αἱρετώτερα εἶναι, ἢ τὰ δοκοῦντα τοῖς πλείστοις αὐτῶν, καθάπερ ἐδόξασαν οἱ πλεῖστοι, ὡς ἡ ἀρετὴ δι' ἑαυτὴν ἐστιν αἱρετόν· οἱ γὰρ Ἐπικούρειοι διὰ τὴν ἡδονὴν αὐτὴν ἔφασαν αἱρεῖσθαι, ὥσπερ αὖ ἕτεροι διὰ τὴν ἐξ αὐτῆς ἑπακολουθοῦσαν τιμὴν ἢ τὰ χρήματα· ἢ δὴ ἔνδοξα λεκτέον τὰ δοκοῦντα τοῖς μάλιστα γνωρίμοις, ἐπὶ σοφίᾳ δηλονότι, καθάπερ τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ὡς Πλάτωνι καὶ ἄλλοις δοκεῖ, καὶ Ἡράκλειτος δέ φησιν, ὡς πάντα κινοῦνται, καὶ Ἀριστοτέλης δέ

φησι, τῶν ὄντων ἁπάντων δέκα εἶναι τὰ γένη, καὶ τῶν φυσικῶν ἁπάντων εἶναι ἀρχὰς τὴν ὕλην, τὸ εἶδος καὶ τὴν στέρησιν. περὶ γὰρ τῶν φαινομένων ἐνδόξων, μὴ ὄντων δὲ, λόγος ἡμῖν οὐδεὶς ἐν τῷ παρόντι· παραχρῆμα γὰρ καὶ ὡς ἐπὶ τὸ πολὺ τοῖς καὶ μικρὰ συνορᾷν δυναμένοις κατάδηλος αὐτοῖς ἡ τοῦ ψεύδους ἐστὶ φύσις. οὐ τοίνυν πᾶσαν πρότασιν, οὐδὲ πᾶν πρόβλημα διαλεκτικὸν θετέον· οὐδεὶς γὰρ ἂν προτείνειε νοῦν ἔχων τὸ μηδενὶ δοκοῦν· ὅπερ ἐστὶν, εἰ χρήσιμόν ἐστι τὸ ὑγιαίνειν ἢ μή· ἀλλ' οὐδὲ τὸ πᾶσι φανερὸν ἢ τοῖς πλείστοις· τίς γὰρ οὕτως ἠλίθιος, ὡς ζητεῖν, εἰ τὸ μέλι γλυκὺ τοῖς κατὰ φύσιν διακειμένοις ἐστί. τὰ μὲν γὰρ πᾶσι δοκοῦντα λόγων ἀπορίαν ἡμῖν οὐ παρέχεται· τὰ δὲ μηδενὶ δοκοῦντα τίς ἂν ὁμολογήσειεν; ἔστιν οὖν πρότασις διαλεκτικὴ ἐρώτησις ἔνδοξος ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς· καὶ τούτων ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς μάλιστα γνωρίμοις μὴ παράδοξος· θείη γὰρ ἄν τις τὸ δοκοῦν τοῖς σοφοῖς, ἐὰν μὴ ἐναντίον ταῖς τῶν πολλῶν δόξαις ᾖ, καθάπερ ὁ τοῦ Ζήνωνος λόγος, ὅτι οὐκ ἔστιν ἐν τοῖς οὖσι κίνησις· ἢ ὡς Ἀντισθένης ἔλεγεν, ὅτι οὐκ ἔστιν ἀντιλέγειν· ἢ κατὰ τὸν Ἡρακλείτου λόγον, τὰ ἐναντία ταὐτά· τοιοῦτον καὶ τὸ Παρμενίδου δόγμα, ὅτι τὸ ὂν ἓν καὶ ἀκίνητον. ταῦτα γὰρ παράδοξα ὄντα καὶ ταῖς τῶν πολλῶν ἐναντιούμενα δόξαις, οὐδεὶς ἂν ὁμολογήσειεν. εἰσὶ δὲ προτάσεις διαλεκτικαὶ καὶ τὰ τοῖς ἐνδόξοις ὅμοια· εἰ γὰρ ἔνδοξον τὸ τὴν αὐτὴν εἶναι τῶν ἐναντίων ἐπιστήμην· ὑγιεινῶν γὰρ καὶ νοσερῶν ἐστιν ἡ αὐτὴ ἐπιστήμη, ἰατρικὴ δηλαδὴ καὶ ἀριθμητικὴ ἀρτίου καὶ περιττοῦ, καὶ μουσικὴ ἐμμελῶν καὶ ἐκμελῶν, καὶ γυμναστικὴ εὐεκτικῶν τε καὶ μή· καὶ τὸ αἴσθησιν τὴν αὐτὴν εἶναι τῶν ἐναντίων ἔνδοξον ἂν φαίη· τὸ γὰρ ὅμοιον αὐταῖς ἐστι κατὰ ἀναλογίαν, εἴγε καὶ ἡ αἴσθησις καὶ ἡ ἐπιστήμη ὑπὸ τὴν ἕξιν τυγχάνουσιν, ἥτις ἐστὶν εἶδος ποιότητος. καὶ μὴν καὶ ἡ

αἴσθησις, ὡς προείρηται, τῶν ἐναντίων ἐστὶ κριτική· ἥ τε γὰρ ἁφὴ θερμοῦ καὶ ψυχροῦ καὶ ἡ ὅρασις ὁμοίως. τοῦ δ' αὐτοῦ λόγου θετέον καὶ τὴν ἐπιστήμην μὴ πλανᾶσθαι περὶ τὰ ἐπιστητά, καὶ τὴν αἴσθησιν περὶ τὰ αἰσθητά· ἑκάτερα γὰρ τούτων ὑπὸ τὴν ἕξιν τελεῖ. καὶ εἰ μίαν ἀριθμῷ γραμματικὴν εἶναι, καὶ αὐλητικὴν μίαν· εἰ δὲ πλείους γραμματικάς, καὶ αὐλητικὰς πλείους· πάντα γὰρ ὅμοια καὶ συγγενῆ ταῦτα ἔοικεν εἶναι· ὁμοίως δὲ καὶ τὰ τοῖς ἐνδόξοις ἐναντία κατὰ ἀντίφασιν προτεινόμενα ἔνδοξα φανεῖται· εἰ γὰρ ἔνδοξον, ὅτι δεῖ τοὺς φίλους εὖ ποιεῖν, ἔστι δὲ τούτῳ ἐναντίον μέν, ὅτι δεῖ κακῶς ποιεῖν αὐτούς, κατὰ ἀντίφασιν δὲ, ὅτι μὴ δεῖ κακῶς ποιεῖν τοὺς φίλους, καὶ τοῦτ' ἂν εἴη ὁμοίως ἔνδοξον. ἔνδοξον δὲ καὶ ἐν παραβολῇ φανεῖται καὶ τὸ ἐναντίου περὶ τοῦ ἐναντίου· οἷον εἰ δεῖ τοὺς φίλους εὖ ποιεῖν καὶ τοὺς ἐχθροὺς κακῶς. δῆλον δὲ, ὅτι καὶ ὅσαι δόξαι κατὰ τέχνας εἰσὶ, διαλεκτικαὶ προτάσεις εἰσί. συγχωρήσειε γὰρ ἄν τις τὰ δοκοῦντα τοῖς ὑπὲρ τούτων ἐπεσκεμμένοις, οἷον περὶ μὲν τῶν ἐν ἰατρικῇ ὡς ὁ ἰατρὸς, περὶ δὲ τῶν ἐν γεωμετρίᾳ ὡς ὁ γεωμέτρης, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. αὐτίκα γάρ τις περὶ μὲν τῶν ἐν ἰατρικῇ συγχωρήσειε τῇ Ἱπποκράτους δόξῃ, λέγοντος, αἱ ὑγραὶ δίαιται σύμφοροι τοῖς πυρέττουσιν· ὅπερ ἤρτηται τοῦ κοινοῦ ἀξιώματος ἐκείνου, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα· εἰ γὰρ ὁ πυρετὸς ξηραίνει, δῆλον ὅτι τὸ ἐναντίον ἡ ὑγρότης ὑγραίνει· καὶ εἰ τὸ ἄπεπτον νόσον γεννᾷ καὶ ἀσθενῆ τὴν φύσιν ποιεῖ, τὸ ἤδη πεπεμμένον δηλοῖ ῥωσθῆναι τὴν φύσιν· καὶ διὰ τοῦτο δεῖ τότε τὰ πρὸς θεραπείαν προσάγειν. Περὶ δὲ τῶν ἐν γεωμετρίᾳ θείη τις ἄν, ὡς ὁ γεωμέτρης φησὶν, ὅτι τὰ ἀπὸ μειζόνων γωνιῶν ὁρώμενα καὶ μείζονα ὁρᾶται, τὰ δὲ ἀπὸ ἐλαττόνων ἐλάττονα. πρόβλημα δέ ἐστι διαλεκτικὸν θεώρημα τὸ συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν, ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ, ἢ ὡς συν-

ἐργὸν πρός τι ἕτερον τῶν τοιούτων. καὶ πρὸς αἵρεσιν μὲν καὶ φυγὴν ἐστι συντεῖνον τοῦτο, πότερον ἡ ἡδονὴ αἱρετὸν ἢ οὔ, καὶ πότερον ὁ πλοῦτος ἀγαθόν ἐστιν ἢ κακόν· ταῦτα γὰρ τῶν ἠθικῶν ὑπάρχοντα, καὶ ὅσα τούτοις ὅμοια, οὐ δι' ἄλλο τι ζητεῖται παρ' ἡμῶν, ἢ ἵνα τὸ μὲν ἀγαθὸν ἑλώμεθα, τὸ δὲ κακὸν ἐκφύγωμεν. πρὸς ἀλήθειαν δὲ καὶ γνῶσιν συντείνοντα εἰσὶ θεωρήματα τὰ φυσικά· ἐν γὰρ τούτοις οὐ τοῦ ἑλέσθαι καὶ φυγεῖν ἕνεκεν, ἀλλὰ τοῦ γνῶναι τὴν ἀλήθειαν μόνον ἐστὶν ἡ ζήτησις· οἷον πότερος ὁ κόσμος ἀΐδιος ἢ οὔ. πότερον ἡ ψυχὴ ἀθάνατος, ἢ οὔ. καὶ ταῦτα μὲν δι' ἑαυτὰ ζητεῖται παρ' ἡμῶν, ἵνα γινώσκηται· τὰ δὲ λογικὰ προβλήματα οὐ δι' ἑαυτὰ, ἀλλ' ὡς πρὸς ἕτερόν τι συντείνοντα. τὸ γὰρ ζητεῖν, πῶς αἱ προτάσεις ἀντιστρέφονται, καὶ ποσαχῶς ἀντίκειται τὰ ἀντικείμενα, καὶ εἰ τρία σχήματά εἰσι, καὶ εἰ ἐν ἑνὶ τῶν τριῶν σχημάτων πᾶς συλλογισμὸς γίνεται· ταῦτα πάντα τὰ λογικά τε καὶ ὀργανικὰ καλούμενα, ἃ διὰ τὴν ἀποδεικτικὴν καὶ διαλεκτικὴν καὶ σοφιστικὴν μέθοδον παρ' ἡμῶν ἐξετάζεται, κατὰ τὸ αὐτὸ σημαινόμενον λέγεται, καὶ ἡ λογικὴ πραγματεία Ἀριστοτέλους, ὡς διδάσκουσα περὶ ἀποδείξεως καὶ ἄλλων τινῶν συμβαλλομένων πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν καὶ πρὸς πᾶσαν φιλοσοφίαν. ἔστιν οὖν, ὡς εἴρηται, τὸ διαλεκτικὸν πρόβλημα τοιοῦτον. ἔτι πρὸς τοῖς εἰρημένοις διαλεκτικόν ἐστι πρόβλημα, περὶ οὗ ἢ οὐδετέρως οἱ ἄνθρωποι δοξάζουσι, καθάπερ περὶ τῶν ἀστέρων, εἴτε περιττοί εἰσιν εἴτε ἄρτιοι· ἢ καὶ ἐναντίως οἱ πολλοὶ τοῖς σοφοῖς, καὶ τὸ ἀνάπαλιν ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς· τὸ μὲν γὰρ εἶναι τὴν εὐτυχίαν τῆς εὐβουλίας αἱρετώτερον οἱ πολλοὶ δοξάζουσι, τὸ δὲ ἐναντίον οἱ σοφοί. ἔτι οἱ μὲν πολλοὶ τὴν ὑγείαν τῆς ἀρετῆς αἱρετώτερον ἐδόξασαν εἶναι, οἱ δὲ σοφοὶ τὴν ἀρετήν. τὸ γοῦν πότερον ἡ ὑγεία τῆς ἀρετῆς αἱρετώτερον, διαλεκτικόν ἐστι πρόβλημα. ἐναντίως δὲ δοξά-

ζουσιν οἵ τε σοφοὶ ἑαυτοῖς καὶ οἱ πολλοὶ κατὰ ταῦτα. οἱ μὲν γὰρ τῶν σοφῶν λέγουσιν εἶναι εἱμαρμένην καὶ ἐξ ἀνάγκης πάντα γίνεσθαι, οἱ δὲ οὔ· καὶ οἱ μὲν λέγουσι τὴν ψυχὴν εἶναι θνητήν, οἱ δὲ ἀθάνατον. ὡσαύτως δὲ καὶ τῶν πολλῶν οἱ μὲν τὴν ὑγείαν αἱρετωτέραν τοῦ πλούτου ἐδόξασαν, οἱ δὲ τὸ ἀνάπαλιν· καὶ οἱ μὲν ἰσχὺν τοῦ κάλλους, οἱ δὲ τοὐναντίον. ἔστι δὲ προβλήματα διαλεκτικὰ καὶ ὧν εἰσιν ἐναντίοι συλλογισμοί· ἀπορίαν γὰρ ἔχει, πότερον οὕτως ἔχει ἢ οὐχ οὕτως, διὰ τὸ περὶ ἀμφοτέρων εἶναι λόγους πιθανούς. τὴν γὰρ ἡδονὴν ἐστι καὶ ὡς ἀγαθὸν συλλογίσασθαι, καὶ ὡς κακὸν, καὶ ἀμφότερα διὰ λόγων πιθανῶν· ὅθεν ἀπορεῖν ἐστι, ποτέρῳ ἄν τις προστιθείη. καὶ κατασκευάζεται μὲν, ὡς ἀγαθόν ἐστιν, οὕτω. τῆς ἡδονῆς πάντα ἐφίεται· οὗ δὲ πάντα ἐφίεται, ἀγαθόν· ἡ ἡδονὴ ἄρα ἀγαθὸν. πάλιν ἐστὶ δεῖξαι, ὡς οὐκ ἀγαθὸν, οὕτως· τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖ· ἡ ἡδονὴ ἀγαθοὺς οὐ ποιεῖ· ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν· ἀλλὰ καὶ περὶ ὧν λόγον οὐκ ἔχομεν ἀποδοῦναι ὡς ὄντων μεγάλων, χαλεπὸν ἐν τούτοις εὑρεῖν ἡγούμενοι τὸ διὰ τί καθάπερ ἐπὶ τῶν ἀστέρων λέγω, πότερόν εἰσιν ἄρτιοι ἢ περιττοὶ, καὶ τῆς μαγνήτιδος λίθου, πῶς ἕλκει τὸν σίδηρον, καὶ ἔτι πότερον ὁ κόσμος ἀΐδιος ἢ οὔ. καὶ ταῦτα διαλεκτικὰ προβλήματα θετέον. ἐπεὶ καὶ τὰ τοιαῦτα ζητήσειεν ἄν τις· ἐξεταστικὴ γὰρ οὖσα ἡ διαλεκτικὴ, πρὸς τὰς ἁπασῶν τῶν μεθόδων ἀρχὰς ὁδὸν ἔχει· καὶ γὰρ οὖν οὐδὲ τοῦτο παροπτέον ἐν τῷ παρόντι, ὅτι πρὸς τρία ταῦτα χρήσιμος ἡ διαλεκτικὴ, πρὸς γυμνασίαν, πρὸς τὰς ἐντεύξεις, πρὸς τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας· ὅτι μὲν οὖν πρὸς γυμνασίαν χρήσιμος, καταφανὲς ἐξ αὐτῶν· μέθοδον γὰρ ἔχοντες ῥᾷον περὶ τοῦ προτεθέντος εἰπεῖν δυνησόμεθα. πρὸς δὲ τὰς ἐντεύξεις, διότι τὰς τῶν πολλῶν κατηριθμημένοι δόξας οὐκ ἐκ τῶν ἀλλοτρίων, ἀλλ' ἐκ τῶν οἰκείων δογμάτων ὁμιλήσομεν πρὸς αὐτοὺς μετα-

βιβάζοντες ὅ τι ἂν μὴ καλῶς λέγειν ἡμῖν φαίνωνται· πρὸς δὲ τὰς κατὰ φιλοσοφίαν ἐπιστήμας, διότι δυνάμενοι πρὸς ἀμφότερα διαπορεῖσθαι, ῥᾷον ἐν ἑκάστοις κατοψόμεθα τὸ ἀληθές τε καὶ μή. ἔτι δὲ πρὸς τὰ πρῶτα τῶν περὶ ἑκάστην ἐπιστήμην ἀρχῶν· ἐκ μὲν γὰρ τῶν οἰκείων τῶν κατὰ τὴν προτεθεῖσαν ἐπιστήμην ἀρχῶν ἀδύνατον εἰπεῖν τι περὶ αὐτῶν, ἐπειδὴ πρῶται ἀρχαὶ ἁπάντων εἰσὶν, διὰ δὲ τῶν περὶ ἕκαστα ἐνδόξων ἀνάγκη περὶ αὐτῶν διελθεῖν. αὐτίκα γὰρ περὶ τῶν γεωμετρικῶν ἀρχῶν, ἤγουν τοῦ σημείου τῆς γραμμῆς καὶ τῆς ἐπιφανείας οὔτε ὁ γεωμέτρης δύναται ταύτας ἀποδεῖξαι· πῶς γὰρ εἴη ἐκ προτέρων ἀποδεῖξαι τὰ πρῶτα; πασῶν γὰρ ἐπιστημῶν αἱ ἀρχαὶ ἀναπόδεικτοι· οὔτε μὴν ὁ διαλεκτικὸς ἐκ τῶν κατὰ γεωμετρίαν ἀρχῶν δυνηθείη ἂν αὐτὰς ἀποδεῖξαι, ἐπεὶ μήτε γεωμέτρης ἐστὶν ὡρισμένος, καὶ ἅμα τοῦτο ἀδύνατον, διὰ δὲ τῶν περὶ ταῦτα ἐνδόξων ποιήσεται τὸν λόγον. ἐρεῖ γὰρ, ὅτι πᾶν τὸ περατοῦν τοῦ περατουμένου λείπεται μιᾷ διαστάσει· οἷον πέρας ἐστὶ παντὸς σώματος ἡ ἐπιφάνεια. εἰ τοίνυν πᾶν σῶμα τρεῖς ἔχει τὰς διαστάσεις, μῆκος, βάθος τε καὶ πλάτος, τὸ περατοῦν αὐτὸ, δηλονότι ἡ ἐπιφάνεια, διχῇ διαστατὸν ἔσται, μῆκος μόνον ἔχουσα καὶ πλάτος· πάλιν τῆς ἐπιφανείας πέρας ἐστὶν ἡ γραμμή· οὐκοῦν μίαν ἔχει μόνον τὴν κατὰ μῆκος διάστασιν. τῆς δὲ γραμμῆς πέρας ἐστὶν ἡ στιγμή· ὥστε, μηδενὸς ὑπολειπομένου, ἔσται ἡ στιγμὴ ἀδιάστατος, εἴτουν ἀμερής. ὁμοίως δὲ καὶ περὶ τῶν τῆς ἀριθμητικῆς ἀρχῶν ποιούμενος τὸν λόγον ἀποδείξει, ὅτι ἀμερής ἐστιν ἡ μονὰς, οὕτως. ᾧ καταμετρεῖται πᾶς ἀριθμὸς, ἐκεῖνο ἐλάχιστόν ἐστιν ἐν ἀριθμῷ· μονάδι δὲ καταμετρεῖται πᾶς ἀριθμός· ἐλάχιστον ἄρα ἐν ἀριθμῷ ἡ μονὰς, καὶ ἀμερὴς ἄρα· ἢ καὶ οὕτως. ὃ ἐν ἀριθμῷ ὂν μὴ ἔστιν ἀριθμὸς, τοῦτο ἀδιαίρετόν ἐστι· τοιοῦτον δὲ ἡ μονάς· οὐκοῦν ἀδιαίρετον. οὕτω μὲν οὖν ἐκ τῶν περὶ ἕκαστα ἐνδόξων ἡ

διαλεκτικὴ ποιεῖται τὸν λόγον, καὶ περὶ τῶν καθ' ἑκάστην ἐπιστήμην ἀρχῶν. οὐ δεῖ δὲ πᾶν πρόβλημα οὐδὲ πᾶσαν θέσιν ἐπισκοπεῖν, ἀλλ' ἣν ἀπορήσειεν ἄν τις τῶν λόγου δεομένων, καὶ μὴ κολάσεως ἢ αἰσθήσεως· οἱ μὲν γὰρ ἀπορροῦντες, πότερον δεῖ τὸν θεὸν τιμᾶν καὶ τοὺς γονέας ἀγαπᾶν, ἢ οὔ, κολάσεως δέονται· οἱ δὲ, πότερον ἡ χιὼν λευκὴ ἢ οὔ, αἰσθήσεως. οὐδὲ δὴ οὖν σύνεγγυς ἡ ἀπόδειξις, οὐδὲ τῶν [14] λίαν πόρρω. τὰ μὲν γὰρ προφανῆ καὶ γνώριμον ἔχει τὴν ἀπόδειξιν, οἷον διὰ τί ὁ ἄνθρωπός ἐστι ζῶον, καὶ διὰ τοῦτο οὐδεμίαν ἀπορίαν ἔχει τὸ ζητούμενον. τὰ δὲ διὰ πολλῶν ἀποδεικνύμενα λόγων, καὶ διὰ τοῦτο ἀσαφῆ τε ὄντα καὶ δύσγνωστα, πλείονα τὴν ζήτησιν ἔχουσιν, ἢ κατὰ γυμνασίαν τῆς διαλεκτικῆς. ἕξομεν δὲ τελέως τὴν μέθοδον, ὅταν ὁμοίως ἔχωμεν, ὥσπερ ἐπὶ ῥητορικῆς καὶ ἰατρικῆς καὶ τῶν τοιούτων δυνάμεων, οὔτε γὰρ ὁ ῥητορικὸς ἐκ παντὸς τρόπου πείσει, οὔτε ὁ ἰατρικὸς ὑγιάσει· ἀλλ' ἐὰν τῶν ἐνδεχομένων μηδὲν παραλίπῃ, ἱκανῶς αὐτὸν ἔχειν τὴν ἐπιστήμην φήσομεν. ἐπὶ μὲν γὰρ τῶν ποιητικῶν τεχνῶν, οἰκοδομικῆς φημι καὶ χαλκευτικῆς καὶ τεκτονικῆς οὐχ οἷόν τε ἀποτυχεῖν τοῦ σκοποῦ, πλὴν εἰ μὴ κατά τινα τύχην, καὶ τοῦτο σπανίως, διὰ τὸ τὴν ὕλην ὑποκεῖσθαι τῷ θελήματι τοῦ τεχνίτου, καὶ μὴ ἀντιπράττειν ὁπωσοῦν, ἄψυχον οὖσαν καὶ ἀπροαίρετον. ἐπὶ δὲ τῶν στοχαστικῶν δυνάμεων, ῥητορικῆς φημι καὶ διαλεκτικῆς καὶ τῶν ἄλλων, ὅσαι τὰ ἀντικείμενα δύνανται, οὐ πανταχοῦ τὸ κράτος ἑπακολουθεῖ, ἀλλ' ἔστιν ὅτε καὶ γίνεται τοῦ τέλους ἀποτυχία. καὶ τὸ αἴτιον ἡ φύσις τῶν ὑποκειμένων· τό τε γὰρ σῶμα τρεπτὸν καὶ ἀλλοιωτὸν κατὰ φύσιν ὑπάρχον, οὐχ ὑπείκει ταῖς κατὰ τὴν τέχνην θεραπείαις πολλάκις, ἀλλὰ μοχθηρίας περιουσίᾳ πρὸς τὴν τέχνην ἀντιπράττει, νικωμένου τοῦ κρείττονος ὑπὸ

14 Cod. ὧν.

τοῦ χείρονος, καὶ ἡ τῶν ἀνθρώπων προαίρεσις, μωρίας δεχομένη μεταβολὰς, καὶ πρᾶγμα οὖσα, καθά φησι Δημοσθένης,[15] ἀσταθμητότατον πάντων καὶ ἀσυνετώτατον, ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατάστατον, ὅταν τύχῃ κινούμενον, οὐ δύναται παρακολουθεῖν πολύν τινα χρόνον τοῖς ἐκ λογισμοῦ λεγομένοις ἢ φαινομένοις εἶναι καλοῖς, ὥστε οὐ παρὰ τὸν λέγοντα ἢ ὑγιάζοντα ἡ ἀποτυχία, ἀλλὰ παρὰ τὴν φύσιν τῶν ὑποκειμένων ταῖς τοιαύταις δυνάμεσιν. ἀπαιτούμεθα δ' οὖν ὅμως τὰ παρ' ἑαυτῶν ἅπαντα εἰσφέρειν. διαφέρει δὲ τὸ πρόβλημα καὶ ἡ πρότασις τῷ τρόπῳ. οὕτω μὲν γὰρ ῥηθέντος, ἆρά γε τὸ ζῶον πεζὸν δίπουν ὁρισμός ἐστιν ἀνθρώπου, ἢ οὔ; καὶ πότερον τὸ ζῶον γένος ἐστὶν αὐτοῦ, ἢ οὔ; πρόβλημα γίνεται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. πᾶσα γὰρ πρότασις καὶ πᾶν πρόβλημα ἢ ἴδιον ἢ γένος ἢ ὅρον ἢ συμβεβηκὸς δηλοῖ· καὶ γὰρ καὶ τὴν διαφορὰν ὡς οὖσαν γενικὴν ὁμοῦ τῷ γένει τακτέον. ὥστε εἰκότως ἴσα τῷ ἀριθμῷ τὰ προβλήματα καὶ αἱ προτάσεις εἰσίν· ἀπὸ πάσης γὰρ προτάσεως πρόβλημα ποιήσεις μεταβαλὼν τῷ τρόπῳ. οὕτως μὲν οὖν καὶ περὶ διαλεκτικῆς τὰ πρόσφορα τῇ ὑποθέσει ἀποδεδώκαμεν, ἀρχὴν ποιησάμενοι τῶν ὑπὲρ αὐτῆς λόγων τὸ ταὐτὸν τοῦ πιθανοῦ πρὸς τὰς ἐνδόξους προτάσεις· καὶ οἶμαι τοῖς φιλομαθέσι καὶ φιλοκάλοις μὴ περιττὸν ἡμῶν δόξειν τὸ σπούδασμα. Ἐπεὶ τοίνυν ἀποδέδεικται ἡμῖν διὰ πλειόνων λόγων, τί τέ ἐστι τὸ πιθανὸν, καὶ τί τὸ ἀληθὲς, καὶ ὅτι ταὐτόν ἐστι τὸ πιθανὸν ταῖς ἐνδόξοις προτάσεσιν, ἔνδοξα δέ εἰσι τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς, καὶ τούτων μάλιστα τοῖς ἐπὶ σοφίᾳ γνωριμωτέροις, γνωριμώτατοι δὲ πάντων ἐπὶ σοφίᾳ τῇ τε θεωρητικῇ καὶ πρακτικῇ τυγχάνουσιν ὄντες οἱ τῆς αὐτοσοφίας τε καὶ αὐτοαληθείας Ἰησοῦ Χριστοῦ, τοῦ

15 de fals. leg. p. 363.

μόνου ἀληθινοῦ θεοῦ, μαθηταὶ, καὶ τῶν προσεχῶς αὐτὸν διαδεξαμένων ἀποστόλων διάδοχοί τε καὶ ὀπαδοὶ καὶ ὁμότροποι, Βασίλειος, Γρηγόριος καὶ Ἰωάννης, καὶ οἱ λοιποὶ πάντες, ὅσοι τοῦ αὐτοῦ μετεσχήκασι πνεύματος. τούτους ἄρα κυρίως ὁμολογητέον χρήσασθαι τῷ πιθανῷ μετὰ ἀληθείας ἐν τοῖς οἰκείοις συγγράμμασι, καὶ τοὺς αὐτῶν λόγους μὴ πειθώ τινα ἔχειν ἁπλῶς, ἀλλὰ πειθανάγκην ἄῤῥητόν τε καὶ ἀνεκδιήγητον, καὶ φατέον καὶ πιστευτέον, καὶ ὅ φησί τις τῶν ἁγίων περὶ τοῦ Χρυσοστόμου πατρὸς, τοῦτο κατὰ κοινὸν περὶ πάντων εὔκαιρον ἀποφήνασθαι, ὡς τὰ θεῖα τούτων συγγράμματα ἐν μίξει τοῦ ἀληθοῦς τε καὶ τοῦ πιθανοῦ μεμεσουργημένα τυγχάνουσιν.

Ἔστι μέρη τοῦ πολιτικοῦ κ. τ. λ. T. V. p. 220. v. 17.

v. 25, τοῖς ἀκροαταῖς Cod. τῶν ἀκροατῶν, omissis sqq. εὔνοιαν — ἀντιδίκων.

29. ἔνιοι Cod. om. Post καλοῦσιν pergit: Ἰστέον δὲ, ὅτι ἑ εἰσὶ ῥητορικαὶ κ. τ. λ. T. V. p. 214. v. 15.

p. 214. v. 17. Πυθαγόρας Cod. ὁ Πυθαγ.

20. καὶ Κίμων Cod. καὶ om.

24. καὶ ἄλλοι Cod. καὶ οἱ ἄλλοι.

25. ἡγήσαντο Cod. ἡγήσατο.

p. 215. v. 1. δὲ Cod. om. Post μετερχόμενος codex transit ad v. 17. Ἐφάνη κ. τ. λ.

18. γὰρ Cod. δέ.

19. κεχρῆσθαι Cod. καὶ χρῆσθαι.

25. ῥητῷ Cod. om.

26. ἠγνωμόνησεν Cod. ἠγνωμόνευσεν.

27. καὶ ἐπὶ Cod. καὶ om.

28. ἔφη ὁ Κόραξ κ. τ. λ. Cod. ἔφη ὁ Τισίας, διλημμάτῳ χρησάμενος πρὸς τὸν οἰκεῖον διδάσκαλον· δι-

κάζομαί σοι περὶ τῶν μισθῶν· καὶ, εἰ μὲν πείσω μὴ δοῦναί με μισθούς, ὡς πείσας οὐκ ἂν δώσω· εἰ δὲ μὴ ἰσχύσω πεῖσαι, πάλιν οὐκ ἂν δώσω· οὐ γὰρ ἐδιδάχθην παρὰ σοῦ τὸ πείθειν· ὁ δὲ Κόραξ ἀντέστρεψεν αὐτόν· δικάζομαί σοι κἀγώ· καὶ εἰ μὲν πείσω λαβεῖν με μισθούς, ὡς πείσας λήψομαι· εἰ δὲ μὴ πείσω, καὶ οὕτως ὀφείλω λαβεῖν, ὅτι τηλικούτους ἐξέθρεψα μαθητάς, ὥστε τῶν διδασκάλων ἐπικρατεῖν· ὅθεν ἀπορήσαντες οἱ δικασταὶ ἀνεβόησαν. κακοῦ κόρακος κακὸν ὠόν, ἤγουν δεινοῦ διδασκάλου δεινότερος ὁ μαθητής.

Ὅτι κατὰ φύσιν προτάττεται τὸ συμβουλευτικὸν τῶν λοιπῶν δύο εἰδῶν, δείκνυται καὶ ἐκ τῆς τοῦ παντὸς ἀρχαιογονίας· καθὸ θεὸς πρῶτον βουλευσάμενος, θεοπρεπῶς δὲ τοῦτο νοητέον, ἐπὶ τὴν δημιουργίαν ἦλθε τοῦ τιμιωτάτου κτίσματος, δηλονότι τοῦ ἀνθρώπου· εἶθ' οὕτως ἐπὶ τοὺς τῶν δημιουργημάτων ἐπαίνους· εἶδε γάρ, φησὶν, ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ἄλλως τε καὶ τὸν νόμον πρῶτον δεδωκὼς τῷ Ἀδάμ, ὅπερ ἐστὶ τῆς κατὰ νόμου εἰσφορᾶς πραγματικῆς ἴδιον, ἥτις ὑπὸ τὸ συμβουλευτικὸν εἶδος ἀνάγεται. ὕστερον ἐπὶ τὴν τοῦ παρανομήσαντος ἦλθε δίκην, ὅπερ ἐστὶ τοῦ δικανικοῦ.

---

## Errata.

p. 4. v. 10. pone ad marg. paginam Ald. 20.
p. 64. notae 21. adde: Ald. Codd. *ἐφόρεσε.*
p. 198. 11. *ἀποφέρεσθαι.* Basil. Schol. ined. in Gregorii Naz, Or. XXXII. apud Ruhnk. ad Tim. p. 159. legit: *φέρεσθαι.*
p. 305. v. 16. l. *κωμάσδω,*
p. 311, not. 9. l. Mon. Vind. *ὀλίγον.*
p. 413. v. 16. l. *φονεὺς.*

# INDEX

## LOCORUM DEMOSTHENICORUM,

### QUI TOM. III. VI. ET VII. CONTINENTUR.


Oratio in Androtionem III. 64 153 281 284 337 341 413 433 499 704. VI. 421 516 534. VII. 328 330 343 706 977 1037 1196 1228 1310.

— in Aphobum III. 330.

— in Aristocratem III. 63 71 79 95 99 100 211 213 215 223 237 274 288 293 313 329 330 337 341 371 413 416 432 436 450 513 707 708 711. VI. 75 175 181 393 480. VII. 11 165 337 340 341 427 606 685 706 732 941 942 948 963 1031 1064 1150 1197 1220 1225 1302 1319.

— in Aristogitonem III. 221 228 229 231 236 242 367 403 433. VI. 458. VII. 330 933 990 998 1306. *παράδειγμα σφοδρότητος σχεδὸν ἅπας ὁ κατὰ Ἀριστογ.* III. 240. *μιμεῖται τὸν Λυκούργου χαρακτῆρα.* VII. 1044. *νοθεύονται παρ' ἐνίων.* VII. 1045. a Dionysio Hal. VII. 1308.

— in Boeotum III. 271.

— in Calliclem VII. 20. 67.

— de Chersonneso III. 215 237 296 325 340 341 412 429 451 502. VI. 361 409. VII. 607 947 1070 1193.

— in Cononem III. 19 95 204 440 692. VI. 383. VII. 54 271 272 732 798 888 924 944 1060 1331.

— pro corona III. 79 109 119 146 152 159 160 164 168 212 213 217 223 225 227 231 240 241 242 244 245 246 247 250 252 253 255 256 259 265 266 267 268 269 272 273 275 276 281 282 283 284 286 287 288 293 296 297 299 300 301 303 308 309 310 321 331 332 335 337 338 340 342 343 344 345 346 347 350 352 353 359 367 371 403 406 407 408 409 414 416 422 423 424 425 430 431 432 436 441 442 449 454 459 498 504 506 508 509 513 514 528 538 580 704 705 708 710 717. VI. 36 100 108 119 175 232 271 273 361 371 383 423 441 473 474 VII. 19 38 44 114 116 261 279 291 322 337 360 364 386 413 423 424 425 428 499 518 519 523 528 529 593 639 652 662 751 766 821 825 847 874 875 918 922 925 931 933 935 947 951 962 973 975 979 998 1006 1010 1018 1028 1053 1118 1148 1151 1152 1157 1159 1169 1175 1185 1211 1221 1257 1277 1300 1302 1319 1337.

— in Dionysodorum III. 203. VI. 149. VII. 916.

Epistolae III. 234 235 237 349 707.

*Ἐρατοσθένους φόνου ἀπολογία* VI. 458.


Digitized by Google

Oratio in Eubulidem III. 307.
— de Halonneso III. 110 233 236 VI. 253. VII. 227 593 601 603 909.
— in Leptinem III. 70 109 134 152 155 171 202 213 248 252 259 268 273 288 289 291 332 333 334 369 409 428 429 457. VI. 75 193 347 509 337. VII. 60 116 328 593 601 685 707 891 1023 1099 1140 1292 1297. ὅλος ὁ λόγος κεκαλλώπισται VII. 1044.
— pro Megalopol. III. 51 333 346 370. VI. 433 VII. 614.
— in Midiam III. 36 71 102 200 202 206 209 248 261 262 270 298 329 331 339 344 350 406 408 411 413 424 425 428 436 449 451 452 453 506 508 711 713 VI. 119 141 147. VII. 53 335 336 339 344 405 408 417 427 433 448 449 463 721 730 881 915 927 935 1021 1151 1181 1185 1200 1279 1284 1291.
— in Neaeram III. 64 452. VI. 534. VII. 1160.
— in Nicostratum III. 307.
— Olynth. I. III. 152 155 175 275 282 284 285 292 299 334 359 361 407 410 413 415 435 436 451 452 457 505 506 507 585 709 710. VI. 38 193. VII. 4 14 16 25 127 282 365 604 610 891 1022 1025 1148 1182 1198 1216 1317 1319.
— Olynth. II. III. 50 123 149 151 155 216 272 276 287 288 290 327 347 434 450 457 458 500 502 504 709 710 711 VII. 25 70 114 127 607 610 941 948 1023 1147 1150 1243 1314 1325.
— Olynth. III. III. 205 226 234 235 236 252 266 280 288 350 437 581. VI. 119 254. VII. 16 70 975 1097 1342
— de Parapresbia III. 26 96 99 104 105 108 114 119 152 153 154 205 211 216 226 236 237 250 251 252 259 263 264 268 269 271 275 276 280 282 285 288 297 305 307 310 322 326 336 338 339 340 345 347 352 359 416 417 418 420 436 439 453 499 502 505 654 656 707 709 711 716. VI. 79 108 193 383 421 433 435 516. VII. 179. 196 227 229 252 286 312 314 325 334 340 374 568 685 692 732 745 797 889 940 1021 1043 1078 1098 1224 1225 1227 1242 1254 1322 1331 1341.
Philippicae VII. 592 603 607 1343.
Philipp. I. III. 51 149. 162 176 193 215 238 265 273 285 299 341 359 414 499 505 VI. 37 253 426. VII. 14 34 57 613 808 887 1040 1217 1344.
Philipp. II. III. 300 361.
Philipp. III. III. 151 153 205 226 236 239 251 270 275 300 326 335 342 361 415 502 507 514 536 704 709. VI. 37 372 410 VII. 288 766 995 1015 1030 1170 1214 1244 1267.
Philipp. IV. III. 151 171 234 240 250 299 706. VI. 114. VII. 909.
pro Phorm. III. 450.
in Polyclem III. 307.
in Spudiam III. 203 330. VI. 149 VII. 88?. 922 944.
de Symmoriis III. 151 415.
in Timocratem III. 102 153 205 208 299 348 407 435 454 657. VI. 367 413. VII. 330 685 925 944 1165 1196 1225 1315.

Digitized by Google

LIBRARY OF CONGRESS
PRESERVATION